ΚΔ'. Μιχαὴλ μέντοιγε (58) τοῦ βασιλέως, τὰ Ῥωμαϊκὰ σκῆπτρα διέποντος, ὃς ἐκ τῆς βασιλείου στολῆς εἰς τὸ τῶν μοναχῶν ἠμείφθη σχῆμα, καὶ τοῦ μετ' αὐτὸν βασιλεύσαντος Λέοντος οὐκ ἐν τῷ ῥᾳθύμῳ τὴν ἀνοζήτησιν καὶ ἔρευναν τῆς ἀποστασίας τιθεμένων, ἀλλὰ καὶ σπουδὴν τὴν πρέπουσαν ἀναδεξαμένων, στέλλονταί τινες τῶν οὐκ ἀσήμων ἀνὰ πᾶσαν τὴν Ῥωμαϊκὴν ἀρχὴν, τοὺς, εἴ τινες ἂν φωραθεῖεν τῆς τοιαύτης κἄτοχοι θεομαχίας, ἐπείπερ πολλάκις αὐτοὺς αἱ τῶν ἀρχιερέων καὶ ἱερέων νουθεσίαι καὶ παραινέσεις οὐδὲν οὔτε ὤνησαν, οὔτε μεταβάλλειν (59) ἔπεισαν τὴν ἀσέβειαν, τούτους οὕτως ἀμεταθέτως ἔχοντας ὡς κοινὴν λύμην καὶ φθορὰν τοῦ γένους πρὸς τὸν διὰ ξίφους θάνατον ὑπάγειν. Ἦκεν οὖν τὰ προστάγματα καὶ εἰς τὴν καλουμένην χώραν τῶν Ἀρμενιακῶν. Θωμὰς δὲ ἦν τηνικαῦτα Νεοκαισαρείας ἐπίσκοπος καί τις ἕτερος Παρακονδάκης ἐπώνυμος ἐξάρχων κατ' ἐκεῖνο καιροῦ τῶν ὅσοι τῆς κατὰ τὸν βίον σεμνότητος εἶχοντο, καὶ τῆς ὑψηλοτέρας πολιτείας ἐποιοῦντο ἐπάγγελμα συντηρεῖν τὰ δέσμια. Τούτων τοίνυν τῶν ἀνδρῶν ἑκάτεροι ἅμα συνεδριάζειν μετὰ καὶ ἑτέρων τινῶν λογίων βασιλικὸν δεξάμενοι θέσπισμα, οὓς ἂν τῶν ἀποστατῶν ἡ πολιτικὴ χεὶρ εὕρισκέν τε καὶ συνελάμβανεν, καὶ πρὸς αὐτοὺς διεπέμπετο, ἐξήταζόν τε καὶ ἐλογοθέτουν λεπτομερέστερον, καὶ τοὺς ὑπαιτίους τῶν ἀναιτίων φυλοκρινοῦντες τοὺς μὲν ἀπέλυον, ἔστι δ' οὓς καὶ ἐπιτιμίοις ἐκκλησιαστικοῖς καθυπέβαλλον, τοὺς δὲ παντελῶς ἀνιάτους οἱ πολιτικοὶ νόμοι, καὶ τῶν ἐν αὐτοῖς ἀρχόντων παρελάμβανεν τὸ δικαιωτήριον (60). Οὕτω δὴ τῆς ἐρεύνης τε καὶ κρίσεως καὶ τοῦ λογοθεσίου (61), καὶ τῆς πράξεως προϊούσης μερίζονται τῶν εἰρημένων κριτῶν τὴν σφαγὴν οἵ τε λεγόμενοι Κυνοχωρῖται (62), καὶ οὓς ἐπωνόμαζον Ἀστάτους· Ἦσαν δὲ οὗτοι τῶν τοῦ Σεργίου μαθητῶν οἱ λογάδες. Οἱ μὲν οὖν Ἄστατοι μηδενὸς ἑτέρου δεηθέντες αὐτοὶ καθ' ἑαυτοὺς δόλῳ καὶ προδοσίᾳ κατασφάζουσιν τὸν εἰρημένον ἔξαρχον. Τοῖς δὲ Κυνοχωρίταις ἐπείπερ ἐνέδει στρατηγὸς τοῦ μιάσματος, εἷς τῶν εἰρημένων Ἀστάτων ἐφίσταται, καὶ κατασφάζουσι καὶ αὐτοὶ τὸν ἀρχιερέα τοῦ Θεοῦ Θωμᾶν. Ἀναίδην δὲ τούτων οὕτω παρανομηθέντων, ὡς ἔφην, ἑκατέρας μιαιφονίας ἀρχιτέκτονες, φεύγουσι μὲν σὺν τοῖς ἑπομένοις σπουδῇ (63) ἀπὸ πάσης γῆς, ἣν ὁ Χριστιανῶν ἐκόσμει θεσμὸς, παραγίνονται δὲ ἐν Μελιτινῇ πόλει τῆς δευτέρας Ἀρμενίας, πολιτείαν οὖσαν τότε τῶν μισοχρίστων Σαρακηνῶν, ἧς καὶ Ἀμηρᾶς (64) ἦρχεν, ὃν ἐπεκάλουν Μονοχεράρην (65)· καὶ οὗτος ὁ μισόχριστος τοὺς μισοχρίστους

A XXIV. Michael vero, qui imperatoriam vestem in monachalem commutavit, et ejus successor Leo, de hujusmodi apostasia perquisitionem fieri non indiligenter curarunt, sed qua par erat sollicitudine per omnes imperii Romani fines viros dignitate præstantes miserunt, ut quandoquidem ab episcopis et sacerdotibus frequenter moniti impii illi nec obtemperaverant, nec resipuerant, si quos deprehenderent tali impietati obnoxios, qui ad meliorem se frugem recipere nollent, quasi communem pestem et generis humani perniciem gladio plecterent. Hæc itaque jussa venerunt in regionem Armeniacorum dictam. Thomas vero tunc Neocæsareæ episcopus erat, aderat et alius quidam nomine Paracondaces, qui tunc temporis eminebat inter eos, qui B honestate morum præditi, sublimiorem vitæ rationem profitebantur. Ambo igitur imperatorio decreto cum aliis quibusdam eruditis viris consultare jussi, apostatas a politica manu ad hoc deputata deprehensos et oblatos examinabant, et minutatim interrogabant, sontesque ab insontibus sequestrantes, alios quidem absolvebant, nonnullos ecclesiasticis pœnis subjiciebant; penitus insanabiles politicis legibus et magistratuum tribunali tradebant. Dum examen, judicium, interrogatio et acta sic procederent, Cynochoritæ, ut vocabant, et ii qui dicebantur Astati; erant autem selecta pars discipulorum Sergii; prædictorum judicum cædem patrandam inter se dividunt. Astati igitur, nulla petita ope, memoratum præfectum dolo et proditione con- C fodiunt, Cynochoritæ vero cum duce ad exsecrandum facinus egerent, assumpto ex Astatis uno, episcopum Thomam a Deo constitutum obtruncant. His audacter gestis, Astati, qui, ut supra dixi, utriusque parricidii auctores erant, cum sequacium turma festinantes fugiunt ab universis regionibus, quæ Christiana lege utebantur, et Melitinam secundæ Armeniæ urbem, se conferunt, quam tunc Christi osores Saraceni incolebant, quibus Ameras, nomine Monocherares imperabat, qui, Christi inimicus, Christi inimicis profugis benigne exceptis, et omni metu liberatis, Argaum sic dictum oppidulum dat incolendum. Confluente autem eodem impiorum multitudine, ita ut jam prædatoriis incursibus pares essent, vicini Christiani multi ab iis frequenter D in captivitatem abducti sunt: et malo in dies invalescente non modo veteres impietatis cultores libere potuerunt in ea perseverare, sed etiam quosdam

VARIÆ LECTIONES ET NOTÆ.

(58) Μιχαήλ, Curopalates scilicet, cognomine Rhancabe, de quo ejusque successore Leone legatur Cedrenus, p. 396 seq.

(59) Μεταβάλλειν. Noster μεταβαλεῖν.

(60) Δικαιωτήριον. Optime: noster δικαιότερον, non sine mendo.

(61) Λογοθεσίου. Medii ævi vox, sicut et proxime antecedens λογοθετέω vide Dufresn. in *Glossario Græc.* p. 821.

(62) Κυνοχωρῖται. De his vide Cedrenum, p. 433.

(63) Σπουδῇ. Ita noster diserte, et procul dubio recte: sensus enim optime respondet. Cl. Montfauconius ex Coisliniano habet σπουδῆς addito asterisco, quasi aliquid (ni conjectura me fallit) deesset. Sed omnia sibi constant, et gignendi casus natus est ex sequentibus vocibus πάσης γῆς.

(64) Ἀμηρᾶς. Non ignotum historicis hujus ævi nomen: vide Cedrenum, p. 350. Idem vero de re nostra exponit, p. 44.

(65) Μονοχεράρην. Ita Colbertinus et noster, cum quibus Petrus Siculus, p. 70. Coislinianus itaque Μονοχεράνης scribens, in mendo cubat.

Digitized by Google Распознавание текста ABK/FR

ex captivis ad eam amplectendam cogere. Contigit autem, ut Sergius, cujus frequens mentio facta est, postquam aliquo tempore cum transfugis versatus fuerat, iisdem in impietate confirmandis intentis debitas cœlitus pœnas lueret. Ligna cædendi tempus erat, nec lignariæ artis imperitus erat Sergius, solebatque illam exercere, truncosque in asseres secare. Cum autem in montem Argai proximo huic operi vacaret, Tzanio quidam Nicopolitanus, religione pius, animo manibusque strenuus, ut vidit illum Dei hostem præstigiis suis fidentem, et veneficiis vitam concredentem, ita ut solus ligna cædere auderet, magna et ingenti contra seductorem emissa voce, quæ terrore stuporeque hominem replevit, inermis cum esset, securem e manibus ejus abstulit, scelestumque ita percussit, ut mors ejus sequeretur. Sic fallaciæ ille vere spiritus, pernicies humanarum animarum, acerba illa et profunda apostasiæ radix, extremum et pessimum malorum omnium, quæ ante fuerunt, manus et artis suæ instrumento obtruncatus impiorum, superborumque sermonum, vanarum promissionum et exspectationum, ipsiusque vitæ finem accepit, et in ignem inexstinguibilem æternumque cum impia sua sententia amandatus est.

A φυγάδας τά τε ἄλλα φιλοφρονησάμενος δεξιῶς καὶ παντὸς ἐλευθερώσας ἀνθρωπίνου δέους, τὸ Ἀργαοῦν (66), πολίχνιον οὕτω καλούμενον ἐπιχωρίῳ γλώττῃ, οἰκεῖν ἐπιτρέπει· ἀθροίσματος δὲ ἐν οὐ πολλῷ χρόνῳ τῶν τὴν ἀποστασίαν φρονοῦντων συνερρυηκότος, ὡς καὶ εἰς λῃστρικὴν ἐξαρκεῖν ἐπιδρομήν τε καὶ χεῖρα, πολλὴ καὶ πολλάκις τῶν πλησιοχώρων Χριστιανῶν αἰχμαλωσία τοῖς ἀθέοις ἐπετηδεύετο. Κἀκεῖθεν κραταιούμενον τὸ κακὸν οὐ μόνον τοὺς ἀπ' ἀρχῆς θεραπευτὰς ἀδεῶς ἐδίδου τὴν ἀσέβειαν θρησκεύειν, ἀλλὰ καὶ τινας τῶν αἰχμαλωτιζομένων πολλὴν παρεῖγεν τὴν ἐξουσίαν συναναγκάζειν, εἰς τὴν αὐτὴν αὐτοῖς καταπίπτειν ἀθεότητα. Γίνεται δὴ καὶ Σέργιος, οὗ πολλάκις ἔσχε μνήμην ὁ λόγος, ἐκεῖσε, καὶ χρόνον τινὰ τοῖς φυγάσι διατρίψας, καὶ B βαθύνας αὐτοῖς ἐπὶ πλέον τῆς ἀσεβείας τὰ δόγματα, τὴν ἄνωθεν ὅμως δίκην οὐ διδράσκει (67). Ξυλουργίας ἦν ὁ καιρὸς, καὶ τεκτονικῆς ὁ Σέργιος οὐκ ἀμελέτητος ἦν, καὶ δὴ καὶ συνήθης ἦν κεχρῆσθαι τῇ τέχνῃ, καὶ εἰς σανίδας ἀποξέειν τῶν πρέμνων τὰ ἐπιτήδεια. Οὗτος κατὰ τὸ σύνηθες εἰς τὸ παρακείμενον ὄρος τοῦ Ἀργαοῦ παραγεγονὼς ἔπραττε τὰ αὐτοῦ, καὶ εἰς σανίδας τὰ ξύλα ἀπέξεεν· πρὸς ταύτῃ δὲ ὄντα τῇ ἐργασίᾳ Τζανίων (68) ὄνομα, γένος ἐκ Νικοπόλεως, εὐσεβὴς τὴν θρησκείαν, ὡς εἶδεν οὕτω τὸν θεομάχον ταῖς μαγγανείαις (69) πεπιστευκότα, καὶ καταμόνας ξυλουργεῖν ἐπηρμένον, μέγα τι καὶ διάτορον κατὰ τοῦ ἀπατεῶνος ἐμβοήσας καὶ τῇ φωνῇ φόβου τε καὶ ἐκπλήξεως πληρώσας, ἀφαιρεῖται μὲν αὐτός, (70) ἄνοπλος ὤν, τὴν ἀξίνην τῶν χειρῶν, παίει δὲ τὸν πλάνον καιρίαν, καὶ αὐταῖς ταῖς πληγαῖς ὁ πικρὸς ἐπηκολούθησε τοῦ ἀλιτηρίου θάνατος. Οὕτω μὲν δὴ, οὕτω τὸ τῆς ἀπάτης ὡς ἀληθῶς πνεῦμα, ὁ τῶν ἀνθρωπίνων ψυχῶν ὀλετὴρ, ἡ πικρὰ καὶ βαθεῖα τῆς ἀποστασίας ῥίζα τὸ ἔσχατον καὶ χεῖρον τῶν ἔμπροσθεν αὐτοῦ πάντων κακῶν τῆς οἰκείας αὐτοῦ χειρὸς καὶ τέχνης τῷ ὅπλῳ κατακοπεὶς, τῶν τε θεομάχων καὶ ὑπερηφάνων λόγων, καὶ βδελυκτῶν καὶ ἀνοσίων ἔργων καὶ τῶν ἀμηχάνων ὁποσχέσεων καὶ ἐλπίδων, καὶ αὐτῆς τῆς ζωῆς ἐξεκόπη, καὶ εἰς τὸ ἄσβεστον πῦρ καὶ (71) αἰώνιον αὐτῷ τῷ θεομάχῳ φρονήματι παρεπέμφθη.

XXV. Tertius et quadragesimus et trecentesimus post sexies millesimum a creatione mundi annus complebatur, cum impius ille morte scelera luit. Discipulos autem reliquit apostasiæ improbitatisque suæ, qui in mysticis maleficiis suis atque præstigiis primas tenebant, tres numero, Michaelem, Kanacarem et Joannem, quibuscum annumerabatur memoratus supra Theodotus; post illos autem Basilius et Zosimus, et alii complures. Sedhi illius scelestissimi hominis ter maledicti discipuli, quos decepta plebs comperegrinos appellat, populum in Argai locum congregatum, tametsi acerbam et divi-

C ΚΕ'. Τρίτον καὶ τεσσαρακοστὸν καὶ τριακοσιοστὸν πρὸς τοῖς ς' ἀπ' ἀρχῆς τῆς κοσμογενείας ἠνύετο ἔτος (72), ὅτε τὸν βίαιον (73) ὁ θεομάχος οὗτος ἀπέτισε θάνατον. Λείπει δὲ μαθητὰς τῆς αὐτοῦ μυσαρότητος καὶ ἀποστασίας, οἳ τὸ πρωτεῖον ἐν ταῖς μυστικαῖς μαγγανείαις τε καὶ γοητείαις ἔφερον, τρεῖς, ὧν ὁ μὲν Μιχαὴλ, ὁ δὲ Κανακάρης (74), ὁ δὲ τρίτος Ἰωάννης ὠνομάζετο, οἷς καὶ ὁ μνημονευθεὶς ἄνωθεν Θεόδοτος συνητάζετο. Οἱ δὲ μετ' ἐκείνους Βασίλειός τε καὶ Ζώσιμος, καὶ ἕτεροι πλείους ἦσαν· ἀλλ' οὗτοί γε οἱ τοῦ τρισαλιτηρίου ἐκείνου τρισκατάρατοι μαθηταὶ, οὓς καὶ συνεκδήμους τὸ ἠπατημένον

VARIÆ LECTIONES ET NOTÆ.

(66) Ἀργαοῦν. Ita Coislinianus, et Petrus Siculus, p. 70, et Cedrenus, p. 444. Deserendi itaque sunt noster et Colbertinus, quorum uterque legit Ἀργοῦν.

(67) Διδράσκει. Noster διαδιδράσκει, quod præferendum puto. Photius enim amat compositis uti pro simplicibus.

(68) Τζανίων. Confer Petrum Siculum, p. 70.

(69) Μαγγανείαις. Magicas artes jam alias Noster Manichæis exprobravit. Eadem dica pluribus aliis hæreticis scripta est a veteribus: vide Spenceri Notas ad Origenem, *Contra Celsum*, p. 6 seqq.

(70) Ἄνοπλος. Noster ἄοπλος· utraque forma D apud Græcos adhibetur.

(71) Καὶ Addidi ex nostro, quod orationis series postulat.

(72) Ἔτος. Addidi ex nostro, ad sensum complendum.

(73) Τὸν βίαιον θάνατον. Noster legit τὸν βίον θανάτου. Sed insueta hæc phrasis est: itaque malim acquiescere in lectione Coisliniani codicis.

(74) Ὁ δὲ Κανακάρης. Ita scripsi ex nostro, pro quo Coislinianus: τὸν δὲ κανακάρην. Illud magis respondet τῷ, ὠνομάζετο· cum altera illa lectio sine ellipsi locum habere non possit.

Digitized by Google Распознавание текста ABK/FR

πλῆθος ἐπονομάζουσιν, τὸν ἀθροισθέντα λαὸν ἐν τῷ Ἀργαοῦ, καίτοι τὸν πικρὸν καὶ θεήλατον τοῦ διδασκάλου θάνατον ὄψει λαβόντες, καὶ οὐδὲν, ὧν ἐθεομάχει καὶ ἐτερατεύετο, προελθόν, ὅμως τοῖς ὁμοίοις κακοῖς διεφθείροντό τε καὶ κατελυμαίνοντο, οὐκ ἔτι μὲν εἰς ἕνα τινὰ ἢ εἰς δύο τὸ διδασκαλικὸν τῆς θεομαχίας ἀναφέροντες ἀξίωμα, ὁμοτίμως δὲ ἀλλήλοις αὐτοὶ κατὰ πλῆθος τῆς πλάνης τῷ πλήθει καθηγούμενοι· Ὅμως δὲ καὶ ὑποβεβηκότας αὐτῶν τινας ἑτέρους ἔταττον, οὓς καὶ νοταρίους ὠνόμαζον, καί τινα τῶν ἀπορρήτων καὶ βδελυκτῶν ὀργίων εἰς ἐποψίαν καὶ τελεστικὴν ἀφώριζον ἐπιμέλειαν.

A nitus immissam magistri mortem viderant, et nihil eorum, quæ ille portentose confinxerat, accidisset, populum, inquam, illum corrumpere, et pessumdare pergebant : nec ultra impietatis magisterium ad unum vel duos referebant. Sed pari inter se honore multitudini præficiebantur : attamen quosdam inferioris, gradus constituerunt, quos appellabant notarios, quibus curam quamdam et officium in abominandis suis orgiis et initiationibus assignabant.

ΚΣ. Ὑπὸ δὲ τοὺς αὐτοὺς ἀναφαίνεται καιροὺς (75) καὶ ὁ τρισαλιτήριος Καρβέας (76), ἀνὴρ δεινὸς μὲν ὑπελθεῖν ὄχλον, στεγανὸς δὲ κρύπτειν τὸ ἀνέκφορον, καὶ τοῖς χείλεσιν ἄλλα προφέρειν παρὰ B τὴν ἐν τῇ καρδίᾳ μελέτην πιθανώτατος, καὶ πίστιν μὲν οὐδ' ἥντινα στέργων, ἐπεὶ καὶ τὰ τῶν Ἀράβων (77) θειάζειν ἐσχηματίσατο· πλὴν τῆς ἀποστάσίας ἐραστὴς καὶ λέγεσθαι καὶ νομίζεσθαι κλέος ποιούμενος, οὐδὲ τῆς κατὰ πόλεμον ἐμπειρίας (78) ἀγύμναστος. Διὸ καὶ τῆς ἀποστατικῆς ἐκείνης πληθύος ἤδη πρὸς χεῖρα πολεμικήν τε καὶ βαρεῖαν ἐδρυνομένης, ἄρχειν ὑπὸ τοῦ πλήθους ἠρέθη, ὃς ἐπὶ μᾶλλον αὔξων τε καὶ κρατύνων τὸ θεομάχον ἄθροισμα, ἐπεὶ τῇ βαρύτητι τοῦ πολυχνίου στενοχωρούμενος εἶδε τοὺς ὑπὸ χεῖρα, πόλιν ἄλλην εὐρυχωροτέραν ἐγείρει, ἣν ἐπωνόμαζε Τεφρικὴν (79), καὶ ταύτην τοῖς ἑπομένοις πολίζει, ὁμοῦ μὲν καὶ τὴν ἐπιφερομένην τῶν Μελιτινιτῶν (80) ἀποκλίνων τυραννίδα. Καὶ γὰρ εἰ κατ' ἀρχὰς φιλοφρόνως ὑπεδέ- C ξαντο, ἀλλ' οὖν πλουτοῦντας ὁρῶντες, καὶ πλέον ὧν ἤλπιζον, ταῖς καθ' ἡμέραν λῃστρικαῖς ἐφόδοις εἰς εὐπορίαν ἐπιδιδόντας οὐκ ἔτι τὸν ὀφθαλμὸν αὐτοῖς ἐπιβάλλειν φθόνου χωρὶς καὶ πλεονεξίας ἠδύναντο. Διὸ λαφυραγωγοῦντες αὐτοὺς τέχναις πολλαῖς καὶ μεθόδοις οὐκ ἐνέλιπον. Μία τοίνυν καὶ αὐτὴ αἰτία, ὅτι, ἣν ὡς ἀπωτέρω τῆς προτέρας οἰκήσεως πολίζειν ἔγνω τὸ ὑπήκοον. Ἔτι δὲ καὶ τῷ ἀνεπιμίκτῳ τῶν ἄλλων ἀνθρώπων εἰς τὰς δαιμονιώδεις καὶ ἐκτόπους τῶν πράξεων, ἅτε δὴ καθ' ἑαυτοὺς ὄντας, ἀδεῶς χωρεῖν καὶ σὺν παῤῥησίᾳ προνοούμενος. Ἐκ γειτόνων γὰρ ἔχοντες πρότερον τοὺς Σαρακηνοὺς, ἐσέβοντο μὲν (81) τὰ αὐτῶν, ἐσέβοντο δὲ καὶ τὰ ἐκείνων· ἀλλὰ τα μὲν (82) ἐκείνων θεατρίζοντες, τὰ δὲ οἰκεῖα μυστηριαζόμενοι.

XXVI. Sub hoc tempus eminebat sceleratissimus Carbeas, vir ad subornandam plebem acutus, callidus ad ea occultanda, quæ efferre par non erat, et ad alia persuadenda, quam quæ in corde latebant, nullam revera tenens fidem, quippe qui Arabum religionem se admirari simularet : cæterum apostasiæ amatorem et dici et existimari honori et gloriæ sibi esse ducebat, neque bellicæ rei imperitus erat. Quamobrem cum apostatica illa multitudo jam eo incrementi venisset, ut militarem manum suppeditare posset, ad imperium ab illa evectus est, utpote qui impiissimum cœtum et augere et confirmare posse crederetur. Cum autem oppiduli angustia pressos cerneret subditos, aliam ampliorem urbem excitavit, quam Tephricam nominavit, ipsamque sequacibus suis incolendam dedit, ut imminentem Melitinorum tyrannidem declinaret. Nam etiamsi initio perhumaniter ab illis excepti fuissent, et tunc cum illos divites esse cernerent ac quotidianis deprædationibus rerum copia crescentes, non poterant eos sine invidia et cupiditate respicere. Quare non cessabant eis insidiari, ut spolia eriperent. Quæ quidem una ipsi causa fuit, cur procul a prima habitatione subditos suam sedem ponere decreverit. Ad hæc autem curabat, ut separati a cæteris hominibus, dæmoniacis et absurdis rebus seorsim positi liberius et cum fiducia vacarent. Cum enim antea vicinos haberent Saracenos, eorum simul ritus et suos observabant ; sed eorum ritus theatrico more, suos vero mystico cultu.

ΚΖ. Ἐπὶ τούτοις δὲ καὶ ἐπίκαιρος ἐδόκει πρὸς D τὰς καταδρομὰς τῆς Ῥωμαϊκῆς ἀρχῆς ἡν ἀνέστη πόλιν. Μᾶλλον τε γὰρ ἐπλησίαζε τοῖς αὐτῆς ὁρίοις. Ἀλλὰ καὶ εἴ τις αὐτομολεῖν ἐκεῖθεν ἐβούλετο τῶν τὴν αὐτὴν ἀσέβειαν ἐγκόλπιον φερόντων, ἑτοιμοτέραν

XXVII. Præterea urbs illa a se structa opportuna videbatur esse ad Romanum imperium incursandum, utpote illius finibus vicinior. Quin etiam si quis inde transfugere vellet ex iis, qui eidem impietati assentiebantur, paratiorem ad fugam et

VARIÆ LECTIONES ET NOTÆ.

(75) Καιρούς. Noster καιριάς, mendose.

(76) Καρβέας. Ita rescripsi ex nostro pro καρβέιας Coisliniani Codicis. Nobiscum facit Petrus Siculus, p. 72, et Cedrenus, p. 444, qui rem hanc, prout gesta est, data opera recitat.

(77) Ἀράβων. Recte, pro quo noster Ἀῤῥάβων,

(78) Ἐμπειρίας. Addit noster ἦν, quo tamen opus non est.

(79) Τεφρικήν. Ita recte noster, pro quo Coislinianus male Τεφικόν, pejus Petrus Siculus Τιβρικήν. Pro nostra scriptione facit et codex Colbertinus, et Cedrenus, p. 444.

(80) Μελιτινιτῶν. Recte, pro quo noster mendose Μελιπνιτῶν.

(81) Ἔσεβόν. Bis, pro quo utrinque noster ἐσέβοντο. Sed bene habet utraque verbi forma.

(82) Ἀλλὰ τὰ μέν. Sensus est, Saracenorum instituta eos publice et in conspectu aliorum, domestica vero clam et occulte sectatos esse.

Digitized by Google Распознавание текста ABK/FR

secessum ob vicinitatem locum habebant. Bella vero deinde non prædationibus gessit, sed justis præliis et aciebus, sive solus cum suis sive cum Saracenis dimicaret : quandonam autem vicerit, et quandonam superatus fuerit, alterius est instituti temporisque referre. Quod vero vicinas sibi imperii Romani regiones innumeris affecerit calamitatibus, ipsa mali magnitudine plus quam verbis, posteri nostri cognituri sunt.

XXVII. Postquam autem sanguinarius ille et exsecrabilis homo longis temporibus intolerabilia perpetrasset, sero tandem et vix ægritudine consumptus periit. Ejusque tyrannidis et impietatis successor declaratur ejus gener ex filia, et consobrinus genere, cui nomen Chrysocheres ; quo tempore hanc historiam describentes, quod futurorum notitiam nec habeamus, nec polliceamur, ultra progredi non possumus. Quod si quis eam spem dederit, quæ ex benignitate pendet, quæque humani generis amantes non fallit unquam, nec in errorem inducit, fortasse non nimis audacter scribatur, non multo abhinc tempore futurum esse, ut apostatici hujus et impii cœtus audacia, dogmata et robur dissolvantur et destruantur. Cæterum hic liber, unde initium duxerit error, repræsentavit, nec non quomodo secundo jacto semine hæc ipsa amaritudinis radix surculos impietatis emiserit, ac etiam, quomodo usque ad tertiam vicem zizania repullulaverint : item quænam et quot fuerint defectionis Ecclesiæ, ut vocabant, qui magistri, et quomodo illi sacras voces adulteraverint, quibusnam iterum verbis suam ipsi sententiam obumbrent, et alia multa, quæ postquam cursim historia enarravit ; ad secundum librum remittit tum impiorum dogmatum refutationem, eorum maxime, quæ hactenus depulsa non fuere, tum, si qua alia, quæ dici oportuit, prætermiserit : si tamen divina gratia negotiis obruto Scriptori requiem et vacationem concesserit.

A εὗρισκε διὰ τὸ γειτόνημα τὴν πρὸς αὐτὸν καταφυγήν τε καὶ ἀναχώρησιν. Οὓς μὲν οὖν ἐκεῖνος διήνεγκεν οὐκ ἔτι ληστρικοὺς, ἀλλ' ἐκ παρατάξεώς τε καὶ τοῖς Σαρακηνοῖς συνταττόμενος. Ἐν οἷς τε τὸ πλέον ἔσχε, καὶ ἐν οἷς ἀπηνέγκατο τὸ ἧττον, ἄλλης τέ ἐστιν ὑποθέσεως, καὶ ἰδιάζοντος χρόνου. Ὅτι δὲ παντοδαπῶν ἐπλήρωσε συμφορῶν τὰς τῆς Ῥωμαϊκῆς ἀρχῆς πλησιαζούσας αὐτῷ χώρας, το μέγεθος ἐξαρκεῖ τοῦ πάθους ἀντὶ λόγου, τοῖς μεθ' ἡμᾶς παρασχεῖν ἀνεπίληστον (83) τὴν γνῶσιν.

ΚΗ'. Πλὴν ἀλλ' ὅγε παλαμναῖος ἐκεῖνος χρόνοις μακροῖς τὰ ἀνήκεστα δράσας, ὀψὲ καὶ μόλις νόσῳ τὸν βίον κατέστρεψε, καὶ τῆς ἐκείνου τυραννίδος καὶ τῆς ἀσεβείας διάδοχος ἀναδείκνυται ἐπὶ παιδὶ μὲν γαμβρὸς, ἐκ τοῦ γένους δὲ τὸ ἀνεψιὸν ἔλκων, B καὶ τὸ ἐπώνυμον Χρυσοχέρης (84). Καθ' οὓς καιροὺς τήνδε τὴν συγγραφὴν ὁ λόγος ἀναταξάμενος τοῦ πρόσω (85) χωρεῖν, ἅτε δὴ τῶν μελλόντων τὴν γνῶσιν οὔτε ἔχων, οὔτε ἐπαγγειλάμενος ἀπίστη. Εἰ δὲ καὶ τὰς ἐλπίδας δοίη τις, ὅσαι γε μάλιστα εἰς τὴν θείαν εἰσὶν εὐμένειαν ἠρτημέναι καὶ τῆς τοῦ γένους (86) ἐρῶσι σωτηρίας μὴ σφαλερὰς μηδὲ πλάνους εἶναι, τάχα ἂν οὐ νεανιεύσαιτο ἡ γραφὴ οὐκ εἰς μακροὺς προαγορεύουσα (87) χρόνους, ῥυῆναί τε καὶ διαφθαρῆναι τοῦ ἀποστατικοῦ τούτου καὶ ἀθέου πληρώματος, καὶ τὸ φρύαγμα καὶ τὰ δόγματα καὶ τὴν ἰσχύν. Ἀλλὰ γὰρ ὁ μὲν παρὼν λόγος ὅθεν τε τὰς πρώτας ἀρχὰς εἶχεν ἡ πλάνη, καὶ ὅπως δευτέρας ἐπισπορᾶς αὐτὴ τῆς πικρίας ῥίζα βλαστοὺς ἀνέδωκε τῆς θεομαχίας, καὶ C ὡς καὶ μέχρι τρίτης προῆλθε προβολῆς ζιζανίων· τίνες δὲ τῆς ἀποστασίας αἱ καλούμεναι Ἐκκλησίαι καὶ πόσαι, καὶ τίνας ἔσχε διδασκάλους, ὅπως τε τὰς ἱερὰς κατακιβδηλεύσουσι φωνὰς, καὶ οἷς αὐτῶν τὸ δυσσεβές ἐπισκιάζουσι φρόνημα, καὶ ὅσα ἄλλα κατ' ἐπιδρομὴν ἡ ἱστορία διεπεράνατο, ταῦτα διελθὼν εἰς τὸν δεύτερον ἀνατίθεται λόγον τάς τε κατ' ἔπος (88) τῶν δυσσεβῶν δοξασμάτων ἀνασκευὰς, ὅσα μάλιστα μὴ μέχρι νῦν τὸν ἔλεγχον ὑπεσχε, καὶ, ει τι ἄλλο ῥηθῆναι δέον, παρῆκεν, ἂν ἄρα τὸν γράφοντα τῆς πολλῆς συνοχῆς ἀνοχὴν ἡ φιλάνθρωπος ἰδεῖν παρασκευάσει καὶ θεία εὐμένεια.

VARIÆ LECTIONES ET NOTÆ.

(83) Ἀνεπίληστον. Ita scripsi ex nostro pro ἀνεπίπληστον Coisliniani. Photius scilicet innuit, horum hominum fraudes tam longe lateque grassatas esse, ut eorum memoriam apud posteros nulla oblivio deletura sit ; nec verbis opus esse, sed rem ipsam, et, quæ hinc consecuta sint, mala inspici debere.

(84) Χρυσοχέρης. Noster Χρυσοχάρης, *Cedrenus* p. 470. χρυσόχειρ, Petrus Siculus denique χρυσοχέρις, quod idem est cum χρυσοχέρης, nec nisi pronuntiatione unius litteræ differt. De bello contra hunc gesto legatur Cedrenus ibidem.

(85) Τοῦ πρόσω. Noster τὸν πρόσω, mendose ; referendum enim est ad sequens ἀπέστη.

(86) Καὶ τῆς τοῦ γένους. Ita scripsi ex nostro, pro eo quod habet Coislinianus : Καὶ τῆς τοῦ γένους ἐρῶσι σωτηρίας μὴ σφαλερᾶς μηδὲ πλάνης εἶναι. Ibi voces σφαλερᾶς et πλάνης referri debent ad σωτηρίας, quod tamen fieri non potest, sine sensus præjudicio nec in versione Latina factum est. Itaque hanc puto esse mentem Photii ex nostra lectione, secundum quam σφαλερὰς et πλάνους ad vocem ἐλπίδες pertinet : *Spem, divina gratia innixam, non solere fallere aut in errorem seducere homines, de salute sua sincere sollicitos.* Sic omnia cohærent. Cæterum quod vox γένος simpliciter posita *genus humanum* denotet, tralatitium est, et vel Libanii exemplo tomo I Opp. p. 182, constat.

(87) Προαγορεύουσα. Ita malo cum nostro legere, quam cum Coisliniano προσαγορεύουσά. *Prædicere* enim hic Photius futura instituebat.

(88) Ἔπος. Ita recte, pro quo noster habet ἔτος ; id est, *annus* mendose, cum hic non de recensione sermo sit, Annalium more facta, sed de confutatione errorum scripto instituta. Cæterum Petrus Siculus *Historiam Manichæorum* æque ac noster ad Chrysocherin perduxit, et, quæ huc pertinent, a scipso, regiis auspiciis illuc misso, visa esse refert, ac cætera secuturis libris persecuturum se pollicetur.

Digitized by Google Распознавание текста ABK/FR

ΛΟΓΟΣ Β'.

Ἀπορίαι καὶ λύσεις τῶν Μανιχαίων.

Α'. Εἰ ὁ Ἀγαθὸς μὲν τὴν ψυχὴν δημιουργεῖ, ὁ δὲ πονηρὸς τὸ σῶμα, πῶς ἠνέσχετο ὁ Ἀγαθὸς ἑνωθῆναι τὸ πλάσμα αὐτοῦ τῷ πλάσματι (89) τοῦ Πονηροῦ; πῶς δὲ καὶ ὑπέμεινε τὴν ἕνωσιν ὁ Πονηρός; Ἡ γὰρ ἕνωσις ἢ ἀγαθοποιήσει τὸ σῶμα, ὅπερ οὐ χρὴ τὸν Ἀγαθὸν τοῦ Κακοῦ τὸ ἔργον ἀγαθοποιεῖν· ἢ κακοποιήσει τὴν ψυχήν, ὅπερ πολὺ ἀτοπώτερον, ἡττᾶσθαι τὸ δημιούργημα τοῦ Θεοῦ ὑπὸ τοῦ πλάσματος τοῦ Πονηροῦ. Διατί δὲ καὶ ἠνέσχετο ὁ ἀγαθὸς Θεὸς τὸ ἔργον αὐτοῦ ἑνωθῆναι τῷ ἔργῳ τοῦ Πονηροῦ, καὶ κακωθῆναι ὑπ' αὐτοῦ; ὁ Πονηρὸς δὲ πάλιν πῶς ὑπέστη ἀγαθύνεσθαι τὸ ἔργον αὐτοῦ (90); χωρὶς δὲ τῶν εἰρημένων τίς ἀπήρξατο τῆς ἑνώσεως; Εἰ μὲν γὰρ ὁ Ἀγαθὸς, πῶς οὐκ ἐκακώθη κατὰ τοῦτο τὸ πονηρὸν ἔργον προσλαβόμενος; εἰ δὲ ὁ Πονηρὸς, δῆλον ὡς καὶ αὐτὸς ἠγαθύνθη κατὰ τοῦτο, ἔρωτα λαβὼν Ἀγαθοῦ δημιουργήματος, τό τε Ἀγαθὸν γέγονεν ἅμα Πονηρόν τε καὶ Ἀγαθόν. Ἡ γὰρ ἕνωσις τὴν ἑκατέρου φύσιν τῇ κοινωνίᾳ συγχέουσα, τό τε οἰκεῖον ἐλωβήσατο καὶ τὸ ἀλλότριον ᾠκειώσατο· ὥστε καὶ ὁ ἀγαθὸς πονηρόν τε ἅμα καὶ ἀγαθὸν ἐποίει τὸ ἔργον αὐτοῦ, καὶ ὁ Πονηρὸς πονηρόν τε ἅμα καὶ ἀγαθόν. Οὔ τι ἂν εἴη ἀνοητότερον ἢ ἀτοπώτερον; Οὕτω μὲν οὖν, εἰ συμπροῆλθε τῇ τῶν ἔργων δημιουργίᾳ καὶ ἡ ἕνωσις· εἰ δ' ἦν ἀλλήλων ποτὲ κεχωρισμένα ταῦτα καὶ ὑφ' ἑκατέρου πλάστου προνοίας τε καὶ ἐπιμελείας τὸ οἰκεῖον πλάσμα ἠξιοῦτο, ἀμιγὲς συντηρούμενον τοῦ ἀντικειμένου, τίς ἦν αὐτὸς ὁ τότε τῆς διακρίσεως λογισμός; καὶ πόθεν ὕστερον εἰς τὴν τῆς ἑνώσεως ἠλλοιώθησαν; Ἦ γὰρ πρότερον πρὸς τὸ οἰκεῖον συμφέρον καὶ ἑαυτοῦ καὶ τοῦ πλάσματος συνετήρει ἑκάτερος ἀνεπίμικτον, ἢ ἀσύμφορον εὑρόντες, ἐκεῖθεν ἐσωφρονίσθησαν πρὸς τὴν ἕνωσιν. Καὶ πόσας ἄλλας δυσσεβείας τε καὶ ἀνοίας βρύει ἡ πρώτη τῆς πλάνης ὑπόθεσις οὕτω θεομάχον τε καὶ ἐμμανὲς καὶ ἀνόητον, τὸ ἄλλον μὲν τῆς ψυχῆς, ἕτερον δὲ τοῦ σώματος δημιουργὸν τερατεύεσθαι!

Β'. Τὸ δὲ φάσκειν τοὺς ἐν τῇ πλάνῃ κατεχομένους ὡς ἐνοχλεῖ ἡμᾶς πρὸς κακίαν ὁ Πονηρὸς, τῆς ἀληθείας ἐστὶν, ἀλλ' οὐ τῆς πλάνης ὁδός. Καὶ γὰρ καὶ αὐτὸ τοῦτο τὸ παρατραπῆναι μερίζειν ἡμᾶς τὸν ἄτμητον καὶ ἀδιαίρετον τοῦ Θεοῦ ἀρχὴν καὶ ἐξουσίαν εἰς δύο, τῆς πολυμηχάνου καὶ σφοδρᾶς ὀχλήσεώς ἐστι τοῦ Πονηροῦ. Πλὴν ἐκεῖνος μὲν δυνατός ἐστιν ὀχλεῖν, οὐδὲ ἡμεῖς δὲ ἀδυνατοῦμεν διακρούσασθαι τὴν ὄχλησιν αὐτοῦ. Διακρουόμεθα δὲ διά τε σώματος καὶ ψυχῆς. Ὥστε εἰ τὸ σῶμα ἡμῶν δύναται διακρούσασθαι τὴν ὄχλησιν τοῦ Πονηροῦ καὶ οὐ διακρούσασθαι μόνον, ἀλλὰ καὶ καταβαλεῖν αὐτοῦ πᾶσαν

SERMO II.

Dubia et solutiones Manichæorum.

I. Si Bonus (Deus) animam quidem format, Malus vero corpus, quomodo Bonus ille creaturam suam cum creatura Mali istius conjungi passus est? imo qui conjunctionem eamdem Malus admisit? aut enim compositio illa bonum efficiet corpus, quod certe non convenit, quia sic Bonum Mali operi prodesset: aut malam efficiet animam, id quod longe foret absurdius, quia hoc modo opificium Dei ab opere mali superaretur. Quæ vero causa fuit, cur Deus bonus opus suum jungi pateretur operi Mali, a quo malo inficeretur, et qui vicissim sustinuit Malus, ut opus suum redderetur bonum? Præterea vero quis unionis illius auctor est? Si Bonus, quomodo is non malus effectus est, malo scilicet opere recepto; sin Malus, manifestum est eum in tantum Bonum evasisse, cum amore in bonum opus ferretur, sicut vicissim Bonum simul et bonum et malum factum oportuit. Conjunctio enim illa utriusque naturam miscens et confundens id, quod altera habebat proprium, injuria affecit, alienum vero sibi vindicavit, adeo ut et Bonus opus suum eadem opera bonum ac malum, Malus vero malum et bonum efficeret, quo nihil potest esse vel absurdius vel insolentius. Atque ita res se omnino habuit, siquidem juxta cum formatione operum illorum et ipsa conjunctio locum habuit: quod si vero aliquando a se invicem sejuncta illa fuere, alterutrum alterius conditoris curam ac providentiam sibi propriam habuit, et ab oppositi labe immune permansit, quomodo in cogitationem discriminis venerunt, et quomodo postea aliam de conjunctione facienda susceperunt? Aut enim prius uterque seipsum et opus suum in proprium commodum intaminatum conservavit, aut, cum id sibi noxium esse intelligerent, facti prudentiores in conjunctionem consenserunt. Taceo impia et absurda alia, quibus primum erroris hujus fundamentum abundat. Adeo Deo oppositum furoreque ac insania plenum est, alium quidem animæ, alium vero corporis fingere conditorem.

II. Quod vero illi, qui ita errant, dicunt, malum nos ad militiam compellere, id omnino veritati, non autem errori patrocinatur. Quod enim incitamur, ut indivisibilem et inseparabilem Dei potestatem ac imperium in duo dividamus, id quidem a doloso et vehemente impulsu Mali proficiscitur. At ille quidem tentare nos et impetere potest, nobis vero irritamenta ejus propellere omnino licet. Propulsamus vero tum corpore, tum anima. Quod si vero corpus nostrum impulsus ejus propulsare valet, imo non propulsare solum, sed omnes quoque artes ejus frangere quomodo ejus conditor fuerit? Quod enim

VARIÆ LECTIONES ET NOTÆ.

(89) Πλάσμα. Cum hac voce frequenter utatur Noster, semel monuisse sufficerit, eam ipsi semper rei conditæ seu *creaturæ* notione usurpari. De aliis vocis significatibus lege Ezech. Spanhemium, ad Juliani Orationes, p. 18 et 19.

(90) Τὰ ἔργα αὐτοῦ. Similia his, et fortiora alia argumenta Manichæis opponit Titus Bostrensis, lib. I, apud Cl. Basnagium in *Lectionibus*, *Canisianis* p. 92 seq.

Digitized by Google Распознавание текста ABK/FR

creatura Dei præceptum Domini sui negligere, et ab inimico opposito decipi possit, id argumentum est arbitrii in utramque partem liberi, cujus nobis copia in creatione facta est. Anima enim libera est. *Et ecce proposui tibi ante oculos mortem et vitam* [8]. Jam vero quod totum, quantum est, malum est, quomodo repugnare principio suo potest? Quomodo enim, judicio destitutum, a malo descivit? vel quomodo in bonum deflexit, et pristinum imperium vicit? Itaque fieri non potest, ut ad duo opposita principia corporis et animæ creatio referatur.

III. Præterea vero, idque recte, monent; hostem in animam eorum, qui se sponte ipsi dederent, ita non esse dominatum, ut tenebris obducti nullum prorsus veritatis radium ullo modo admittere potuerint. Aiunt itaque Deum bonum fuisse ab æterno, et esse et fore, eumdemque nec videri nec comprehendi posse. Atque is quidem splendor est radii veritatis; tenebræ vero cum tempore magnas accessiones nactæ ipsorumque intellectui offusæ rationem ita obcæcant, ut insanientes dicant malum prodiisse ex tenebris et igne, id quod multo risu vel potius lacrymis non sistendis dignum est, et pro incredibili animæ monstro habendum. Si enim de tenebris et igne sensibili ipsis sermo est, et illud, quod inde natum est, pro sensibili habendum fuerit. Itaque Malum principium sensibile est. Quod si vero tenebræ illæ et ignis mente tantum percipi possunt, multo magis ejusmodi quid fuerit Malum, tanquam quod hinc profectum est. Itaque tenebræ illæ ac ignis aut æterna erant æque ac Deus, aut postea demum orta? Ubi vero erat tunc Malum, illis jam exsistentibus? Si vero postea demum prodierunt, quis illa in lucem produxit? Tenebræ enim, quæ ratione tantum intelliguntur, ab initio tales fuerunt, neque permittunt, ut illarum conditorem culpa vacare credamus. Similiter nec ignis, qui scilicet anime tantum cerni potest, auctor fuisse potuit principium mali. Et quomodo principium esse potest, quod aliis originem suam debet? Et quot alia afferre possit is, qui stultam hanc conjunctionem sub rationis examen vocare voluerit?

IV. Cur nempe tenebræ solæ suffecerunt illi producendo? cur nec ignis suffecit? quis utraque illa ad productionem principii mali conjunxit? quomodo non potius illa pro principio agnoscuntur? Quid vero de illis factum est? et quid nunc agunt, post-

A μηχανὴν, πῶς ἐστιν ἐκεῖνος πλάστης αὐτοῦ; Τὸ μὲν γὰρ ποίημα τοῦ Θεοῦ ἐντολῆς ὀλιγωρῆσαι Δεσποτικῆς, καὶ τῆς ἀπάτης γενέσθαι τοῦ ἐχθροῦ, γνώμης ἐστὶ τῆς ἐπ' ἄμφω ῥέπειν, ἐν τῇ πλάσει δεδομένης ἡμῖν· αὐτεξούσιον γὰρ ἡ ψυχή (91)· Καὶ ἰδοὺ τέθεικα πρὸ προσώπου σου τὸν θάνατον καὶ τὴν ζωήν· τὸ δὲ ἥδη τὴν ὁλοκληρίαν ἔχον τοῦ κακοῦ, πῶς οἷόν τέ ἐστιν καταστρατηγῆσαι τῆς ἀρχῆς; Πόθεν γὰρ κρίσιν οὐκ ἔχον ἐξέστη τοῦ χείρονος; πῶς δὲ πρὸς τὸ κρεῖττον ἔκλινε, καὶ τῆς προαγούσης ἰσχύος ἐκράτησεν; Ὥστε ἀδύνατον εἰς ἀντικειμένας ἀναφέρεσθαι ἀρχὰς τοῦ σώματος τὴν δημιουργίαν (92) καὶ τῆς ψυχῆς.

B Γ'. Ἀλλὰ γὰρ ἔτι φασὶ καλῶς γε φάσκοντες· οὐδὲ γὰρ, οὐδ' οὕτω κατεκράτησεν οὐδὲ τῶν ἐκόντων προδεδωκότων ἑαυτοὺς τῆς ψυχῆς ὁ ἐχθρὸς, ὡς μηδαμῇ πρὸς μηδεμίαν ὅλως τῆς ἀληθείας αἴγλην τοὺς ἐσκοτισμένους ἐπιστρέφεσθαι. Διό φασιν, ὅτι ὁ ἀγαθὸς Θεὸς ἦν ἀεὶ, καὶ ἔστι, καὶ ἔσται (93), καὶ ὅτι ἀόρατος καὶ ἀκατάληπτος. Ἀλλὰ τοῦτο μὲν δὴ τῆς ἀκτῖνός ἐστι τῆς ἀληθείας· τῷ χρόνῳ δὲ τὸ σκότος δύναμιν πολλὴν λαβὸν αὐτίκα καταχεόμενον αὐτῶν τῆς διανοίας, τυφλοῖ τοὺς λογισμοὺς καὶ παρανοεῖν καὶ λέγειν, ὡς ὁ Πονηρὸς γέγονεν ἐκ τοῦ σκότους τε καὶ τοῦ πυρὸς ὃ πολλοῦ γέλωτός ἐστιν ἄξιον, μᾶλλον δὲ δακρύων ἀεννάων (94) καὶ ἀδιανόητον γέννημα ψυχῆς. Τὸ γὰρ σκότος καὶ τὸ πῦρ εἴ μὲν αἰσθητόν λέγουσιν, πάντως καὶ τὸ ἐξ αὐτῶν προελθὸν αἰσθητόν· ὥστε ὁ πονηρὸς αἰσθητός ἐστιν. Εἰ δὲ νοητόν ἐστι τὸ σκότος καὶ τὸ πῦρ ἐκεῖνο, μᾶλλόν C ἐστιν ὁ Πονηρὸς καὶ τὸ ἐξ αὐτῶν προελθόν. Καὶ τοῦτο δὲ τὸ σκότος καὶ τὸ πῦρ ἄρα συναΐδιά ἐστι τῷ Θεῷ ἢ ὕστερον γέγονε; Καὶ ποῦ ἦν τότε ὁ Πονηρὸς ὅτε ταῦτα ἦν; εἰ δὲ ὕστερον γέγονε, τίς ὁ προαγαγὼν αὐτά; Τὸ γὰρ νοητὸν σκότος ἀπ' ἀρχῆς ὑπάρχὸν σκότος, οὐδὲ τὸν προαγαγόντα αὐτὸν ἀθῶον ἀφίησιν· ὁμοίως δὲ οὐδὲ τὸ πῦρ, εἴπερ νοητὸν ὂν τοῦ ἀρχηγοῦ τῆς κακίας γέγονε προβολεύς. Καὶ πῶς ἀρχηγὸς ὁ ἐξ ἑτέρων τὴν ὕπαρξιν λαβών; καὶ πόσα ἄν τις εἴποι τὴν ἄλογον ταύτην συζυγίαν λογοθετῶν;

Δ. Πῶς οὐκ ἤρκεσε τὸ σκότος μόνον προαγαγεῖν; πῶς οὐχὶ τὸ πῦρ; τίς ὁ συναγαγὼν ταῦτα μᾶλλον; D καὶ τί γέγονε; τί δὲ ποιεῖ, τοῦ ἐξ αὐτοῦ προελθόντος ἁρπάσαντος τὴν ἀρχήν; Ἄλλως τε δὲ, εἰ ἐγένετο ὁ Πονηρὸς ἐκ τοῦ σκότους καὶ τοῦ πυρὸς,

[8] Deut. xxx, 19.

VARIÆ LECTIONES ET NOTÆ.

(91) Αὐτεξούσιον. In *Lect. Canisian.* hanc arbitrii libertatem contra Manichæos diligenter astruit Titus Bostrensis, lib. II, fere toto, apud Cl. Basnag. p. 94 seqq. gentiles quoque eam agnovisse et in abusum ejus vitiorum causam retulisse luculentis eorum locis constat, quorum amplam habes segetem apud Thomam Gataberum, in Notis ad Antonini, lib. II, § 9; et Petr. Danielem Huetium in *Alnetanis Quæstionibus* lib. II, cap. 10, p. 166 seqq. Elegans mihi semper visum est Maximi Tyrii in hac causa judicium, quod legitur in Dissertationibus ejus dissert. 25: Θεὸς ἐπέθηκε τὴν ψυχὴν γηΐνῳ σώματι, ὡς ἠνίοχον ἅρματι, καὶ παραδοὺς τὰς ἡνίας τῷ ἡνιόχῳ ἀφῆκε θεῖν, ἔχουσαν μὲν παρ' αὐτοῦ ῥώμην τέχνης, ἔχουσαν δὲ καὶ ἀτεχνίας ἐξουσίαν.

(92) Τὴν δημιουργίαν. Disputat hanc in rem fusius Titus lib. II, p. 76.

(93) Καὶ ἔσται. Tres illas temporis differentias ad describendum Deum gentiles quoque adhibuerunt. Lege Julii Cæs. Bulengeri *Eclogas Arnobianas*, p. 28, et Theod. Janssonii Almelovenii *Opuscula*, p. 107 seq. Confer Philologos ad Apocalyps. I, 4.

(94) Ἀεννάων. Ita lego, pro eo quod in ms. est ἀνεννάων.

Digitized by Google Распознавание текста ABK/FR

πῶς πάλιν τοῦ σκότους καὶ τοῦ πυρὸς ποιητὴν λέγουσιν τὸν Πονηρόν; Εἰ δὲ οὐκ ἔστι τοῦ πυρὸς ὁ Πονηρὸς ποιητής, ἔστι δὲ τὸ πῦρ αἰσθητὸν, πῶς λέγουσιν, ὅτι ὁ ἀγαθὸς Θεὸς οὐδὲν ἐποίησεν αἰσθητόν; Εἰ γὰρ αἰσχυνθείη τὸ ἀναίσχυντον αὐτῶν τῆς πλάνης, δοῦναι τῷ Πονηρῷ τὴν γένεσιν τοῦ πυρὸς, ἵνα μὲν νῦν μὲν πλάστην, νῦν δὲ πλάσμα τὸ αὐτὸ διελέγχοιτο ληροῦσα, εἰς οὐδὲν ἐλάττονα γινωσκέτω καταστρέφουσα αἰσχύνην· ὁμολογήσει γὰρ καὶ ἄκουσα καὶ σιγῶσα τοῦ ἀγαθοῦ εἶναι Θεοῦ δημιούργημα, ὅπερ αὐτοῦ πάσῃ σπουδῇ καὶ μηχαναῖς ἁφῃρεῖτο πάσαις. Πάντως γὰρ τὸ αἰσθητὸν πῦρ, ὅσον ἂν ἐσκοτίσθησαν, οὔτε ἄναρχον, οὔτε ἀΐδιον ἐροῦσιν.

A quam illud quod progenuerunt, principatum sibi vindicavit? Præterea, si Malum ex tenebris et igne prodiit, quomodo vicissim Malum tenebrarum et ignis tradunt auctorem? Si vero Malum non est principium ignis, ignis vero sensibus subjectus est, quomodo dicunt, deum bonum nihil, quod ad sensus pertinet, condidisse? Si enim impudentissimos homines pudere posset hujus erroris, quo ignis originem in Malum referunt, caverentque adeo sibi, ne nunc quidem conditorem, nunc vero opus ipsum iisdem criminationibus impeterent; vel sic tamen rem non minus pudendam admissuros se esse sciant. Profitebitur enim factio hæc etiam invita et tacita, boni dei esse opus, quod antea omni studio et opere omni ipsi surripiebat. Omnino enim ignem sensibus perceptibilem, quantumcunque etiam obtenebrati sint, nec initio carere, nec æternum esse dicent.

Ε'. Εἶτα τοῦ σκότους πάλιν, εἰ καὶ μὴ πάντες αὐτῶν, ἔνιοι δὲ ὅμως ἀναδύντες λέγουσι, τὸν ἀγαθὸν Θεὸν ἔχειν μὲν τὰ ἐπουράνια, καὶ δημιουργὸν εἶναι τοῦ οὐρανοῦ καὶ χορηγὸν εἶναι τοῖς ἀνθρώποις πράξεων, οὐ μέχρι πολλοῦ δὲ τὴν ἀχλὺν ἀποσκευασάμενοι πάλιν δυσφημοῦσιν, οὔτε τῆς γῆς δημιουργίαν, οὔτε τῶν ἐν μέσῳ αὐτῷ συναρμόττοντες, ἕτερον δὲ δημιουργὸν ἐπεισάγοντες· τινὲς δὲ αὐτῶν (πολυσχιδὴς γὰρ ἡ πλάνη) καὶ τὸν οὐρανὸν αὐτὸν καὶ τὰ ἐν μέσῳ πάντα τετολμήκασι λέγειν ποιήματα τοῦ Ἐχθροῦ. Ἀλλ' εἴπερ ἐστὶν ὁ οὐρανὸς κατὰ τὴν ἐκείνων ἐμβροντησίαν ἔργον τοῦ Πονηροῦ, πῶς ὁ ἀγαθὸς Θεὸς ἐν τοῖς ἐπουρανίοις ἀναπαύεται; καὶ εἰ ὁ οὐρανὸς περιέχει τὸν ἀέρα καὶ τὴν γῆν καὶ τὸ ὕδωρ (καὶ γὰρ καὶ τὰ καταχθόνια περιέχεται ἐν αὐτῷ), πῶς ὁ οὐρανὸς τοῦ ἐπουρανίου Θεοῦ οἶκος ὢν τὰ τοῦ Πονηροῦ ἔργα, τουτέστι γῆν καὶ πῦρ καὶ ἀέρα περιέχει, καὶ οὐ περιέχει μόνον, ἀλλὰ καὶ διακυβερνᾷ; Ἐκ γὰρ τῆς ἀνατολῆς τοῦ ἡλίου καὶ τῆς δύσεως, καὶ τῶν ἄστρων, ἃ εἰσι τοῦ οὐρανοῦ, καὶ γῆ καὶ ὕδωρ, καὶ ἀὴρ, καὶ πῦρ, τῇ τοῦ Θεοῦ προνοίᾳ, καὶ τῆς εὐκρασίας ἀπολαύουσι, καὶ τὴν εἰς ἄλληλα μεταβολὴν ἐπὶ κοινῷ καρποῦνται συμφέροντι καὶ τῷ ἀνθρωπίνῳ γένει, καὶ τοῖς ἄλλοις ζώοις πρὸς τὴν παροῦσαν χρείαν ἁρμόζονται. Ἀλλ' εἰ τῆς πονηρᾶς ἀρχῆς ὁ οὐρανὸς, πῶς ὁ Σωτὴρ ἡμῶν εὔχεσθαι τὴν θαυμασίαν ἐκείνην καὶ φρικτὴν ἐκδιδάσκων καὶ παραδιδούς. Πάτερ ἡμῶν, φησὶν, ὁ ἐν τοῖς οὐρανοῖς; καί· Ἁγιασθήτω τὸ ὄνομά σου, ὡς ἐν οὐρανῷ καὶ ἐπὶ τῆς γῆς; Πῶς οὖν ἐν ἀλλοτρίῳ κτίσματι ὁ πάσης δημιουργὸς κτίσεως ἐνοικεῖ, καὶ τῷ τε Πονηρῷ (95) καὶ ἔργον ὑπάρχοντι Πονηροῦ. Ἀλλαχοῦ δὲ συμπαθεῖς εἶναι πρὸς ἀλλήλους νομοθετῶν ὁ Σωτὴρ, Ἐὰν ἀφῆτε, φησὶ, τοῖς ἀνθρώποις τὰ παραπτώματα αὐτῶν, ἀφήσει καὶ ὑμῖν ὁ Πατὴρ ὑμῶν ὁ οὐράνιος. Καὶ πάλιν τῷ θελήματι τοῦ Θεοῦ κατακολουθεῖν παραινῶν, ἐπεὶ αὐτὸς πρῶτον ὑπερφυῶς ἐτελείωσε τὸ θέλημα αὐτοῦ, Ὅστις ἂν, φησὶ, ποιήσῃ τὸ θέλημα τοῦ Πατρός μου τοῦ ἐν οὐρανοῖς,

V. Tum vero, si non omnes, aliqui certe eorum, ex tenebris emersi dicunt, bonum quidem deum cœlestia tenere, et opificem esse cœli, ac hominibus bonarum actionum auctorem exsistere; at iidem caliginem suam non magna ex parte amoliti iterum nugantur, quando nec terræ, nec eorum quæ in ipsa sunt, creationem ascribunt, sed alium potius conditorem introducunt. Quidam vero eorum (in multas enim partes error abit), et cœlum ipsum, et quæ in eo sunt omnia, hostis audent fetus pronuntiare. Enimvero si pro stupore eorum, cœlum Mali opus est, quomodo bonus deus in cœlestibus habitat, et si cœlum comprehendit aera et terram, et aquam (nam et subterranea eo continentur), quomodo cœlum, Dei cœlestis habitaculum exsistens, Mali opera, hoc est, terram, ignem et aerem continet, nec continet solum, sed et gubernat? Ex ortu enim et occasu solis, astrorumque, quæ cœli sunt, et terra, et aqua, et aer, et ignis, divinis auspiciis, tum bona sua temperatura gaudent, tum mutua inter se permutatione in commune bonum perfruuntur, humanoque generi aliisque animantibus ad præsentes necessitates opitulantur. Quod si vero principii mali opus cœlum est, quomodo Servator noster venerandam illam et mirandam precandi formulam docens et præscribens *Pater noster*, inquit, *qui in cœlis es* [9]. Iterumque: *sanctificetur nomen tuum, sicut in cœlo et in terra* [10]. Quomodo itaque in aliena creatura omnis creaturæ opifex habitat, quæque et mala sit et mali principii opus. Alibi quoque Servator homines in se invicem indulgentes esse cupiens: *Si remiseritis*, inquit, *hominibus lapsus eorum et vobis Pater vester cœlestis vestros remittet* [11]. Alibi idem voluntati Dei obsecundandum præcipiens, sicut et ipse primum voluntatem ejus eminenter implevit: *Quicunque*, inquit, *voluntatem Patris mei, qui in cœlis est, perfecerit, is et frater meus, et soror et mater exsistit* [12]. Ex misericordia scilicet hominum amantissima id donans aliis, quod

[9] Matth. VI, 9. [10] ibid. V, 9, 10. [11] ibid. 14. [12] Matth. XII, 50.

VARIÆ LECTIONES ET NOTÆ.

(95) Τῷ τε. Ita scripsi pro τότε, quod in ms. exstat.

Digitized by Google Распознавание текста ABK/FR

ipse natura possidebat: ipse enim Filius Patris non secundum gratiam, sed secundum naturam est. Cum vero ut homo voluntatem ejus perfecisset, eos, qui imitatione idem exprimunt, in filios recipit, fratrumque nomine cohonestat. Et quid, quæso, quisquam obverterit eis, per quæ Servator Patrem suum cœlestem et in cœlis exsistentem prædicat? Et quid cætera commemorem? quomodo sacerrimorum hominum impudentia non frangitur, audita Domini voce: *Confiteor tibi, Pater, Domine cœli et terræ* [13]. Ubi eum non solum cœli, sed et terræ Dominum aperte pronuntiat? et quid hoc testimonio clarius est, quidque magis valere potest ad efficiendum, ut Patrem Domini nostri Jesu Christi opificem et Dominum totius universi constituamus, et de defectionis ejus impietate triumphemus?

VI. Cumque alibi Petrus, apostolorum coryphæus, communem nostrum Magistrum et Deum professus esset, is hujus professionis præmium ipsi quasi relaturus beatum quidem eum prædicat, revelationem vero hanc Patrem in cœlis ipsi exhibuisse docens: *Beatus es*, inquit, *fili Jonæ, quia caro et sanguis non revelavit tibi, sed Pater meus in cœlis. Ego vero dico tibi: Tu es Petrus, et in hac petra ædificabo Ecclesiam meam, et portæ inferorum ei non prævalebunt. Et dabo Tibi claves regni cœlorum; et quidquid ligaveris in terra, ligatum erit in cœlis, et quidquid solveris in terra, solutum erit in cœlis* [14]. Millia ejusmodi in confutationem impiæ hujus sententiæ ex sacris Libris afferre liceret. Perpende vero et hoc: *Jesus baptizatus confestim ex aqua ascendit* [15]. En linguam impia declamantem! Boni Patris Filius optimus in creatura Dei baptizatus exscendit; et: *Ecce cœli super ipsum aperiuntur* [16]! En tibi aliam malæ manus creaturam! cur vero aperti sunt, et cujus causa? *Vidit*, inquit, *Spiritum Dei descendentem instar columbæ* [17]. Tertium hæc pauca verba de impietate triumphandi argumentum suppeditant. Quomodo enim per rem, a malo profectam principio, Spiritus Dei adumbratur? Prodit illa ex operibus hostis atque inde progressa descendit in Christum. Accedit quartum impietatis argumentum. Vox enim e cœlo sonat: *Hic est Filius meus dilectus, in quo delectatus sum* [18]. Considera, quæso, singulas voces, ut cum eis invicta impietatis confutatio

A αὐτός μου ἀδελφὸς καὶ ἀδελφὴ καὶ μήτηρ ἐστί. φιλανθρώποις δωρούμενος σπλάγχνοις, ὅπερ αὐτὸς εἶχε κατὰ φύσιν. Αὐτὸς μὲν γὰρ Υἱὸς τοῦ Πατρος οὐ κατὰ χάριν, ἀλλὰ κατὰ φύσιν· πληρῶν δὲ κατὰ τὸ ἀνθρώπινον τὸ θέλημα αὐτῶν τοὺς κατὰ μίμησιν πληρωτὰς εἰς υἱοθεσίαν ἄγει, καὶ τὸ τῶν ἀδελφῶν χαρίζεται ὄνομα. Καὶ τί ἄν τις ἀναλέγοι, δι' ὧν οὐράνιον καὶ ἐν οὐρανοῖς ὁ Σωτὴρ τὸν Πατέρα ἀνυμνεῖ; Τί δὲ τἄλλα λέγω; πῶς τῶν παλαμναίων οὐ καταδύεται τὸ ἀναίσχυντον τῆς Δεσποτικῆς ἐχούσης (96) φωνῆς· « Ἐξομολογοῦμαί σε, Πάτερ, Κύριε τοῦ οὐρανοῦ καὶ τῆς γῆς; » οὐ γὰρ μόνον ἐνταῦθα τοῦ οὐρανοῦ Κύριον, ἀλλὰ καὶ τῆς γῆς τρανολογεῖ· καὶ τί ταύτης τῆς μαρτυρίας σαφέστερον; τί δὲ δυνατώτερον καὶ τὸν Πατέρα τοῦ Κυρίου ἡμῶν Ἰησοῦ Χριστοῦ, δη- B μιουργὸν καὶ Κύριον παραστῆσαι τοῦ παντὸς, καὶ τὸ θεομάχον τῆς ἀποστασίας θριαμβεῦσαι;

Ϛ'. Θεολογήσαντι (97) δὲ πάλιν τῷ κορυφαίῳ τῶν ἀποστόλων Πέτρῳ τὸν κοινὸν ἡμῶν Διδάσκαλον καὶ Θεὸν, ὥσπερ τῆς θεολογίας αὐτὸς ἀνταποδιδοὺς μισθὸν, μακαρίζει μὲν τὸν θεολόγον θεοπρεπῶς· τὴν ἀποκάλυψιν δὲ ταύτην τὸν ἐν οὐρανοῖς Πατέρα ἐκδιδάσκει παρασχεῖν αὐτῷ· Μακάριος εἶ, φησὶ, βὰρ Ἰωνᾶ, ὅτι σὰρξ καὶ αἷμα οὐκ ἀπεκάλυψέ σοι, ἀλλ' ὁ Πατήρ μου ὁ ἐν τοῖς οὐρανοῖς. Κἀγὼ δέ σοι λέγω· Σὺ εἶ Πέτρος, καὶ ἐπὶ ταύτῃ τῇ πέτρᾳ οἰκοδομήσω μου τὴν Ἐκκλησίαν, καὶ πύλαι ἅδου οὐ κατισχύσουσιν αὐτῆς· καὶ δώσω σοι τὰς κλεῖς τῆς βασιλείας τῶν οὐρανῶν· καὶ ὃ ἐὰν δήσῃς ἐπὶ τῆς γῆς, ἔσται δεδεμένον ἐν τοῖς οὐρα- C νοῖς· καὶ ὃ ἐὰν λύσῃς ἐπὶ τῆς γῆς, ἔσται λελυμένον ἐν τοῖς οὐρανοῖς· καὶ μυρία ἄν τις εἰς ἔλεγχον τῆς ἀσεβοῦς διανοίας ἐκ τῶν ἱερῶν συναγάγοι Λογίων. Ὅρα δὲ καὶ τοῦτο· Βαπτισθεὶς ὁ Ἰησοῦς ἄνεισιν εὐθὺς ἀπὸ τοῦ ὕδατος. Ὦ γλώσσης μελετώσης δυσσέβειαν! Ἐν τῷ πλάσματι τοῦ Πονηροῦ ὁ τοῦ ἀγαθοῦ Πατρὸς ἀγαθὸς Υἱὸς βαπτισθεὶς ἐκεῖθεν ἄνεισι, καὶ Ἰδοὺ ἀνεῴχθησαν αὐτῷ οἱ οὐρανοί! Ἄλλο πλάσμα πάλιν πονηρᾶς χειρός· διατί δὲ ὠτεῴχθησαν, καὶ τίνος χάριν; Εἶδε τὸ Πνεῦμα τοῦ Θεοῦ, φησὶ, καταβαῖνον ὡσεὶ περιστεράν. Τρίτος οὗτος τῆς ἀσεβείας ἐν ὀλίγοις ῥήμασιν θρίαμβος. Πῶς γὰρ ἐν τῷ σχήματι τοῦ πλάσματος τοῦ Πονηροῦ τὸ τοῦ Θεοῦ Πνεῦμα τυποῦται, καὶ D κάτεισιν ἐκ τῶν ἔργων τοῦ Ἐχθροῦ, κἀκεῖθεν κατιὼν ἔρχεται ἐπὶ τὸν Ἰησοῦν; Καὶ τετάρτη στήλη (98) τῆς

[13] Matth. xi, 25. [14] ibid. [15] Matth. iii, 16. [16] ibid. 16. [17] ibid. [18] ibid. 17.

VARLÆ LECTIONES ET NOTÆ.

(96) Ἐχούσης. Legerem libenter ἠχούσης, ex ἠχεῖν.

(97) Θεολογήσαντι. Θεολογεῖν idem hic esse, quod *Deum aliquem profiteri*, pro *Deo habere*, ex Matthæi loco allegato, et Petrina confessione ibi memorata, per se patet. Atque ista vocis notio antiqua admodum et Doctoribus Christianis perfamiliaris est. Vide Jo. Gaspar. Sviceri *Thesaurum ecclesiast.*, p. 1355; Dionysium Petavium, in præfat. ad tomum I *Dogmatum theologic.*, et eos, qui ad cognomen Joannis evangelistæ, qui *Theologus* vocatur, commentati sunt. Similem significatum vocis θεολογία, qui et hic paulo post occurrit, respectu *Christi* in primis vindicavit luculentis veterum locis Jo. Pearson in Notis ad Ignatii *Epistolas*, p. 7, Alias θεολογεῖν et θεολογία de laudatione et celebratione Dei adhiberi ostendit Henr. Valesius ad Eusebii *Histor. eccles.* x, 3, pag. 190.

(98) Στήλη. Proprie columnam, tum vero titulum ac inscriptionem, columnis inscribi solitam, et aliam quamcunque, ac hinc notam cum dedecore conjunctam denotare solet, qui postremus significatus hic quoque locum obtinere videtur, quem alias in vocibus hinc derivatis στηλιτεύω et στηλιτευ-

Digitized by Google Распознавание текста ABK/FR

ἀσεβείας· φωνὴ δίδοται ἐκ τῶν οὐρανῶν· Οὗτός ἐστιν ὁ Υἱός μου ὁ ἀγαπητός, ἐν ᾧ εὐδόκησα. Ἐπισκόπει μοι, ἀγαπητέ, καθεκάστην λέξιν, ὅπως αὐταῖς συμπρόεισιν ὁ κατὰ τῆς ἀσεβείας ἄφυκτος ἔλεγχος· Οὗτός ἐστι, φησίν, ὁ Υἱός μου ὁ ἀγαπητὸς ἐν ᾧ εὐδόκησα. Τίς οὗτος ὁ ἐν ὕδατι βαπτιζόμενος, ᾧ ἀνεῳχθησαν οἱ οὐρανοί, ἐφ' ὃν τὸ Πνεῦμα τὸ ἐμὸν ἐν μορφῇ περιστερᾶς καταβαῖνον ἐκ τῶν οὐρανῶν συνεπιμαρτύρεται τοῦ βαπτιζομένου τὴν υἱότητα; Πάντα ἐμὰ διὰ τῶν ἐμῶν κτισμάτων, ὁ ἐμὸς Υἱός, τὸ θέλημα πληρῶν τὸ ἐμόν, τὴν σωτηρίαν καταπράττει τοῦ κόσμου· μόνης δὲ τοῦ Πνεύματος ἐξουσίας, τῷ ὁμοφυεῖ συμπαρούσης καὶ ἀνακηρυττούσης τῷ πράγματι τὸ γνήσιον τῆς υἱότητος. Ἑτέρωθεν δὲ πάλιν τοῖς πάντα πράττουσι, πρὸς τὸ ἀρέσκειν ἀνθρώποις, ἐπιτιμῶν. Μισθὸν, φησίν, οὐκ ἔχετε παρὰ τῷ Πατρὶ ὑμῶν τῷ ἐν τοῖς οὐρανοῖς· Καὶ πόσῳ μᾶλλον ὁ Πατὴρ ὑμῶν ὁ ἐν τοῖς οὐρανοῖς δώσει ἀγαθὰ τοῖς αἰτοῦσιν αὐτόν; Καί· Εἷς ἐστιν ὁ Πατὴρ ὑμων ὁ ἐν τοῖς οὐρανοῖς. Τί δὲ καὶ ἀνέβλεπεν ὁ ἀγαθὸς Υἱὸς τοῦ ἀγαθοῦ Πατρὸς ἀλλότριον ποίημα τὸν οὐρανὸν, καὶ τοὺς δακτύλους εἰς τὰ ὦτα ἐμβαλὼν τοῦ κωφοῦ ἥπτετο τῆς γλώσσης, πτύσας καὶ τῆς κωφώσεως ἀπέλυε τὸν κωφόν; Ἄλλο πάλιν πλάσμα πονηρὸν, ὡς οἱ θεομαχοῦντές φασιν. Τί δὲ, λέγοντος αὐτοῦ· Πάτερ, δόξασόν σου τὸν Υἱὸν, ἐκ τοῦ οὐρανοῦ ἦκεν ἡ φωνὴ λέγουσα, Καὶ ἐδόξασα, καὶ πάλιν δοξάσω; Ἤδει μὲν γὰρ αὐτὸς ὅτι καὶ ἐδόξασε καὶ δοξάσει. Καὶ οὐ διὰ τοῦτο ᾔτει τὸν Πατέρα· αὐτὸς γὰρ ἔχων πάντα τοῦ Πατρὸς, καὶ μόνος εἰδὼς τὸν Πατέρα, οὐδὲ τοῦτο ἠγνόει· ἀλλ' ἵνα καὶ τὸ παρὸν τῶν ἀκροωμένων πλῆθος σαφῶς ἐπιγνῷ, καὶ μάθῃ, ὅτι καὶ παραιτεῖται τὸ πάθος ὡς ἄνθρωπος, καὶ ἐπιζητεῖ τοῦτο, πάντας διδάσκων ὡς ἐκὼν αὐτὸ ὑπέρχεται. Διὸ καὶ ἔλεγεν. Οὐ δι' ἐμὲ γεγονεν ἡ φωνὴ, ἀλλὰ δι' ὑμᾶς. Ἐγὼ μὲν γὰρ ᾔδειν τὰ τοῦ Πατρὸς πάντα, καὶ οὐδὲν ἠγνόουν· οὐδὲ δι' ἐμὲ τὴν φωνὴν πρὸς αὐτὸν ἀφῆκα, οὐδὲ δι' ἐμὲ ταύτην αὐτὸς ἐβεβαίωσεν, ἀλλὰ δι' ὑμᾶς· ἵνα γνῶτε ὅτι συντρέχει τὸ θέλημα τὸ ἐμὸν τῷ θελήματι τοῦ Πατρὸς, καὶ τὸ πάθος δόξαν ὀνομάζω. Ὑπὲρ γὰρ ὑμῶν ἁπάντων προσήχθη, καὶ ἡ ἐξ οὐρανῶν πατρικὴ φωνὴ ἐβεβαίωσε τὰ αἰτηθέντα. Ἀλλὰ τέως μὲν τοσαῦτα περὶ τούτων.

Ζ'. Εἰ δέ γε τὸ πῦρ ποίημα τοῦ Πονηροῦ, πῶς ὁ ἀγαθὸς Θεὸς, ὁ τοῦ ἀγαθοῦ Υἱὸς, τοὺς μυσταγωγουμένους αὐτῷ ἐν Πνεύματι ἁγίῳ βαπτίζει καὶ πυρὶ, νὸ πλάσμα συνάπτων τοῦ Ἐχθροῦ τῷ ἁγίῳ Πνεύματι καὶ δι' ἀντικειμένων ἁγιάζων τὸν βαπτιζόμενον; Ποῖος γὰρ ἄν τις τοῦτο παραδέξηται νοῦς; ποῖος οἴσει τὸ δύσφημον λογισμός; τίς δὲ οὐ καταγνοίη τῆς δυσσεβείας τὸ μέγεθος; Πῶς δὲ πάλιν ὁ ἀγαθὸς Θεὸς ποιεῖ τοὺς ἀγγέλους αὐτοῦ πνεύματα καὶ τοὺς λειτουργοὺς αὐτοῦ πυρὸς φλόγα, τοῖς ἀλλοτρίοις ἔργοις ποιητὴν ἐπιγράφων ἑαυτόν. Τὴν γὰρ προ-

A offeratur : *Hic est*, inquit, *Filius meus dilectus, in quo delectatus sum.* Quis est, qui in aqua baptizatur, super quo aperti sunt cœli, in quem Spiritus meus, habitu columbæ descendens ex cœlis, testatur baptizatum hunc esse Filium? Omnia mea sunt, quia omnia condidi : Filius quoque meus est, qui, voluntatem meam perficiens, mundo salutem conciliat, dum interim virtus Spiritus mei, quæ ipsi, unius et ejusdem naturæ mecum participi, præsens est, opere ipso palam facit, cum verum esse Filium. Alibi iterum eos, qui omnia ideo faciebant ut placerent hominibus, *Mercedem*, inquit, *non habetis apud Patrem vestrum in cœlis* [19]. Item : *Quanto magis Pater vester in cœlis dabit bonum petentibus ab ipso* [20]. Item : *Unus est Pater vester in cœlis* [21]. B Et quid optimi Patris optimus Filius cœlum, alienam creaturam, respexit, digitisque in aures immissis, muti tetigit linguam, sputoque emisso mutum malo suo liberavit? Nova hic est creatura mala, ut Deo adversantes loquuntur. Qui vero ipso dicenti : *Pater, glorifica Filium tuum*, ex cœlo venit vox dicens : Et *glorificavi, et iterum glorificabo* [22]. Noverat enim et ipse, quod et glorificaverit, et glorificaturus sit. Neque propterea exorabat Patrem. Ipse enim omnia, quæ Patris sunt, habens, et solus sciens Patrem, neque hoc ignorabat. Ut vero præsens audientium turba perspectum haberet, discerelque se et passionem instar hominis declinare; et tamen expetere, omnes docet se sponte sua C illam subire. Hinc et ait : *Non propter me, sed propter vos vox ista facta est* [23]. Ego enim Patris consilia omnia noveram, neque quidquam eorum ignorabam. Neque propter me vocem ad ipsum emisi, neque propter me ille eam obsignavit, sed propter vos, ut sciatis voluntatem meam cum voluntate Patris conspirare, meque perpessionem gloriam appellare. Pro vobis enim omnibus hoc in me recipio. Hoc fine et precatio hæc, et Patris ex cœlo vox petita confirmavit. Atque hæc quidem de his sufficiant.

VII. Quod si vero ignis Mali opus est, quomodo bonus Deus, boni Filius, eos, qui ad ipsum adducuntur baptizat in Spiritu sancto et igne [24], creaturam Mali Spiritui sancto jungens, atque adeo per D contraria baptizatum sanctificans? Quæ enim mens hæc capiat? quæ ratio inepta hæc ferat? quis vero impietatis magnitudinem non abominetur? quomodo itaque Deus bonus Angelos suos facit spiritus, ministros suos ignis flammam [25], alienorum operum se ipsum venditans conditorem. Propheticam enim illam vocem tanquam divinam et veritatis præco-

[19] Matth. VI, 19. [20] Matth. VII, 11. [21] Matth. XXIII, 9. [22] Joan. XII, 28. [23] ibid. 30. [24] Luc. III, 16. [25] Hebr. I, 7.

VARIÆ LECTIONES ET NOTÆ.

τικὸς frequenter observes. Compara Claudium Salmasium, *De cruce*, p. 268. Henric. Valesium, ad Eusebium, p. 32; et Anton. Muratorium, ad *Anecdota Græca*, p. 14 et 15.

Digitized by Google Распознавание текста ABK/FR

A επιμαρτύρεται καὶ ὁ εὐαγγελιστής· Οὗ τὸ εἰσερχόμενον, φησὶν, εἰς τὸ στόμα κοινοῖ τὸν ἄνθρωπον, ἀλλὰ τὸ ἐκπορευόμενον ἐκ τοῦ στόματος, ἐκεῖνο κοινοῖ τὸν ἄνθρωπον. Ἐν ἄλλοις δὲ πάλιν βραχέσι ῥήμασι τὴν ἐν ἀνθρώποις εἰρήνην καὶ δικαιοσύνην κρατύνων καὶ νομοθετῶν δι' ὧν ἔλεγε· Πάντα ὅσα ἂν θέλητε ἵνα ποιῶσιν ὑμῖν οἱ ἄνθρωποι, καὶ ὑμεῖς ποιεῖτε αὐτοῖς. Ταύτης αὐτοῦ τῆς παραινέσεως καὶ νομοθεσίας τὸ ἀνεπίληπτον καὶ λυσιτελοῦν παριστῶν, τῷ ἀξιώματι τοῦ νόμου καὶ τῶν προφητῶν ἐπισφραγίζει· Οὕτω γὰρ ἐστι, φησὶν, ὁ νόμος καὶ οἱ προφῆται. Ναὶ δὴ καὶ ἡ παραβολὴ, καθ' ἣν τὴν τῶν οὐρανῶν βασιλείαν ἀπεικάζει ὁ Σωτὴρ ἀνθρώπῳ σπείροντι καλὸν σπέρμα ἐν τῷ ἀγρῷ αὐτοῦ, οὐκ ἔλαττον καταισχύνει τὴν ἀσέβειαν. Πῶς γὰρ οὐκ ἔστιν B ὁ παρὼν κόσμος τῆς βασιλείας τοῦ Θεοῦ, καὶ οἱ ἐν αὐτῷ, ὁπότε αὐτοῦ μὲν τὸν ἀγρὸν αὐταῖς λέγει φωναῖς, οὐχ ἅπαξ, ἀλλὰ καὶ δὶς, εἶναι δὲ τὸν ἀγρὸν τὸν κόσμον, τὸν δὲ κόσμον ὥσπερ ἀγρὸν αὐτοῦ, οὕτω καὶ βασιλείαν αὐτοῦ; Ἀναπτύσσων γὰρ τὴν παραβολὴν, Ὁ σπείρων τὸ καλὸν σπέρμα, φησὶν, ἐστὶν ὁ Υἱὸς τοῦ ἀνθρώπου, ὁ δὲ ἀγρός ἐστιν ὁ κόσμος. Τὸ δὲ καλὸν σπέρμα, οὗτοί εἰσιν οἱ υἱοὶ τῆς βασιλείας· τὰ δὲ ζιζάνιά εἰσιν οἱ υἱοὶ τοῦ Πονηροῦ· ὁ δὲ ἐχθρὸς ὁ σπείρων αὐτὰ, ἐστὶν ὁ διάβολος. Ἀκούεις πῶς τὸν κόσμον μὲν αὐτοῦ λέγει, καὶ τὸ σπέρμα αὐτοῦ τοὺς ἐν αὐτῷ, οὓς καὶ υἱοὺς τῆς βασιλείας λέγει, μόνην δὲ τὴν τῶν ζιζανίων ἐπισπορὰν εἰς τὸν Ἐχθρὸν ἀποπέμπεις: Ἀλλ' ἐπίστησον τοῖς λογισμοῖς εἴ τι λείψανον τῆς τοῦ Πλάστου χειρὸς ἐν C ἑαυτῷ περιφέρεις. Ἐν γὰρ τοῖς ἑπομένοις περιφανῶς αὐτοῦ βασιλείαν ἀνακηρύττει τὸν κόσμον. Πῶς; Ἐν τῇ συντελείᾳ, φησὶ, τοῦ αἰῶνος τούτου, ἀλλ' οὐχὶ νοῦ μέλλοντος, ἀποστελεῖ ὁ Υἱὸς τοῦ ἀνθρώπου τοὺς ἀγγέλους αὐτοῦ, καὶ συλλέξουσιν ἐκ τῆς βασιλείας αὐτοῦ, δηλονότι τοῦ παρόντος κόσμου τὰ σκάνδαλα. Οὐ γὰρ ἐν τῇ μελλούσῃ καὶ ἀτελευτήτῳ, οὐμενοῦν οὔτε ζιζάνια φύεται, οὔτε ταῦτα σπείρει ὁ Πονηρὸς, οὔτε συνίσταται σκάνδαλα, ἵνα ἐκ ταύτης οἱ ἄγγελοι τοῦ Υἱοῦ τοῦ ἀνθρώπου συλλέξωσιν αὐτά· ἐπεὶ καὶ μετὰ τὴν ἐκ τῶν ἐνταῦθα συλλογὴν ταῦτα μὲν εἰς τὴν κάμινον τοῦ πυρὸς βάλλονται. Τότε δὲ καὶ οἱ δίκαιοι ἐν τῇ βασιλείᾳ τοῦ Πατρὸς αὐτῶν ἐκλάμπουσιν ὡς ὁ ἥλιος. Τί τούτων τῶν Κυριακῶν D φωνῶν λαμπρότερον ἢ δυνατώτερον, καθελεῖν μὲν τὴν ἀποστασίαν, ὑψῶσαι δὲ καὶ κρατῦναι τὴν εὐσέβειαν; δι' ὧν τὸν κόσμον καὶ τὰ ἐν αὐτῷ τοῦ Χριστοῦ καὶ Σωτῆρος ἡμῶν ἀνακηρύττουσι· Δεσπότην δὲ καὶ Βασιλέα τοῦ παντὸς ὥσπερ τῆς μελλούσης οὕτω καὶ τῆς παρούσης ἀναγορεύουσι βασιλείας. Τί δὲ φιλονεικοῦσι τῶν ἀψύχων γενέσθαι ἀναισθητότεροι; ὁπόταν ἥλιος μὲν, καὶ γῆ, καὶ πέτραι, δι' ὧν τῷ Δεσποτικῷ συνέπασχον πάθει, τὴν αὐτοῦ δεσποτείαν κηρύττουσι, οὗτοι δὲ κἀκείνων τὴν ἄνοιαν αὐτῶν ἐλεγχόντων οὐκ αἰσχύνονται. Ἀπὸ γὰρ τῆς ἕκτης, φησὶν, ὥρας ἕως ἐννάτης σκότος ἐγένετο, καὶ ἡ γῆ ἐσείσθη, καὶ αἱ πέτραι ἐσχίσθησαν. Τίς γὰρ

[60] Matth. VII, 12. [61] Ibid. [62] Matth. XIII, 38. [63] Matth. XXIV, 31. [64] Matth. 27, 45.

Digitized by Google Распознавание текста ABK/FR

κοινωνία ἢ συμπάθεια πονηροῦ πλάσματος καὶ Δεσποτικοῦ πάθους; Ἐχρῆν γὰρ μᾶλλον ὅσον, ἐπὶ τῷ τῶν ἀσεβῶν δόγματι, λαμπρύνεσθαί τε καὶ κόσμον περιβάλλεσθαι μεῖζόά τε καὶ περιφανέστερον, ἐφ' ᾧ τὸν καθελεῖν παραγεγονότα τὸν πλάστην αὐτῶν τηλικοῦτον πάθος ἔβλεπον ὑφιστάμενον. Πῶς δὲ μετὰ τὴν ἀνάστασιν μὲν, οὔπω δὲ πρὸς τοὺς πατρικοὺς ὁ μηδέποτε τούτους λιπὼν ἀνελθὼν κόλπους, παρὰ τοῦ Πατρὸς τὴν ἐξουσίαν λαμβάνει τοῦ τε οὐρανοῦ καὶ τῆς γῆς, ὧν οὐκ ἦν Κύριος ὁ διδοὺς; Οὕτω γὰρ ἡ θεομάχος γλῶσσα δυσφημεῖ. Ἐπεὶ τούτοις δὲ εἰ ἀγροὶ καὶ οἰκίαι τῆς χειρός εἰσι τοῦ Πονηροῦ, πῶς ὁ ἀγαθὸς Θεὸς ὁ Σωτὴρ ἡμῶν τοῖς προθύμως ἠκολουθηκόσιν αὐτῷ μετὰ τῶν αἰωνίων ἀγροὺς καὶ οἰκίας ἐπαγγέλλεται παρασχεῖν, ἃ φαῦλά τέ ἐστι καὶ φαύλου ποιητοῦ, καὶ ὧν οὔτε Κύριος αὐτὸς ἔχειν, οὔτε ἄλλοις παρασχεῖν; Τί δὲ καὶ εἰς μισθὸν ἔδει φέρειν τὰ τοῦ Ἐχθροῦ τοῖς πάντα λιποῦσιν καὶ ἀκολουθήσασιν αὐτῷ, καὶ συμπεριλαμβάνειν αὐτοῖς ἐν τῷ δώρῳ, καὶ τὴν αἰώνιον ζωὴν ἀγαθοῖς συνάπτειν φαυλα, καὶ διὰ τῆς προσθήκης τοῦ χείρονος ἐνυβρίζειν καὶ ὃ ἂν ἦν χωρὶς τῆς προσθήκης κάλλιστον τῶν δώρων; Ἡῶς δὲ πάλιν ἐρωτησάμενος ὁ Σωτὴρ περὶ τῶν νομικῶν ἐντολῶν πρώτην μὲν εἶναι φησιν. Ἄκουε, Ἰσραήλ· Κύριος ὁ Θεός σου Κύριος εἷς ἐστι. Καὶ ἀγαπήσεις Κύριον τὸν Θεόν σου ἐξ ὅλης τῆς καρδίας σου, καὶ ἐξ ὅλης τῆς ψυχῆς σου, καὶ ἐξ ὅλης τῆς ἰσχύος σου, καὶ ἐξ ὅλης τῆς διανοίας σου; Δευτέραν δέ, ἣν οὐδὲ ἡ ἐρώτησις ἐπᾔτει. Ἀγαπήσεις τὸν πλησίον σου ὡς ἑαυτόν. Καὶ οὐ μέχρι τούτου ἔστη, ἀλλὰ καὶ τὸν ἐπερωτῶντα σύμψηφον εὑρὼν οὐ μακρὰν ἀνεῖπεν εἶναι τὴν βασιλείαν τοῦ Θεοῦ. Πῶς γὰρ αἱ Μωσαϊκαὶ νομοθεσίαι, εἴπερ ἦσαν τοῦ Ἐχθροῦ, πρῶτον μὲν ἕνα Θεὸν καὶ Κύριον νομοθετοῦσιν εἰδέναι καὶ νοεῖν, εἶτα τοῦτον μόνον ἀγαπᾷν ἐξ ὅλης καρδίας, καὶ τὸν πλησίον ὡς ἑαυτόν; Εἰ οὖν ἕνα Θεὸν καὶ Κύριον ἀνακηρύττει Μωσῆς, καὶ παρὰ τοῦτον ἄλλον μήτε λατρεύειν, μήτε προσκυνεῖν, μετὰ δὲ ταύτην τὴν πρώτην ὡς ἀληθῶς ἐντολήν, καὶ τὸ φιλάλληλον καὶ φιλάνθρωπον κατὰ τὸν ὅμοιον τρόπον τοῦ σωτηρίου προστάγματος νομοθετεῖ, ποῦ ἡ πονηρὰ τῆς ἀποστασίας ἀρχὴ, Ἀλλ' ὁ μὲν Γραμματεὺς συνῆκε τοῦ Δεσπότου, τὴν Μωσαϊκὴν κυροῦντος φωνὴν, ὅτι εἷς ἐστιν ὁ Θεὸς, καὶ οὐκ ἔστιν ἄλλος πλὴν αὐτοῦ. Οἱ δὲ τῶν Γραμματέων καὶ Φαρισαίων πλέον ἔχειν προσταχέντες, οὐδὲ τὴν ἐσχάτην μοῖραν τῆς εὐσεβείας σώζουσιν ἐν ἑαυτοῖς. Λουκᾶς δὲ ὁ τῶν Δεσποτικῶν ῥημάτων συγγραφεὺς, τοὺς τὸν Ζαχαρίαν καὶ τὴν Ἐλισάβετ ἐν τῇ παλαιᾷ νομοθεσίᾳ βιοῦντας, δικαίους, καὶ τότε ἐνώπιον μαρτυρεῖ τοῦ Θεοῦ, ἀλλ' οὐκ ἐνώπιον ἀνθρώπων, καὶ πορευομένους ἐν πάσαις ταῖς ἐντολαῖς τοῦ Θεοῦ καὶ δικαιώμασιν ἀμέμπτως· εἶτα καὶ τὴν ἱερατείαν τὸν Ζαχαρίαν τελεῖν ἐνώπιον τοῦ Θεοῦ· καὶ τὸν νομικὸν ναὸν, ἐν ᾧ εἰσῄει, ναὸν προσαγορεύει τοῦ Θεοῦ; Ἐν αὐτῷ τε τὸν ἄγγελον ὀφθῆναι Κυρίου, καὶ τότε τίνα: Τὸν ἀρχιστράτηγον Γαβριὴλ, ὃς καὶ τὴν ἐκ

testatem in cœlum et terram, quorum, qui dederat, non exsistebat Dominus? Ita enim lingua Deo adversa maledicit. Insuper vero si agri et domus a manu Mali proficiscuntur, quomodo bonus Deus, Servator noster, asseclis suis præter æterna bona et agros et domos exhibiturum se pollicetur, quippe quæ et mala sunt, et mali conditoris, et in quæ ipse potestatem non habet vel possidendi ea, vel aliis exhibendi? Quomodo vero fas erat, ea, quæ hostis sunt, præmii loco dare iis qui omnia reliquerant, et ipsum secuti erant, et inter præmia illa æternam quoque vitam reponere, atque adeo mala cum bonis conjungere, et accessione mali diminuere id quod sine illa accessione donorum omnium erat præstantissimum? Quomodo verus etiam Servator noster de præceptis legalibus interrogans primum dixit esse: *Audi, Israel: Dominus Deus tuus Dominus unus est. Et diliges Dominum Deum tuum ex toto corde tuo et tota anima tua, et ex omnibus viribus tuis, et ex omni mente tua* [65]. Alterum vero, quod quæstio ne requirebat quidem; *Diliges proximum tuum ut te ipsum* [66]. Neque in eo acquievit, sed cum interrogantem sibi consentientem nactus esset, non procul ab eo esse dixit Dei regnum. Quomodo autem leges Mosaicæ, si quidem fuissent hostis, primum quidem unum Deum et Dominum scire se et agnoscere, atque eumdem solum ex toto corde, et proximum ut hominem ipsum amandum esse profiterentur? Si igitur unum Deum et Dominum prædicat Moses, nec præter eum alium coli vel adorari vult, post illud vero primum præceptum mutuum in homines amorem præcepto Servatoris nostri convenienter urget, ubi, quæso te, malum apostatarum principium locum habet? At Scriba quidem ille intelligebat Dominum. Mosaicam legem approbantem, quod scilicet unus sit Deus, nec ullus præter eum. Qui vero Scribis et Pharisæis meliores esse jussi sunt, ne minimam quidem pietatis partem sibi servant. Lucas vero, verborum Domini scriptor, quomodo Zachariam et Elisabetham, in veteri testamento viventes, justos, eosque coram Deo, non tantum coram hominibus fuisse, et in omnibus Dei præceptis et statutis inculpate versatos testatur? Quomodo ait Zachariam sacerdotio coram Deo perfunctum? quomodo templum legale, in quod introibat, templum Dei appellat? et in ipso angelum Dei, eumque Gabrielem copiarum ducem, qui et nativitatem Domini ex Virgine, et ipsi illi intemeratæ Virgini et cum ea mundo nuntiavit, visum, precesque sacerdotis exauditas esse in Evangeliis affirmat, puerumque ibidem memoratum magnum coram Domino futurum, Spiritu item sancto plenum, multisque magni gaudii interpretem, nec paucis Israelitarum conversionis ad Deum auctorem, Spirituque ac virtute Eliæ usurum pronuntiat? Itaque evangelista, vel potius Deus, qui hæc per archangelum loquitur, non Joannem solum, qui gratiam propullulantem videbat, sed et

[65] Matth. XII, 29. [66] Ibid. 30.

Digitized by Google Распознавание текста ABK/FR

Eliam, qui diu ante gratiam exstitit, animas a vero Deo aversas, et post Satanam scortantes, ad verum Deum convertisse testimonio, omni exceptione majori, confirmat. Iterum vero Zacharias Spiritu Dei repletur, et prophetas antiquos sanctorum appellat chorum. *Erexit enim*, inquit prophetans et per Spiritum sanctum loquens, *cornu salutis in domo Davidis, filii sui* [67]. Et unde hoc demonstratur? *Sicut locutus est*, inquit, *per os sanctorum a sæculo prophetarum suorum* [68]. Prophetarum, inquit, *suorum*, non autem hostis. Quid autem vaticinati sunt illi? *Deum recordaturam testamenti sui sancti* [69], non sane, homo perditissime, hostis. Adhuc vero magis impiorum ora refrenaturus juramentum, quod Abrahamo patri nostro juravit, adducit, *Ut daret nobis potestatem, ex manu inimicorum nostrorum liberatis sine timore in sanctitate et justitia ipsi serviendi* [70]. Perpende quæ dicta sunt. Spiritus sanctus implet Zachariam, plenus eo prophetas antiquos sanctos Deique sacerdotes appellat, Mosis item testamentum prædicat sanctum, nobisque libertatem prænuntiat, et eum, qui Abrahamo juraverit, hujus libertatis datorem fore, eosque, qui cultum ipsi præstent, in sanctitate et justitia ei servire asseverat. Si hæc omnia Zacharias, Spiritu sancto repletus, edisserit, nonne spiritu malo pleni judicandi sunt, qui contraria his omnia contendant? Quid vero dicent amarulenti legis Mosaicæ accusatores, vel potius principatus Dei partitores, quando vident Jesum in Evangeliis Jerosolyma perductum, ibique Mosaica instituta observantem, sacrificia secundum præceptum legis Domini offerentem, brachiisque justi Symeonis instar doni susceptum, qui inter cætera pietatis et justitiæ argumenta per Spiritum sanctum oraculum nactus, et communem Servatorem brachiis complexus est, et benedixit ei, et prænuntiavit, eum in salutem advenisse coram facie omnium populorum, et instar lucis ad illuminationem gentium, quæ posthaec in eum sint creditura, divinus vero evangelista non satis habuit id; quod tunc gestum erat, contra impios hos homines commemorare, sed impudentiam eorum, ut videtur, prævidens, etiam Annam, cujus tribus Aserem habebat auctorem, cum sene illo præsentem, Dominumque celebrantem, et de communi Domino eadem ac similia proferentem in sacra historia sistit. Quod vero postea contigit, multum omnino valet ad reprimendos et dejiciendos eos qui supercilium adversus divinam gloriam efferunt. Cum enim Jesus una cum Virgine Matre sua, quod ad carnem, et patre suo putatitio Hierosolyma profectus esset, peractis ibi, quæ sacer Codex præscribit, sacris, ipsisque postea domum revertentibus, et ob absentem puerum tum Matre secundum carnem, tum Patre putatitio sollicitis, et, quem desiderabant, quærentibus, is, qui omnium quidem conditor, sed ob amorem in homines Virginis erat filius: *Quid me*,

A Παρθένου τοῦ Δεσπότου γέννησιν, αὐτῇ τε τῇ ἀκηράτῳ Κόρῃ, καὶ δι' αὐτῆς τῷ κόσμῳ εὐηγγελίσατο· καὶ τήν τε προσευχὴν τοῦ ἱερέως εἰσηκοῦσθαι διὰ τῶν εὐαγγελίων ἐβεβαίωσε, καὶ τὸν ἐκ τῶν Εὐαγγελίων παῖδα μέγαν ἐνώπιον ἔσεσθαι Κυρίου, καὶ πεπληρωμένον Πνεύματος ἁγίου, καὶ πολλῆς πολλοῖς ἀγαλλιάσεως πρόξενον, καὶ τῶν υἱῶν Ἰσραὴλ οὐκ ὀλίγοις ἐπιστροφῆς αἴτιον γενέσθαι τῆς ἐπὶ τὸν Θεὸν, τῷ πνεύματι καὶ τῇ δυνάμει κεχρημένον τοῦ Ἠλίου. Ὥστε ὁ εὐαγγελιστὴς, μᾶλλον δὲ ὁ ταῦτα διὰ τοῦ ἀρχαγγέλου λέγων Θεὸς, οὗτος οὐχὶ τὸν Ἰωάννην μόνον, ὃς τὴν χάριν εἶδε βλαστάνουσαν· ἀλλὰ καὶ τὸν Ἠλίαν, ὃς πολλῷ προῦπῆρχε τῆς χάριτος, τὰς πλανωμένας ψυχὰς ἀπὸ τοῦ ἀληθινοῦ Θεοῦ, καὶ ὀπίσω τῶν δαιμονίων ἐκπορνευούσας ἐπὶ τὸν
B ἀληθινὸν ἐπιστρέψαι Θεὸν, ἀπαράγραπτον τὴν μαρτυρίαν παρέχεται. Πάλιν δὲ ὁ Ζαχαρίας Πνεύματος ἁγίου γίνεται πλήρης, καὶ τοὺς ἀπ' αἰώνων προφήτας χορὸν ἁγίων κηρύσσει. Ἤγειρε γὰρ, φησὶ προφητεύων καὶ διὰ τοῦ Πνεύματος τοῦ ἁγίου φθεγγόμενος, κέρας σωτηρίας ἡμῖν ἐν οἴκῳ Δαβὶδ τοῦ παιδὸς αὐτοῦ. Καὶ πόθεν ἡ ἀποδειξις; Καθὼς ἐλάλησε, φησὶ, διὰ στόματος τῶν ἁγίων τῶν ἀπ' αἰῶνος προφητῶν αὐτοῦ, ἀλλ' οὐχὶ τοῦ Ἐχθροῦ. Καὶ τί προεφήτευσαν: Μνησθῆναι τὸν Θεὸν διαθήκης ἁγίας αὐτοῦ, ἀλλ' οὐχὶ, τρισάθλιε, τοῦ Ἐχθροῦ. Ἔτι δὲ μᾶλλον τῶν ἀσεβῶν χαλινῶν τὰ στόματα, ὅρκον, ὃν ὤμοσε πρὸς Ἀβραὰμ τὸν πατέρα ἡμῶν, ἐπάγει· Τοῦ δοῦναι ἡμῖν ἀφόβως ἐκ χειρὸς τῶν ἐχθρῶν
C ἡμῶν ῥυσθέντας λατρεύειν αὐτῷ ἐν ὁσιότητι καὶ δικαιοσύνῃ. Συλλογίζου τὰ εἰρημένα. Πνεῦμα ἅγιον πληροῖ τὸν Ζαχαρίαν, καὶ πληρωθεὶς ἐκεῖθεν ἁγίους τοὺς ἀπ' αἰῶνος προφήτας καὶ Θεοῦ θυηπόλους ἀναγορεύει, καὶ τὴν ἐλευθερίαν ἡμῶν προφητεύει, καὶ τὸν ὁμόσαντα πρὸς τὸν Ἀβραὰμ, ἐκεῖνον τῆς ἐλευθερίας εἶναι δοτῆρα κηρύσσει· καὶ τοὺς προσάγοντας αὐτῷ τὴν λατρείαν ἐν ὁσιότητι καὶ δικαιοσύνῃ λατρεύειν. Εἰ ταῦτα πληθεὶς ὁ Ζαχαρίας Πνεύματος ἁγίου διῆλθε, πῶς οὐχὶ τοῦ πονηροῦ πλησθέντες πνεύματος οἱ τἀναντία τούτοις ἀπελέγχονται φωνοῦντες; Τί δ' ἂν φαῖεν οἱ πικροὶ τῆς Μωσαϊκῆς κατήγοροι διαθήκης, μᾶλλον δὲ τῆς τοῦ Θεοῦ βασιλείας μερισταὶ, ὅταν ὁρῶσι διὰ τοῦ Εὐαγγελίου ἀναγόμενον μὲν εἰς τὰ Ἱεροσόλυμα τὸν Ἰησοῦν, τε-
D λοῦντα δὲ τὰ Μωσαϊκὰ, καὶ φέροντα θυσίαν κατὰ τὸ εἰρημένον ἐν νόμῳ Κυρίου. ἀγκάλαις δὲ δωροφορούμενον τοῦ δικαίου Συμεὼν, ὃς μετὰ τῆς ἄλλης εὐσεβείας καὶ δικαιοσύνης, περὶ τοῦ ἁγίου Πνεύματος χρηματισμὸν λαβὼν ἅμα τε ἐνηγκαλίζετο τὸν κοινὸν λυτρωτὴν, ηὐλόγει τε αὐτὸν καὶ θεολογῶν προεφήτευε σωτηρίαν παραγενέσθαι κατὰ πρόσωπον πάντων τῶν λαῶν, καὶ φῶς εἰς ἀποκάλυψιν ἐθνῶν τῶν μετὰ ταῦτα πεπιστευκότων εἰς αὐτόν; Ὁ δὲ θεῖος εὐαγγελιστὴς οὐκ ἠρκέσθη τὸ τότε μόνον γεγενημένον κατὰ τῶν ἀσεβῶν εἰπεῖν, ἀλλ'. ὡς ἔοικε, τὸ ἀναίσχυντον αὐτῶν προειδὼς, καὶ τὴν Ἄνναν, ἧς ἡ φυλὴ τὸν Ἀσὴρ ἀρχηγὸν εἶχε, συμπαροῦσάν τε τῷ

[67] Luc. I, 69. [68] ibid. 70. [69] ibid. 72. [70] ibid. 74, 75.

Digitized by Google Распознавание текста ABK/FR

πρεσβύτη, καὶ ἀνθομολογοῦσαν τῷ Κυρίῳ, καὶ περὶ τοῦ κοινοῦ Δεσπότου τὰ ἴσα καὶ ὅμοια προφητεύουσαν παραδίδωσι διὰ τῆς ἱερᾶς ἱστορίας. Καὶ τὸ μετὰ ταῦτα δὲ γεγονὸς ὕστερον πολλὴν ἔχει τὴν ῥώμην ἐκκόψαι καὶ ταπεινῶσαι τῶν τὴν ὀφρὺν κατὰ τῆς θείας δόξης ἐπαιρόντων. Συνανιόντος γὰρ εἰς τὰ Ἱεροσόλυμα τῇ κατὰ σάρκα Παρθένῳ Μητρὶ, καὶ τῷ νομιζομένῳ πατρὶ τοῦ Ἰησοῦ, καὶ τελεσθέντων, ὅσα τὰ ἱερὰ Λόγια λέγει. Εἶτα καὶ ἐν τῷ ἀνακομίζεσθαι οἴκαδε τοῦ παιδὸς τοῦ παρόντος, καὶ διὰ τοῦτο τῆς κατὰ σάρκα μητρὸς καὶ τοῦ νομιζομένου πατρὸς ἀπορουμένων τε καὶ τὸν ποθούμενον ζητούντων, ὁ πάντων μὲν ποιητὴς, διὰ δὲ φιλανθρωπίαν παρθένου παῖς, Τί ὅτι, φησὶν, ἐζητεῖτέ με; Οὐκ ἤδειτε, ὅτι ἐν τοῖς τοῦ Πατρός μου δεῖ εἶναί με; ἐκεῖνο τὸ ἱερὸν (9) τοῦ Πατρὸς εἶναι καλῶν, ὃ τὸ τῆς ἀπωλείας στόμα τῆς πονηρᾶς ἀρχῆς θυσιαστήριον δυσφημεῖ. Ἀλλὰ πῶς ἡ αἱρετικὴ μέθη οὐρανοῦ καὶ γῆς ἄλλον παροινοῦσα λέγει δημιουργὸν, αὐτοῦ τοῦ Σωτῆρος ἡμῶν ἐν ἀγαλλιάσει τε πνεύματος καὶ τῷ ἀῤῥήτῳ καὶ ἀνεπινοήτῳ τῆς ἐξομολογήσεως ἀνακράζοντος· Ἐξομολογοῦμαί σοι, Πάτερ, Κύριε τοῦ οὐρανοῦ καὶ τῆς γῆς, ὅτι ἀπέκρυψας ταῦτα ἀπὸ σοφῶν καὶ συνετῶν, καὶ ἀπεκάλυψας αὐτὰ νηπίοις; Πάτερ, Κύριε τοῦ οὐρανοῦ καὶ τῆς γῆς, ὁ γνήσιος υἱὸς βοᾷ, καὶ τὸ πᾶσαν ἀσέβειαν ἀποκρύπτον μῦσος ἀντιφθέγγεται τῷ Σωτῆρι, καὶ τοῦ οὐρανοῦ καὶ τῆς γῆς κύριον τὸν Βεελζεβοὺλ ὀνομάζει. Εἰ δὲ ὁ νόμος ἦν τοῦ Πονηροῦ, πῶς πάλιν ὁ νομοθέτης τῆς χάριτος τὸν ἐκπειράζοντα νομικὸν, καὶ τὴν ζωὴν τὴν αἰώνιον ὑποκρινόμενον ζητεῖν, ὡς εἰς μέγα ἅλμα τὸν νόμον παραπέμπει, κἀκεῖθεν εὑρεῖν τὸ ζητούμενον ὑποβάλλει; Τοῦ νομικοῦ δὲ τὰς δύο πρώτας αὐτοῖς ῥήμασι διελθόντος ἐντολὰς, καλῶς τε αὐτὸν ἀποκριθῆναι Ἀληθεία ἔφη, καὶ, εἰ κατὰ ταύτας πολιτεύοιτο, τὴν αἰώνιον ζωὴν κληρονομεῖν.

A inquit, *quærebatis? Nonne sciebatis me in iis quæ Patris mei sunt, esse debere* [71]? Idem illud templum Patris sui vocans, quod perditorum ora mali principii altare injuste nominant. Quomodo vero hæreticorum temulentia alium cœli et terræ conditorem petulanter fingit, cum Servator noster ipse, spiritu exsultans, ineffabili et incomprehensibili quadam confessione clamat: *Confiteor tibi, Pater, Domine cœli et terræ, quod abscondisti hæc sapientibus et intelligentibus, et infantibus ista revelasti* [72]. *Pater, Domine cœli et terræ*, genuinus filius clamat, scelerata vero hæc hominum, impietatem omnem recondentium, turba Servatori obloquitur, et cœli terræque dominum Beelzebul vocat. Si vero erat a malo, quomodo legis gratiosæ auctor legisperitum tentantem ipsum, et vitam æternam quærere simulantem, ad legem tanquam ad eximiam medicinam amandat, et ibi ut quæsitum inveniret, adhortatur? Cumque legisperitus duo prima præcepta iisdem verbis repetiisset, eum bene respondisse Veritas ipsa ait, et de vita æterna, si secundum ea viveret, certum esse jussit.

B

ΙΓ'. Ὅρα δὲ καὶ ἐξ ἄλλων τὴν ἰσοτιμίαν τοῦ νόμου καὶ τῆς χάριτος (10), ἵνα γνῷς ὅτι αὐτός ἐστιν ὁ τῆς παλαιᾶς καὶ τῆς νέας διαθήκης νομοθέτης. Ἀμὴν, ἀμὴν, λέγω ὑμῖν, ὁ οὐρανὸς καὶ ἡ γῆ παρελεύσεται, οἱ δὲ λόγοι μου οὐ μὴ παρέλθωσι. Τοῦτο τῆς χάριτος· ὅρα δὲ καὶ τοῦ νόμου· Εὐκοπώτερόν ἐστι τὸν οὐρανὸν καὶ τὴν γῆν παρελθεῖν, ἢ μίαν κεραίαν τοῦ νόμου διαπεσεῖν Εἶδες πῶς ὁ Σωτὴρ ἡμῶν, τῆς ἀποστασίας τὸ θράσος προειδώς, τὰ ἴσα νέμει γέρα καὶ τὸ κλέος τῇ τε Παλαιᾷ καὶ τῇ Νέᾳ Διαθήκῃ; καίτοι γε ἐν πολλοῖς πολλῷ προέχει τὰ τῆς χάριτος. Παιδαγωγὸς γὰρ ἦν ἐκεῖνος τῶν ἐν τῇ χάριτι. Ἀλλ' ἵνα δείξῃ τὸν αὐτὸν ἐκεῖνά τε καὶ τὰ παρόντα κατὰ διάφορον καὶ ἀπόῤῥητον οἰκονομίας νομοθετῆσαι τρόπον, ταῖς αὐταῖς καὶ ἴσαις φωναῖς περὶ ἑκατέρας νομοθεσιας ἐχρήσατο. Ἀλλὰ γὰρ καὶ κατὰ τῶν ἀπειθούντων αὐτοῦ τοῖς φωτηρίοις διδάσκαλοις ἐπιτιμῶν, ἐν τῷ Εὐαγγελίῳ φησὶν, Οὐαί σοι, Χοραζὶν, οὐαί σοι, Βηθσαϊδὰ, ὅτι εἰ ἐν Τύρῳ καὶ Σιδῶνι ἐγένοντο αἱ δυνάμεις αἱ γενόμεναι ἐν ὑμῖν, πάλαι ἂν ἐν σάκκῳ καὶ σποδῷ μετενόησαν· πλὴν λέγω ὑμῖν, Τύρῳ καὶ Σιδῶνι ἀνεκτότερον ἔσται ἐν ἡμέρᾳ κρίσεως ἢ ὑμῖν. Καὶ πάλιν· Καὶ σὺ, Καπερναοὺμ, μὴ ἕως οὐρανοῦ ὑψωθήσῃ; ἕως ᾅδου καταβήσῃ· ὅτι εἰ ἐν Σοδόμοις ἐγένοντο αἱ δυνάμεις αἱ γενόμεναι ἐν σοὶ, ἔμειναν ἂν μέχρι τῆς σήμερον· πλὴν λέγω σοι, ὅτι γῇ Σοδόμων ἀνεκτότερον ἔσται ἐν ἡμέρᾳ κρίσεως ἢ σοί. Ἐπὶ τοσοῦτον ἐκεῖνος τὴν ἀπιστίαν ἐβδελύττετο, ὡς καὶ τοὺς ἐν ἀπιστίᾳ ἀποθανόντας ἐλεεινοτέρους εἶναι τῶν ἐν ἀπιστίᾳ ζώντων. Ἐπὶ τοσοῦτον τὴν ἀπιστίαν ἐβδελύττετο, ὡς καὶ τοὺς ἐν ἀπιστίᾳ ἀποθανόντας ἐλεεινοτέρους εἶναι τῶν ἐν ἀπιστίᾳ ζώντων. Ἐπὶ τοσοῦτον τὴν ἀπιστίαν ἐβδελύττετο, ὡς καὶ τοὺς ἐν ἀπιστίᾳ ἀποθανόντας ἐλεεινοτέρους εἶναι τῶν ἐν ἀπιστίᾳ ζώντων.

C

XIII. Tu vero ex aliis quoque æqualem legis et gratiæ seu Evangelii dignitatem æstima, ut scias eumdem esse et veteris et novi testamenti legislatorem. *Amen, amen, dico vobis: cœlum et terra transibit, verba vero mea non transibunt* [73]. Hoc ad doctrinam de gratia pertinet. Vide vero simile de lege: *Facilius est, cœlum et terram transire, quam unum apicem legis in terram cadere* [74]. Vides quomodo Servator noster, defectorum insolentiam prævidens, æqualem dignitatem et gloriam veteri et novo instrumento tribuat, quamvis in multis gratia multum præstet. Lex enim pædagogus erat ad ea, quæ sunt gratiæ. Ut vero ostenderet eumdem et præterita et præsentia pro diverso et ineffabili dispensationis modo constituisse, iisdem et similibus phrasibus de utraque legislatione usus est. Ita et contra eos: qui non credunt salutari doctrinæ, non

D

[71] Luc. II, 49. [72] Matth. XI, 25. [73] Matth. XXIV, 35. [74] Luc. XVI, 17.

VARIÆ LECTIONES ET NOTÆ.

(9) Τὸ ἱερόν. Hinc patet, τὰ τοῦ Πατρὸς a nostro de templo accipienda visa esse, quam sententiam plerique omnes ex veteribus et recentioribus adoptant, atque ex his nominatim J. Vorstius in *Dissert. sacr.* lib. III, c. 12. J. Keuchenius in notis ad h. l. Ludov. Cappellus item ad h. l. et Lambertus Bos., *De mysterio ellipseos Græcæ ling.* Atque illi quidem in locutione hac elliptica vocem τόποις intelligi volunt. Ab his abeunt pauci, qui ellipsin per vocem πράγμασι supplentes, non tam templum quam *res et negotia* Patris hic innui existimant. Horum causam agit Jo. Buxtorfius, in *Catalectis theologico-philolog.* p. 29; et post eum data opera M. Jo. Casp. Kregel in epistola propemptica ad cl. Christianum Schœtgenium. Lipsiæ 1716, in 4 edita.

(10.) Χάριτος. Evangelium hic innui et scopus Photii, et opposita vox νόμος satis evincit. Eam notionem locum habere in Joan. I, 16: χάριν ἀντὶ χάριτος existimarunt veterum doctorum permulti, quos vide apud Catakerum in *Adversar. sacr.* c. 27; et J. Casp. Suicerum in *Thesauro ecclesiast.* p. 1498.

Digitized by Google Распознавание текста ABK/FR

alium vel accusatorem vel victorem, quam Mosen affert. *Ne existimetis enim*, inquit, *quod ego vos apud Patrem accusaturus sum* [75]. Non sane, sed est, qui vos accusat, Moses scilicet, *apud Patrem*. Hujus enim leges ipse sibi creditas una cum prophetia de Christo nactus, accusator omnino fide dignus et testis omni exceptione major erit contra eos qui lege ejus et colere et amare multum quidem glorientur, nihil vero eorum recipiant quæ ab ipso de communi nostro Domino et Servatore prædicta sunt, quod tamen et caput, et apex et initium totius legislationis ejus erat; imo nec correptione ob temeritatem eorum et pugnam adversus eum, qui prænuntiatus ab eo est, factam afficiantur. Postquam igitur multis Domini verbis, imo non verbis solum, sed et factis apostolorum, errorem illum confutatum dedimus, qui principatum regni Dei in duas contrarias partes scindit, quam tandem veniam sperare possunt illi qui post tot impietatis confutationes adhuc mali principii voluntati iis, quæ sapiunt et vivunt, obsecundant, et Patremfamilias universi Beelzebul vocant, Beelzebul vero Deum occultum, et ineffabilem, et Bonum, et Patrem, ut fœdiora non dicam, renuntiant, nec victoriam Domini a calumniantibus Judæis relatam stupent ac reverentur, quam per illorum latus non minus, si non magis et illustrius, a præsenti defectione reportavit. Impietatem enim, quam utrique communem habent, etiamsi novus ille apostata audacius se hac in parte jactat, objectans dicebat: *Omne regnum in partes scissum, non consistet* [76]. Quoniam enim improbi et stupidi Judæi, videntes Creatorem et animas et corpora morbis liberantem, Beelzebul miracula hæc transcripserunt, ita et defectionis hujus propugnatores opera manuum ejus in eumdem transferunt. Propterea ex merito eamdem Domini voce utriusque partis pugnam Deo intentatam confuderis. Quod si enim indivisum Omnipotentis imperium dividatur, divisum nunquam consistet. Sed prima illa divisio viam sternet, ut in mille distrahi queat, nec unquam certam sedem locumque consequi possit. Quemadmodum itaque uterque deprehenditur contra Deum pugnare, Judæus scilicet et apostata, ille quidem miracula, hic vero creaturas Dei hosti adscribens, ita contra utrosque valet communis et invincibilis Domini rejectio.

XIV. Sed quo devenitis, homines! cur Domino relicto, conservum vestrum, vel potius servum et apostatam, et universæ nostræ naturæ inde ab initio insidiatorem conditorem vobis constituitis? cur Creatori renuntiantes ei vos traditis, qui interitum nostrum quærit, et non animæ solum, sed et corpori perniciem afferre conatur? cur ad lucem cæcutitis? cur vero tenebras cum luce permutastis? Evigilate ex crapula, surgite ex lethali sopore,

γμασιν οὐκ ἄλλον κατήγορον καὶ θρίαμβον, ἀλλὰ τὸν Μωσῆν εἰσάγει. Μὴ γὰρ δοκεῖτε, φησὶν, ὅτι ἐγὼ κατηγορήσω ὑμῶν πρὸς τὸν Πατέρα· οὐχὶ, ἀλλὰ τίς ἐστιν ὁ κατηγορῶν ὑμῶν, Μωσῆς δηλονότι, πρὸς τὸν Πατέρα· οὗ τοὺς νόμους αὐτὸς πιστευθεὶς, καὶ τὴν περὶ Χριστοῦ προφητείαν, ἀξιόπιστος ἂν κατήγορος εἴη, καὶ ἀπαράγραπτος μάρτυς τῶν μεγαλαυχούντων μὲν αὐτοῦ τοὺς νόμους καὶ τιμᾷν καὶ στέργειν, μηδὲν δὲ τῶν ὑπ' αὐτοῦ περὶ τοῦ κοινοῦ Δεσπότου καὶ Σωτῆρος ἡμῶν θεσπισθέντων προσιεμένων, ὃ κεφάλαιον ἦν καὶ κρηπὶς, καὶ προοίμιον τῆς ὅλης αὐτοῦ νομοθεσίας, ἀλλὰ μηδὲ συναίσθησιν ἀναστολῆς λαβόντων τῆς εἰς τὸν προφητευθέντα παροινίας τε καὶ θεομαχίας. Διὰ πολλῶν τοίνυν Δεσποτικῶν φωνῶν, καὶ εὐ φωνῶν μόνον, ἀλλὰ καὶ πράξεων, ναὶ δὴ καὶ διὰ τῶν ἀποστολικῶν ἔργων τε καὶ ῥημάτων τῆς πλάνης ἠλεγχμένης, ἣ τὸ κράτος τῆς τοῦ Θεοῦ βασιλείας εἰς ἀρχὰς ἀντικειμένας σχίζει, τίνα λοιπὸν συγγνώμην ἔχουσιν οἱ μετὰ τοσούτους τῆς ἀσεβείας ἐλέγχους ἔτι τῷ τοῦ Πονηροῦ, δι' ὧν τε φρονοῦσι καὶ δι' ὧν βιοῦσι, καθυπηρετοῦντες θελήματι· καὶ τὸν μὲν Οἰκοδεσπότην τοῦ παντὸς Βεελζεβοὺλ καλοῦντες, τὸν δὲ Βεελζεβοὺλ Θεὸν κρύφιον καὶ ἄῤῥητον, καὶ ἀγαθὸν, καὶ πατέρα, ἀλλ' οὐκ ἂν εἴποιμι τὸ ἀθειότερον, ἀποφαίνοντες· καὶ μηδὲ τὸν πρὸς τοὺς δυσφημοῦντας τῶν Ἰουδαίων Δεσποτικὸν ἐκτεθηπότες καὶ καταπτήσσοντες θρίαμβον, ὃν δι' ἐκείνων οὐδὲν ἔλαττον, εἰ καὶ μὴ μᾶλλον κατὰ τῆς νῦν ἀποστασίας. Κοινὸν γὰρ αὐτοῖς τὸ θεομαχεῖν, εἰ καὶ νεανικώτερον ὁ ἀποστάτης θρασύνεται προτείνων ἔλεγε· Πᾶσα βασιλεία ἐφ' ἑαυτὴν μεριζομένη, οὐ συσταθήσεται. Ἐπεὶ γὰρ οἱ τῶν Ἰουδαίων ἀγνώμονες τὸν Πλάστην ὁρῶντες ἀπελαύνοντα καὶ ψυχῶν καὶ σωμάτων τὰ πάθη, τὸν Βεελζεβοὺλ ταῖς θεοσημείαις ἐπεφήμιζον, καὶ οἱ τῆς ἀποστασίας ὑπέρμαχοι τὰ ἔργα τῶν χειρῶν αὐτοῦ εἰς τὸν αὐτὸν ἀναφέρουσι. Διὰ τοῦτο δικαίως τῇ αὐτῇ Δεσποτικῇ φωνῇ καὶ τὸ θεομάχον ἀμφοῖν στηλιτεύοιτ' ἄν. Καὶ γὰρ εἴπερ ἡ μία τοῦ παντοκράτορος ἀρχὴ διατέτμηται, οὐκ ἂν συσταίη τμηθεῖσα. Ἀλλ' ἡ πρώτη τομὴ ὁδὸς καθέσταται τοῦ καὶ εἰς μυρία διαιρεθῆναι, καὶ μηδεμίαν ἕδραν καὶ στάσιν μηκέτι δύνασθαι λαβεῖν. Ὥσπερ οὖν ἑκάτερος ἁλίσκεται θεομαχῶν, καὶ ὁ Ἰουδαῖος καὶ ὁ ἀποστάτης, ὁ μὲν τὰς θεοσημείας, ὁ δὲ τὰ δημιουργήματα τοῦ Θεοῦ διδοὺς τῷ Ἐχθρῷ, οὕτω κατ' ἄμοιν κοινὴ καὶ ἄφυκτος ἡ ἀπόφασις ἡ Δεσποτική.

ΙΔ'. Ἀλλ' ὦ ποῖ φέρεσθε, ἄνθρωποι! τί τὸν Δεσπότην ἀφέντες τὸν ὁμόδουλον, μᾶλλον δὲ δοῦλον καὶ ἀποστάτην, καὶ τῆς ὅλης ἡμῶν ἀπ' ἀρχῆς ἐπίβουλον φύσεως δημιουργὸν ἑαυτοῖς ἐπιγράφετε; τί τὸν Πλάστην ἀθετοῦντες τῷ τὴν φθορὰν ἡμῶν ζητοῦντι καὶ σπουδάζοντι, οὐ τὴν τῆς ψυχῆς μόνον, ἀλλὰ καὶ τοῦ σώματος ἑαυτοὺς ἐγχειρίζετε; τί πρὸς τὸ φῶς ἐτυφλώθητε: τί δὲ τὸ σκότος τοῦ φωτὸς ἠλλάξασθε; Ἐκνήψατε τῆς μέθης· ἀνάστητε τοῦ

[75] Joan. v, 45. [76] Matth., xii, 25.

Digitized by Google Распознавание текста ABK/FR

ψυχοφθόρου κάρου· ἀναλάβετε τῆς ἀπωλείας ἑαυτούς. Καὶ πῶς ἂν γένοιτο τοῦτο; εἰ τῶν πράξεων, ἐν αἷς ἔχει τὸ κράτος ὁ Ἐχθρὸς, ἀποστροφὴν μελετήσοιτε, πρότερον πορνείαν, δι' ἧς φθείρεται μὲν τὸ σῶμα, φθείρεται δὲ τὴν χαλεπωτέραν φθορὰν ἡ ψυχὴ, τὸ αὐτοδέσποτον διδοῦσα δουλεύειν τοῖς πάθεσιν· ἀδικίαν, ἧς ἐπικρατούσης οὔτε οἰκία, οὔτε πόλις, οὔτε βίος ὅλως ἀνθρώπινος διασώζεται. ἐπιορκίαν, τὴν βυθίζουσαν τὴν ψυχὴν εἰς καταφρόνησιν τοῦ Θεοῦ· μισαδελφίαν, δι' ἧς ὁ κοινὸς ὑβρίζεται πλάστης· ὁ γὰρ τὸ πλάσμα μισῶν δωρεὰν, τὴν εἰς τὸν Πλάστην διαβιβάζει παροινίαν. Μισήσατε ψευδολογίαν, συνιέντες, ὡς ὁ τοῦ ψεύδους πατὴρ ὁ διάβολός ἐστι. Μυσάχθητε συκοφαντίαν, ἥτις τῶν ἀνελπίστων κακῶν πολλὰ καὶ ὁρᾶσθαι κατεπράξατο· φύγετε τὴν μιαιφονίαν· ἀπ' ἀρχῆς γὰρ ὁ Ἐχθρὸς ἀνθρωποκτόνος ἦν· τὴν φιλαργυρίαν, εἰ μήτι ἄλλο, τὸν Ἰούδαν ἐννοοῦντες· βδελύξασθε κλοπὴν καὶ δόλους κατὰ τοῦ πλησίον, καὶ γάμων ἀλλοτρίων διαφθορὰς, καὶ τρυφὴν, καὶ ἀκολασίαν, καὶ μέθην τῆς πολιτείας ὑμῶν ἐκκαθάρατε· τούτοις γὰρ συνεισέρχεται. τούτοις ἥδεται ὁ Ἐχθρός. Ἐν τούτοις λαμβάνει τὴν ἰσχὺν καταδουλῶσαι μὲν τὸ φρόνημα ὑμῶν, καὶ διαστῆσαι τοῦ δημιουργήσαντος Θεοῦ, πεῖσαι δὲ πλάσματα, καὶ εἶναι καὶ ὀνομάζεσθαι αὐτοῦ· ἂν τῶν ἔργων αὐτοῦ τῶν τε εἰρημένων καὶ τῶν παραπλησίων ἀποστῆτε, καὶ αὐτὸς ἀφίσταται ἀφ' ὑμῶν, οὐκ ἔχων οἷς ἐδρασθῇ, καὶ οἷς ἐπαναπαύσηται ἐν ὑμῖν. Καὶ τότε ὑμῖν ἡ θεία χάρις ἐπιλάμψασα ἐναυγάσει πλάστην ἐπιγιγνώσκειν καὶ δημιουργὸν, οὐ τὸν ἐπίβουλον ἐχθρὸν, ἀλλὰ τὸν ἀγαθὸν καὶ φιλάνθρωπον Θεὸν, ἐν ᾧ ἐκτίσθη τὰ ὁρατὰ καὶ τὰ ἀόρατα, ἀρχαὶ, καὶ θρόνοι, καὶ ἐξουσίαι καὶ δυνάμεις, καὶ ὁ παρὼν σύμπας καὶ ὁρώμενος κόσμος. Καὶ γὰρ δι' αὐτοῦ πάντα γέγονε, κἂν ἡ ἀποστασία, προκαταλαβοῦσα τῆς ψυχῆς τὰ ὄμματα, τὸν δημιουργὸν βλέπειν οὐ δίδωσιν. Ἕως δ' ἂν τοῖς τοῦ Πονηροῦ καθυπηρετῆτε θελήμασιν, καὶ τῷ βορβόρῳ τῶν αἰσχρῶν ἡδονῶν συναναφύρησθε, καὶ ἀντὶ τῶν σωτηρίων πόνων τῇ ψυχοφθόρῳ ῥᾳστώνῃ συναναστρέφησθε, οὐμενοῦν οὐκ ἂν ὑμῖν ἡ θεία καὶ οὐράνιος ἐναστράψῃ αἴγλη οὐδὲ ἐκστήσηται τοῦ κράτους τῶν ψυχῶν ὑμῶν καὶ τῶν λογισμῶν ὁ Ἐχθρὸς, τοῖς ἔργοις ἔχων δεδουλωμένους. Πλὴν ἔτι ταῖς διὰ τοῦ ἁγίου Πνεύματος μαρτυρίαις ὁδηγεῖν ὑμᾶς πρὸς τὸ φῶς τῆς εὐσεβείας καὶ τὴν ἀποστασίαν ἐλέγχειν, οὐμενοῦν οὐκ ἂν τὸν ὄκνον τῆς ἐπιμελείας προελοίμεθα.

eripite vos perditioni. Quomodo vero fieri hoc potest? si ab actionibus illis, in quibus hostis vis posita est, avertere vos laboretis : et primum quidem a scortatione, per quam perditur corpus, multoque magis anima, a qua libertatem habetis indulgendi affectibus ; tum ab injustitia, qua dominante nec domus, nec civitas, nec vita hominis omnino conservatur ; a perjurio, quod animam in contemptionem Dei præcipitem agit : ab odio proximi, per quod communis Creator injuria afficitur : qui enim creaturam sine causa odit, impotentiam suam in ipsum conditorem transfert. Odio porro habeatis mendacium, cogitantes mendacii patrem esse diabolum ; aversemini fraudulentiam, quæ mala etiam non sperata conciliavit ; fugite homicidium : hostis enim ab initio homicida erat ; avaritiam item, Judam, nisi aliud quidquam, recogitantes ; exsecremini furtum et dolos contra proximum, itemque adulterium, et luxum et incontinentiam, et temulentiam a vitæ vestræ rationibus alienam habeatis. His enim consuescit, his delectatur hostis ; in his facultatem accipit mentes vestras sibi subjiciendi, et avertendi a Deo conditore, persuadendique creaturis, ut suæ et sint et appellentur : si vero ab operibus ejus tum commemoratis tum illorum similibus abstineatis, etiam ipse abstinebit a vobis, non habens quidquam, in quo innitatur et acquiescat. Tunc vero divina gratia affulgens illuminabit vos, ut conditorem et opificem agnoscatis, non inimicum illum insidiatorem, sed bonum illum et hominum amicum Deum, per quem creata sunt omnia, visibilia et invisibilia, magistratus, et throni, et potestates, et virtutes, et præsens omnis ac visibilis mundus. Per ipsum enim omnia facta sunt, quamvis defectio illa, mentis oculos fascinans, conditorem videre non patiatur. Quoad enim Mali voluntati obsecundatis, et sordibus turpium voluptatum maculamini, et pro salutaribus laboribus delicias animæ noxias sectamini, nunquam certe divinus et cœlestis splendor vos illustraverit, neque potestatem in animas et mentes vestras amiserit hostis, quas scilicet per actiones sibi subjectas habet. Interim nequaquam, posthabita industria, testimoniis Spiritus sancti vos ad lucem pietatis ducere, et defectionem confutare pigrabimur.

ΛΟΓΟΣ Γ'.

Α'. Καί μοι τὰς ἀκοὰς ἀδεκάστους, καὶ μηδὲν λῆμμα (1) τοῦ Πονηροῦ φερούσας ἀναπετάσατε, καὶ συνδιασκοπεῖτέ μοι τῶν τὴν Παλαιὰν Νομοθεσίαν

SERMO III.

I. Aperite mihi, o mei, aures castas, et quæ nullum Mali dogma ferunt, mecumque considerate injurias in Deum sententias eorum qui Vetus Tes-

VARIÆ LECTIONES ET NOTÆ.

(11) Λῆμμα. Vox dialecticis familiaris est, qua propositiones argumenti a conclusione distinguunt. Latini itidem per *sumptionem* vertunt, præeunte Cicerone, lib. II, *De divinatione* : *Sed demus tibi duas istas sumptiones, et quæ* λήμματα *appellant dialectici.* Confer Diogenem Laertium *De vitis philosophorum*, lib. II, § 107, et adde Ezechielis Spanhemii Notas ad Aristophanis *Nubes*, v. 456. Apud Stoicos idem est λῆμμα quod alias dicitur πρότασις. Lege Ægid. Menagium, ad Laert. VII, 73. Ego in versione voci ampliorem subjeci notionem, quam scilicet scriptoris mens subjicere ipsi videbatur.

Digitized by Google Распознавание текста ABK/FR

tamentum calumniantur. Quod si enim illud a Malo est, quomodo illius codicem is, qui ad destruendum Malum venit, recipere sustinuit, et multis audientibus legere ea quæ de se prænuntiata erant, neque legere solum, sed et testari, ac dicere : *Hæc nunc impleta sunt in auribus vestris* [77] ; ac præterea *annum* illum, qui est periodus temporum, sicut tempus est mensura motus sensibilis, *ut acceptum Deo prædicare* [78]. Quomodo vero etiam in parabola de Lazaro et divite optimus et hominum amantissimus Dominus noster Mosen et prophetas salutaris conversionis et pœnitentiæ magistros appellat ? *Habent enim*, inquiens, *Mosen et prophetas : audiant illos* [79]. Nunquid enim is qui in communem hominum salutem nostram naturam suscepit, doctrinæ suæ initiatos, et ab errore liberatos, ad servos et ministros hostis amandarit, ut salutis fiant compotes ? Quis creatura Dei exsistens, vere et serio hunc tantæ insaniæ gradum admittat ? Porro si veteris instrumenti auctor Malus est, quomodo veritatis fons præcipit : *Scrutamini Scripturas, quia in illis invenietis vitam æternam* [80] ? Ubi enim est vita æterna, in quibus aculeus peccati dominatur ? Ubi vita æterna, in quibus homicida leges fert, et præcipit ? Talia scilicet lingua Deo inimica proferre audet. Si præterea vetus testamentum a Malo est, quomodo Veritas ipsa ait : *Si crederetis Mosi, crederetis et mihi : de me enim is scripsit* [81]. Non sane ait : Si in nonnullis crederetis Mosi, sed simpliciter ipsum ut fide dignum renuntiat. Quomodo vero iterum adversus eos, qui circa dissolutionem conjugii suspensos se gerebant, atque in patrocinium perturbationis suæ ad Mosen provocabant, suscepta strenue Legislatoris causa ait : *Moses ob duritiem cordis vestri permisit vobis dimittere uxores. Ab initio vero non erat ita* [82]. Unde autem id probat ? *Qui enim fecit eos*, inquit, *marem et feminam fecit* [83]. Itaque ea, quæ Servator in Evangeliis de conjugio sanxit, ab illo proficisci ait qui creaturis suis et operibus leges fixerit, et Mosen testatur non contempsisse leges in creatione latas, sed ex certis circumstantiis de postulatis ejus aliquid remisisse. Legi enim creationis ab initio factæ mea, inquit, lex concordat, solutio vero conjugii a dispensatione et dispositione Mosis pendet. Ob duritiem

[77] Luc. IV, 21. [78] ibid. 19. [79] Luc. XVI, 29. [83] ibid. 9.

A ἐνυβριζόντων τοῦ φρονήματος τὸ ἀντίθεον (12). Εἰ γὰρ ἐστὶν αὕτη τοῦ Πονηροῦ, πῶς ἠνέσχετο λαβεῖν τὸ βιβλίον ταύτης, ὁ τὸν Πονηρὸν καθελεῖν παραγενόμενος ; καὶ εἰς πολλῶν ἀναγνῶναι ἀκοὰς, δι' ὧν προεκηρύττετο τὰ περὶ ἑαυτοῦ, καὶ οὐκ ἀναγνῶναι μόνον, ἀλλὰ καὶ διαμαρτύρασθαι, ὅτι Ταῦτα νῦν πεπλήρωται ἐν τοῖς ὠσὶν ὑμῶν· καὶ τὸν ἐνιαυτὸν, ὃς ἐστι περίοδος χρόνων (13), ὁ δὲ χρόνος μέτρον κινήσεως αἰσθητῆς, τοῦτον ἀνακηρύξαι δεκτὸν Κυρίῳ ; Πῶς δὲ πάλιν ἐν τῇ τοῦ Λαζάρου καὶ τοῦ πλουσίου παραβολῇ ὁ φιλάνθρωπος καὶ ἀγαθὸς ἡμῶν Δεσπότης Μωσέα καὶ τοὺς προφήτας τῆς σωτηρίου ἐπιστροφῆς καὶ μεταμελείας διδασκάλους ἀποκαλεῖ ; Ἔχουσι γὰρ, φησὶ, Μωσέα καὶ τοὺς προφήτας· ἀκουσάτωσαν αὐτῶν. Ἆρα γὰρ ὁ ἐπὶ κοινῇ τοῦ B γένους (14) σωτηρίᾳ τὴν ἡμῶν φύσιν ἀναλαβὼν τοὺς μυσταγωγουμένους παρ' αὐτοῦ, καὶ τῆς πλάνης ἀπαλλαττομένους, εἰς τοὺς θεράποντας καὶ ὑπηρέτας ἀνέπεμπε τοῦ Ἐχθροῦ, καὶ τότε σωτηρίας τυχεῖν ; Καὶ τίς ἂν ἀνάσχοιτο πλάσμα Θεοῦ ὑπάρχων ἀληθῶς τῆς τοσαύτης ἀπονοίας τὴν ὑπερβολήν ; Ἁλίν δὲ, εἰ τῆς Παλαιᾶς Διαθήκης νομοθέτης ὁ Πονηρὸς, πῶς λέγει τῆς ἀγαθότητος ἡ πηγή· Ἐρευνᾶτε (15) τὰς Γραφὰς, ὅτι ἐν αὐταῖς εὑρήσετε ζωὴν αἰώνιον ; Ποῦ γὰρ ἡ αἰώνιος ζωὴ, ἐν οἷς τὸ κέντρον τῆς ἁμαρτίας πολιτεύεται ; ποῦ ἡ αἰώνιος ζωὴ, ἐν οἷς ὁ ἀνθρωποκτόνος νομοθετεῖ, καὶ παρακελεύεται ; τοῦτο γὰρ ἡ θεομάχος γλῶσσα θρασύνεται. Χωρὶς δὲ τῶν εἰρημένων, εἰ ἡ Παλαιὰ τοῦ Πονηροῦ· πῶς Ἀληθεια λέγει· Εἰ ἐπιστεύετε Μωσεῖ, ἐπιστεύετε ἂν ἐμοί· C περὶ γὰρ ἐμοῦ ἐκεῖνος ἔγραψεν ; Οὐκ εἶπεν· Εἰ ἔν τισιν ἐπιστεύετε Μωσεῖ, ἀλλ' ἁπλῶς αὐτοῦ τὸ ἀξιόπιστον ἀνεκήρυξε. Πῶς δὲ πάλιν πρὸς τοὺς κεχηνότας περὶ τὴν διάλυσιν τῶν γάμων καὶ τὸν Μωσῆν εἰς συνηγορίαν τοῦ πάθους προβαλλομένους λαμπρῶς ὑπερμαχῶν τοῦ νομοθέτου φησὶν, ὅτι Μωσῆς πρὸς τὴν σκληροκαρδίαν ὑμῶν ἐπέτρεψεν ὑμῖν ἀπολῦσαι τὰς γυναῖκας. Ἀπ' ἀρχῆς δὲ οὐ γέγονεν οὕτως· Καὶ πόθεν τὴν ἀπόδειξιν προάγει ; Ὁ γὰρ ποιήσας αὐτοὺς, φησὶν, ἄρσεν καὶ θῆλυ ἐποίησεν αὐτούς· ὥστε ἅπερ ἐνομοθέτει ὁ Σωτὴρ ἐν τοῖς Εὐαγγελίοις περὶ τῆς συζυγίας, ἐκ τοῦ θεμένου ἐν τοῖς αὐτοῦ πλάσμασι καὶ ποιήμασι τοὺς φύσει νόμους προελθεῖν ἐδήλου καὶ τὸν Μωσῆν οὐ καταφρονητὴν τῶν διὰ τῆς πλάσεως δεδομένων νόμων, ἀλλ' ἐκ πε-

[80] Joan. V. 39. [81] ibid. 46. [82] Matth. XIX, 8.

VARIÆ LECTIONES ET NOTÆ.

(12) Ex limine hoc sermonis patere videtur eum pro concione habitum fuisse ad audientes, quos scilicet hic ad attentionem iis verbis excitat, quæ ad legentes non æque bene accommodari possunt. Hujus rei vestigia et infra occurrent, quemadmodum et in fine hujus libelli diserte mentio fit τῆς ὁμιλίας. Et parum abest, quin idem de superiori libello asseram, cujus extrema verba, quæ etiam continuationem hujus commentationis sperare jubent, concionis sacræ habitum satis luculente sistunt.

(13) Περίοδος χρόνων. Plenius et disertius annum definit Pollux, l. LIV : Ἐνιαυτὸς, ἔτος, δωδεκάμηνος χρόνος ἡλίου περίοδος περιελθόντος ἐξ ὡρῶν εἰς ὥρας τοῦ θεοῦ, κύκλον τοῦ ἀστέρος περι- D δραμόντος.

(14) Γένος, *hominum*. Ita vertendum esse supra probavi in notis ad lib. I Photii, p. 139 (supra col. 83, not. 86).

(15) Ερευνᾶτε. Imperandi itaque notione accepit verbum hoc Photius, quemadmodum et veterum Ecclesiæ Græcæ doctorum plerique omnes, quorum loca cumulate attulit Jo. Caspar Suicerus in *Thesauro ecclesiastico*, tom. I, p, 1210. Ex recentioribus Erasmus Schmidius in *Animadversionibus ad N. T.* super hunc locum indicandi notionem præferendam studiose contendit, paucos nactus approbatores. Vide quæ olim in hanc rem scripsi ad Casauboniana, p. 297. Sed de hoc loco alias.

Digitized by Google Распознавание текста ABK/FR

ριστάσεως τὸ ἐκείνων ἠρεμεῖν ὀπενδιδόντα δικαίωμα (16). Τῷ γὰρ νόμῳ τῆς ἀπ' ἀρχῆς διαπλάσεως, φησίν, ὁ ἐμὸς συμφθέγγεται νόμος. Τὸ δὲ διέσιον τῆς συζυγίας, συγκαταβάσεώς ἐστι καὶ οἰκονομίας (17) Μωσαϊκῆς. Πρὸς γὰρ τὴν σκληροκαρδίαν ὑμῶν, φησίν, ἔγραψε Μωσῆς. Τῆς δὲ συναφείας τὸ ἀδιάλυτον, ὅπερ ἐγὼ νομοθετῶ καὶ ὁ πλάσας ἀπ' ἀρχῆς τὸν ἄνθρωπον διὰ τῆς κατὰ τὸ σῶμα διαφόρου διαπλάσεως, τὰ αὐτά μοι τοῖς ἔργοις προεῖπε καὶ προδιωρίσατο. Διὸ ἐπάγει· Ἐν τούτῳ καταλείψει ἄνθρωπος τὸν πατέρα, καὶ προσκολληθήσεται τῇ ἰδίᾳ γυναικί, καὶ ἔσονται οἱ δύο εἰς σάρκα μίαν. Ἵνα δὲ σαφέστερον μάθῃς, τίς ὁ διαπλάσας οὕτω τὰ σώματα, αὐτὸς εἰσάγων τὸν ζεύξαντα συνεισάγει καὶ τὸν Πλάστην. Φησὶν γάρ· Ὃ οὖν ὁ Θεὸς ἔζευξεν, ἄνθρωπος μὴ χωρίζέτω. Μαρτυρῶν ὁ Σωτὴρ, ὅτι καὶ ἡ κατὰ σχῆμα διαφορὰ τοῦ πλάσματος (18) ἀνδρὸς τε καὶ γυναικὸς, Θεοῦ τε τοῦ ἐπὶ πάντων ἐστὶ δημιούργημα, καὶ ὅτι συντηρεῖν ὀφείλει τὸ ἀδιάλυτον εἰς συνάφειαν. Καὶ ὅτι ἡ Μωσαϊκὴ εἰσήγησις τὴν σκληροκαρδίαν τῶν νομοθετουμένων περίστασιν εἶχε καθέλκουσαν εἰς ἐλάττωσιν τοῦ κατὰ τὴν πλάσιν σεσιγημένου νόμου τὸ ἀξίωμα.

enim cordis vestri, inquit, scripsit ista Moses. Indissolubilem vero conjugii nexum, quem ego præcipio, et is qui hominem ab initio condidit, per diversam quod ad corpus creationem opere ipso idem mecum ante edixit, et constituit. Ideo addit: *In hoc relinquet homo patrem et matrem, et adhærebit propriæ uxori, eruntque duo illi in carnem unam* [84].» Ut vero rectius intelligas, quis sit, qui ita formarit corpora, ipse et eum qui conjunxit, et qui condidit, eadem opera appellat. Ait enim: *Quod itaque Deus conjunxit, homo ne separet* [85]. Testatur Servator, quod diversitas formæ viri et feminæ a Deo, qui super omnia est, profecta sit, quodque conjunctionem illam indissolubilem conservare oporteat, Mosaica vero doctrina ad duritiem cordis eorum, qui legi obnoxii erant, tanquam ad circumstantiam seu conditionem respexerit, quæ de amplissimo legis, in creatione silentio præteritæ, postulato aliquid detraheret.

Β'. Ἑτέρῳ δὲ λόγῳ εἰ πονηρᾶς ἦν ἀρχῆς ἡ Παλαιὰ, πῶς ὁ τὴν χάριν συνάπτων τῷ νόμῳ Χριστὸς ὁ Σωτὴρ ἡμῶν λέγει· Πολλοὶ δίκαιοι ἐπεθύμησαν ἰδεῖν ἃ βλέπετε, καὶ οὐκ εἶδον; Πῶς γὰρ ἠθέλησαν ἰδεῖν οἱ τοῦ Πονηροῦ τὰ τοῦ Ἀγαθοῦ; ἡ γὰρ ἐπιθυμία τοῦ Ἀγαθοῦ ὁρμῆς ἀγαθῆς βλάστημά ἐστι. Καὶ πάλιν πῶς λέγει· Ἀβραὰμ εἶδε τὴν ἡμέραν τὴν ἐμὴν, καὶ ἠγαλλιάσατο; Ποῦ γὰρ ἀκόλουθον, ποῦ δὲ δυνατὸν, τὸν τῆς Παλαιᾶς Διαθήκης ἄνθρωπον εἰς τοσοῦτον ὕψος ἀναχθῆναι θεωρίας καὶ δυνάμεως, ὥστε ἰδεῖν τὴν ἡμέραν τῆς ἐπιδημίας (19) τοῦ ἀγαθοῦ Θεοῦ, καὶ ἀγαλλιάσασθαι; μάλιστά γε τοῦ θεσπεσίου Παύλου διαμαρτυρομένου καὶ λέγοντος (20) ὅτι τὸ κατὰ Χριστὸν μυστήριον, καὶ ἡ παρουσία τοῦ Σωτῆρος ἔλαθε τὰς ἀρχὰς καὶ τὰς ἐξουσίας τοῦ κόσμου, καὶ τὸν κοσμοκράτορα. Εἰ οὖν καὶ αὐτὸν τὸν κοσμοκράτορα τὸ μυστήριον ἔλαθε, πόθεν αὐτοῦ οἱ θεράποντες τοῦτο προεῖπον καὶ προεθεάσαντο; Σὺ δέ λυε καὶ τὸ περιφανέστερον ἔνι τὴν ἀσέβειαν ἐλέγχον

II. Ut vero ad alia transeamus, si mali principii vetus testamentum fuit, quomodo, qui gratiam cum lege conjunxit, Christus, Servator noster, ait: *Multi justi desiderarunt videre quæ videtis, sed non viderunt* [86]. Quomodo enim progenies Mali voluit videre, quæ sunt Boni? Cupiditas enim Boni ab impetu bono proficiscitur. Quomodo idem alibi dicit: *Abraham vidit diem meum, et exsultavit* [87]. Qui enim consequi, et qui fieri potest, ut homo Veteris Testamenti ad eam visionis dignitatem perveniat, ut diem nativitatis boni Dei conspiciat et lætetur? præcipue cum divinus Paulus testetur et dicat, quod mysterium Christi et adventus Servatoris potestates et principatus mundi, ipsumque mundi dominum latuerit. Quod si igitur et ipsum mundi dominum mysterium illud latuit, unde servi ejus id viderunt ante et perspexerunt? Tu vero audi et aliam eamque luculentiorem impietatis confutationem. Quando enim incredula et male sedula Sadducæorum

[84] Gen. II, 24; Matth. XIX, 5. [85] Matth. XIX, 6. [86] Matth. XIII, 17. [87] Joan. VIII, 56.

VARIÆ LECTIONES ET NOTÆ.

(16) Δικαίωμα, *postulata*. Ita vocem istam h. l. reddendam censui, quæ alioquin in Novo Fœdere in scriptoribus ecclesiasticis, πολύσημος est. Vide eam in rem Jac. Capellum in *Observationibus sacris*, p. 190; Jac Altingium, tom. V. Opp., p. 363; et Jac. Guffetum in *Commentario suo linguæ Hebr.* p. 882. Δικαιώματα πολέμου de *legibus* seu *juribus belli* profani scriptores dicunt. Vide Valesium, ad Notas Maussaci, p. 273.

(17) Οἰκονομίας. Vocis hujus significatus egregie, ut solet, evolvit Thomas Gatakerus, in Notis ad Marcum Antoninum, lib. XI, § 15. Vide et Jo. Casp. Suiceri *Thesaurum ecclesiast.* suo loco, et *Observationes sacras*, pag. 25 seq. Dionys. Petavium in *Dogmatibus theologicis, de incarnatione*, II, n. 1, et *De Trinitate*, p. 112; nec non Isaacum Casaubonum, ad *Epist.* Gregor. Nysseni, p. 90 seq. novissime autem Georg. Hickesium, in Præfatione ad Jo. Ernesti Grabii scriptum posthumum *Some instances of the defaults and omissions in M. Whistons Collection of testimonies*, p. 33, seq.

(18) Διαφορὰ τοῦ πλάσματος. Hæc igitur sexus diversitas instar symbolici præcepti fuisse videtur Photio, ex quo veteres indissolubilem conjugii nexum, quem Christus diserte ursit, tanquam creatoris institutis conformem, discere potuerint.

(19) Ἐπιδημίας. Ea voce scriptores ecclesiastici utuntur ad Christi, Domini nostri, adventum in carnem significandum. Vide loca ejusmodi apud Suicerum in *Thesauro eccles.* suo loco. Videntur autem illi eam mutuam sumpsisse a profanis gentilium scriptoribus, qui adventum deorum suorum, quem in urbes, ipsis acceptas, fieri consuevisse credebant, eadem exprimebant voce. Vide Henr. Valesii Notas ad Eusebii *Histor. ecclesiast.* p. 185.

(20) Λέγοντος. Alludere videtur ad locum Pauli., in Epist. ad Ephes. III, 9, 10; etc. his similes, Rom. XVI, 25; II, Tim. I, 9, 18; ubi tamen diserte mali dæmonis, hoc mysterium ignorantis, non fit mentio, quamvis ratione sensus subintelligi possit.

Digitized by Google Распознавание текста ABK/FR

factio septem finxit fratres, eorumque singulis successu temporis unam eamdemque uxorem tribuit, atque hoc figmento suo corporum resurrectionem avertere conata est, Servator illis insolubile, quod in commento suo esse opinabantur, opponentibus, quærentibusque, cujusnam ex septem istis futura sit uxor, primum quidem exprobravit tanquam Scripturas ignorantibus [88]. At quomodo animadversio in eos cadit qui ignorant quæ Mali sunt? At ille ex ignoratione Scripturarum aliud idque gravius ipsis impingit probrum, quod scilicet nec potentiam Dei norint. Hinc mysterium resurrectionis clarius expositurus : *In resurrectione enim*, inquit, *neque uxores ducunt, neque elocantur, sed ut angeli Dei in cœlo sunt* [89]. Imo imprudentiam hanc adhuc fortius efficaciusque castigaturus, et partim gratiæ ac legis concordem harmoniam expositurus iisdem vero, ac eadem opera recentibus adversariis plagas ex lege Mosaica inflicturus : *Nonne legistis*, inquit, *quod a Deo dictum est : Ego sum Deus Abrahami, et Deus Isaaci, et Deus Jacobi* [90]. Quo ipso diserte ostendit, quod Abraham et Isaac et Jacob æternæ vitæ hæredes sint, et quod Deus æternus, ac resurrectionis auctor, et, qui hinc pendet, fructus largitor illorum sit Deus. Adjungit vero in sequentibus hæc : *Non itaque Deus mortuorum Deus est, sed viventium* [91]. Atque hæc monuit, ut omnem impiorum hominum prætextum eluderet. Neque etiam omisit commemorare, ubi ista scripta exstent, sed per sanctum Marcum exclamat, in libro Mosis Deum hæc ad ipsum dixisse [92]. Quod si igitur Deus Deus mortuorum non est, sed potius apud eum vivit Abraham, vivit Isaac, vivit Jacob, omnesque, qui eamdem vivendi rationem sectati sunt, similesque sunt angelis Dei in cœlo, quomodo a malo principio, ceu impii isti nugantur, orti dicentur illi, qui ad veteris testamenti præscripta se composuerunt?

III. Adhuc vero magis refelli potest apostatarum sententia, quandoquidem Servator eos, qui cœlum ingredi cupiant, ad studium per angustam portam introeundi exhortatus, vicissim negligentes hujus mandati, tanquam operarios incuriæ illuc ablegat, ubi sit fletus et stridor dentium. Cumque undiquaque colligeret, qui se studiosos præcepti in regno suo præstiterint, iisque locum in eo assignaret, (adverte, o homo, mentem!), Abrahamo, et Isaaco, et Jacobo primum vindicat. Ait enim : Si audire no-

ἄκουε. Ἡνίκα γὰρ τὸ Σαδδουκαίων ἄπιστόν τε καὶ περίεργον ἑπτὰ μὲν ἔπλαττεν ἀδελφοὺς, μίαν δὲ ταὶ τὴν αὐτὴν παρὰ μέρος ἥρμοζον αὐτοῖς γυναῖκα, καὶ τὴν τῶν σωμάτων ἀνάστασιν ἀναιρεῖν τῷ πλάσματι διεμηχανῶντο, ὁ Σωτὴρ διαπυνθανομένοις αὐτοῖς τὸ διὰ τοῦ πλάσματος, ὡς ἐνόμιζον, ἄπορον, καὶ τίνος ἔσται τῶν ἑπτὰ γυνὴ, ἀπαιτοῦσιν, πρῶτον μὲν ἐπετίμησεν αὐτοῖς τῆς πλάνης ὡς τὰς Γραφὰς εὐκ εἰδόσι. Καίτοι τις ἐπιτίμησις τοῖς ἀγνοοῦσι τὰ τοῦ Πονηροῦ; Ὅθ δὲ προστίθησιν ἐκ τῆς ἀγνοίας τῶν Γραφῶν, ἕτερον αὐτοῖς ὀνειδισμὸν χαλεπώτερον, μηδὲ τὴν δύναμιν αὐτοὺς εἰδέναι τοῦ Θεοῦ. Εἶτα τρανότερον τὸ τῆς ἀναστάσεως ἀναπτύσσων μυστήριον· Ἐν γὰρ τῇ ἀναστάσει, φησὶν, οὔτε γαμοῦσιν, οὔτε ἐκγαμίζονται, ἀλλ' ὡς ἄγγελοι τοῦ Θεοῦ ἐν οὐρανῷ εἰσιν. Ἔτι δὲ σφοδρότερόν τε καὶ ἰσχυρότερον διελέγχων τὴν ἄνοιαν, καὶ ἅμα μὲν τῆς χάριτος καὶ τοῦ νόμου τὴν σύμφωνον (21) ἀλληλουχίαν τρανολογῶν, ἅμα δὲ καὶ πληγὴν (22) αὐτοῖς διὰ τῆς Μωσαϊκης νομοθεσίας καθιεὶς, καὶ δι' ἐκείνων τοῖς νῦν ἀποστάταις, Οὐκ ἀνέγνωτε, φησὶ, τὸ ῥηθὲν ὑπὸ τοῦ Θεοῦ· Ἐγώ εἰμι ὁ Θεὸς Ἀβραὰμ, καὶ ὁ Θεὸς Ἰσαὰκ, καὶ ὁ Θεὸς Ἰακώβ; δεικνύς τε ἐναργῶς διὰ τούτων ὅτι Ἀβραὰμ καὶ Ἰσαὰκ καὶ Ἰακὼβ τῆς αἰωνίου ζωῆς κληρονόμοι, καὶ ὅτι Θεὸς αἰώνιος, καὶ τῆς ἀναστάσεως εἰσηγητὴς, καὶ τῆς ἐκεῖθεν ἀπολαύσεως δοτὴρ ὁ τούτων Θεός. Συνάπτει δὲ καὶ κατὰ συνέχειαν· Οὐκ ἔστιν οὖν ὁ Θεὸς Θεὸς νεκρῶν, ἀλλὰ ζώντων. Καὶ ταῦτα εἶπεν, ἵνα πᾶσαν τῶν δυσσεβῶν περικόψῃ πρόφασιν. Οὐδὲ, ἔνθα γέγραπται, παραλέλοιπεν, ἀλλὰ διὰ τοῦ ἱεροῦ ἀνακράζει Μάρκου, ὡς ἐν τῇ βίβλῳ Μωσέως ὁ Θεὸς ταῦτα εἴρηκε πρὸς αὐτόν. Εἰ οὖν ὁ Θεὸς Θεὸς μὲν νεκρῶν οὐκ ἔστιν, ἀλλὰ ζῇ μὲν παρ' αὐτῷ Ἀβραὰμ, ζῇ δὲ Ἰσαὰκ, ζῇ δὲ Ἰακὼβ, καὶ πάντες ὅσοι τὴν αὐτῶν ἐζήλωσαν πολιτείαν, καὶ εἰσὶν ὡς ἄγγελοι τοῦ Θεοῦ ἐν οὐρανῷ, πῶς πονηρᾶς ἀρχῆς, ὡς ἡ πονηρία φησὶν, οἱ κατὰ τὴν παλαιὰν βεβιωκότες πολιτείαν;

Γ'. Ἔτι δὲ μᾶλλον διελέγχοιτο ἂν τῆς ἀποστασίας τὸ φρόνημα, ἐπειδὰν τοὺς βουλομένους τυχεῖν τῆς εἰσόδου τῶν οὐρανῶν παρακελευόμενος ὁ Σωτὴρ διὰ τῆς στενῆς πύλης ἀγωνίζεσθαι εἰσελθεῖν, τοὺς μὲν ἐῤῥᾳθυμηκότας περὶ τὴν ἐντολὴν, ὡς τῆς ἀκηδίας (23) ἐργάτας, ἔνθα ὁ κλαυθμὸς καὶ ὁ βρυγμὸς τῶν ὀδόντων ἀποπέμπει. Εἰσάγει δὲ, πανταχόθεν συνάγων τοὺς σπουδάσαντας περὶ τὴν ἐντολὴν, ἐν τῇ βασιλείᾳ αὐτοῦ, καὶ τούτους ἀνακλίνων ἐν αὐτῇ (ἐπίστησον, ἄνθρωπε, τὸν νοῦν!) τὸν Ἀβραὰμ καὶ Ἰσαὰκ, καὶ

[88] Matth. XXII, 29. [89] ibid. 30. [90] ibid. 31, 32, [91] ibid. [92] Marc. XII, 26.

VARIÆ LECTIONES ET NOTÆ.

(21) Τὴν σύμφονων. Ita lego pro συμφωνίαν, quod erat in ms. Atque id quidem locum tueri poterat, si particulam καὶ inter utramque vocem excidisse statuas. Sed placet prius.

(22) Πληγήν. Καθιέναι πληγήν, æque recte dicitur, quam καταφέρειν πληγήν, qua phrasi usus est Plutarchus, lib. II, *De fortuna Alexandri*, observante Henrico Stephano in *Thesauro linguæ*, quemadmodum etiam καθιέναι λόχον pro *submittere insidias*, dixerunt alii.

(23) Ἀκηδίας. Videri poterat legendum ἀδικίας. Hæc enim Christi phrasis est Lucæ XIII, 27. Ac præterea ex veterum ratione pronuntiandi η per ι fieri facile poterat, ut ἀδικίας pro ἀκηδίας a librario scriberetur. Sed tuendam tamen codicis lectionem existimo, quia de negligentibus et incuriosis hominibus hic sermo est.

Digitized by Google Распознавание текста ABK/FR

Ἰακὼβ καὶ τοὺς προφήτας προανακλίνει. Λέγει γάρ· Κἂν μὴ βούλησθε ἀκούειν· ὅταν ὄψησθε Ἀβραὰμ καὶ Ἰσαὰκ καὶ Ἰακὼβ καὶ πάντας τοὺς προφήτας ἐν τῇ βασιλείᾳ τοῦ Θεοῦ, ὑμᾶς δὲ ἐκβαλλομένους ἔξω; Καὶ τίνες οἱ ἐκβαλλόμενοι ἔξω, ἢ δηλονότι ὅσοι κατὰ μίμησιν τοῦ Ἀβραὰμ καὶ Ἰσαὰκ καὶ Ἰακὼβ, καὶ τῶν προφητῶν οὐκ ἐπολιτεύσαντο; Εἰ δὲ ὅσοι τὸν βίον αὐτῶν καὶ τὴν εὐσέβειαν οὐκ ἐζήλωσαν, τῆς βασιλείας ἐκβάλλονται τοῦ Θεοῦ, καὶ εἰς τὸν κλαυθμὸν καὶ βρυγμὸν τῶν ὀδόντων ἀποῤῥίπτονται, τίς ἂν ἀντάξιος εὑρεθείη τιμωρία τοῖς ἐπὶ τοσοῦτον ἐξοιστρήσασι μανίας; Ὦ στομάτων ἀπυλώτων καὶ τῷ πατρὶ τοῦ ψεύδους ἑτοίμως ὑπηρετουμένων, ὡς καὶ λῃστὰς καὶ κλέπτας καὶ τοῦ Πονηροῦ πλάσματα, καὶ ὑπηρέτας πολμᾷν ἐνυβρίζειν! Οἱ δὲ μηδὲ μέχρι τούτου τὴν λύσσαν ἱστῶντες, ἀλλὰ καὶ τὸν χαριζόμενον ἡμῖν τὴν αἰώνιον ζωὴν, καὶ τὴν βασιλείαν τῶν οὐρανῶν, ὃς ἐστι Θεὸς Ἀβραὰμ καὶ Ἰσαὰκ καὶ Ἰακὼβ, Θεὸς ζώντων καὶ οὐ νεκρῶν, πονηρὰν ἀρχὴν καὶ πονηρῶν ἔργων δημιουργὸν δυσφημοῦντες, τὰ ὡς ἀληθῶς τοῦ Πονηροῦ πλάσματα ἄρ' οὐχὶ τὴν διὰ πυρὸς καὶ τοῦ σκότους ἡτοιμασμένην τῷ διαβόλῳ ποινὴν διαπαντὸς εἰσπραττόμενοι οὐκ ἐλάττονα τῆς τόλμης τίσουσι δικην; Οὐδὲ τὸ χάσμα δὲ τὸ μεταξὺ τοῦ πλουσίου καὶ τοῦ Λαζάρου πεφρίκασιν, ὃ ἀ [πο] τειχίζει μὲν τοὺς μετὰ τοῦ Ἀβραὰμ εὐφραινομένους, ἀπὸ τῶν ἐν ταῖς βασάνοις κολαζομένων. Ἀλλ' οἴμοι! κἂν μὴ (24) νῦν τὴν αἴσθησιν τῆς τιμωρίας οὐκ ἔχοντες τὴν ἀπειλὴν τοῦ Σωτῆρος οὐ τεθήπασι, τότε δή, τότε πείρᾳ τὸ πικρὸν τῆς βασάνου μαθόντες, κἂν οὐδὲν κέρδος εὑρήσουσιν, πολλὴν καὶ μακρὰν καὶ ἀτελεύτητον ἑαυτῶν ποιήσονται τὴν κατάγνωσιν! Μάλιστα γὰρ ἐπειδὰν τὸν Ἀβραὰμ, κατὰ τὴν τοῦ πλουσίου παραβολὴν, εἰς ἐπικουρίαν καλοῦντες, ὃν ἐχλεύαζον, ἐλεοῦντα οὐχ εὑρήσουσιν (25). Εἰ γὰρ ὁ εἰς τὸν Λάζαρον παροινήσας τῶν Ἀβραμιαίων κόλπων φοβερῷ χάσματι ὑπερορίζεται, καὶ τῷ ἀκοιμήτῳ πυρὶ τὴν δίκην τῆς ἀφιλανθρώπου γνώμης ἀπαιτεῖται· καὶ τῆς μακαρίας ἐκείνης εὐφροσύνης καὶ ἀναπαύσεως γλίχεται μὲν, ἀπείργεται δὲ, καὶ φλέγεται μὲν τὴν γλῶσσαν, ὀδυνᾶται δὲ πικρὰς ὀδύνας· καὶ τότε τῆς παροινίας οὔσης, ὅτι μὴ μετέδωκε τῷ ὁμοφυεῖ συμπαθείας, ἀλλ' οὐχ ὅτι χλεύην ἐπήνεγκεν, ἢ δυσφημῶν ὤφθη· πῶς οὐκ ἂν πολλαπλασίως καταφλεχθείη καὶ τὸ στόμα καὶ ἡ γλῶσσα, καὶ τὰ σπλάγχνα πάντα, τῶν τοιαύτην καταχεόντων παροινίαν τοῦ Ἀβραὰμ, καὶ δι' αὐτοῦ πρὸς τὸν κοινὸν Δεσπότην καὶ Δημιουργὸν τὴν θεομαχίαν παραπεμπόντων; Εὖ δέ μοι συνέπου τοῖς ἑφεξῆς καὶ συνεπισκόπει.

litis, (quid fiet?) ubi videritis, et Abrahamum, et Isaacum, et Jacobum, et omnes prophetas in regno Dei, vos vero foras ejectos? Qui vero sunt ejecti illi, nisi isti, qui ad exemplum Abrahami et Isaaci et Jacobi vitam non composuerunt? Quod si vero e regno Dei expellendi sunt, et ad fletum atque stridorem dentium amandandi, qui vitam pietatemque eorum imitatione non expresserunt, quæ tandem pœna statuenda est digna illis, qui eo insaniæ processerunt? O effrenata hominum ora, Patri mendacii adeo inservientium, ut et latrones et fures, et Mali progeniem ac servos eos appellare audeant! Nonne vero illi, qui ne hic quidem furori suo obicem ponunt, sed et eum, qui vitam æternam regnumque cœleste nobis largitur, qui idem est Deus Abrahami et Isaaci et Jacobi, Deus viventium non autem mortuorum, tanquam malum principium et malorum operum opificem calumniantur; nonne, inquam, illi, utpote Mali vere progenies, supplicium, per ignem et tenebras diabolo paratum, perpetuo provocantes, dignam facinore audacissimo pœnam luent? Et ne sic quidem hiatum, qui inter divitem et Lazarum interjectus est, quique animas, cum Abrahamo convivantes, ab illis separat, qui æternis cruciatibus affliguntur, expavescunt? Vah, quam misere homines, qui nullum pœnæ sensum nunc habentes ab ipsis Servatoris minis sibi non timent, eo, eo, inquam, tempore acerbitatem dolorum experiundo edocti, nullumque operæ suæ lucrum capientes, contra se ipsos duram, longam et non revocandam sententiam ferent! Idque in primis tunc, ubi secundum parabolam de divite prolatam Abrahamum in auxilium vocantes, eum, quem antea ludibrio habuerunt, nulla sui miseratione tactum invenient. Si enim homo in Lazarum injurius ab Abrahami sinu per tremendum hiatum excluditur, et igne nunquam finiendo inhumanitatis suæ pœnam luit, ac æternæ illius beatitatis et quietis desiderio capitur quidem, sed non potitur; linguaque insuper uritur, et acerbissimos sentit dolores, ob eam tantum insolentiam, quod non misertus est hominis sibi similis, non autem, quod ludibrio aut conviciis affecit, quomodo non longe gravius illorum os et lingua et viscera omnia urentur, qui in Abrahamum se tam insolentes præstiterint, et per ejus latus communem Dominum et conditorem instar hostium oppugnarint? Tu vero et reliqua mecum considera ac perpende.

Δ'. Ὁ Σωτὴρ ἐν τοῖς Εὐαγγελίοις τὸ μεγαλαυχοῦν τῶν Ἰουδαίων καὶ μιαιφόνον καὶ ἄπιστον στηλιτεύων, καὶ ἀναξίους κρίνων γονῆς τῆς Ἀβραμιαίας, κἂν ἐκεῖθεν αὐτοῖς κατῇει τὸ φῦναι, Εἰ τέκνα ἦτε, φησὶ, τοῦ Ἀβραὰμ, ἐποιεῖτε ἂν τὰ ἔργα τοῦ

IV. Servator arrogantiam, homicidia et incredulitatem Judæorum in Evangeliis castigans, eosque stirpe Abrahami, quamvis hinc orti essent, indignos judicans, *Si filii*, inquit, *Abrahami essetis, Abrahami opera faceretis*[93]. Tunc nec hic subsistens, sed

[93] Joan. VIII, 39.

VARIÆ LECTIONES ET NOTÆ.

(24) Μή. Ita ms. Malim legere μέν.

(25) Εὑρήσουσιν. Sic lego pro εὑρίσουσιν quod erat in ms.

Digitized by Google Распознавание текста ABK/FR

ulterius progrediens in triumphante de iis confutatione, subjungit : *Non estis filii Abrahæ, sed diaboli*[94]. Ita enim ratio statuere jubet, illius quemdam et nomen et genus referre, cujus mores et genium in vita imitando exprimit. Quod si vero vetus testamentum mali, ceu inepte tradunt, principii esset, et Abraham ad illud pertineret, dicendum fuisset, filii estis Abrahami et filii diaboli, ex utroque enim, quod ut Deus odio, ita amore hostis prosequitur, Judæi utrumque colentes reprehendi poterant. Quomodo vero alibi iterum Servator illis, qui Abrahami sint, regnum cœlorum hæreditatis instar adjudicat, illisque jungit eos qui se ex toto corde et sine exceptione præceptorum studiosos præstiterint, eurumque cultum exhibuerint, adeo ut convictum cum illis in regno cœlorum tanquam præclarum aliquod et mirandum præmium polliceatur? *Dico enim vobis, quod multi ab oriente et occidente venient, et recumbent cum Abrahamo et Isaaco et Jacobo in regno cœlorum*[95]. Hoccine vero sit præmium eorum qui ipsum agnoverunt? hoccine donum pro illis qui cædes pro eo sustinuerunt? hæccine prærogativa? hæccine merces? quod cum ministris Mali et esse, et numerari et versari possint? Quomodo hæc et alia hujusmodi tulerint aures divinis sermonibus assuetæ?

V. Si vetus testamentum a diabolo erat, quomodo Matthæus et Lucas, Servatoris genealogiam recensentes, inter majores ejus et patres numerant illos, quos vetus inter decora sua habet? Nunquid enim in bonum Deum cadere potest externa species et simulatio? Nam non minima pars defectionis hujus et sectæ est, ut adversus Verbi incarnati adventum vel hoc modo insaniat. At enimvero quomodo Deus optimus vel quoad speciem et simulate, vel vere et opere ipso eos, qui in testamento, quod illi ad Malum referunt, eminuerant, majores suos et patres esse jusserit, atque adeo aliquid ejusmodi assumpserit, cujus conditorem hostem esse non ignorabat? Et quomodo non ex alio populo natus est, qui scilicet vim et potentiam diaboli non repetita vice expertus sit, sed ex illo prodiit, quem leges veteris testamenti formarunt et finxerunt, deinde vero post primam illam eamque malam creationem ad actiones moresque longe pejores perduxerunt et incitarunt? Si vetus testamentum Deum auctorem non habet, quomodo violatores legum conditoris naturalium, et lasciviæ se permittentes, voluntatique hostis penitus subjectos, igne punit, et impiorum ausorum pœnas luere jubet? Malum enim pœnas reposcere impietatis, qua ipse delectatur, et cujus ipse auctor est, qui vel cogitarit omnino vel dixerit, nonne is insanire merito credatur? Apostata vero ait hostem

A Ἀβραάμ. Καὶ ὁ θρίαμβος οὐ μέχρι τούτων, ἀλλὰ καὶ σφοδρότερον αὐτῶν καθαπτόμενος ἐπάγει, λέγων. Οὐκ ἐστὲ τέκνα τοῦ Ἀβραὰμ, ἀλλὰ τοῦ διαβόλου ἐστέ. Πολὺ γὰρ ἡ γνώμη κρατιὸν (26), ἐκείνου τὴν κλῆσιν καὶ τὸ γένος ὑπελθεῖν, οὗ τὸ γνήσιον ἐν τῇ μιμήσει φέρει τῆς ζωῆς. Εἰ δ' ἦν ἡ Παλαιὰ κατὰ τὰς ἀθέτους φωνὰς τοῦ Πονηροῦ, ταύτης δὲ ὁ Ἀβραὰμ, ἴσον ἦν εἰπεῖν· Τέκνα τοῦ Ἀβραὰμ, καὶ τέκνα τοῦ διαβόλου· δι' ἑκατέρου γὰρ ἃ μισεῖ μὲν ὁ Θεὸς, στέργει δὲ ὁ Ἐχθρὸς, ἐλέγχονται τιμῶντες ὁμοίως οἱ Ἰουδαῖοι. Πῶς δὲ καὶ ἀλλαχοῦ πάλιν ὁ Σωτὴρ τοῖς περὶ Ἀβραὰμ τὴν βασιλείαν τῶν οὐρανῶν εἰς κλῆρον ἀφορίζει, καὶ συντάττει τούτοις τοὺς ὁλοψύχῳ γνώμῃ τῶν τε προσταγμάτων φύλακας ἀπροφασίστους δεδειγμένους καὶ καθαροὺς αὐτῷ τὴν λατρείαν προσ-
B ενεγκόντας, καὶ ὥσπερ τι μέγα καὶ θαυμάσιον ἔπαθλον διδοὺς, τὴν μετὰ τῶν ἀνδρῶν ἐκείνων ἐν τῇ τῶν οὐρανῶν βασιλείᾳ ἐπαγγέλλεται συναυλίαν; Λέγω γὰρ ὑμῖν, ὅτι πολλοὶ ἀπὸ ἀνατολῶν καὶ δυσμῶν ἥξουσι, καὶ ἀνακλιθήσονται μετὰ Ἀβραὰμ καὶ Ἰσαὰκ καὶ Ἰακὼβ ἐν τῇ βασιλείᾳ τῶν οὐρανῶν. Ἆρα γὰρ τοῦτο ἔπαθλον τοῖς ἐπεγνωκόσιν αὐτόν; ἆρα τοῦτο δῶρον τοῖς, ὅσοι τὰς σφαγὰς ὑπέσχον ὑπὲρ αὐτοῦ; τοῦτο φιλοτιμία; τοῦτο ἔπαθλον, τὸ μετὰ τῶν θεραπευόντων τοῦ Πονηροῦ καὶ συνεῖναι, καὶ συναριθμεῖσθαι, καὶ συναγελάζεσθαι; Καὶ ποία ἂν ταῦτα ἀνέξεται ἀκοὴ ῥημάτων ὅλως ἔχουσα ἀκοὴν θείων;

Ε'. Καὶ εἰ ἡ Παλαιὰ τοῦ διαβόλου ἦν, πῶς ὁ Ματθαῖος καὶ Λουκᾶς τὴν τοῦ Σωτῆρος ἀναπτύσσοντες
C γενεαλογίαν, προγόνους αὐτοῦ καὶ πατέρας τοὺς, οὓς ἡ Παλαιὰ κλέος εἶχεν, ἀναγράφουσι; Πῶς γὰρ ὁ ἀγαθὸς Θεὸς ᾖ ἐν σχήματι καὶ ὑποκρίσει; Ἔστι γὰρ, ἔστι τις τῆς ἀποστασίας ταύτης οὐκ ὀλίγη μοῖρα, καὶ ταύτην τὴν λύσσαν κατὰ τῆς ἐνσάρκου τοῦ Λόγου παρουσίας προφέρουσα. Ἀλλὰ πῶς ὁ Ἀγαθὸς ἢ κατὰ σχηματισμὸν καὶ ὑπόκρισιν, ἢ ἐν ἀληθείᾳ καὶ ὑπάρξει τοὺς ἐν τῇ πονηρᾷ διαπρέψαντα; Διαθήκῃ πατέρας καὶ προγόνους ἑαυτοῦ γενέσθαι κατεδέξατο, καὶ τοιούτου σπέρματος ἐπιλαβέσθαι, οὗ πλάστην
D οὐκ ἠγνόει τὸν Πολέμιον; Καὶ πῶς μὴ ἐξ ἄλλου ἔθνους προῆλθεν αὐτὸς, ὃ μὴ δευτέραν εἶχεν ἐνέργειαν τοῦ Πονηροῦ, ἀλλ' ἐξ ἐκείνου πρόεισιν ὃ τῆς Παλαιᾶς οἱ νόμοι διεμόρφουν τε καὶ διετίθεντο, καὶ μετὰ τὴν ἀπ' ἀρχῆς πονηρὰν πλάσιν πονηροτέροις ἄλλοις ἔργοις καὶ ἔθεσιν ἐπαιδαγώγουν τε καὶ διέπλαττον; Καὶ εἰ μὴ ἦν ἡ Παλαιὰ τοῦ Θεοῦ, πῶς τοὺς ἀθετήσαντας τοὺς ἐν τῇ φύσει νόμους τοῦ Πλάστου, καὶ εἰς ἀσέλγειαν μὲν ἐξοκείλαντας, τῷ θελήματι δὲ παντελῶς καταδουλωθέντας τοῦ Ἐχθροῦ πυρὶ κολάζει. καὶ τὴν τῶν τε τολμημένων δίκην ἀπαιτεῖ; τὸν Πονηρὸν γὰρ δίκην ἀπαιτεῖν τῆς αὐτὸν τερπούσης καὶ ἐκ αὐτοῦ προϊούσης πονηρᾶς ἐργασίας, πῶς οὐκ ἂν εἴη ὅλως ἢ ἐννοηθῆναι [ἢ λεχθῆναι] οὐ μανικόν; Ὁ δὲ ἀποστάτης τῶν πονηρῶν ἔργων τοὺς πονηροὺς πονηρῷ πλά-

[94] Joan. VIII, 30. [95] Matth. VIII, 11.

VARIÆ LECTIONES ET NOTÆ.

(26) Κρατιόν. Malim legere κραταιοῖ, quia alioquin hiulca videtur oratio.

Digitized by Google Распознавание текста ABK/FR

σματι ἄλλῳ τῷ πυρὶ τὴν τιμωρίαν εἰσπράττεσθαι λέγει τὸν Ἐχθρὸν (27) ἐτῶν τοῖς σαρκὸς πάθεσι κατασυρέντας κατακλυσμῷ κολάζει (28). Μισοπονήρου γὰρ ἐστι καὶ ἀγαθοῦ καὶ δικαίου, τό τε κακὸν ἀναστέλλειν, καὶ τοὺς πρὸς τὴν ἁμαρτίαν, ἀναιδευσαμένους τὴν ἴσην εἰσπράττεσθαι τιμωρίαν, ἀλλ' οὐχὶ πονηροῦ ποθεν, οὐδὲ φιλοῦντος καὶ νομοθετοῦτος τὴν ἁμαρτίαν.

ς'. Ἵνα δὲ μάθῃς ἀκριβέστερον, ὡς ὁ αὐτός ἐστιν ἀγαθὸς καὶ φιλάνθρωπος Θεός, ὅ τε τοῦ δικαίου ἔκδικος ἐν τῇ Παλαιᾷ καὶ ὁ ἐν τῷ χάριτι, ξηραίνει μὲν τὴν συκῆν καρπὸν αὐτῷ μὴ προσενεγκοῦσαν, μυρίαις δὲ ἀπειλαῖς ὑποβάλλει τοὺς αὐτῷ μὴ πειθομένους, καὶ τὸ σφοδρότερόν τε καὶ ἀμίμητον τῆς κολάσεως, εἰς τὸ ἐξώτερον πῦρ τὸ ἡτοιμασμένον τῳ διαβόλῳ καὶ τοῖς ἀγγέλοις αὐτοῦ, τοὺς παραβεβηκότας (29) αὐτοῦ τοὺς νόμους καταδικάζει. Καὶ κατ' ἀρχὰς μὲν προσκαίρῳ πυρὶ καὶ ὕδατι τιμωρεῖται, ἐπὶ τέλει δὲ διαιωνίζοντι καὶ ἀτελευτήτῳ. Ὁρᾷς πῶς τὸ μισοπόνηρον πανταχοῦ ὥσπερ καὶ τὸ φιλάνθρωπον γνώρισμά ἐστι καὶ μαρτύριον τῆς ἀγαθότητος τοῦ Θεοῦ; Καὶ οὐκ αὐτὸς μὲν ταῦτα πράττει, τοὺς μαθητὰς δὲ τῆς τοιαύτης πράξεως ἀναστέλλει; ἀλλὰ Πέτρος μεν ὁ ἐν τῇ χάριτι λαμπρὸς τὸν Ἀνανίαν καὶ τὴν Σάπφειραν ψευδολογίας θάνατον ἔλαβε τὴν δίκην (30). Παῦλος δὲ, ὁ θερμὸς τῆς χάριτος κήρυξ καὶ διδάσκαλος τῆς οἰκουμένης, τυφλὸν μὲν εὐθὺς ποιεῖ τὸν Ἐλύμαν, αὐτὸς μαθὼν, ἐξ ὧν πέπονθεν, ὅσον ἡ ποινὴ κέρδος φέρει. Τὸν δὲ πεπορνευκότα Κορίνθιον παραδίδωσι τῷ Σατανᾷ εἰς ὄλεθρον τῆς σαρκός. Ἀλέξανδρον δὲ εἰς τὴν ἐκεῖθεν παραπέμπει βάσανον καὶ κρίσιν. Καὶ εἰ ὀργὴ καὶ θλῖψις καὶ στενοχωρία ἐπὶ πᾶσαν ψυχὴν ἀνθρώπου τοῦ κατεργαζομένου τὸ κακὸν (31), σφόδρα διαμαρτύρεται ὁ Παῦλος, ὥσπερ δόξα καὶ τιμὴ καὶ εἰρήνη παντὶ τῷ ἐργαζομένῳ τὸ ἀγαθόν, πῶς προσωποληψία οὐκ ἔστι παρὰ τῷ Θεῷ; πῶς οἱ κατακριθέντες ἐν τῇ Παλαιᾷ οὐχ ὑπὸ τοῦ αὐτοῦ κατεκρίθησαν ἀγαθοῦ Θεοῦ, ὃς καὶ τὴν χάριν νομοθετεῖ, καὶ τὸ ἀπροσωπόληπτον αὐτοῦ, οἷς ὑπέστησεν, ἐβεβαίωσε; Καὶ οὑσοις ἄν τις ἐπιδείξαιτο τὴν μισοπόνηρον δίκην ἐν τοῖς τῆς χάριτος νόμοις τὸ κράτος ἔχουσαν ἄμαχον:

ζ'. Χωρὶς δὲ τῶν εἰρημένων, εἰ πονηρᾶς ἦν ἀρχῆς ἡ Παλαιὰ, πῶς ὁ μετάρσιος καὶ οὐράνιος ἄνθρωπος, Παῦλος, εὐθὺς ἀρχόμενος τῶν Ἐπιστολῶν διὰ τῶν προφητῶν αὐτοῦ ἐν Γραφαῖς ἁγίαις τὸν Θεὸν προσεπαγγέλλεσθαι λέγει, περὶ τοῦ Υἱοῦ αὐτοῦ τοῦ γενομένου ἐκ σπέρματος Δαβὶδ κατὰ σάρκα; Εἰ γὰρ Θεοῦ προφῆται καὶ Γραφαὶ ἅγιαι, δι' ὧν ὁ Θεὸς προεπηγγείλατο περὶ τοῦ Υἱοῦ αὐτοῦ, ποῦ ὁ Πονηρὸς εὑρήσει τὴν ἀρχὴν; Καὶ εἰ τὰ ἀόρατα αὐτοῦ, τουτέστι τοῦ

A homines malorum operum auctores per creaturam aliam malam, ignem scilicet, ad pœnam vocare, eosque qui cupiditatibus carnis abrepti sint, diluvio punire. Jam autem et boni et justi et malis infensi opus est, malum prohibere, impudentesque peccatores ad dignum rapere supplicium, quæ sane malum, aut peccatum amantem, imo legibus præcipientem non decent.

VI. Ut vero adhuc magis intelligas, quod idem bonus et hominum amans Deus est, qui et in veteri et in novo testamento justum tueatur, ficum exarescere jubet, quæ fructum petenti non exhibebat [96], infinitisque minis sibi non audientes exponit, legumque suarum transgressores graviori nec imitabili supplicio, igni scilicet, qui diabolo et angelis ejus paratus est, subjicit. Atque ita primum quidem igne et aqua temporali, tandem vero æterno et nunquam finiendo punit. Vident, quod et odium malorum et humanitas semper argumentum et signum sit bonitatis Dei? Nec ipse solum ita agit, discipulosque forte ab ejusmodi actionibus prohibet, sed et illustris in novo testamento Petrus, Ananiam et Sapphiram morte in mendacii pœnam affecit. Paulus quoque, strenuus Evangelii præco, et doctor orbis, Elymam ex vestigio cæcum fieri jubet [97], ipse scilicet ex iis, quæ perpessus erat, edoctus, quantum commodum pœna afferat. Idem hominem Corinthium, scortationi deditum, Satanæ in perniciem carnis tradit, Alexandrum vero eidem cruciatui et judicio adjudicat [98]. Imo cum idem Paulus testetur, quod ira, afflictio et angustia ventura sit super omnem animam hominis malum patrantis [99], sicut vicissim gloria et honor et pax sit hominis bonum operantis, nec personam Deus respiciat; quomodo, qui in Veteri Testamento damnati sunt, non ab eodem condemnentur Deo bono, qui et Evangelium promulgavit, et, quam nullus apud se sit personarum delectus, factis demonstravit? Quis vero suffecerit enarrandis gratiæ seu novi testamenti legibus, quæ evincant, justitiam malis inimicam ibi perpetuo valere?

VII. Præterea vero, si vetus testamentum mali est principii, quomodo divinus et cœlestis vir Paulus, statim ab initio epistolarum suarum, profitetur Deum per prophetas suos in Scriptura sacra testari de Filio suo, ex semine Davidis secundum carnem orituro [1]? Quod si enim Dei sunt prophetæ, et Scripturæ sacræ, per quas Deus de Filio suo ante nuntiavit, ubi Malus principium invenerit? Et si invisibilia ejus, hoc est Dei et Patris Domini nostri

[96] Matth. XXI, 19. [97] Act. XIII, 8. [98] Tim. I, 20. [99] Rom. II, 9. [1] Rom. I, 2 seqq.

VARIÆ LECTIONES ET NOTÆ.

(27) Ἐτῶν, Lego καὶ τοὺς.

(28) Κολάζει. Lego κολάξειν.

(29) Παραβεβηκότας. Hoc modo res ipsa legere jubet, pro περιβεβηκότες, quod habet ms. Supra vero ad tomum I, p. 8, monui, τὸ, παρὰ et περὶ sæpe inter se permutari.

(30) Ἔλαβε τὴν δίκην. De phrasibus διδόναι et λαμβάνειν τὴν δίκην vide Thomam Gatakerum in *Dissert. de stylo N. T.* et Jo. Vorstium, *De Hebraismis N. T.* part. I, c. 7, p. 215.

(31) Excidisse hic videtur vocula ὡς vel similis.

Digitized by Google Распознавание текста ABK/FR

Jesu Christi, a creato mundo ex operibus cognita conspiciuntur, in quibus tandem opifex malus cognoscetur? Invisibilia et mente assequenda Dei sunt: hæc vero ex creatione visui et sensibus subjecta perspiciuntur. Nisi enim ex visibilibus creaturis invisibilia Dei intelligerentur, certe invisibilia hæc ab istis non distinxisset, neque ex istis ea perspici jussisset. Quomodo autem in creaturis sensibilibus, hoc est, in creaturis mali perspiciuntur invisibilia Dei, nempe æterna illius potentia et divinitas? Malitia sane potius et turpitudo Mali in iis conspicerentur, siquidem in universum tales ejus creaturæ exsisterent. Quod vero lex a bono Deo sit, etiam hinc facile demonstraveris. Paulus enim, os Christi, ait, quod non auscultatores, sed observatores legis justitiam consequentur. Quomodo lex a bono Deo profecta non sit, qui pro pœna irroganda eos, qui legem impleverunt, justos pronuntiat? Et si transgressor legis, etiam circumcisus carnem pro præputiato habetur, et divina gratia indignus, præputiatus vero, si legis jussa sectetur, circumcisionem sanctissimi Spiritus in anima circumfert, nonne lex a bono Deo repeti debebit? Si vero Christus Jesus, prout Paulus exclamat [1], minister fuit circumcisionis, pro veritate scilicet Dei, ad confirmandas promissiones patribus factas, quas proinde Christus stabilivit; idem vero Deus patribus has promissiones fecit, qui et cœlum hoc sensibus expositum et terram condidit, quemque Moses in historia creationis Deum prædicat, qui insuper a Paulo in hoc et aliis locis pluribus Servatoris nostri pater appellatur, cujus promissiones ipse ut genuinus filius per se, non vero aliena opera usus, ratas et stabiles esse demonstraverit, qui fieri potest, ut impudentissima apostatarum factio non confundatur? Quid vero provoco ad Paulum, virum alioquin cognitione Veteris Testamenti, et sapientia Novi tantopere illustrem, cum communem Dominum audere liceat præcipientem et dicentem: *Ne existimetis me venisse ad solvendam legem aut Prophetas: non veni ut solverem legem, sed ut implerem* [2]. Et alibi: *Amen, amen, dico vobis: Non transibit cœlum et terra, aut iota unum, unusve apex, donec omnia ista evenerint* [3]. Ego ut impleturus legem veni, ait Christus, at impii oris est dicere me venisse ut Patris legem dissolverem. Ego vero nihil ejus non impletum relinquam; nihil in ea a Malo inspiratum est; nihil falsum deprehendetur: omnia veritatis plena sunt. Ego sum præsidium sermonum propheticorum. Mei enim et Patris servi ac ministri prophetæ sunt, qui et adventum meum, et omnia, quæ huc pertinent, præviderunt et prænuntiarunt. Itaque nec parvum quidquam, nec magnum eorum, quæ illi prædixerunt, vel quæ lex continet, præterebit, quod non a veritate tandem obsignetur. Si enim ego circumcisionis minister sum ad confirmandas promissiones, quas Pater fecit patribus, quomodo vel iota unum, hoc est, minimum eorum quæ a lege vel prophetis dicta

A Θεοῦ καὶ Πατρὸς τοῦ Κυρίου ἡμῶν Ἰησοῦ Χριστοῦ, ἀπὸ κτίσεως κόσμου τοῖς ποιήμασι νοούμενα, καθορᾶται, ἐν τίσιν ὁραθείη δημιουργὸς ὁ Ἐχθρός; Τὰ ἀόρατα καὶ νοούμενα τοῦ Θεοῦ ἐστι· ταῦτα δὲ καθορᾶται ἀπο τῆς αἰσθητῆς καὶ ὁρατῆς. Εἰ γὰρ μὴ διὰ τῆς ὁρατῆς κτίσεως τὰ ἀόρατα τοῦ Θεοῦ καθορᾶται, οὐκ ἂν μὲν διέστειλε τὰ ἀόρατα ἐξ αὐτῆς· οὐκ ἂν δὲ διὰ ταύτης ἐδίδαξεν ἐκεῖνα καθορᾶσθαι. Πῶς οὖν ἐν τοῖς ποιήμασι τοῖς αἰσθητοῖς καθορᾶται τὰ ἀόρατα τοῦ Θεοῦ, καὶ τότε ἡ ἀΐδιος αὐτοῦ δύναμις καὶ θειότης ἐν τοῖς ποιήμασι τοῦ Πονηροῦ; Τοὐναντίον γὰρ ἐν τοῖς ποιήμασι τοῦ Ἐχθροῦ, εἴπερ ἦν ὅλως τινὰ, ἡ πονηρία καὶ αἰσχρότης αὐτοῦ καθορᾶτο ἄν. Ὅτι δὲ ὁ νόμος ἐκ τοῦ ἀγαθοῦ Θεοῦ, κἀντεῦθεν ἄν τις ἐπιδείξοιτο ῥᾷον. Λέγει γὰρ ὁ Παῦλος, τὸ στόμα τοῦ B Χριστοῦ, ὅτιπερ οὐχ οἱ ἀκροαταὶ τοῦ νόμου δίκαιοι παρὰ τῷ Θεῷ, ἀλλ' οἱ ποιηταὶ τοῦ νόμου δικαιωθήσονται. Καὶ πῶς οὐκ ἔστιν ὁ νόμος ἐκ τοῦ ἀγαθοῦ Θεοῦ, ὃς ἀντὶ τοῦ κολάζειν δικαίους ἀποφαίνει τοὺς ποιοῦντας αὐτόν; Καὶ εἰ ὁ παραβάτης τοῦ νόμου, κἂν περιτετμημένος ᾖ τὴν σάρκα, ὡς ἀκρόβυστος λογίζεται, καὶ ἀνάξιος κρίνεται τοῦ Θεοῦ· ὁ δὲ ἀκρόβυστος τὰ δικαιώματα φυλάσσων τοῦ νόμον τὴν περιτομὴν τοῦ παναγίου Πνεύματος φέρει ἐν τῇ ψυχῇ, πῶς οὐχὶ ὁ νόμος ἐκ τοῦ ἀγαθοῦ Θεοῦ; Εἰ δὲ, καθὰ διακέκραγεν ὁ Παῦλος, Χριστὸς Ἰησοῦς διάκονος γέγονε περιτομῆς, διατί; ὑπὲρ ἀληθείας Θεοῦ, εἰς τὸ βεβαιῶσαι τὰς ἐπαγγελίας τῶν πατέρων, καὶ ταύτας ἐβεβαίωσεν ὁ Χριστός; ἐκεῖνος δὲ τοῖς πατράσι διέθετο τὰς ἐπαγγελίας, ὁ καὶ τὸν αἰσθητὸν τὸν C οὐρανὸν καὶ τὴν γῆν δημιουργήσας Θεὸς, ὃν καὶ Μωσῆς ἐν τῇ κοσμογενείᾳ θεολογεῖ· δείκνυται δὲ δι' ὧν ὁ Παῦλος ἐνταῦθα καὶ ἐν πολλοῖς ἄλλοις λέγει, τοῦ Σωτῆρος ἡμῶν οὗτος πατὴρ, οὗ τὰς ἐπαγγελίας ὡς γνήσιος υἱὸς ἀπαραβάτους τε καὶ ἀψευδεῖς αὐτὸς δι' ἑαυτοῦ, καὶ οὐ δι' ἄλλου ἐπεδείξατο, πῶς τῆς ἀποστασίας οὐ καταδύεται τὸ ἀναίσχυντον; Ἀλλὰ τί μοι λέγειν Παῦλον, καίτοι τηλικοῦτον ὄντα τῇ τε γνώσει τῆς Παλαιᾶς καὶ τῇ σοφίᾳ τῆς χάριτος αὐτοῦ, πάλιν ἐνῆν τοῦ κοινοῦ Δεσπότου διακούειν, διατεινομένου καὶ λέγοντος· Μὴ νομίσητε, ὅτι ἦλθον καταλύσαι τὸν νόμον ἢ τοὺς προφήτας· οὐκ ἦλθον καταλῦσαι τὸν νόμον, ἀλλὰ πληρῶσαι; Καὶ· Ἀμὴν, ἀμὴν, λέγω ὑμῖν, οὐ μὴ παρέλθῃ D ὁ οὐρανὸς καὶ ἡ γῆ, ἓν ἰῶτα ἢ μία κεραία, ἕως ἂν ταῦτα πάντα γένηται. Ἐγὼ πληρωτὴς ἦλθον τοῦ νόμου· στομάτων ἐστὶ πονηρῶν τὸ λέγειν, ἐμὲ παραγενέσθαι τοὺς πατρικοὺς παραλῦσαι νόμους. Οὐδὲν αὐτοῦ ἀτελείωτον ἐάσω, οὐδὲν ἐπιπνοίας ἐν αὐτῷ πονηρᾶς, οὐδὲν εἰς ψεῦδος λήξει· πάντα μεστὰ τῆς ἀληθείας. Ἐγὼ τῶν προφητικῶν φωνῶν ἡ βεβαίωσις. Ἐμοὶ γὰρ ὄντες καὶ τοῦ ἐμοῦ Πατρὸς ὑπηρέται καὶ διάκονοι τήν τε παρουσίαν τὴν ἐμὴν, καὶ πάντα τὰ τῆς παρουσίας σαφῶς προεῖδόν τε καὶ προήγγειλαν. Διὸ ἐξ ὧν τε ἐκεῖνοι προεῖπον καὶ ὁ νόμος περιέχει, οὐ μικρὸν, οὐ μέγα παρελεύσεται, ὅ μὴ τῆς ἀληθείας τῷ πέρατι σφραγισθῇ.

[99] Rom. xv, 8. [1] Matth. v, 17. [2] ibid. 18.

Digitized by Google Распознавание текста ABK/FR

Εἰ γὰρ ἐγὼ διάκονος περιτομῆς εἰς τὸ βεβαιωθῆναι τὰς ἐπαγγελίας, ἃς ὁ Πατὴρ διέθετο τοῖς πατράσι, πῶς ἴσως ἦν, τουτέστι τὸ ἐλάχιστον τῶν ἐν τῷ νόμῳ καὶ τοῖς προφήταις ῥηθέντων, δύναιτ' ἂν ὅλως παρελθεῖν ἢ μὴ γενέσθαι.

A sunt, omnino præterire aut non impleri poterit?

Η'. Ἀλλ' ἐφ' ἕτερόν μοι τὴν θεωρίαν συμμετακίνει, εἰ λόγια Θεοῦ τὰ ἐν τῷ νόμῳ. Λέγει γὰρ ὁ Παῦλος· Τίς ἡ ὠφέλεια τῆς περιτομῆς; Εἶτα· Πολλὴ κατὰ πάντα τρόπον. Πρῶτον μὲν γὰρ ὅτι ἐπιστεύθησαν τὰ λόγια τοῦ Θεοῦ. Τί γὰρ εἰ ἠπίστησάν τινες, μὴ ἡ ἀπιστία αὐτῶν τὴν πίστιν τοῦ Θεοῦ καταργεῖ; Μὴ γένοιτο. Γενέσθω δὲ ὁ Θεὸς ἀληθὴς, πᾶς δὲ ἄνθρωπος ψεύστης. Καὶ οὐκ ἀνέχεται μὲν τὴν πίστιν τοῦ Θεοῦ καταργηθῆναι· πάντα δὲ ἄνθρωπον ψεύστην αἱρεῖται ἐλεγχθῆναι, ἵνα ὁ Θεὸς, ὁ τὴν περιτομὴν δοὺς, ἐπιγινώσκοιτο ἀληθής. Εἰ οὖν καὶ λόγια Θεοῦ εἰσιν, ἃ ἐπιστεύθη Ἰσραὴλ, καὶ ἡ ἀπιστία αὐτῶν τὴν τοῦ Θεοῦ πίστιν οὐ καταργεῖ, καὶ δεῖ μᾶλλον ψεύστας νομίζειν τοὺς ἀπιστοῦντας Θεῷ, παναληθέστατον δὲ τὸν δεδωκότα τοὺς νόμους τῷ Ἰσραὴλ πῶς οὐχὶ τοῦ ἀγαθοῦ Θεοῦ ἐστι νομοθεσία ἡ Παλαιά; Μὴ γὰρ τὸν Πονηρὸν, ὃς ἀπ' ἀρχῆς ψεύστης ἐστὶ, καὶ ἐν τῇ ἀληθείᾳ οὐχ ἕστηκε, τοῦτον μὲν ἀληθείας λέγει ὁ Παῦλος πηγήν. Προκρίνει δὲ πάντας ἀνθρώπους εἰς ψεῦδος ἀπενεχθῆναι, ἵνα ὁ τοῦ ψεύδους ἀρχιτέκτων καὶ δημιουργὸς ἀληθείας κηρυχθῇ. Καὶ εἰ ἡ δικαιοσύνη τοῦ Θεοῦ πεφανέρωται, μαρτυρουμένη ὑπὸ τοῦ νόμου καὶ τῶν προφητῶν, πῶς οὐχὶ ὁ νόμος καὶ οἱ προφῆται, οὐχὶ τῆς ἐκ τοῦ ἀγαθοῦ Θεοῦ ἐπιπνοίας καὶ ἀληθείας πεπληρωμένοι νομίζοιντο ἄν; Ἀλλ' ὅρα τὸ φρικτὸν τῆς θεομαχίας ἐπὶ πλέον καὶ κατάπτυστον. Εἰ ὁ Θεὸς διὰ τοῦ αἵματος αὐτοῦ ἐλυτρώσατο τὸν κόσμον ἐκ τῆς δουλείας τοῦ Ἐχθροῦ, τὸ δὲ αἷμα καὶ ἡ σὰρξ (ἀλλὰ ῥίττων καὶ τοὺς λογισμοὺς καὶ τὴν γλῶσσαν τοῖς θεομάχοις λέγειν ἀφίημι τὸ ἑαυτῶν), πῶς διὰ τοιούτου πλάσματος τὸ γένος ἡμῶν ἥρπασεν ἐκ τῆς δουλείας τοῦ Ἐχθροῦ; Πολλῆς μὲν γὰρ ἂν ἅμα χάριτος καὶ δόξης καὶ τιμῆς ἄξιος ἦν ὁ ἐχθρὸς ἡμῶν, εἰ παρέσχεν ὕλην αὐτὸς, δι' ἧς ἂν ἀπαλλαγείημεν τῆς τυραννίδος αὐτοῦ. Πολλῆς δὲ ἀνοίας ἅμα καὶ γέλωτος ἔνοχος, εἰ πλάττειν ἐπήρθη, δι' ὧν ἀφῃρημένος ἔσται τὸ κράτος, καὶ τῶν σωμάτων ἡμῶν καὶ τῶν ψυχῶν. Τί δὲ ἄλλο φύεται τῆς ἀποστασίας; Οὐδὲν μέγα, οὐδὲ τὸ ὅλον κατόρθωμα τῆς σωτηρίας ἡμῶν οἰκοθεν κατώρθωσεν ὁ Σωτὴρ, ἀλλὰ τὸ πλέον δοὺς ἔχειν τῷ Ἐχθρῷ. Ὦ φρενὸς ὑποχειρίου τῷ (32) Σατανᾷ! Λαβὼν δὲ παρ' αὐτοῦ οὗ μὴ πλάστης ἦν αὐτὸς, αὐτό τε παθὼν (33) ἀπαλλάτει, ὅπερ οὐκ ἐχρῆν (ἔργον γὰρ αὐτὸ ποιεῖ ἡ ἀποστασία τοῦ Πονηροῦ), καὶ εἰς ἀφθαρσίαν μεταποιεῖν καὶ τὸ κακὸν μένειν ἀθάνατον διαπράττεται.

VIII. At converte nunc mecum mentem ad alia, ut appareat oracula legis divina esse. Paulus enim ait: « *Quænam est prærogativa circumcisorum* [3]? » Et postea: *Magna per omnem modum. Prima quidem, quod ipsis credita sunt oracula Dei. Nunquid enim, quia quidam non crediderunt, incredulitas eorum fidem Dei tollit? Absit! Deus vero sit verax, omnis autem homo mendax* [4]. Neque patitur ille, ut B fides Dei aboleatur, sed vult potius hominem omnem mendacii convinci, ut Deus, circumcisionis auctor, verax cognoscatur. Quod si igitur Dei sunt oracula, quæ credita sunt Israeli, et incredulitas eorum Dei fidem non tollit, præstatque homines, Deo non credentes, pro mendacibus, eum vero, qui legem Israeli dederit, pro veracissimo habere; nonne hinc etiam lex vetus ad bonum Deum referri debebit? Neque enim Paulus malum, qui ab initio mendax fuit, et in veritate non perstitit, fontem veritatis appellat. Imo vero satius judicat homines omnes mendacii insimulari, ut et mendacii faber, et veritatis auctor publice renuntietur. Et si justitia Dei manifestata est, a lege ipsa et prophetis testimonium accipiens, quomodo non lex et prophetæ ex boni Dei inspiratione profecti et veritate pleni C existimabuntur? Sed vide amplius horrendam et abominandam hostium Dei impietatem. Si Deus per sanguinem suum mundum a servitute hostis redemit, sanguis vero et caro (sed horrore ex ratiociniis et vocibus Dei hostium correptus sua ipsis proferenda relinquo) quomodo beneficio ejusmodi creaturæ genus nostrum ex servitute hostis retraxit? Ille enim adversarius noster multa et gratia et gloria et honore dignus erat, siquidem ipse materiam suggessisset, per quam a tyrannide ejus liberi evaderemus. Vicissim idem et imprudentiæ probro et risui multo se exponeret, si ea ipse finxisset, per quæ potestate in corpora et animas nostras exciderat. Quid vero aliud ex hoc errore D consequitur? Id omnino, quod Servator nec magnam nec omnem partem reparatæ salutis nostræ de suo perfecit, sed ita, ut maximam partem hosti debeat. O mentes Satanæ obnoxias! Mutuatus scilicet ab eo id, cujus non erat ipse conditor, idem perpessione sua, quod certe fieri non debebat, redimit (nam erronei homines id mali vocant opus), et ad immortalitatem transfert, et ut malum perpetuum sit, efficit.

Θ'. Καὶ πῶς ἂν εἴη τοῦ γένους ἡμῶν ἐχθρὸς, ὁ τοσαύτην συνεισφορὰν εἰς τὴν κοινὴν ἡμῶν σωτηρίαν διὰ τοῦ οἰκείου (34) δημιουργήματος συνεισενεγκών;

IX. Et quomodo generis nostri hostis habendus erit, qui per suam creaturam in communem salutem nostram tam multum contulit? Quomodo in

[3] Rom. III, 1. [4] ibid. 2-5.

VARIÆ LECTIONES ET NOTÆ.

(32) Τῷ. Sic rescripsi pro τοῦ, quod est in ms.
(33) Παθών. Malim legere παθόν, ut referatur ad corpus quod Christus assumpsit, quodque passum est.
(34) Οἰκείου. Ms. mendose οἰκίου.

Digitized by Google Распознавание текста ABK/FR

universum malum perfecit, suscepta corporis creatione, quod non solum servat, et postea a corruptione immune præstat, sed et per illud animabus insequentibus benefacit, corpora scilicet cum illis conjuncta in eamdem immortalitatem transferens? Adeo in tenebras, chaos et occæcationem rationis, furorem item et profundam temulentiam, abit omne horum hominum studium, qui solitarium imperium in duo scindunt, et unum Dominum, Jesum Christum, conditorem omnium, in duo principia dividunt, et aliud quidem intelligibilibus, aliud sensibilibus rebus præficiunt. At quomodo, per Bythum et Sigen, Conditoris sui cruciatus non verentur, qui corpus nostrum mali aiunt esse principii? Paulus enim ex adverso diserte clamat, *Corpus non scortationi*, quæ mali opus est, *sed Domino, et Dominus corpori* [5]. Quomodo enim creatura hostis omnino potest esse Domini? Quid vero refert monere, illud scortationi non tradendum esse, cum per se malum sit, et mali principii opus, et prorsus a voluntate ac creatione Dei alienum? Cum enim, quod apostatæ illi volunt, corpus et formatione, et natura et legibus malum sit, nunquam omnino Domini exsistet, neque quidquam referet, utrum scortationi se dedat, an minus. Sive enim illi indulserit, sive minus, utrinque non desinet esse improbum, et mali principii opus. Perpende vero et hoc: Si corpus est creatura mali, quomodo is, qui malo strenue se opponit, et pro veritate dimicat, sanctum illud appellat? *Non nupta enim*, inquit, *curat quæ sunt Domini, ut sit sancta corpore et spiritu* [6]. Si vero corpus sanctum est, unde est malum? et unde est opus conditoris mali? Malæ quidem actiones, quæ creaturam boni Dei adulterant, vindicant illud et obnoxium faciunt malo. Quoad vero intra leges conditoris se continet, magis id quidem valet ad averruncandum malum, quam malus ad illud sibi subjiciendum.

X. Quod itaque nec dicere nec opinari fas sit, duo eaque sibi invicem opposita principia dari in iis, quorum voluntas in se libera illecebris mali non subjecta est, abunde puto disputatum. Expendamus vero nunc alterum apostaticæ doctrinæ caput, quod quidem in superioribus etiam non leviter nec perfunctorie sub examen vocatum et condemnatum est. Sed vel sic ex eadem Scriptura sacra eidem ulterius subjiciatur. Paulus, qui seipsum Deo penitus consecravit, clara voce clamat: *Num*

[5] I Cor. III, 13. [6] I Cor. VII, 34.

A Καὶ πῶς ὅλως ἔπραξε πονηρὸν, πλάσας τὸ σῶμα, ὁ μὴ μόνον σώζει, καὶ ἄφθαρτον ὕστερον ποιεῖ, ἀλλὰ δι' αὐτοῦ καὶ τὰς ἑπομένας ψυχὰς εὐεργετεῖ, εἰς τὴν ὁμοίαν ἀθανασίαν τὰ ἐνωθέντα αὐταῖς σώματα καθιστῶν; Οὕτως ἐστὶ σκότος καὶ χάος καὶ τύφλωσις λογισμῶν, καὶ μανία καὶ μέθη βαθεῖα ἡ σπουδὴ τῶν εἰς δύο ἀρχὰς τὴν μίαν σχιζόντων ἀρχὴν, καὶ τὸν ἕνα Κύριον Ἰησοῦν Χριστὸν τὸν δημιουργὸν ἁπάντων, εἰς δύο κατατεμνόντων ἀρχὰς· καὶ τὴν μὲν τοῖς νοητοῖς ἐφιστάντων, τὴν δὲ τοῖς ὁρωμένοις. Ἀλλὰ πῶς πρὸς τὸν Βυθὸν καὶ τὴν Σιγὴν (35) τοῦ Πλάστου αὐτῶν τὰς ὠδῖνας οὐ καταδύονται, οἱ τ σῶμα ἡμῶν λέγοντες εἶναι τοῦ Πονηροῦ; Τρανῶς γὰρ ἐκείνοις ἀπ' ἐναντίας ὁ Παῦλος βοᾷ· Τὸ μὲν σῶμα οὐ τῇ πορνείᾳ, ἥτις ἐστὶν ἔργον τοῦ Πονη- B ροῦ, ἀλλὰ τῷ Κυρίῳ, καὶ ὁ Κύριος τῷ σώματι. Πῶς γὰρ τοῦ Ἐχθροῦ τὸ πλάσμα δύναται ὅλως τοῦ Κυρίου εἶναι; Τί δὲ δεῖ λέγειν μὴ ἀνατιθέναι τοῦτο τῇ πορνείᾳ, αὐτὸ καθ' ἑαυτὸ πονηρὸν ὄν, καὶ πονηρᾶς ἀρχῆς δημιούργημα, καὶ παντελῶς ἀλλότριον, καὶ τοῦ θελήματος καὶ τῆς πλάσεως τοῦ Θεοῦ; Πλάσει γὰρ καὶ νόμοις τὸ σῶμα, ὡς ἡ ἀποστασία βούλεται, πονηρὸν ὑπάρχον οὐκ ἂν μέν ποτε γένοιτο τοῦ Κυρίου· πορνείας δὲ γενέσθαι, ἢ μὴ γενέσθαι οὐδὲν διοίσει, Εἴτε γὰρ ἐξεπόρνευσεν, εἴτε (36) μὴ, οὐδὲν ἧττον οὐκ ἀφίσταται τοῦ πονηρὸν εἶναι, καὶ πονηρᾶς δημιούργημα ἀρχῆς. Ἐπισκόπει δὲ καὶ ὧδε. Εἰ τὸ σῶμα πλάσμα τοῦ Πονηροῦ, πῶς ὁ (37) τοῦ Πονηροῦ λαμπρῶς καταστρατηγῶν, καὶ τῆς ἀληθείας ὑπερμαχῶν ἅγιον αὐτὸ καλεῖ; Ἡ ἄγαμος γὰρ, φησὶν, με- C ριμνᾷ τὰ τοῦ Κυρίου, ἵνα ᾖ ἁγία καὶ σώματι καὶ πνεύματι. Εἰ δὲ ἅγιον τὸ σῶμα, πόθεν πονηρόν; καὶ πόθεν ἔργον δημιουργίας πονηρᾶς; Πράξεις μὲν γὰρ πονηραὶ, κιβδηλεύουσαι τὸ πλάσμα τοῦ ἀγαθοῦ Θεοῦ, οἰκειοῦσιν αὐτὸ καὶ ὑποτάττουσι τῷ Πονηρῷ. Ἐν δὲ τοῖς νόμοις τοῦ πλάστου διατηρούμενον ἰσχὺν ἔχει μᾶλλον διώκειν τὸν Πονηρὸν, ἀλλ' οὐκ αὐτὸς ἐκεῖνο δουλαγωγεῖν.

Ι'. Ἀλλὰ γὰρ ὅτι μὲν οὐχ οἷόν τέ ἐστι οὔτε λέγειν οὔτε φρονεῖν δύο καὶ ταῦτας ἀντικειμένας ἀρχὰς, οἷς τὸ αὐτεξούσιον ἀδούλωτον μένει τοῖς πάθεσι τοῦ Ἐχθροῦ, ἀποχρώντως οἶμαι τὸν λόγον διεξελθεῖν. Ἐπισκεψώμεθα δὲ καὶ τὸ ἕτερον τῆς ἀποστασίας μέρος, ὃ δέδωκε μὲν καὶ αὐτὸ διὰ τῶν προειρημένων D οὐ μεμπτὰς οἶμαι οὐδὲ βραχείας τὰς εὐθύνας. Ἠλὴν καὶ νῦν διὰ τῆς αὐτῆς ἱερολογίας ἀπαιτείσθω καὶ τὰς λειπομένας. Παῦλος ὁ καθ' ἑκάστην ἑαυτὸν ἱερουργῶν τῷ Θεῷ διαπρυσίᾳ βοᾷ τῇ φωνῇ. Μὴ κατὰ

VARIÆ LECTIONES ET NOTÆ.

(35) Πρὸς τὸν Βυθὸν [illegible] Σιγήν. Erant hi duo ex triginta æonibus qu[illegible]nt Valentiniani et pro diis habebant: inter eos enim primum obtinebant locum, ita ut prima συζυγία ab ipsis vocarentur, τῷ Βυθῷ, sive *Profundo*, Patris; Σιγῇ vero, seu Silentio, Matris nomen ferente. Vide hanc in rem Irenæum, lib. I, c. 1 et 5; et alios ex veteribus, quos laudat Joan. Baptista Cotelerius, in Notis ad tom. I *Monumentorum Ecclesiæ Græcæ*, p. 767; ac Guilelm. Spencerus ad Origenem *Contra Celsum*, p. 78; [illegible] Nicolaum Le Nourry, in *Apparatu ad Bibliothecam maximam Patrum*, tom. II, diss. I, p. 77 seqq. Per horum vero commemorationem hoc loco factam innuit Noster, vel Paulicianos, contra quos disputat, hæc nomina a Valentinianis adoptasse, vel comparari duo ipsorum principia cum his illorum æonibus posse, quemadmodum et in aliis capitibus illos imitentur. Confer Petri Siculi *Narrationem de Manichæis*, p. 42.

(36) Εἴτε. Ita scripsi pro ἤτε, quod per librarii mendum erat in ms.

(37) Ὁ. Sic lego pro τό, quod habebat ms.

Digitized by Google Распознавание текста ABK/FR

ἄνθρωπον ταῦτα λαλῶ; ἢ οὐχὶ καὶ ὁ νόμος ταῦτα λέγει; Ὅ ἴσον ἐστί. Μὴ λογισμοῖς ἀνθρώπου ἀσφαλίζομεν τὸ ῥηθὲν, ἢ οὐχὶ καὶ θείας ἐστὶ καὶ ὑπὲρ ἄνθρωπον νομοθεσίας τὸ προτεινόμενον; Καὶ τίς ταῦτα τεθεώρηκεν, αὐτὸς σαφηνίζει· Ἐν γὰρ τῷ Μωσέως νόμῳ γέγραπται, φησὶ, Οὐ φιμώσεις βοῦν ἀλοῶντα. Καὶ ταῦτα εἰπὼν ἐπιφέρει· Μὴ τῶν βοῶν μέλει τῷ Θεῷ; Τίνων δὲ μᾶλλον μέλει, δεικνὺς ἐπάγει. Δι' ἡμᾶς γὰρ πάντως λέγει, καὶ δι' ἡμᾶς ἐγράφη. Ὥστε κοινὸν τὸ δόγμα τὸ ἐν τῇ Παλαιᾷ διαβαῖνον καὶ πολιτευόμενον καὶ ἐν τῇ χάριτι. Εἶτα τὴν φύσικὴν ὁμοιότητα πρὸς τὸν Πατέρα τοῦ Υἱοῦ καὶ τὸ ἀπαράλλακτον ὑποδηλῶν ἐκ τῆς τῶν νομοθετηθέντων ὁμοιότητος, Ὥσπερ, φησὶ, προσετάγη τοὺς τῷ θυσιαστηρίῳ προσεδρεύοντας τῷ θυσιαστηρίῳ συμμερίζεσθαι· οὕτω καὶ ὁ Κύριος προσέταξεν τοὺς τὸ Εὐαγγέλιον καταγγέλλοντας ἐκ τοῦ Εὐαγγελίου ζῆν, τοσοῦτον ἐπάρας τὸν νόμον, ἅτε δὴ τοῦ Πατρὸς ὄντα, ὡς καὶ τὸν Υἱὸν κατὰ μίμησιν ἐκείνου τὰ προστάγματα προάγειν. Τὴν συνάφειαν δὲ πάλιν καὶ συγγένειαν τοῦ νόμου καὶ τῆς χάριτος ἐπὶ πλέον τρανολογῶν, Οὐ θέλω ὑμᾶς ἀγνοεῖν, φησὶν, ἀδελφοὶ, ὅτι οἱ πατέρες ἡμῶν πάντες ὑπὸ τὴν νεφέλην ἦσαν, καὶ πάντες διὰ τῆς θαλάσσης διῆλθον, καὶ πάντες εἰς τὸν Μωϋσῆν ἐβαπτίσθησαν, ἐν τῇ νεφέλῃ καὶ ἐν τῇ θαλάσσῃ, καὶ πάντες τὸ αὐτὸ βρῶμα πνευματικὸν ἔφαγον, καὶ πάντες τὸ αὐτὸ πόμα πνευματικὸν ἔπιον. Δός μοι λοιπὸν ἐνταῦθα τὸ οὐκ ἐλεύθερον τῆς βακχείας τοῦ Ἐχθροῦ· Ἔπινον γὰρ, φησὶν, ἐκ πνευματικῆς ἀκολουθούσης πέτρας. Ἡ δὲ πέτρα ἦν ὁ Χριστός. Ἀκούεις, ὅπως ὁ Χριστὸς τὸν πατρικὸν ἐπότιζε λαὸν, καὶ πῶς ὁ Πατὴρ ὡδήγει τὸν Ἰσραὴλ εἰς τὴν τοῦ Υἱοῦ λατρείαν καὶ ἐπιστροφήν; Διὰ τίνων, ἢ δῆλον ὅτι διὰ Μωσέως καὶ τῶν προφητῶν; Ποῦ οὖν ἐνταῦθα ὁ Πονηρός; ποῦ τῆς πονηρᾶς ἀρχῆς τὸ ἔργον; ποῦ οἱ νόμοι τῆς ἀντικειμένης μοίρας; τοῦ Μωσαϊκοῦ λαοῦ, καὶ πνευματικῷ βρώματι τρεφομένων καὶ πνευματικοῦ πόματος πινόντων ἐκ τῆς συνούσης τε καὶ ἑπομένης πέτρας, ἥτις ἦν ὁ Χριστός; Εἶτα πάλιν ὁ νομομαθὴς οὗτος ἀνὴρ καὶ τὰ κέρδη πάντα, οἷς ἐσεμνύνετο πρότερον, σκύβαλα ἡγούμενος διὰ τὸν Χριστὸν, Μηδὲ ἐκπειράζωμεν τὸν Χριστὸν, φησὶ, καθὼς καί τινες αὐτῶν ἐπείρασαν. Τίνες, ἢ δῆλον ὅτι ὁ Ἰσραηλιτικὸς λαός; Καὶ τίνα τὰ ἐπίχειρά; Ὑπὸ τῶν ὄφεων ἀπώλοντο. Ὥστε ἐκπειράζοντες τὸν ἐν τῷ νόμῳ Θεὸν, διὰ τοῦ Πατρὸς ἐπείραζον καὶ τὸν Υἱὸν αὐτοῦ τὸν Κύριον ἡμῶν Ἰησοῦν Χριστόν. Ἐπείραζε μὲν γὰρ ὁ Ἰσραηλίτης λαὸς τὸν νομοθέτην αὐτοῦ, ἄτμητον δὲ τὴν βασιλείαν καὶ ἄῤῥηκτον τοῦ Πατρὸς καὶ τοῦ Υἱοῦ ὁ μύστης καὶ μυσταγωγὸς τῶν ἀποῤῥήτων, εἰδὼς ἐν τῷ πειράζεσθαι τὸν τοῦ ἀγαθοῦ Παιδὸς Πατέρα Θεὸν, καὶ τὸν Χριστὸν πειράζεσθαι διατείνεται. Ὡς ἐν ποῤῥίσματος δὲ μόῤῥᾳ ἐπισκόπει, ὅτι καὶ πληγὴν εὐθὺς ἐφῆκεν ὁ Χριστὸς κατὰ τῶν ἐκπειρασάντων αὐτὸν τὸν διὰ τῶν ὄφεων ὄλεθρον. Καὶ ταύτην ἐπάγων οὐκ

A *secundum hominem hæc loquor? vel nonne potius et lex ista profert*[7]? Quod idem est ac si diceret: Num ratiociniis hominum dicta confirmamus, nec potius propositum argumentum divinæ et plusquam humanæ legis est? Quis vero illa constituerit, ipse exponit, *In Mosis enim lege*, inquiens, *scriptum est: Non obturabis os bovi triturani*[8]. Hæc vero afferens subjungit: *Num boves curæ sunt Deo?* Quorum vero potiorem curam agat, ostensurus addit: *Propter nos omnino id dicit, et propter nos scriptum est.* Itaque communis doctrina est, quæ et in Vetere valuit, et in Novo obtinuit Testamento. Postea, naturalem, quæ inter Patrem et Filium est, similitudinem et immutabilitatem ex similitudine legum utrinque latarum subindicans. *Sicut*, inquit, B *præceptum est, ut, qui altari serviunt, altaris eliam fiant participes; ita et Dominus præcepit, ut, qui Evangelium prædicant, ex Evangelio vivant*[9]; legem, tanquam a Patre profectam, adeo extollens, ut Filium ad exemplum ejus præcepta sua statuisse innuat. Idem vero connexionem et cognationem legis et gratiæ adhuc magis expositurus: *Nolo vos*, inquit, *ignorare, fratres, quod patres nostri omnes sub nube erant, et omnes per mare transierunt, et omnes in Mosen baptizati sunt, in nube et mari, et omnes eumdem cibum spiritualem ederunt, et omnes eumdem potum spiritualem biberunt*[10]. Ostende mihi hic momentum vel unicum quod non immune sit a furente hostis potestate: *Biberunt enim*, inquit, C *ex spirituali, quæ sequebatur, petra: petra autem erat Christus*[11]. Audisne quomodo Pater Israel duxerit ad cultum Filii sui et conversionem? Per quos autem alios nisi per Mosen et prophetas? Ubi igitur hic est malus, ubi mali principii opus? ubi leges oppositæ partis? cum populus Mosaicus et spirituali cibo nutritus sit, et spiritualem potum biberit ex comitante et insequente petra, quæ erat Christus? Deinde rursus idem vir legem doctus, atque omnia illa, quibus olim efferebatur, pro rejectitiis declarans propter Christum, *Ne tentemus*, D inquit, *Christum, sicut nonnulli eorum tentarunt*[12]. Quinam illi? nonne Israelitæ? Quæ vero eorum erant præmia? Ex serpentibus peribant. Itaque illi, qui Deum in lege præsentem tentabant, per Patrem etiam Filium ejus Dominum nostrum tentarunt. Tentavit enim populus Israeliticus legislatorem suum; et Paulus, gnarus ipse et doctor mysteriorum, imperium Patris et Filii indivisibile et inviolabile esse persuasus, contendit, eo ipso, quo boni Filii Pater Deus tentatus sit, etiam Christum esse tentatum. Consectarii vero instar et hoc cape, quod Christus statim plagæ loco illis, qui se tentaverant, immiserit perniciem ex serpentibus. Hanc vero illis irrogans amorem in homines non dimisit. Alibi (idem Apostolus) testatur, prophetas ex mandato æterni Dei locutos esse, et ex vero prænuntiasse mysterium ante sæcula constitutum,

[7] I Cor. x, 8. [8] ibid. 9. [9] ibid. 13. [10] I Cor. x, 5. [11] ibid. 6. [12] ibid. 9.

Digitized by Google Распознавание текста ABK/FR

quod principatus et potestates mundi, ipsumque adeo mundi Dominum latuerit. Quomodo itaque prophetæ aut lex a malo inspirati esse possunt, quandoquidem illi prænuntiarunt mysterium, quod artificibus omnis impietatis fuit absconditum? Rursus aliis in locis eumdem Deum, non vero alium atque alium, olim per prophetas, tandem vero per Filium testatur locutum : ***Multifariam*** enim, ait, ***et multis modis olim Deus patribus nostris per prophetas locutus, ultimis diebus his per Filium locutus est nobis*** [13]. Idem, inquam, non alius atque alius. Qui igitur Novum Testamentum per Filium mundo largitus est, idem, juxta Paulum, qui, si quis alius, divina callebat, et Vetus per prophetas sanxit. Quomodo itaque errantium factio alium quidem illius, alium vero Novi, legislatorem et Deum fingit? Si vero etiam ab initio terram fundavit Deus, sicut idem mysteriorum gnarus et doctor scriptionem hanc sacram obsignat, et cœli opera manuum ejus sunt (nam Davidis, qui Dei pater est, canticum adhibens suisque cogitatis attexens illud a Deo inspiratum esse innuit); quomodo defectorum colluvies falso quidem, sed tamen externa specie, hæc prædicantem doctorem suum appellare non veretur? Namque ab eo vocari se volunt, qui et eo ipso a lege ejus recedunt. Num enim Paulus crucifixus est pro nobis, aut num in Pauli nomen baptizati sumus? *Aut*, (num dicere licet?) *Ego quidem sum Pauli, ego Apollo, ego vero Cephæ; divisusne est Christus* [14]? At enimvero homines, qui etiam tum, ubi speciose loquuntur, sermones suos, ad gravitatem compositos, actionibus deturpant, ad nomen confugiunt, ut dedecus evitent, in quod eos conjicit vel solum illius nomen, quem erroris habent auctorem. At quomodo non confunduntur homines, qui, Paulo voce Davidica cœli et terræ Conditorem verum et bonum Deum esse prædicante, alium quidem cœli, alium terræ conditorem esse tradunt, neque audiunt hæc clamantem : *Decuit eum*, id est, Patrem, *propter quem omnia, et per quem omnia*, atque hoc ipso non quidem quorumdam, aliquorum vero non item, sed omnium simul Conditorem renuntiantem? Unde vero apparet, quod de Patre hæc loquatur? Certe verborum series exhibet *eum, qui filios multos in gloriam duxerit ducem salutis eorum, per passiones consummasse* [15]. Quis enim præter verum Deum et Patrem Domini nostri Jesu Christi, vel multos filios introduxit, vel ducem eorum per passiones perfecit? Idem vero vir divinus et sanctus, cum Dominum nostrum Jesum Christum nosset habere potestatem et imperium a Patre indivisum, alibi de eo ait : *Quod ex ipso, et per ipsum,*

A ἀφῄρηται τὸ φιλάνθρωπον. Ἀλλαχοῦ δὲ πάλιν κατ' ἐπιταγὴν τοῦ αἰωνίου Θεοῦ, καὶ εἰπεῖν τοὺς προφήτας διαμαρτύρεται, καὶ ἀψευδῶς προκηρύξαι τὸ πρὸ αἰώνων μυστήριον, ὃ τὰς ἐξουσίας τοῦ κόσμου καὶ αὐτὸν διέλαθε τὸν Κοσμοκράτορα. Καὶ πῶς ἂν εἴῃσαν οἱ προφῆται ἢ ὁ νόμος ἐπιπνοίας πονηρᾶς, ὁπόταν οὗτοι μὲν προεκήρυττον τὸ μυστήριον, τῆς δὲ πονηρίας πάσης τὴν μηχανουργίαν διέλάνθανε; Πάλιν δὲ καὶ ἐν ἄλλοις αὐτὸν Θεὸν καὶ οὐκ ἄλλον καὶ ἄλλον, πάλαι μὲν ἐν τοῖς προφήταις διαμαρτύρεται λαλῆσαι, ὕστερον δὲ ἐν τῷ Υἱῷ. Πολυμερῶς γὰρ, φησὶ, καὶ πολυτρόπως πάλαι ὁ Θεὸς λαλήσας τοῖς πατράσιν ἐν τοῖς προφήταις, ἐπ' ἐσχάτου τῶν ἡμερῶν τούτων ἐλάλησεν ἡμῖν ἐν Υἱῷ· ὁ αὐτὸς, ἀλλ' οὐκ ἄλλος καὶ ἄλλος. Ὁ οὖν τὴν Καινὴν Διαθήκην ἐν τῷ
B Υἱῷ χαρισάμενος τῷ κόσμῳ, ὁ αὐτὸς κατὰ τὸν τὰ θεῖα, εἴπερ τις ἄλλος, σοφὸν, καὶ ἐν τοῖς προφήταις διέθετο τὴν Παλαιάν. Καὶ πῶς ἡ πλάνη ἄλλον μὲν ἐκείνης, ἕτερον δὲ τῆς Καινῆς, ἀναπλάττει νομοθέτην καὶ Θεόν; Εἰ δὲ καὶ κατ' ἀρχὰς μὲν τὴν γῆν ὁ Κύριος ἐθεμελίωσεν, ὡς ὁ αὐτὸς μύστης τῶν ἀπορρήτων καὶ μυσταγωγὸς ταύτην τὴν ἱερὰν ἐπισφραγίζεται Γραφὴν, καὶ ἔργα τῶν χειρῶν αὐτοῦ εἰσιν οἱ οὐρανοὶ (καὶ γὰρ τὴν τοῦ θεοπάτορος (38) μελῳδίαν λαβὼν, καὶ τοῖς οἰκείοις ἐνυφαίνων νοήμασι τὸ θεόπνευστον ἐκείνης βεβαιοῖ), πῶς οὐκ αἰσχύνονται τῆς
C ἀποστασίας τὸ σύνταγμα, καίτοι ψευδῶς μὲν, διδάσκαλον δὲ ὅμως, τὸν ταῦτα κηρύσσοντα ὑποκρινόμενοι καλεῖν; Καὶ γὰρ ἐπιγράφονται τοῦτον (39), πράττοντες μὲν καὶ τοῦτο παρὰ τὸν νόμον αὐτοῦ. Μὴ γὰρ Παῦλος ἐσταυρώθη ὑπὲρ ἡμῶν, ἢ εἰς τὸ ὄνομα Παύλου ἐβαπτίσθημεν; καὶ, Ἐγὼ μέν εἰμι Παύλου, ἐγὼ δὲ Κηφᾶ· μεμέρισται ὁ Χριστός; Πλὴν ἀλλὰ καὶ ἐν ᾧ σεμνολογοῦνται διὰ τῆς παραβάσεως αὐτῶν ὑβρίζοντες τὸ σεμνολόγημα, καταφεύγουσι πρὸς τὴν κλῆσιν, ἵνα φύγωσι τὴν αἰσχύνην, εἰς ἣν αὐτοὺς ἐμβάλλει, καὶ μόνον ῥηθεὶς ὁ τῆς ἀποστασίας διδάσκαλος. Ἀλλὰ γὰρ πῶς οὐ καταδύονται; τοῦ μὲν Παύλου διὰ τῆς Δαυϊδικῆς φωνῆς, οὐρανοῦ καὶ γῆς ποιητὴν τὸν ἀληθινὸν καὶ ἀγαθὸν Θεὸν ἐκδιδάσκοντος, αὐτοὶ λέγοντες ἄλλον μὲν εἶναι τὸν οὐρανοῦ ποιητὴν, δημιουργὸν δὲ τῆς γῆς ἕτερον, οὐδὲ τοῦτο δὲ ἀναβοῶντος ἤκουσαν, ὅτι Ἔπρεπεν αὐτῷ, τουτέστι τῷ Πατρὶ,
D δι' ὃν τὰ πάντα, καὶ δι' οὗ τὰ πάντα, ὅπως οὐ τινῶν μὲν, τινῶν δὲ οὔ, ἀλλὰ πάντων ὁμοίως Δημιουργὸν καταγγέλλη. Καὶ πόθεν δῆλον, ὅτι περὶ τοῦ Πατρὸς τοῦτό φησιν; Ἢ τῶν ῥημάτων συνέχεια παριστᾷ, πολλοὺς υἱοὺς εἰς δόξαν ἀγαγόντα τὸν ἀρχηγὸν τῆς σωτηρίας αὐτῶν διὰ παθημάτων τελειῶσαι. Τίς γὰρ παρὰ τὸν ἀληθινὸν Θεὸν καὶ Πατέρα τοῦ Κυρίου ἡμῶν Ἰησοῦ Χριστοῦ, ἢ πολλοὺς εἰσήγαγεν υἱοὺς, ἢ τὸν ἀρχηγὸν αὐτῶν ἐτελείωσε διὰ

[13] Hebr. I, 1. [14] I Cor. I, 12, 13. [15] Hebr. II, 10.

VARIÆ LECTIONES ET NOTÆ.

(38) Θεοπάτορος. Ita appellatur David respectu Christi, qui ex semine ejus, ut homo, natus est. Eodem nomine is venit Dionysio Areopagitæ epist. VIII, et aliis. Similiter Maria Θεομήτωρ audit Gregorio Nysseno in Orat. de occursu Domini.

(39) Ἐπιγράφονται τοῦτον. Hinc forte non præter rem colligas, Paulicianos nomen suum a Paulo apostolo repetiisse, qui vere, ut supra traditum est, a Paulo longe recentiore ita appellabantur.

Digitized by Google Распознавание текста ABK/FR

παθημάτων ; Ὁ αὐτὸς δὲ μετάρσιος καὶ ἱερὸς ἄνθρωπος καὶ τὸν Κύριον ἡμῶν Ἰησοῦν Χριστὸν ἀδιαίρετον εἰδὼς ἔχοντα τὸ κράτος καὶ τὴν βασιλείαν πρὸς τὸν Πατέρα, ἐν ἑτέροις περὶ αὐτοῦ λέγει, Ὅτι ἐξ αὐτοῦ καὶ δι' αὐτοῦ καὶ εἰς αὐτὸν τὰ πάντα· αὐτῷ ἡ δόξα εἰς τοὺς αἰῶνας. Ἀμήν. Τὰ πάντα, φησὶν, οὐχὶ τὰ νοητὰ μόνον, ὡς οἱ μεμηνότες, ἀλλὰ καὶ τὰ ἀόρατα πάντα τῆς δημιουργικῆς αὐτοῦ παλάμης ἔργον εἰσί. Καὶ ἡ τούτων πάντων βασιλεία, καὶ ἡ ἐξουσία καὶ τὸ κράτος καὶ ἡ πρόνοια τοῦ Πατρὸς ἐστι καὶ τοῦ Υἱοῦ καὶ τοῦ ἁγίου Πνεύματος. Σὺ δέ μοι τὴν θεωρίαν παράπεμπε καὶ ἐφ' ἑτέρας ἀποστολικὰς φωνὰς, αἳ τοὺς πεπιστευκότας ἀδελφοὺς τε ὀνομάζουσιν, ἁγίους καὶ μετόχους τῆς οὐρανίου κλήσεως, ὅπως παρατιθέασι Χριστὸν τὸν ἀληθινὸν ἡμῶν Θεὸν τῷ θεράποντί σου (40) τῷ Μωσεῖ· πιστὸν μὲν γὰρ ἑκάτερον εἰσάγουσιν τῷ Θεῷ καὶ Πατρί. Λέγει γὰρ ὁ Παῦλος αὐτοῖς ῥήμασι· Κατανοήσατε τὸν ἀπόστολον καὶ ἀρχιερέα τῆς ὁμολογίας ἡμῶν Ἰησοῦν Χριστὸν, πιστὸν ὄντα τῷ ποιήσαντι αὐτὸν, δηλονότι ἀρχιερέα (41). Εἶτα πῶς ἦν πιστὸς. ἐπεξηγούμενος, διὰ τοῦ Μωσέως δεικνύει, ὡς καὶ Μωσῆς, φησὶν, ἐν ὅλῳ τῷ οἴκῳ αὐτοῦ. Τίνος οἴκῳ ; ἢ δηλονότι τοῦ ποιήσαντος ἀρχιερέα τὸν Κύριον ἡμῶν Ἰησοῦν Χριστόν ; Εἶτα καὶ τὴν ἀσύγκριτον διαφορὰν τοῦ Δεσπότου πρὸς τὸν δοῦλον διδάσκων, τὸν μὲν θεράποντα καλεῖ καὶ πιστὸν ἐν ὅλῳ τῷ οἴκῳ τοῦ Θεοῦ, τὸν δὲ κατασκευάσαι (42) τὸν οἶκον. Διότι ὁ πάντα κατασκευάζων Θεὸς, ἐκεῖνος καὶ τὴν κατασκευὴν διετάξατο τοῦ ἐπιγείου αὐτοῦ οἴκου· Ὁ γὰρ τὰ πάντα, φησὶ, κατασκευάσας Θεὸς, οὗ γνήσιος ὢν Υἱὸς Ἰησοῦς ὁ Χριστὸς, διὰ τοῦτο καὶ Κύριος τοῦ οἴκου, ἀλλ' οὐχὶ θεράπων, ὥσπερ ὁ Μωσῆς. Μετ' ὀλίγον δὲ, Τὸ καύχημα τῆς ἐλπίδος καὶ τὴν παῤῥησίαν μέχρι (43) τέλους, ἐὰν βεβαίαν οἱ πεπιστευκότες κατάσχωμεν, οἶκον ἡμᾶς εὐαγγελιζόμενος χρηματίσαι (44) τοῦ Θεοῦ, τὰς Δαυϊδικὰς φωνὰς εἰς πίστιν τῶν εἰρημένων προβάλλεται, ἐν οἷς πρῶτον μὲν τὸ Πνεῦμα τὸ ἅγιον λαλῆσαι βοᾷ δι' αὐτοῦ, ἔπειτα δὲ τὴν ἴσην ἀπαιτεῖσθαι δίκην τούς τε νῦν ἀνήκοον ὑπέχοντας ταῖς Δεσποτικαῖς ἐντολαῖς τὸ οὖς, καὶ τοὺς ἐν τῷ παραπικρασμῷ παλαι στληρύναντας τὴν καρδίαν αὐτῶν. Ὧν δὲ ἡ τιμωρία ἴση, οὐδὲ τὸ ἁμάρτημα διαφέρει· ὧν δὲ παραπλήσιον τὸ ἁμάρτημα, τούτων ἑκατέρα μερὶς εἰς τὸν αὐτὸν Θεὸν

A *et in ipso omnia sunt : ei sit gloria in æternum. Amen* [16]. Omnia, inquit, non intelligibilia tantum, ut illi insaniunt, sed et visibilia et invisibilia, omnia a manu ejus creante profecta sunt. Atque imperium in hæc omnia, et potestas, et vis, et cura provida Patris sunt, et Filii, et Spiritus sancti. Tu vero animum etiam ad alia Apostoli dicta converte, quibus credentes fratres appellat, et sanctos et participes vocationis cœlestis, quæ et ipsa Christum verum Deum nostrum Mosi, Dei servo, ad latus collocant ; fidelem enim repræsentant utrumque Deo et Patri. Paulus enim iisdem verbis dicit : *Considerate apostolum et sacerdotem principem confessionis nostræ, Jesum Christum, qui fidelis fuit ei qui ipsum constituit* [17], scilicet sacerdotem. Postea idem, quomodo B fidelis fuerit, explicaturus per Mosen id facit : *Sicut*, inquiens, *Moses in tota domo ejus.* Cujus vero domo, nisi ejus, qui Dominum nostrum Jesum Christum sacerdotem principem constituit ? Deinde idem incomparabilem, quæ intercedat, differentiam ostensurus, alterum quidem servum et filium in tota domo Dei vocat, alterum vero ait domum illam struxisse. Itaque Deus omnia perficiens, structuram quoque terrestris domus suæ præcepit. *Omnia enim*, inquit, *efficiens Deus est*, cujus genuinus Filius cum Jesus Christus sit, idem vel ideo Dominus domus est, non vero servus, ut Moses. Post pauca vero : *Siquidem credentes præsidium spei et fiduciam usque ad finem firmam conservaverimus* [18]. Pollicetur nos domum Dei vocatum iri, et in fidem dictorum C Davidis affert verba, in quibus primum quidem Spiritum sanctum per illum loqui ait, deinde vero confirmat, eamdem ab illis exigi pœnam, qui et nunc præceptis Domini immorigeras aures præbeant, et qui olim tempore exacerbationis cor suum obfirmarint. Quorum vero pœna est eadem, eorum nec delicta differunt ; quorum vero simile est peccatum, eorum utraque pars in eumdem Deum peccasse convincitur. At strenuus ille et fervidus veritatis amator ne in his quidem acquiescit, ut gratiæ legem jungat, atque hæc communia Patris et Filii esse ostendat, sed monet, exacerbantes olim Mosen, et per eum Deum ipsum, non alium tentasse, quam illum quem Spiritus sanctus D ànnuntiet : *In die* enim, inquit, *tentationis, in deser-*

[16] **Rom. xi, 36.** [17] Hebr. iii, 2. [18] Hebr. iii, 6.

VARIÆ LECTIONES ET NOTÆ.

(40) **Ita ms.; sed forte legendum est** Θεοῦ, **quod ex compendio scriptionis in mss. usitato θυ facile nasci potuit. Neque enim** τὸ σοῦ **locum habere hic per sermonis seriem potest.**

(41) Δηλονότι ἀρχιερέα. Recte ita eludit Photius **calumnias omnes quæ nasci alioquin poterant, si** τὸ ποιεῖν αὐτὸν ad Christum ipsum referretur. **Scilicet verbum** ποιεῖν **hic idem est, quod *constituere, inaugurare*. Hoc sensu Joannis xix, 12, dicitur** ποιεῖν ἑαυτὸν βασιλέα, **et de Christo Marcus ait c. iii, 14, quod** ἐποίησε δώδεκα, **id est, *elegit* seu *constituit duodecim*. Lege quæ ad hunc posteriorem locum adnotavit cl. Jac. Elsnerus, in Notis suis in N. T.; ac confer præterea Erasmi Schmidii exquisitas *Animadversiones ad N. T.* super Hebr. iii, 2.**

(42) Κατασκευάσαι. Ita lego pro κατεσκευάσθαι, quod erat in ms.

(43) Τέλους. Ita restituo ex ipso loco Paulino : m. enim mendose exhibebat τοῦτον.

(44) Χρηματίσαι. Eadem notione verbum hoc usurpatur in Actibus apostol. xi, 26, ubi Joan. Gregorius, vir doctissimus, in notis ad quædam Scripturæ loca, p. 102, observat, ejusmodi nominis impositionem proprie indicari, quæ solemniter fiat. Confer et Lamberti Bos *Observationes ad Novum Testam.*, p. 107, qui facta imprimis, quibus nomen paretur, innui contendit.

[80] Luc. XIX, 27.

VARIÆ LECTIONES ET NOTÆ.

(75) Ἠρνήσαντο. Videtur hic excidisse particula negandi οὐκ, quod alias fieri consuevit. Eam enim postulat adversativa sequens δέ, ut taceam rem ipsam id velle. Acceperant enim incuriosi illi in parabola homines sua a rerum Domino, adeoque ut talem agnoscebant, non autem reverebantur.

(76) Ἄφυκτον. Ita scripsi pro ἄφικτον, quod est in ms.

Digitized by Google Распознавание текста ABK/FR

τὴν μετάνοιαν ἐπιδεξώμεθα. Ἕως ἡ τῆς συγγνώμης ἀνέῳκται θύρα, εἰσελθεῖν δι' αὐτῆς μὴ βραδύνωμεν. Ἕως αἱ ἀπειλαὶ μετέωροι, τὴν ἐπιστροφὴν ἐπιδείξωμεν (77). Δοθέντος γὰρ τοῦ συνθήματος, καὶ τοῦ βίου λυθέντος, οὐδεὶς οὐκέτι τρόπος σωτηρίας, οὐδὲ τοῦ μὴ παθεῖν ἐλπὶς, ἃ παθεῖν ἠπειλήθη, κανακλείπεται. Ἀλλὰ γὰρ τοῦ διδασκάλου τῆς ἀποστασίας τραν- A spes pœnas, minis præceptas, elabendi relinquitur. Postquam enim magister apostasiæ diserte et sine circuitione ab evangelicis verbis confutatus est, et ab iisdem prænuntiatum, quam gravem illustremque pœnam justus judex a discipulis ejus, qui noluerint ipsum super se regnare, repetiturus sit; quam tandem illi, qui, neglectis his omnibus, apostasiam amant, defensionem invenient. Quam veniæ speculam sibi reliquam fecerunt? quis oculus miserationis lacrymas super ipsos fundet? Magistrum suum diabolum esse didicerunt ex Evangeliis, nec minus id, quod discipuli ejus, se priores, coram Domino mactati sint, ideo quod noluerint ipsum super se regnare. Atque hoc etiam veneranda servatoris nostri Evangelia clare docent, quod adoratores sint diaboli, quodque injuria afficiant Creatorem, qui Dei regnum dividunt, id eadem sacra Eloquia clamant. Quod si igitur nullum horum eos ab apostasia sua avertit, reliquus est ignis interminabilis, et tenebræ exteriores, quæ paratæ sunt ipsorum doctori. Illæ eos etiam invitos et sine ullo fructu ab impietate sua avertent. Sed hæc quidem pro præsenti commentatione et sermone sufficiant.

νῶς τε καὶ χωρίς τινος περινοίας παρὰ τῶν εὐαγγελικῶν φωνῶν στηλιτευθέντος, καὶ οἷαν ὁ δίκαιος κριτὴς τοὺς ἐκείνου μαθητὰς καὶ μὴ θέλοντας αὐτὸν ἐφ' ἑαυτῶν βασιλεῦσαι, τὴν ποινὴν εἰσπράττεται, κατάδηλόν τε καὶ περιφανεστάτην ἐπιδειξαμένων, τίνα λοιπὸν οἱ μετὰ ταῦτα πάντα τὴν ἀποστασίαν ἔτι στέργοντες εὑρήσουσιν ἀπολογίαν; Ποῖον λείψανον ἑαυτοῖς ὑπελίποντο συγγνώμης; τίς αὐτοῖς ὀφθαλμὸς ἐπιστάξει δάκρυον ἐλέους; Τὸν διδάσκαλον αὐτῶν, B ὅτιπερ ὁ διάβολός ἐστιν, ἔμαθον παρὰ τῶν Εὐαγγελίων, τοὺς πρὸ αὐτῶν μαθητὰς, ὅτι κατεσφάγησαν ἔμπροσθεν τοῦ Δεσπότου, μὴ θελήσαντες αὐτὸν βασιλεύειν ἐφ' ἑαυτῶν. Καὶ τοῦτο τὰ σεπτὰ τοῦ Σωτῆρος ἡμῶν Εὐαγγέλια διδάσκουσι διαπρυσίως, ὅτι προσκυνηταὶ τοῦ διαβόλου, καὶ ὅτι τοῦ Δημιουργοῦ ὑβρισταὶ οἱ σχίζοντες τὴν τοῦ Θεοῦ βασιλείαν, καὶ τοῦτο τὰ αὐτὰ διακεκράχασιν ἱερὰ Λόγια. Οὐκοῦν εἰ μηδὲν τούτων αὐτοὺς ἀποστρέψει (78) τῆς ἀποστασίας, ὑπόλοιπόν ἐστι τὸ ἀτελεύτητον πῦρ, καὶ τὸ σκότος τὸ ἐξώτερον, ὃ ἡτοίμασται αὐτῶν τῷ διδασκάλῳ. Ἐκεῖνο καὶ ἄκοντας αὐτοὺς, καὶ χωρίς τινος ὠφελείας, ἀποστήσει (79) τῆς θεομαχίας. Ἀλλὰ ταῦτα μὲν ὅσον ἐπὶ τῷ προχείρῳ τῆς διαλέξεως καὶ τῆς ὁμιλίας.

ΛΟΓΟΣ Δ'.

Τοῦ αὐτοῦ κατὰ τῆς τῶν Μανιχαίων ἀρτιφυοῦς πλάνης, Ἀρσενίῳ (80) τῷ ὁσιωτάτῳ μοναχῷ πρεσβυτέρῳ καὶ ἡγουμένῳ τῶν ἱερῶν.

Α'. Ἐπειδήπερ, ἱερῶν ἀνδρῶν ἐρασμιώτατε, τὰς διαλέξεις ἔχειν ἠξίωσαν αἱ τοῦ Μάνεντος μὲν παραρυάδες, τὸ φρόνημα καταισχύνουσι. Πάλαι δὴ Νικηφόρῳ (81) προσωμιλήθησαν, οὕπω μὲν ἀπὸ τῆς κλήσεως ταύτης γινωσκομένῳ. Καὶ γάρ οὐδὲ τὴν πίστιν ἠσπάζετο, ἥτις τὸν κόσμον ἐνίκησεν· ἔτι δὲ τοῖς τῆς ἀποστασίας λειψάνοις ἐγκαλινδούμενος, καὶ τὴν ἐκεῖθεν εἴλκε προσηγορίαν· Βέρζελις γὰρ ὠνομάζετο. Ἐπεὶ οὖν τοὺς λόγους ἐκείνους (82) εἰς

SERMO IV.

Ejusdem dissertatio contra repullulantem Manichæorum errorem, ad Arsenium, monachum sanctissimum, presbyterum et præfectum sacrorum.

C 1. Postquam, vir inter sanctos dilectissime, homines a Manete instar surculorum recens orti, disputationes ingressi sunt, sententias suas ut pudendas prodiderunt. Olim illi versati frequenter sunt cum Nicephoro, hactenus quidem a nomine illo re ipsa nondum cognito. Nam ne fidem quidem amplexus is est, quæ mundum vicit: sed potius in apostasiæ reliquiis occupatus, nomen inde suum nactus est: *Berzelis* enim appellabatur. Quoniam

VARIÆ LECTIONES ET NOTÆ.

(77) Ἐπιδείξωμεν. Sic scribere jubet orationis series. Ms. habet ἐπιδείξομεν.

(78) Ἀποστρέψει. Sic rescribendum putavi pro ἐπιστρέψει, quod ms. exhibet. Ratio in promptu est.

(79) Ἀποστήσει. Ita lego pro ἀποστῆσαι, quod codex habet. Posterius hoc non invenit in orationis serie verbum, a quo regatur.

(80) Ἀρσενίῳ. Arsenii hujus alibi mentionem fieri non memini. Nomen hoc alioquin pluribus viris, in vetere Ecclesia celebratis, commune fuit. Inter cæteros eminet Arsenius abbas, cujus dicta et res memorantur in *Apophthegmatibus Patrum*, apud Cotelerium, tom. I *Monumentorum Ecclesiæ Græcæ*, p. 367. Hujus quanta fuerit existimatio ex ejusdem Cotelerii Notis, p. 799, harum rerum cupidus intelliget. Is autem vixit Theodosii imperatoris temporibus, Arcadii et Honorii, principum, præceptor, atque adeo Nostrum hunc aliquot sæculis antevertit.

(81) Νικηφόρῳ. Hic itaque Photii tempore inter Paulicianos eminuit, et, more his hominibus recepto, nomen suum cum altero illo Berzelidis permutavit. Metonomasias hujusmodi exempla in libro I lector inveniet. Subinnuit vero hic Photius, recte nomen illud abjectum fuisse, cujus scilicet mensuram non impleverit, vincendo mundo minime omnium accommodatus.

D (82) Λόγους ἐκείνους. Respicit Photius binos sermones superiores, quos, contra Manichæos publice habitos, litteris consignaverat, sed temporum calamitate ipse amiserat. Eos ipsum velle res ipsa evincit. Qui enim hanc scriptionem cum superioribus illis comparaverit, intelliget eam istorum compendium sistere, quemadmodum et ipsa illa capita, quæ statim commemorat Photius, in istis duobus sermonibus pertractantur. Hinc inde tamen novum argumentum reliquis accedit, et ut plurimum etiam eadem argumenta nova quadam ratione tractantur et ornantur. Euthymio hic postremus libellus vel cognitus non fuit, vel talis habitus, cujus excerptis carere posset. Neque enim in Panoplia ejus, ubi tres priores libelli excerpuntur, postremi hujus vestigia inveneris. Cæterum, quoniam horum libellorum mentionem commemorationi Nicephori istius jungit, vero simile fit, cum istis scribendis occasionem suppeditasse.

Digitized by Google Распознавание текста ABK/FR

ligitur sermones illos, scripto comprehensos, desiderasti, rapina vero librorum, etiam illorum irreparabilem jacturam attulit, neque ad manus nunc est ista commentatio ; tibi vero illis, quæ ista continentur, cum maxime opus est; scias ea omnia, quæ ex evangelicis et apostolicis oraculis germina novi illius Manichæorum surculi cum radicibus evellunt (nam illa sane præ cæteris omnibus inevitabilem, qua exscindantur, falcem immittunt), hæc, ut summatim dicam, evincere, quod gratia Mosaicæ de creato mundo narrationi consonet, nec minus ea omnia, quibus nunc ratio et instituta Deum cognoscendi continentur et diriguntur : imo et quod idem corpoream et visibilem creaturam ex non exsistentibus verbo creaverit, qui intelligibilem et invisibilem pro simili sapientiæ copia produxit. Præterea vero, quod corpus humanum æque ac anima ab eadem providentia benefica et hominum amante profectum sit; quodque insuper illi, qui in veteri œconomia inclaruerunt, Deum verum et bonum coluerunt, et malitiæ se opposuerunt. Atque ista quidem, quoad per vires licuerit, difficultasque temporum permiserit, commentationi nostræ destinantes, quibus ipsis etiam, puto, desiderium tuum absolvitur, sanctitati tuæ nunc mittimus. Quod si sperata inveneris, id quidem precibus tuis et orationi in fide factæ tribuendum fuerit. Si vero inveneris, quod non exspectasses, id perpetuæ invaletudini, qua cum corpusculum meum conflictatur, et temporum difficultati acceptum feres. Si quando fortasse divina providentia ad peccata nostra conniveat, rebusque nostris benignius consulat, hominumque iram non promeritam in mansuetudinem convertat, atque sic id, quod initio petiisti, ad manus tuas perveniat ; non miraberis, ista relegens, si pleraque eorum, quæ ibi exstant, hic comprehensa inveneris. Sed nec miraberis vicissim, si illa non adsint. Nam oblivio sæpe in ea dominatur, quæ et præstabat et necesse erat scire, in primis ubi conflictum cum rebus præsentibus infert. Simul vero nec illud, velim, prætermittas; quod non aliam novamque commentationem in medium afferre constitutum sit, sed tantum in hac rerum inopia aliquid in solatium jacturæ prioris et oblivionis medelam nobis et amicis hoc qualecunque suggerere.

II. Initium aciei nostræ, contra adversarios instruendæ, ipsa Domini opera et verba sunt. Neque enim nos aliunde possumus pugnare felicius, neque hostibus quidquam, quam inde nos oppugnare, magis obvium est, neque iisdem ulla alia, quam

γραφὴν ἀναληφθέντας ἐπεζήτησας, ἡ δ' ἁρπαγὴ τῶν βιβλίων (83) κἀκείνοις ὑπερόριον ζημίαν ἐπέβαλε, καὶ οὐ πάρεστι τὸ συνταγματιον· τῶν δὲ ἐν αὐτῷ κατάτεταγμένων προηγουμένη σε χρεία κατέχει· ὅσα διὰ τῶν εὐαγγελικῶν καὶ ἀποστολικῶν ῥημάτων τῆς Μανιχαϊκῆς ἀποσπάδος πρόῤῥιζον τὴν βλάστην ἐκτέμνει (καὶ γὰρ καὶ ταῦτα κατ' αὐτῶν ἐστι μᾶλλον τῶν ἄλλων ἄφυκτον τὸ τῆς ἐκτομῆς ἐπαφιέντα δρέπανον), τάδε, ὡς ἐν κεφαλαίῳ φάναι, ἐπιδείκνυσι, ὡς ἡ χάρις τῇ Μωσαϊκῇ κοσμογενείᾳ συμφθέγγεται, καὶ ὅσοις ἄλλοις ἄρτι πολιτεία Θεὸν γινώσκειν καθισταμένη παιδαγωγεῖται καὶ κατευθύνεται. Ναὶ δὴ καὶ ὅτι τὴν σωματικὴν καὶ ὁρατὴν κτίσιν ἐκεῖνός ἐστιν ὁ ἐκ μὴ ὄντων λόγῳ ὑποστησάμενος, ὃς καὶ τὴν νοεράν τε καὶ ἀόρατον παραπλησίῳ σοφίας πλούτῳ παρήγαγεν. Ἀλλ' ὅτι καὶ τὸ ἀνθρώπινον σῶμα τῆς αὐτῆς ἐστι φιλανθρώπου καὶ ἀγαθουργοῦ πρὸνοίας, ὥσπερ καὶ ἡ ψυχὴ φιλοτέχνημα, καὶ ὡς οἱ τῇ νομικῇ πολιτείᾳ διαπρέψαντες Θεόν τε τὸν ἀληθῆ καὶ ἀγαθὸν ἐθεράπευον, καὶ κατὰ τῆς πονηρίας παρετάττοντο. Ταῦτα δὴ, ταῦτα, καθόσον οἷόν τέ ἐστιν ἡμῖν, καὶ ἡ τοῦ καιροῦ συγχωρεῖ βαρύτης, καθυποβάλλοντες ἐκδοσει (ἐν τοῦτοις γὰρ, οἶμαι, περιγράφεταί σου καὶ τὸ αἴτημα), τῇ σῇ διεπεμψάμεθα ὁσιότητι. Καὶ εἰ μὲν εὕροις, ὡς ἤλπισας, τῆς σῆς ἂν εὐχῆς εἴη, καὶ τῆς κατὰ τὴν πίστιν αἰτήσεως ἡ ἐνέργεια. Εἰ δὲ τὰς ἐλπίδας ἐκνικήσει τὸ ἀδόκητον, τοῦτο δὴ ταῖς τε συνεχέσιν ἀῤῥωστίαις, αἷς οὐ λήγει παρενοχλοῦν ἡμῶν τὸ σωμάτιον, καὶ τῇ τοῦ καιροῦ λογίζου χαλεπότητι. Ἂν δήποτε τῆς θείας ἐπισκοπῆς παρορώσης μὲν οἷς ἁμαρτάνομεν, εὐμενέστερον δὲ διατιθεμένης τὰ ἡμέτερα, καὶ τὴν ἀνθρωπίνην καὶ ἀναίτιον ὀργὴν διαλυούσης εἰς πραότητα, τὸ κατ' ἀρχὰς αἰτηθὲν (84) ταῖς σαῖς χερσὶ περιενεχθείη, μηδὲν θαυμάσῃς ἀναλεγόμενος, εἰ (85) τὰ πλείω τῶν ἐν αὐτῷ κάνταῦθα συμπεριείληπται, ἀλλὰ τοὐναντίον εἰ μὴ παρεῖται. Λήθη γὰρ πολλάκις καὶ τῶν ἄμεινον εἰδέναι καὶ τῶν ἀναγκαίων ἐπεκράτησε, μάλιστά γε συμμαχίαν τὴν ἐκ τῶν παρόντων εἰ συνεπάγοιτο. Ἅμα δὲ μηδὲ ἐκεῖνο δίδου παρορᾶν, ὅτι μὴ προάγειν ἄλλην πραγματείαν, ἀλλ', ὡς ἐν ἀπόροις, τῆς ἐστερουμένης παραμύθιον καὶ λήθης φάρμακον ἑαυτοῖς καὶ φίλοις ἀντεισάγοντες.

Β'. Ἀρχὴ δὲ ἡμῖν τῆς κατὰ τῶν ἀντιπάλων παρατάξεως, αὐτὰ τὰ Δεσποτικὰ ἔργα καὶ ῥήματα. Οὔτε γὰρ ἡμῖν ἀλλαχόθεν στρατηγεῖσθαι βέλτιον, οὔτε τοῖς πολεμίοις βάλλειν εὐστοχώτερον, ἀλλ' οὐδὲ ἐκείνους πίπτειν φοβερώτερον ἢ ἀθλιώτερον. Ὅρα γοῦν

VARIÆ LECTIONES ET NOTÆ.

(83) Ἁρπαγὴ τῶν βιβλίων. Quando illa Photio acciderit, difficulter forte conjectura assequaris. Constat quidem Photium sede sua patriarchali his pulsum esse, ceu diligenter exponit Martinus Hanckius, *De Byzantinarum rerum Scriptoribus*, part. I, c. 18. Cum alterutra hac calamitate librorum jacturam conjunctam fuisse crediderim, et fortasse cum posteriore, in qua, nunquam pristinæ sorti restitutus, obiit, in quadam urbe Armeniorum, quam regionem Paulicianis abundasse liber I docet.

(84) Αἰτηθέν. Petierat scilicet Arsenius priorem illam Photii commentationem, duobus libris comprehensam.

(85) Εἰ. Ita scripsi pro εἰς.

Digitized by Google Распознавание текста ABK/FR

ὅπως ἐξ αὐτῆς συμβολῆς ὁ βασιλεὺς τῶν ὅλων, καὶ Σωτὴρ ἡμῶν καὶ στρατηγὸς τὸν χάρακα τῶν ἐχθρῶν ἐξ αὐτῶν κρηπίδων ἀνασπᾷ καὶ καταστρέφει, καὶ συγχεῖ τὸ φρόνημα, καὶ διασκεδάζει τὸ θράσος τῶν ἀποστατῶν. Τί βουλεύων καὶ τίνα τέχνην κινῶν, οὐδὲν μεμηχανημένον, οὐδὲ δι' ἀγώνων καὶ καμάτων προϊὸν, ἀλλ' ἅμα τε φωνὴν ἀφίησι μόνον, καὶ πάντα τὰ τῶν πολεμίων ἠφάνισται. Πᾶσα γὰρ, φησὶ, βασιλεία μερισθεῖσα καθ' ἑαυτῆς ἐρημοῦται, καὶ πᾶσα πόλις ἢ οἰκία μερισθεῖσα καθ' ἑαυτῆς οὐ σταθήσεται. Ὁρᾷς, ὅπως ὁ φθόγγος ἠχήσας μόνον τῆς σάλπιγγος τῆς βασιλικῆς, τὸ χαράκωμα τῶν ἐχθρῶν διέφθειρέ τε καὶ ἐξερήμωσε. Καὶ τί λέγω χαράκωμα; ἀλλὰ καὶ τὴν πόλιν, καὶ αὐτὸ τῆς ἀποστασίας, ὅπερ ταῖς αὐτῶν δυσσεβεστάταις καὶ πεπλανημέναις ἐπινοίαις ἀνεπλάσαντο τε καὶ ὠχύρουν βασίλειον. Εἰ γὰρ βασιλεία μεριζομένη ἐφ' ἑαυτῆς οὐχ ὑφίσταται, ἀλλ' αὐτὴ περὶ αὐτὴν θᾶττόν τε καταῤῥεῖ καὶ ἀφανίζεται, ἡ δὲ δημιουργὸς τῶν ὅλων ἀρχὴ καὶ βασιλεία δι' αἰῶνος μένει, ὡς ἂν οὐδ' αὐτὸ τὸ τῆς ἀποστασίας ἀποθρασυνθεὶη ἐξαρνήσασθαι. Οὐδὲ γὰρ οὐδὲ μέχρι νῦν ὁ πάντα νεωτερίζων χρόνος οὐδένα παρέδειξεν εἰς τοιαύτην λύσσαν ἐκλυσσήσαντα. Εἰ οὖν ἡ τοῦ Ἀγαθοῦ ἀρχὴ, ὡς πᾶσιν ἐπίδηλον, κρείττων πάσης διαλύσεως, πῶς οὐ μᾶλλον ἐπιδηλότερον, ὡς αἷς αὐτοὶ τὸ ὁλόκληρον αὐτῆς ταῖς τόλμαις διασπαράσσοντες πονηρὰν ἀρχὴν σκηνοποιοῦσιν καὶ παραπηγνύουσι, τὴν μὲν τοῦ κοινοῦ καὶ ἀγαθοῦ Δεσπότου βασιλείαν προπηλακίζειν μανίαν εἵλοντο, ἣν δὲ ἀνανιστῶσιν, ἅμα τε πλάττουσι καὶ ἅμα λύουσιν; Ἀμερίστου γὰρ τῆς τοῦ Ἀγαθοῦ βασιλείας συντηρουμένης (ὁδὸς γὰρ ὁ μερισμὸς εἰς διάλυσιν), ὅτι τε τὸ (86) ἄλυτον τὸν μερισμὸν ἀποπέμπεται, καὶ πρό γε τῆς ἐπιβολῆς ταύτης ὁ Δεσπότης ἀνεῖπε τὸ μεριζόμενον διαλύσεσθαι. Καὶ ἡ κτίσις τοσούτοις αἰῶσιν ἐξ αὐτῆς παραγωγῆς κατά γε τὴν ὁλοκληρίαν κρατεῖν τῆς λύσεως ἐκληρώσατο. Ὁρᾶται δὲ περιφανῶς καὶ τοῖς οὐρανίοις ἀλληλουχούμενά τε καὶ συνεχόμενα τὰ ἐπίγεια, τά τε νοερὰ καὶ νοητὰ τῶν σωματικῶν καὶ ταῖς αἰσθήσεσι κρινομένων διὰ τῆς ἀδιαδόχου προνοίας οὐ διιστάμενα, ἀλλὰ καὶ περιφανεστάτην φέροντα τὴν συνάφειαν. Οὐ μὴν ἀλλά γε καὶ αὐτὸ λογικὸν ζῶον ὁ ἄνθρωπος ἐξ ὁρατῶν τε καὶ ἀοράτων μερῶν ἁρμοσμένος συνέστηκεν. Εἰ οὖν ἡ τοῦ ἀγαθοῦ Θεοῦ δημιουργία τε καὶ βασιλεία τομὴν καὶ μερισμὸν οὐκ ἐπιδέχεται, ἣν δὲ αὐτοὶ ἀνακλάττουσι, μερίδα τινὰ τῆς ὅλης δημιουργίας τῇ γλώσσῃ ἀποσπαράξαντες, τοῖς τῆς ἀποστασίας προάγουσι ῥήμασι καὶ Ἐχθρὸν ἐν αὐτῇ βασιλεύειν καθιδρύουσι· πῶς αὐτὴ καθ' ἑαυτὴν δέξοιτο στάσιν αὐτῇ; πῶς δ' ἂν ὑποσταίη, αὐτὴν τὴν γένεσιν ἐκ μερισμοῦ καὶ λύσεως λαβοῦσα, καὶ τομῆς καὶ διαιρέσεως, ἃ καὶ τὸ ὁλόκληρον εἰς φθορὰν καταστρέφει, προελθοῦσα καὶ ἀποῤῥυεῖσα, εἰ καὶ μὴ δυσφημούσης γλώσσης ὑπῆρχεν ἀνάπλασμα; Πῶς δ' οὐχ ὥσπερ ἡ τοῦ Ἀγα-

A hinc accepta clades, luctuosior aut gravior esse potest. Vide igitur, quomodo sub ipsam congressionem rex universi, et Servator noster, et dux belli vallum hostium ab ipsis fundamentis convellat et evertat, eorum molitiones confundat, et audaciam apostatarum dissipet. Quid meditetur, quidve moliatur, non longa arte quæritur, nec a contentione aut labore procedit, sed vix vocem emittit, et omnes hostium molitiones difflantur. *Omne enim*, inquit, *regnum, contra se ipsum divisum desolatur, et omnis urbs aut domus contra se divisa non consistet* [81]. Videsne, quomodo sonus buccinæ Dominicæ vix auditus vallum hostium everterit et destruxerit? Et quid dico vallum? imo et urbem, et regiam, quam apostatæ impiis suis B et errorum plenissimis ratiociniis exstruxerunt et muniverunt. Si enim regnum, in se ipsum divisum, non consistit, sed ipsum per se citius diffluit et disturbatur, imperium certe Creatoris et regnum in æternum manet, quod nec apostatæ ipsi negare ausint. Neque enim hucdum tempus, omnia innovans, quemquam exhibuit, eo insaniæ provectum. Si igitur boni Dei imperium, ceu omnibus constat, omni dissolutione superius est, nonne multo magis manifestum est, quod, quibus illi institutis, integritatem ejus turbantes, malum principium effabricant, et a latere exstruunt, iisdem regnum quidem communis et boni Domini averruncandi insanum consilium ceperunt, simul vero id, quod ex adverso erigunt, et struunt, et solvunt. C Dum enim boni principii regnum indivisum manet (namque divisio viam ad dissolutionem pandit), quia indissolubile divisionem omnem aversatur, Dominus noster etiam ante hanc incursionem prædixit fore ut divisum dissolvatur. Imo et creaturæ ipsi, tam multis sæculis, inde ab ipsa productione, pro integritate sua, solutione ejusmodi superiori esse licuit. Manifestum vero est terrestria cœlestibus arctissime juncta esse, et in eadem compage contineri, nec ea, quæ mente ac cogitatione investigantur, a corporeis sensuique subjectis rebus per continuam providentiam sejungi, sed eximiam connexionem præ se ferre. Et quod magis valet, ipsum illud animal rationale, homo, ex visibilibus et invisibilibus rebus compactus, D consistit. Si igitur boni Dei imperium et regnum divisionem et separationem non admittit, id vero, quod ipsi inferunt, partem scilicet quamdam totius administrationis lingua sua subtrahentes, verbis apostaticis producunt, et hostem ejus regem constituunt; quomodo illa pars per se discordiam sibi conciliabit? quomodo vero consistet, quæ ortum suum ex divisione et dissolutione habeat, quæque separatione et sejunctione, per quas substantia integra perditur, provenit primum et defluxit? Sane

[81] Matth., XII, 25.

VARIÆ LECTIONES ET NOTÆ.

(86) Τό. Ita lego pro τὸν, quod est in manuscripto.

Digitized by Google Распознавание текста ABK/FR

vel hoc evincit totum linguæ infamis figmentum esse. Quomodo vero non eodem modo, quo Boni principium tanquam indissolubile consistit, et, quo longius progreditur, tum constans est, tum in melius proficit: quomodo non, inquam, eodem modo principium illud quod, amentia hominum, in Deum injuriorum, invehit, siquidem non in nudis hominum calumniantum labiis exsistit, citius, quam ortum est, corrumpetur, et amasios suos risui ac ludibrio exponens peribit? Ita enim pœnam quasi repetit ab eis commentitiæ inaugurationis, per quam ipsi illi vano vel potius impio et improbissimo conatu reginæ nomen, quod nec ancillæ locum tuebatur, vindicarunt. Adeo omnipotens et militaris cæterisque omnibus dominus potestas copias hostium evertere, adeo spoliare hostes valet. Adeo ostendit ipsa illa tyrannide præliatores et satellites ejus ac quoscumque habet propugnatores vel uno verbo debellandi et ludibrio omnium exponendi potestate insuperabili pollere. Itaque defectores illos, propugnacula sua confestim diruta, et nec sonum regiæ buccinæ sustinentia videntes, neque imperio, quod novitatis cupidi sibi ipsis finxerunt, omnibus jam ad interitum spectantibus, militare amplius decebat, neque, sublata tyrannide, ad tyrannum se convertere, sed potius, cognito communi omnium Domino, imperio ejus se submittere, factaque vera conversione pœnitentiam seriam testantes confiteri, se manuum ejus opus esse et creaturam, ac ab ejusdem providentia et benignitate regi et gubernari: vicissim vero fas erat, odisse eosdem et aversari hostem maximum, eidemque nullis suis in vita actionibus potestatem imo nec excursum in se permittere.

A θοῦ ἀρχὴ τῷ ἀδιαλύτῳ συνέχεται, καὶ προϊοῦσα μᾶλλόν τε διαμένει καὶ μεταβάλλει προκόπτουσα πρὸς τὸ ἄμεινον· οὕτως καὶ ἣν καινίζει τῶν θεοβλαβῶν ἡ ἀπόνοια, οὐχὶ τὴν ὕπαρξιν ἐν αὐτοῖς μόνοις τοῖς βλασφήμοις ὀνειροπολήσασα χείλεσι, θᾶττόν τε ἢ προῆλθεν εἰς ἀφανισμὸν καταδύσεται, καὶ γέλωτα καὶ χλεύην τοὺς ἐραστὰς καταλιποῦσα οἰχήσεται, δίκην ὥσπερ ταύτην αὐτοὺς ἀντεισπράττουσα τῆς συμπεπλασμένης καὶ ἀνυποστάτου ἀναῤῥήσεως. δι' ἧς μάτην αὐτῇ, μᾶλλον δὲ δυσσεβῶς καὶ ἀθέως, τὸ τῆς βασιλείας (87) ὄνομα, οὐδὲ θεραπαινίδος ἐχούσῃ χώραν, περιέθεντο. Οὕτω καταστρέφειν στρατόπεδον τῶν ἐχθρῶν ἡ παντοκρατορικὴ καὶ στρατηγὸς οἶδε καὶ τῶν ἄλλων κατεξουσιάζουσα ἀρχή· οὕτως σκυλεύειν τοὺς ὑπασπιστὰς καὶ δορυφόρους, καὶ ὧν B ἐκείνη ἀγώνισμα, στηλιτεύειν τε καὶ παραδειγματίζειν, καὶ ταῦτα διὰ μιᾶς φωνῆς τὸ κράτος ἅμαχον ἐπιδείκνυσιν. Ἔδει μὲν οὖν τοὺς ἀποστάτας αὐτοβοεὶ καθορῶντας αὐτὰ ἀνατραπέντα, καὶ μηδὲ πρὸς τὸν ἦχον ἀντισχόντα τῆς σάλπιγγος τῆς βασιλικῆς, μήτε αὐτὰ μήτε τὴν βασιλειαν, ἣν πρὸς νεωτερισμὸν ἰδόντες ἑαυτοῖς ἀνετυπώσαντο, ἀλλὰ πάντων αὐτοῖς εἰς ἐρήμωσιν περιεστηκότων, μηκέτι προσφιλονεικεῖν, μηδὲ τῆς τυραννίδος ἀφανισθείσης πρὸς τὸν τύραννον ἐπιστρέφεσθαι, ἀλλὰ τὸν κοινὸν Δεσπότην ἐπιγνόντας προσδραμεῖν αὐτοῦ τῇ βασιλείᾳ καὶ δι' ἐπιστροφῆς γνησίας καὶ θερμῆς μετανοίας ἀνομολογῆσαι μὲν ἑαυτοὺς τῆς αὐτοῦ χειρὸς εἶναι, καὶ πλάσμα καὶ δημιούργημα, διακυβερνᾶσθαι δὲ καὶ διεξάγεσθαι τῇ αὐτοῦ προνοίᾳ, καὶ φιλανθρωπίᾳ· μισῆσαι C δὲ καὶ ἀποστραφῆναι τέλεον τὸν Ἐχθρὸν, ὡς μηδὲν οἷς πράττουσι κατὰ τὸν βίον μηδεμίαν αὐτῷ καταλιπεῖν ἐξουσίαν, ἀλλὰ μηδὲ πάροδον.

III. Quod si vero profundæ defectionis tenebræ ipsorum sensus adeo hebetaverunt, ut, ne destructo quidem ac debellato hoc imperio, evigilantes ex sopore detrectare valeant, sed sub eo magis, quam optimi Dei regno, contineri malint, age, ostendamus regem universalem non in eo vindictam suam ab illis qui regnum suum inficiantur, sumendam sistere, ut principem eorum evertat, deleat, et spoliet; sed iisdem, post probatam multam longanimitatem et patientiam, emendari nesciis interitum immittere. Fortasse istum sibi imminere videntes, sensu quodam facinoris sui capientur, nec amplius cogitabunt, vel dicent, nolle se ut sibi dominetur, aut corporibus suis reliquisque visibilibus creaturis Dominus et Rex universi imperet. Vide enim, quam graviter et severe is, qui natura sua hominum amans est, contra illos sententiam ferat. *Hostes meos*, inquit ille, *qui noluerunt me super se regnare, adducite huc, et mactate coram me* [83]. Quid ais? stupesne hanc sententiam? fugisne cædem illam?

Γ'. Εἰ δ' ὁ βαθὺς αὐτῶν ἐπικρατήσας τῆς ἀποστασίας σκότος οὕτως αὐτῶν ἠμαύρωσε τὰ νοήματα, ὡς καὶ τῆς τυραννίδος ἤδη λελυμένης τε καὶ ἠφανισμένης μηδ' οὕτως αὐτὴν ἀνανήφουσιν ἐξομόσασθαι, ἀλλ' ὑπ' ἐκείνην μᾶλλον ἢ τὴν τοῦ Ἀγαθοῦ βασιλείαν νεανιεύονται τάττεσθαι, φέρε, δείξωμεν, τὸν Βασιλέα τῶν ὅλων ὅπως ἀρνουμένους αὐτοῦ τὴν βασιλείαν οὐ μέχρι τοῦ καταστρέψαι τὴν ἀρχὴν αὐτῶν καὶ ἐξαφανίσαι καὶ σκυλεῦσαι τούτους τὴν δίκην ἵστησιν, ἀλλὰ μετὰ τὴν πολλὴν μακροθυμίαν D καὶ ἀνοχὴν ἀνιάτως ἔχουσι, τὴν σφαγὴν ἐπαφίησιν. Ἴσως κἂν γοῦν ταύτην αὐτοῖς ὁρῶντες ἐπιφερομένην, συναισθησίν τινα τοῦ τολμήματος λάβωσι καὶ μηκέτι μήτε διανοηθεῖεν, μήτε λέγοιεν, μὴ θέλειν ἐπ' αὐτοὺς βασιλεύειν, μηδ' ἄρχειν αὐτῶν τῶν σωμάτων, μηδὲ τῆς ἄλλης ὁρατῆς κτίσεως τὸν Δημιουργὸν καὶ Βασιλέα τοῦ παντός. Ὅρα γὰρ μεθ' ὅσης τῆς ἀποτομίας καὶ σφοδρότητος τὴν τιμωρὸν ἐπάγει ψῆφον κατ' αὐτῶν ὁ φύσει φιλάνθρωπος· Τοὺς ἐχθρούς μου, φησὶν ἐκεῖνος, τοὺς μὴ θελήσαντάς με

[83] Luc. XIX, 27.

VARIÆ LECTIONES ET NOTÆ.

(87) Τῆς βασιλείας. Legendum puto βασιλίδος, quæ vox magis convenit sequenti θεραπαινίδος.

Digitized by Google Распознавание текста ABK/FR

βασιλεῦσαι ἐπ' αὐτοὺς, ἀγάγετε ὧδε, καὶ κατασφάξατε ἔμπροσθέν μου. Τί λέγεις; φρίττεις τὴν ψῆφον, καὶ φεύγεις τὴν σφαγήν; καὶ τοῦ διχάζειν ἀφίστασαι τὴν βασιλείαν τοῦ ἀγαθοῦ Θεοῦ; καὶ πρὸς ἐπιστροφὴν ὁρᾷς, ἐφ' ᾧ τὴν Δεσποτικὴν ἀρχὴν ὁλόκληρον μὲν ὁμολογεῖν, καὶ τῶν σωμάτων δὲ καὶ τῆς ψυχῆς ἀναφέρεσθαι τὴν κυριότητα εἰς αὐτήν; ἢ μέχρι τοῦ παθεῖν, ἃ παθεῖν ἀθλιώτατον, καὶ οὗ μὴ ἔστι μηδὲ ῥήματι δηλῶσαι χαλεπώτερον, φιλονεικεῖς; Καὶ γὰρ οὐδ' ἀποκτείνει μόνον, οὐδὲ τῆς παρούσης ἀπάγει ζωῆς, ἀλλὰ μετὰ τὸ ἀποκτιννύναι ἐν ἀτελευτήτῳ καὶ ἀδιαδόχῳ γεέννῃ πυρὸς, καὶ τὴν ψυχὴν καὶ τὸ σῶμα τιμωρεῖσθαι παραπέμπει. Ἀλλὰ γὰρ ἐγώ σοι καὶ ἕτερα πλείονα, εἴτε βέλη βούλει τιτρώσκοντα καὶ ἐξαφανίζοντα πολυτρόπως τε καὶ πολυμερῶς ἔτι τόσον ἀσεβὲς φρόνημα, εἴτε σωτήρια φάρμακα τῆς νόσου καὶ ἰάματα ἐκ τῆς αὐτῆς φιλανθρώπου καὶ παντοκρατορικῆς γλώσσης λαβὼν, ἂν ἄρα σοι τῆς ὑγείας ἔρως, ἀντὶ τοῦ κατακεῖσθαι τετραυματισμένῳ, περιγέγονε, προοίσω, καὶ πρὸς τὴν ἀπαλλαγὴν συναγωνίσομαι τοῦ νοσήματος.

A desistisne a dividendo imperio Dei Optimi? Convertisne te ad pœnitentiam, ut imperium Domini plenarium confitearis, et ad idem tum corporum tum animæ dominium transferas? an potius pugnare contra illud amas, usque dum ea perpetiaris, quæ perpeti tristissimum est, et quibus graviora verbis exprimi non possunt? Namque non occidit solum, et ex præsenti vita tollit, sed postquam interemerit, te in perpetuam nec finiendam unquam gehennam ignis, anima et corpore puniendum, ablegat. Enimvero et alia tibi plura, sive tela mavis, impiam hanc sententiam variis modis conficientia et confodientia, sive salutaria contra morbum medicamina ex verbo oris omnipotentis et hominum amantis desumpta afferam, et ad propulsandum B morbum studium conferam, si forte sanitati restitui potius, quam ex vulneribus perpetuo decumbere cupias.

Δ'. Ἐκήρυσσε τὸν Χριστὸν ὁ Ἰωάννης μήπω τῆς χάριτος μετασχὼν, ἀλλ' ἔτι τῷ νόμῳ παιδαγωγούμενος. Ἐκήρυσσε δὲ θεολογῶν μὲν αὐτὸν, οἷς τοῦ κόσμου τὴν ἁμαρτίαν αἴρειν ἅπασι διεμαρτύρατο, καὶ οἷς αὐτὸν Υἱὸν Θεοῦ καὶ ἐν πυρὶ καὶ ἐν ἁγίῳ βαπτίζοντα Πνεύματι, τουτέστι τῇ ἐμπύρῳ καὶ πρηστηρίῳ (88) τοῦ Πνεύματος δυνάμει τὴν καταπεσοῦσαν ἡμῶν φύσιν ἀναχωνεύοντά τε καὶ ἀνακαινίζοντα ἐλευθέρᾳ φωνῇ ἀνεδίδασκεν. Ἐκήρυσσε δὲ καὶ τὸν Πατέρα, θεολογῶν τε αὐτὸν, καὶ ἐκ τῶν λίθων ἐγεῖραι τέκνα τῷ Ἀβραὰμ τὴν ἰσχὺν ἀκώλυτον ἔχοντα. Καὶ τὸ Πνεῦμα δὲ, οἷς τε ἐξ οὐρανοῦ προελθεῖν ἐθεάσατο, καὶ οἷς ἐπὶ τὸν Υἱὸν τοῦ Θεοῦ τὸν μονογενῆ ἐπεφοίτησέ τε, καὶ ὡς ὁμοουσίῳ προσέμενε, καὶ τό γε θεολογικώτερον, οἷς κοινωνὸν αὐτὸ τῆς ἐργασίας ἀνομολογεῖ (89), δι' ἧς ἡ σωτηρία τοῦ κόσμου ἐπαῤῥησιάζετο. Καὶ γὰρ κοινὴν αὐτοῖς τὴν τῶν ἀνθρώπων σωτηρίαν ἀνατίθησιν· εἴπερ ὁ μὲν αἴρει τὴν ἁμαρτίαν τοῦ κόσμου, αὗτη δὲ τῷ παναγίῳ Πνεύματι καθαίρεταί τε καὶ ἀποσμήχεται. Καὶ γὰρ λαμπρῶς ἀνακέκραγεν, ὡς ὁ κόσμος, τῆς ἁμαρτίας τὴν ἐλευθερίαν δεχόμενος, καὶ τῆς σωτηρίας ἀξιούμενος, τῷ παναγίῳ Πνεύματι εἶτα καὶ πυρὶ βαπτιζόμενος, δι' οὗ τὴν πυρφόρον καὶ δραστικὴν καὶ καθάρσιον τοῦ Πνεύματος ἰσχὺν ἔστιν ἐκμανθάνειν, τῆς τηλικαύτης εὐεργεσίας ἀπολαύουσιν. Ὧν δὲ τὸ ἔργον κοινὸν καὶ ἀμέριστον, καὶ τότε κόσμου ἀνακαινισμὸς καὶ ἀνάπλασις, πῶς οὐχ ἡ αὐτὴ μὲν τούτοις φύσις, ἡ αὐτὴ δὲ ἰσχὺς, ἡ αὐτὴ δὲ φιλανθρωπία καὶ πρόνοια; Οὕτω γοῦν ἐξ αὐτῆς

IV. Prædicavit Christum Joannes, fœderis gratiæ nondum particeps, sed secundum legem adhuc ductus. Prædicavit autem eum, et Deum professus est iis locis omnibus, quibus testatus est eum peccata mundi tollere, et quibus ipsum Dei Filium igne et Spiritu sancto baptizantem, id est, ignea et fulminea Spiritus virtute naturam nostram depressam excitantem et renovantem libera voce demonstrat. Prædicavit vero et Patrem, eumque, ut Deum, indubiam potestatem etiam ex lapidibus Abrahamo C filios procreandi habere professus est. Prædicavit vero etiam Spiritum sanctum, quando eum ex cœlis prodiisse, et in Filium Dei unigenitum descendisse, et super eo tanquam ejusdem essentiæ consedisse videt, imo, quod magis Deum infert, quando eum ut participem operis celebrat, in quo salus mundi se conspiciendam præbuit. Namque utrique causam salutis hominum acceptam fert. Alter enim tollit peccatum mundi, hoc autem per Spiritum sanctissimum mundatur et abstergitur. Clare enim clamavit, quod mundus, a peccato liberatus, et salute dignus habitus, tum vero Spiritu sancto ac poseta igne baptizatus, per quem vim Spiritus sancti igneam, efficacem et expiatoriam intelligere licet, tanto beneficio fruatur. Quorum vero opus commu- D ne est et indivisum, quod mundi renovatione et reparatione continetur, quomodo illis non eadem natura, eadem vero etiam potestas, eadem denique humanitas et providentia fuerit? Qui igitur in ipso limine Deum trinum prædicavit, et tremendum ac

VARIÆ LECTIONES ET NOTÆ.

(88) Καὶ πρηστηρίῳ. Varias phraseos, ἐν Πνεύματι καὶ πυρὶ, quæ Matth. III, 11, exstat, explicationes apud Patres inveneris, quarum partem exhibet Jo. Casp. Svicerus, in *Thesauro Ecclesiast.* tom. I, p. 629 seq. Ad nostri Photii illam proxime accedit Cyrillus Alexandrinus lib. III, *Glaphyror.* in Exodum, p. 322, ita scribens: Πυρὶ τῷ νοητῷ τὸν ἐν ἡμῖν δαπανῶντι συρφετὸν, καὶ τὸν ἐξ ἁμαρτίας ἐκτήκοντι ῥύπον, καὶ ἀποψύχεσθαι πρὸς ἐκτόπους ἡδονὰς οὐκ ἀφιέντι τὸν νοῦν, ἀποτετελέσμεθα δὲ ταύτῃ τοι τῷ πνεύματι ζέοντες· hoc est: *Igne spirituali consumente fœces nostras, et peccati sordes absumente, nec permittente, ut mens inordinatis voluptatibus frigescat, hac autem ratione perfecti sumus facti spiritu ferventes.* Vide quæ paulo post Noster affert plura.

(89) Ἀνομολογεῖ. Ita rescripsi pro ἀνομολογεῖν.

Digitized by Google Распознавание текста ABK/FR

venerandum dogma hoc in introitu concionis suæ proposuit, quod Servator post resurrectionem discipulis suis clarius explicavit, num is aliunde hæc hausisse, et dixisse ac prædicasse tibi videtur, ut vel legem gratiæ contrariam dixerit, vel negarit, eum, qui ex lapidibus Abrahamo semen excitare possit, Servatorem mundi filium suum et dilectum esse, omnibus demonstrasse? Si vero, qui sub lege gratiæ præcones fuerunt, et ipse quoque legislator Deus, qui totum vetus testamentum instituit, Filium proprium Deum Bonum et mundi Servatorem renuntiavit, eumque aqua baptizatum, quomodo non omnia, quæ in lege et gratia sunt, ejusdem providentiæ, curæ et bonitatis opera ac præcepta habenda erunt?

V. Considera vero simul, quibus encomiis Joannem mactet Servator, quando eum divitiis omnibus superiorem, et supra omnem mundi fastum collocatum, in fide præterea firmum, ac in sententiis bonis rectisque tuendis immotum pronuntiat [88]. Ab his ipsum celebrans, vide, quam longe altius virum efferat, neminemque inter genitos ex mulieribus cum eo comparandum, sed palmam omnibus præripientem, sistat. Postea a virtute ita laudatum etiam prophetam et propheta majorem appellat, prophetam quidem, ut ostenderet, prophetarum nomem ejusque usum ejusmodi operibus et prærogativis, quæ bonitatis dona sunt, accommodatum esse. Propheta autem majorem vocat, quod qui æqualem eum illis gratiam nactus est, ut futura prævideret, idem adhuc plus habuit ut scilicet videret eum de quo illi vaticinati sunt et dignus haberetur, qui baptizaret aqua illum, qui mundum igne et Spiritu baptizaturus erat, et a peccatis mundaturus. Num igitur gratia cum lege pugnat? nonne potius magna est inter utramque consensio et affinitas? Quomodo vero, siquidem Joannes ab alio erat principio, gratiæ auctor hæc de eo testatus est, quæ paucis eisque selectis tempore novi testamenti patrata esse constat? Quomodo item, cum boni Patris bonus sit Filius, idemque bonitatis fons, legali et manui et voci, quas apostatæ oppositi principii opus et præceptum dicere audent, immaculatum caput suum submittere, et baptismum per aquam recipere sustineat, o linguam venenum serpentis effundentem! si aqua non sit a bono creatore profecta?

V. Quod vero amplius valet, non commemoro. Id vero tale est, quod nemo sine horrore dicere suscipiat, illis vero, in quibus error hic exsultat, conficiendis maxime aptum sit, atque adeo cum maximo fructu et studio a nobis exponendum. Natus enim est boni Patris bonus Filius ex Virginis utero, in mundi salutem, ita ut carnem nostram sibi ex immaculato sanguine formaret, et homo vocaretur. Atque id quidem veteres impietatis pa-

[88] Matth. xi, 7.

A ἐστίας θεολογῶν τὴν Τριάδα, καὶ τὸ τῆς θεολογίας φρικτὸν καὶ σεπτὸν μάθημα ἐν προθύροις τοῦ κηρύγματος ἀπαγγέλλων, ὃ μετὰ τὴν ἀνάστασιν τοῖς μαθηταῖς ὁ Σωτὴρ τηλαυγέστερον παρεδίδου, ἆρά σοι ἄλλοθεν ἐπιπνεῖσθαι ταῦτα καὶ λέγειν καὶ κηρύσσειν δόξειεν, ἢ ὡς νόμος ἀσύμφωνος ὑπάρχει τῇ χάριτι, ἢ ὡς ὁ ἐκ λίθων ἐγείρων τέκνα τῷ Ἀβραὰμ Θεὸς, οὐχ ὁ αὐτὸς Υἱὸν ἑαυτοῦ εἶναι καὶ ἀγαπητὸν, τὸν Σωτῆρα τοῦ κόσμου πᾶσιν ἐτράνωσεν; Εἰ δὲ οἱ ἐν τῷ νόμῳ τῆς χάριτος κήρυκες καὶ ὁ νομοθέτης Θεὸς, ὁ πᾶσαν τὴν Παλαιὰν διαθέμενος, τὸν ἀγαθὸν Θεὸν καὶ Λυτρωτὴν τοῦ κόσμου Υἱὸν ἴδιον ἀνεκήρυξε, καὶ τότε βαπτιζόμενον ἐν τῷ ὕδατι, πῶς εὐχὶ καὶ τὰ ἐν τῷ νόμῳ πάντα καὶ τὰ ἐν τῇ χάριτι τῆς αὐτῆς εἶσι προνοίας καὶ δημιουργίας καὶ ἀγαθότητος ἔργα καὶ
B διατάγματα;

Ε'. Συνεπισκόπει δὲ καὶ ὅσοις τὸν Ἰωάννην ἐγκωμίοις ὁ Σωτὴρ στέφει, κρείττω μὲν ἐπιψηφιζόμενος χρημάτων, πάσης δὲ περιγείου δόξης ὑπεριδρυμένον, στερρὸν δὲ τὴν ἐπὶ τῇ πίστει κρίσιν, καὶ ἁπλῶς τὴν ἐπ' ἀγαθοῖς πᾶσι γνώμην ἀκλόνητον. Τούτοις δὲ αὐτὸν ἀνακηρύξας, ὅρα πῶς ἐπὶ μείζω τὸν ἄνδρα ἐπαίρει, καὶ τῶν ἐν γεννητοῖς γυναικῶν οὐδένα τίθησιν ἐξισούμενον, ἀλλὰ κατὰ πάντων τὸ πρεσβεῖον φέροντα. Εἶτα πρὸς ἀρετὴν αὐτὸν οὕτως ἀνυψώσας καὶ προφήτην ἀποκαλεῖ, καὶ προφήτου περισσότερον· προφήτην μὲν, ἵνα δείξῃ τὸ τῶν προφητῶν ὄνομα καὶ τὴν χρείαν τοιούτοις ἔργοις καὶ ἀξιώμασιν, ἃ τῆς ἀγαθότητός ἐστι δῶρα, προσαρμοζόμενον. Προφήτου
C δὲ περισσότερον, ὅτι τὴν ἴσην ἐκείνοις χάριν λαβὼν τοῦ προορᾷν τὰ ἐσόμενα, πλέον εἵλκυσε τὸ καὶ τὸν προφητευόμενον ἰδεῖν, καὶ τὸ καταξιωθῆναι ὕδατι βαπτίσαι τὸν πυρὶ καὶ Πνεύματι ἁγίῳ τὸν κόσμον βαπτίζοντα, καὶ τῶν ἁμαρτημάτων καθαίροντα. Ἆρα οὖν ἡ χάρις τῷ νόμῳ διαμάχεται; ἢ οὐ πολλή τίς ἐστιν ἐν αὐτοῖς συμφωνία καὶ συνάφεια; Πῶς δ' εἴπερ ἦν ὁ Ἰωάννης ἄλλης ἀρχῆς, ὁ τῆς χάριτος νομοθέτης ταῦτα προσεμαρτύρησεν αὐτῷ, ἃ ὀλίγοις ἔστιν εὑρεῖν, καὶ ταῦτα τοῖς ἐκλεκτοῖς τῶν ἐν τῇ χάριτι κατορθούμενα; Πῶς δ' ἂν ἠνέσχετο, Παῖς
D Ὢν ἀγαθὸς ἀγαθοῦ Πατρὸς, καὶ πηγὴ ἀγαθότητος, τῇ νομικῇ καὶ χειρὶ καὶ φωνῇ, ἃ οἱ ἀποστάται τῆς ἀντικειμένης ἔργον τολμῶσι λέγειν καὶ πρόσταγμα, τὴν ἄχραντον αὐτοῦ κεφαλὴν ὑποκλῖναι, καὶ τὸ ἐξ ὕδατος ὑποστῆναι βάπτισμα (ὦ γλώσσης ἰὸν ἀσπίδος προχεούσης!), οὐκ ὄντος τοῦ ὕδατος τῆς τοῦ Ἀγαθοῦ δημιουργίας;

Ϛ'. Ἀλλὰ γὰρ τί τὸ μεῖζον, οὐ λέγω. Ἔστι δὲ τὸ αὐτὸ τῷ τε λέγοντι χωρὶς φρίκης εἰπεῖν ἀπορώτατον, καὶ καθ' ὧν ἡ πλάνη χορεύει, σφοδρότατόν τε καὶ τιμητικώτατον, καὶ ὅσον ῥηθῆναι χρειωδέστατόν τε καὶ σεβασμιώτερον. Γεγέννηται μὲν γὰρ ὁ τοῦ ἀγαθοῦ Πατρὸς ἀγαθὸς Υἱὸς ἐκ παρθενικῶν λαγόνων διὰ τὴν τοῦ κόσμου σωτηρίαν, καὶ σάρκα τὴν ἡμετέραν ἐκ τῶν ἀχράντων ἑαυτῷ διαπλάσας αἱμάτων ἐχρημάτισεν ἄνθρωπος. Καὶ τοῦτο τοῖς μὲν πάλαι

Digitized by Google Распознавание текста ABK/FR

τῶν ἀσεβῶν παρεγράφετο (90), τοῖς δὲ ἐκεῖθεν φυεῖσιν, οὐκ οἶδ' ὅπως ἔργῳ τὴν ἄρνησιν ἀγαπῶσι, τῆς ἐν λόγοις τιμῆς οὐκ ἐκβάλλεται. Καὶ γὰρ σεμνολογουμένους ἔνεστιν αὐτοὺς ὁρᾶν, οἵς τε τὰς εὐαγγελικὰς Γραφὰς τιμᾶν ἰσχυρίζονται, καὶ οἷς τὸν Ἀπόστολον καὶ θεοφόρον Παῦλον τοῦ οἰκείου φρονήματος δογματιστὴν καὶ διδάσκαλον καταψεύδονται. Σάρκα τοίνυν προσλαβόντος τοῦ Κυρίου ἡμῶν Ἰησοῦ Χριστοῦ· (καὶ γὰρ ὁ τῆς βροντῆς ἀνακέκραγεν Υἱός· Καὶ ὁ Λόγος σὰρξ ἐγένετο, καὶ ἐσκήνωσεν ἐν ἡμῖν. Καὶ τοῦ Ἰησοῦ Χριστοῦ τὴν γέννησιν ἄλλος πάλιν τῶν εὐαγγελιστῶν ἀναγράφει ἐκ Πνεύματος ἁγίου γεγονέναι, καὶ τεκεῖν τὴν Παρθένον, τὸν Υἱὸν αὐτῆς τὸν πρωτότοκον, καὶ καλέσαι τὸ ὄνομα αὐτοῦ Ἰησοῦν·) ὁ δὲ τούτοις ὢν ὁμόχορος καὶ συνθιασώτης, οὐ τὸν ἄληπτον τόκον μόνον ἀπαγγέλλει, ἀλλὰ καὶ τὸν ἀπόῤῥητον καὶ προηγησάμενον ἐπὶ μέρους τρόπον (91), καθ' ὃν ἐκυοφορήθη, καὶ ὡς τεχθέντα τὸν Υἱὸν αὐτῆς τὸν πρωτότοκον ἐσπαργάνωσεν ἡ Παρθένος καὶ ἐν τῇ φάτνῃ ἀνέκλινε· καὶ ὡς Σωτὴρ ἐτέχθη τῷ κόσμῳ Χριστὸς Κύριος ἐν πόλει Δαβίδ, τῶν ἀγγέλων ὁ δῆμος ἀνύμνησε. Καὶ πρός γε τούτοις· (ὃ τοὺς φαντασιαστὰς τοῦ μυστηρίου, τὴν χάριν εἰς λῆρον ἀπάγοντας, ἔτι μᾶλλον ἐπιστομίζει καὶ καταισχύνει, μεθ' οὓς καὶ τὴν ἐκείνων ἀποσπάδα, καθ' ἧς ὁ λόγος κεκίνηται·) τούτους οὖν ὑφὲν ἀποῤῥαπίζων καὶ καταστρεφόμενος, καὶ τὴν κατὰ τὸν νόμον περιτομὴν τῆς σαρκὸς ὑποστῆναι τὸν τεχθέντα Σωτῆρα ἡμῶν ἐκδιδάσκει, ἡνίκα καὶ τὴν Ἰησοῦ προσηγορίαν κἀν τῷ παρόντι μέρει τὰς Μωσαϊκὰς ἐντολὰς πληροῦντα συμπαραδίδωσι δέξασθαι. Τῆς δὲ τοῦ Λόγου ἐνσωματώσεως ἢ σαρκώσεως καὶ ἐνανθρωπήσεως οὕτω περιφανεστάτης οὔσης (ἀλλὰ μέχρι τούτων κατὰ ῥοῦν τε ὁ λόγος ἡμῖν καὶ δι' ἡδονῆς καὶ χαρίτων ἐφέρετο, τὸ δὲ ἐντεῦθεν ἴλιγγός τε καὶ δέος προσίσταται. Πλὴν εἰπεῖν ἀνάγκη καὶ ἀγωνίας πληρούμενον, ἃ παρελθεῖν ὁ τῆς πλάνης ἔλεγχος οὐκ ἐᾷ), πότερον, ὦ τολμῶν σὺ τὰ ἀτόλμητα, τοῦτο δὴ τὸ Κυριακὸν σῶμα τῆς φαύλης ἂν θείης ἀρχῆς, ἢ τὸν ὄγκον εὐλαβηθήσῃ τοῦ δυσσεβήματος; Εἰ μὲν γὰρ καὶ σὲ τρόμος ἔχει καὶ φόβος κατάλαβε, ἀφαιρήσεις αὐτὸ πάντως τῆς πονηρᾶς καὶ πλάσεως καὶ ἀρχῆς, μᾶλλον δὲ τῆς σῆς βλάσφημίας, καὶ σαυτοῦ τὴν τόλμαν ταύνην συναποσκευάσασθαι πολλὴν ἐπιδείξεις τὴν σπουδήν. Εἰ δὲ καὶ πρὸς τὴν θείαν ὀργὴν καὶ τῶν λογισμῶν τὴν κρίσιν καὶ κατάγνωσιν καὶ τὴν εἰς ἀνθρώπους αἰδὼ τὴν σὴν ἀντανασχεῖν ἐπωρώθης γνώμην, πῶς, εἰπέ, τὸ Πονηρὸν συνῆφθη τῷ Ἀγαθῷ, καὶ πῶς ὑπέστη ὁ ἀγαθὸς Θεὸς διὰ τοῦ Πονηροῦ τὴν τοῦ κόσμου σωτηρίαν καταπράζασθαι, καὶ τὸ θαυμασιώτερόν τε καὶ φρικωδέστερον, τῷ θρόνῳ συνεδριάζει τῷ πατρικῷ; τοῦτο γὰρ ὁ τῶν ἀποῤῥήτων

troni refugerunt; illi autem, qui hinc orti sunt, et qui nescio quomodo, opere ipso negare id malunt, in sermonibus commemorare non refugiunt. Videas enim eos speciose loqui, quando et evangelica scripta se colere affirmant, et Paulum divinitus actum sententiæ suæ auctorem et doctorem mentiuntur. Cum itaque carnem assumpserit Dominus noster Jesus Christus: namque ille tonitru filius exclamavit: *Et Sermo caro factus est, et habitavit in nobis* [83a]. Et Jesu Christi nativitatem alius iterum evangelistarum ex Spiritu sancto factam scribit, traditque Virginem peperisse Filium suum primogenitum, et vocasse nomen ejus Jesum [84]. Horum vero collega et sodalis, non solum incomprehensibilem partum, sed et absconditum ac ex parte antegressum conceptionis modum significat. Quomodo vero Filium suum promogenitum Virgo fasciis involverit, et in præsepi reposuerit [85]; quomodo item Servator Jesus Christus mundo natus sit in civitate David, angelorum turba cecinit. Præterea vero idem (id quod homines mysterium hoc specie tenus tenentes, et gratiam in nugas convertentes, nec minus illorum asseclas, contra quos his disputatur, adhuc magis compescit et confundit) penitus eosdem debellans et dejiciens, docet Servatorem nobis natum etiam circumcisionem carnis lege præceptam recepisse, ac præterea eumdem, etiam hac in parte Mosaica præcepta implentem, Jesu appellationem recepisse profitetur. Cum itaque incarnatio Verbi, seu carnis assumptio et nativitas tam manifesta sit (hucus que enim prono cursu sermo nos cum voluptate detulit: jam vero vertigo me fere et pavor occupat: sed dicendum tamen omnino est, quamvis non sine trepidatione, quod confutatio prætermittere non sinit), nunquid tu, qui non audenta audes, Dominicum hoc corpus ad malum principium referre mavis, an gravitatem flagitii hujus agnoscere? Si enim horror te capit, et timor occupat, subtrahes illud omnino malo conditori et principio, vel, ut rectius loquar, omni studio efficies, ut facinus hoc, blasphemiæ tuæ fœtum, amoliaris. Quod si vero, non habita ratione iræ divinæ, neglectoque rectæ rationis judicio, imo ipso erga homines pudore, sententiam tuam mordicus tueri pertinaciter constituisti, quomodo, quæso, Malum Bono junctum est, et quomodo bonus Deus salutem mundi per Malum reparare sustinuit, et, quod magis admiratione ac horrore dignum est, in thronum patrium collocat? id enim absconditarum rerum sciens et doctor tradit. Aut igitur has res omnes negare te oportebit, quod scilicet Verbum carnem assumpserit, in mun-

[83a] Joan. I, 14. [84] Matth. I, 25. [85] Luc. II, 7.

VARIÆ LECTIONES ET NOTÆ.

(90) Παρεγράφετο. Eos innuit ex veteribus hæreticos, tum Valentinianos, tum Manichæos, aliosque hujus generis, qui Christum verum hominem fuisse negarunt. Lege eos, in suas classes distinctos, apud Forbesium, lib. II *Instruction. historico-theolog.* c. 1, p. 77 seqq.

(91) Τρόπον. Vult Photius id, quod sanctus Lucas I, 36, memorat de Elisabetha, quæ ex parte præter naturam filium conceperat ante Mariam.

Digitized by Google Распознавание текста ABK/FR

dum per nativitatem in partu venerit, humanum genus redemerit, assumptumque corpus throno patrio vindicarit; aut relinquitur, si ea non negaris, negare te bonitatem Dei, quem, ipsa hac conjunctione astructa, malitiæ suspicione oneres et injuria afficias; quippe qui et malitiam, cum nec tum retinere possis, in bonum converterit. Et sane, si omnino contra Deum pugnare constitutum habeas, magis in promptu erat prius impietatis caput, quam posterius eligere. Fuit enim tempus, quo in flagitii hujus pœnam non vocabantur, qui priora illa nesciebant, eaque tanquam nondum exsistentia, non reverebantur. Qui vero Dei bonitatem in malum transtulerunt, aut hoc, tanquam Boni particeps factum, illustre reddiderunt, eos nulla non ætas Inevitabili pœna dignos judicavit.

VII. Cum vero audacia hæc et impietas amasios suos tot malis circumdet, illi tamen adeo ab errore suo se non avertunt, ut potius, veriti quasi, ne satietate quadam Deum oppugnandi corripiantur, novæ cuidam profanationi Boni naturam exponant. Cum enim vetus ejus testamentum, atque eos, qui in eodem præ cæteris eminuerunt, ad mali principii potestatem ejusque cultum referant, cum tamen ad David et Abraham, ex quibus Christus quod ad carnem, ejusdem ordinis exstiterint, manifestum est quod Dominum universitatis rerum duplici injuria afficiunt, semel quidem, quod corpus, quod assumpsit, a Malo esse contendunt; deinde vero, quod illud non ab alio populo deducunt, quam eo, qui secundum legem, ab ipsis contemptam, vixit. Quod si enim Bonum Mali inest opus, quomodo, quæso, ab aliis illud evitari poterit? Nunquam vero ad insolentiam hominis accessio fieri potest, qui duplici crimine se obstringat? Et enim propriam creaturam ad peccatum aversam, per ejus assumptionem servare, maximæ curæ et bonitatis argumentum est: vicissim si alieni quid clanculum obrepat, quod natura alteri sit adversum, et contrarietate sua cum eo pugnet, nonne illam et curæ et bonitatis eminentiam in partem oppositam convertere judicandum est? Itaque non est ulla opinio vel insana magis, vel impura, vel impia, quam eorum, qui vel corpus vel legem Mosaicam a Malo repetunt. Præter hæc, si corpora a Creatore malo sunt, non vero a Patre et Filio et Spiritu sancto, una divinitate et potentia, quomodo ab alienis et malis corporibus, quæ sane Mali sunt opera, morbos propellit Deus optimus, et mirabilem iis affert medicinam? Hoc enim nihil foret aliud, quam ornare opus, ad cujus potestatem destruendam venerat, atque adeo augere vires ejus, qui ab initio defectionem procuraverat. Imo si fruges terræ non

μύστης καὶ μυσταγωγὸς ἐδιδάξατο. Ἡ γοῦν τούτων ἁπάντων οἰκειώσῃ τὴν ἐξάρνησιν, ὡς ὁ Λόγος οὐ σεσάρκωται, οὐ προῆλθε τῷ κόσμῳ διὰ γεννήσεως ἐν τῷ τόκῳ, οὐ (92) γένος διέσωσεν, οὐ τὸ προσληφθὲν σῶμα τῷ πατρικῷ θρόνῳ συγκαθιδρύσατο· ἢ ταῦτα λείπεται μὴ ἐξαρνούμενον, ἀρνεῖσθαί τε (93) τὴν ἀγαθότητα τοῦ Θεοῦ, εἰς κακίαν τῇ συναφῇ καθυβρίζοντα. Καὶ δὴ κἀκείνην, ὅτε μηδὲ τὸ σὸν ἔχειν σοι καταλείπεται, εἰς ἀγαθότητα μεταβάλλουσαν· καὶ ἦν ἄν σοι, θεομαχεῖν πάντως ἠρημένῳ, κουφοτέρα μᾶλλον τῶν προτέρων ἢ τῶν δευτέρων δυσσεβημάτων ἡ αἵρεσις. Καὶ γὰρ ἦν ποτε τοῖς μὲν οὐκ εἰδόσι τὰ πρότερα οὐδὲ διὰ τὸ μήπω παρεῖναι τιμῶσιν, οὐδὲ μιᾶς ἐπαφιεμένη δυσσεβείας εἴσπραξις. Ἀπάγειν δὲ τὴν τοῦ Θεοῦ ἀγαθότητα πρὸς κακίαν, ἢ ταύτην σεμνύνειν τῇ μετουσίᾳ τῆς ἀγαθότητος, οὐδεὶς οὐκ ἔστιν αἰὼν ὃς μὴ τὴν τιμωρίαν ἀπαραίτητον τοὺς ἑλομένους οὐκ εἰσπράττεται.

Ζ'. Τηλικούτοις δὲ κακοῖς τῆς τόλμης καὶ τῆς ἀσεβείας πανταχόθεν τοὺς ἐραστὰς περιστοιχιζούσης, οἱ δὲ πρὸς τῷ μὴ τῆς πλάνης ἀναφέρειν, ἀλλά γε καὶ κόρον ὥσπερ τοῦ θεομαχεῖν λαβεῖν τινα δεδιότες, καὶ δευτέρᾳ βεβηλώσει τὴν τοῦ Ἀγαθοῦ καθυποβάλλουσι φύσιν· Τῆς γὰρ αὐτοῦ διαθήκης τὴν ἀρχαιοτέραν καὶ τοὺς ἐν αὐτῇ διαπρεπῶς πολιτευσαμένους εἰς τὴν τῆς πονηρᾶς ἀναρτῶντες ἐξουσίαν τε καὶ θεραπείαν, ἐπείπερ καὶ Δαβὶδ καὶ Ἀβραὰμ, ἐξ ὧν ὁ Χριστὸς τὸ κατὰ σάρκα, τῆς αὐτῆς χοροστασίας ὑπῆρχον, δῆλον ὡς διπλῇ βεβηλώσει τὸν τῶν ὅλων καταστίζουσι Δεσπότην· μιᾷ μὲν ὅτι πονηρᾶς ἀποφαίνουσιν, ὃ προσείληφε σῶμα, δημιουργίας· δευτέρᾳ δὲ, ὅτι μὴ ἐξ ἄλλου γένους, ἀλλ' οἷς ὁ βίος ἡ παρ' αὐτῶν προπηλακιζομένη κατὰ νόμου λατρεία. Καίτοιγε εἰ κακίας ἔργον τῷ Ἀγαθῷ, πῶς ἂν εἴη, τοῦτο ἀπαραίτητον προσλαβεῖν; τίς ἀτοπίας καταλείπεται ὑπερβολὴ τῷ καὶ διπλαῖς ἐνεχομένῳ αἰτίαις; Τὸ μὲν γὰρ τὸ οἰκεῖον πλάσμα, πρὸς ἁμαρτίαν ἀποῤῥυὲν, διὰ τῆς προσλήψεως ἀνασώσασθαι, τῆς ἄκρας ἦν προνοίας καὶ ἀγαθότητος. Τὸ δὲ τὸ ἀλλότριον ὑπελθεῖν καὶ ταῦτα φύσει καὶ διχόθεν ἀντανιστάμενον πρὸς ἀλλοτριότητα, πῶς οὐχὶ καὶ τῆς προνοίας καὶ τῆς ἀγαθότητος οὐκ εἰς τὸ ἐναντίον περιτρέπει τὸ ἀξίωμα; Οὕτως οὐκ ἔστιν ὅλως, οὐκ ἔστιν οὔτε τῶν τὸ σῶμα λεγόντων, οὔτε τὴν Μωσαϊκὴν νομοθεσίαν τοῦ Πονηροῦ, οὔτ' ἐμμανέστερον οὐδὲν, ἀλλ' οὔτε μιαρώτερον, οὔτ' ἀθεώτερον. Ἄλλως τε δὲ, εἰ τὰ σώματα πλάσεώς ἐστιν ἐναντίας, ἀλλ' οὐχὶ Πατρὸς καὶ Υἱοῦ καὶ ἁγίου Πνεύματος, τῆς μιᾶς θεότητος καὶ ἐξουσίας, πῶς τῶν ἀλλοτρίων καὶ φαύλων σωμάτων, ὅτι Φαύλου ποιήματα, τὰς νόσους ἐλαύνων ὁ ἀγαθὸς Θεὸς τὰς παραδόξους ἀντεισῆγε θεραπείας; Οὐδὲν γὰρ τοῦτο ἀλλ' ἢ συγκροτεῖν τὸ ἔργον, οὐ καθελεῖν παρεγένετο τὴν τυραννίδα, καὶ αὔξειν τὸ κράτος τοῦ τὴν ἐξ ἀρχῆς ἀποστασίαν ἐπανῃρημένου. Οὐ μὴν ἀλλὰ καὶ εἰ τὰ βλαστήματα τῆς γῆς, οὐ τῆς ἀγαθότητος ἀσχῆς,

VARIÆ LECTIONES ET NOTÆ

(92) *Οὐ*. Particulam hanc, in ms. desideratam, sensus addere me coegit.
(93) *Τε*. Malim legere *σε*.

Digitized by Google Распознавание текста ABK/FR

πῶς τοὺς ἄρτους, ἃ ἐκ τῶν ἀλλοτρίων σπερμάτων ἐζυμώθη, αὐτός τε (ὦ βαθείας μέθης!) προσεφέρετο, δυνάμενος μάλιστα ἐκ μὴ ὄντων ἑαυτῷ τροφὴν παρασκευάσαι; Ὁ δὲ καὶ τούτους πληθύνων ἔτρεφε χιλιάδας, ὕλην τῆς θαυματουργίας τὴν τοῦ Πονηροῦ παραλαμβάνων κτίσιν, καὶ κοινωνὸν ποιῶν τῆς ὑπερφυοῦς εὐεργεσίας τὸν Ἀντικείμενον, ὥσπερ οὐκ ἐξὸν αὐτῷ ἐξ ἑτέρας ἐνεργουμένης τρέφειν ὕλης ἑαυτόν τε, καὶ τοὺς, ὅσοι τοῖς αὐτοῦ προσανεῖχον καὶ κατηρτίζοντο ῥήμασιν. Καὶ τῶν ἐν τῷ νόμῳ δὲ βεβιωκότων οἱ φύλακες, εἰ μὴ τῆς ἀγαθουργοῦ Θεότητος ὑπῆρχον θεράποντες, πῶς τοὺς μαθητὰς μάτην ἐγκαλουμένους ὑπὸ τῶν διυλιζόντων μὲν φαρισαίων τοὺς κώνωπας, καταπινόντων δὲ τὰς καμήλους, ὅτι πεινῶντες τοὺς στάχυς ἐν τῷ Σαββάτῳ ἔτιλλόν τε καὶ ἤσθιον, τὴν τοῦ σώματος παραμυθούμενοι ἔνδειαν δι' ἐκείνων, κρείττους τε τῆς αἰτίας ἀπέφαινε, καὶ ἀπέλυε τοῦ ἐγκλήματος, τὸν Δαβὶδ εἰς συνηγορίαν καὶ βοήθειάν προτείνων, καὶ τοὺς ἱερεῖς τοὺς κρεανομοῦντάς τε καὶ ξυλοκοποῦντας ἐν τῷ Σαββάτῳ, καὶ τότε διὰ τῆς ἱερᾶς ὑπηρεσίας, ἐφ' ᾗ μᾶλλον ἔδει σώζεσθαι τὸν νόμον, νῆς ἐργασίας προϊούσης;

A a bono sunt principio, quomodo panes, ex alienis seminibus fermentatos, ipse, o profundum stuporem! obtulit, qui sibi ipsi ex rebus non exsistentibus cibum parare poterat? Imo vero idem ille eos multiplicans, aliquot millia, assumpta in miraculi productionem Mali creatura, hosteque suo in beneficentiæ supernaturalis societatem cooptato, cibavit, tanquam cui non liceret ex alia materia et se, et illos, qui verbis ejus attendebant et auscultabant, nutrire. Quod si custodes et principes eorum, qui in veteri testamento vixerunt, non fuerunt ministri Dei benignissimi, quomodo discipulos, præter causam a pharisæis culices percolantibus, et camelos deglutientibus reprehensos, ideo, quod esurientes spicas in Sabbato, quibus corporis famen solarentur, B evellebant et edebant, accusationi huic non obnoxios judicabat, sed a crimine pronuntiabat immunes, Davidem et sacerdotes, carnes scindentes et ligna findentes in Sabbato, in subsidium et patrocinium causæ afferens, atque id quidem eo tempore, quo sacrum ejus munus, quod ad salutem mundi referebatur, cum maxime urgeretur [86]?

Η'. Τίς δ' ἂν σαφέστερος ἔλεγχος ἢ δυνατώτερος, ὅτι μηδενὸς τῶν ἐπιγείων ὁ Πονηρὸς δεσπόζει, τῶν αὐτοῦ ῥημάτων ἐκείνου, δι' ὧν ἑαυτῷ τὴν κτίσιν ὑποβαλλόμενος, ὅτε κρυπτομένῳ καὶ λανθάνοντι τῷ δημιουργῷ τῶν ὅλων καὶ δτσπότῃ ἐπιπειράσαι προσιὼν, καὶ τὰς ἐπιγείους βασιλείας πάσας, καὶ τὴν δόξαν αὐτῶν ἐπιδεικνὺς, ἔλεγε· Ταῦτα πάντα σοὶ δώσω, ἐὰν πεσὼν προσκυνήσῃς μοι; Εἰ γάρ ἐστι ψεύσης, καὶ οὐδέποτε ἐν τῇ ἀληθείᾳ ἔστηκε· (τοῦτο γὰρ ἡ ἐνυπόστατος ἡμᾶς ἐδίδαξεν ἀλήθεια), καὶ οὐκ ἔστιν οὐδεὶς ὅλως τῶν ὁμολογούντων Χριστὸν, ὃς ἂν τολμήσειε τὴν τοιαύτην φωνὴν παραγράψασθαι· πῶς οὐ πάντων ἐστὶ φανερώτερον, ὡς οὐδενὸς τῶν ἐπιγείων κτισμάτων ὁ τοῦ ψεύδους δημιουργὸς ἄρχει, οὐδ' ἐστὶν αὐτῶν ποιητὴς, πλήν γε τῶν θελημάτων ἐκείνων καὶ πράξεων, ὧν αὐτός ἐστιν ὑποσπορεὺς καὶ ὧν τοὺς λογισμοὺς μετεπλάσατο αὐτὸν ἐπιγράφειν κτίστην καὶ δημιουργὸν, οὐχ ὅτι αὐτῶν τὴν ψυχὴν ἐκ μὴ ὄντων, ἢ τὸ σῶμα παρήγαγεν, ἀλλ' ὅτι αὐτὸν ἑαυτοῖς οὗτοι παρηνέχθησαν κύριον ἐπιγράψασθαι; Ὥστε ὅπερ τινὲς τῶν ἀπὸ τῆς πλάνης εἰς παράστασιν τοῦ οἰκείου προβάλλονται δυσσεβήματος, ὅτιπερ ἄρχει τῶν ἐπιγείων ὁ Πονηρὸς, τοῦτο αὐτοῖς εἰς τὸ μηδενὸς αὐτῶν περιέστραπται μετέχειν τῆς ἀρχῆς. Ψεύστης γὰρ ὢν καὶ ψεύδους ἀρχηγὸς αὐτὸς ἀνεῖπεν ἑαυτῷ τῶν ἐπιγείων ἔχειν τὴν ἀρχήν. Ἀλλὰ γὰρ εἰ τὰ σώματά ἐστι τοῦ Πονηροῦ, πῶς οἱ μαθηταὶ τὸ ἅλας ἔσονται τῆς γῆς; Πῶς δὲ τὸ φῶς τοῦ κόσμου; ἐξ ἡμισείας γὰρ καὶ ἁλίσουσι καὶ φωτίσουσι, μᾶλλον δὲ οὐκ ἐξ ἡμισείας. Καὶ γὰρ καὶ τὰ ἡμίση πάλιν τοῦ ἀνθρωπίνου συγκρίματος, ἀλλ' οὐχ ὅλον ποθὲν τὸν ἄνθρωπον. Ἀνεπίδεκτον γάρ ἐστι τὸ ηλάσμα τοῦ Πονηροῦ ἁλισθῆναι, ὥστε μὴ πρὸς

VIII. Quodnam vero illustrius aut efficacius argumentum afferri potest, quo constet nulli rei terrestri dominari Malum, quam ipsa hujus verba, quibus creaturam sibi ipsi subjiciens, cum ad Creatorem omnium occultatum et latentem tentaturus accederet, regnis terrenis omnibus, et gloria illorum demonstratis, dicebat: *Hæc omnia tibi dabo, si procidens me adoraveris* [87]. Si enim mendax est, C *neque unquam in veritate perstitit* [88] (ita enim nos docuit ipsissima veritas, neque quisquam est eorum, qui Christum profitentur, qui hanc assertionem admittere nolit), nonne omnium manifestissimum est, quod mendacii auctor nulli rerum terrestrium dominetur, neque ipse earum conditor exsistat, sed tantum auctor voluntatis et actionum illorum hominum sit, quos ipse occulte seminavit, et quorum rationem ita transformavit, ut ipsum conditorem et auctorem rerum inscriberent, non quasi is animam aut corpus eorum ex non exsistentibus produxisset, sed quod adeo in transversum acti sunt, ut eum ipsi sibi Dominum constituerint? Itaque id, quod D nonnulli errantium in defensionem impietatis suæ afferunt, quod scilicet terrestribus dominetur Malus, id, inquam, eo adhiberi potest, ut sub nullo imperio esse dicantur. Qui enim mendax est, et auctor mendacii, ipse sibi imperium rerum terrestrium vindicavit. Si porro corpora sunt a Malo, quomodo discipuli sal erant terræ? quomodo lux mundi [89]? ex dimidia enim tantum parte salient, et illuminabunt, imo vero ne ex dimidia quidem parte. Nam vicissim dimidiam tantum humanæ substantiæ partem, non vero toti homini id præstabunt, Creatura enim Mali saliturum non admittit, ne ma-

[86] Matth. xii, 1 seqq. [87] Matth. iv, 9. [88] Joan. viii, 44. [89] Matth. v, 13.

Digitized by Google Распознавание текста ABK/FR

litia ad putredinem inclinare possit, cum tota putredo exsistat. Neque idem idoneum est ad recipiendas lucis stricturas, præcipue cum erronea eorum doctrina id quoque tradat eos, qui ad ejusmodi quid perpetrandum destinati sint, facultatem illam non habere, sed a delictis suis retineri. Quando vero ipse Servator diserte clamat : *Non veni legem solvere, aut prophetas, sed implere* [90], quomodo impudentissima impiorum mens non veretur dicere, legem et prophetas a malo principio profectas esse, atque huic in vita cultum exhibuisse? Si enim Servator noster implet legem et prophetas, consequeretur ex duobus abominandis, et in ipsorum perniciem vergentibus, alterutrum, vel quod Malum in Bonum convertant, vel si illud malitiæ terminis circumscriptum maneat, quod Christum spontaneum, illius ministrum constituant, qui per infinitam suam bonitatem ideo venit, ut Malum deturbaret de imperio quod inter homines exercet. Illa vero verba : *Amen dico vobis, donec transierit cælum et terra, iota unum aut unus apex non transibit a Lege, donec omnia fiant* [91], nunquam probationis accessionem admittunt. Nonne potius erroris eversionem ebuccinant, aut indomita impiorum ora obturant, etiamsi mordicus adhuc tueri conentur, quod lex et prophetæ a Malo sint?

IX. Quando vero audiveris evangelistam adventum Jesu Christi, Filii Dei, inenarrabilem, ejusque actiones omnem sermonem excedentes inde a principio ad prophetas (tanquam prænuntios) referentem, nonne pudore et pœnitentia duceris, quod eos injuria afficere audeas, quos sacra oracula tanti mysterii, amorem in homines testantis, præcones et doctores constituunt, et quorum vaticinia Evangelii sunt fundamentum? *Initium enim Evangelii Jesu Christi, Filii Dei,* inquit, *sicut scriptum est in prophetis : Ecce ego mitto angelum meum ante faciem tuam, qui parabit viam tuam ante te* [93]. Quis vero misit, ut pararetur via boni Filii et Dei, nisi bonus Pater, qui per suos in lege ministros multis sæculis ante nuntiavit, Filium suum usque ad assumptionem carnis et sanguinis exinanitum iri? In fine vero temporum illorum angelum suum, Joannem, misit dicentem : *Parate viam Domini, rectas facite semitas ejus* [92]. Aquam vero, in qua submersus Jesus hominum amantissimus, omnem justitiam implevit, quomodo vel tetigerit, ne dicam, ea omnino tingi sustinuerit, eamque purificandi et mundandi facultate instruxerit, nisi suæ potius, quam

A σαπρίαν τινὰ κακίαν ἀποκλῖναι, ὅλον αὐτὸ τοιαύτη (94) πεφυκὸς σαπρία. Καὶ μὴν καὶ ἀνεπιτήδειον ὑποδέξασθαι τὰς τοῦ φωτὸς μαρμαρυγὰς, μάλιστά γε τῆς πλάνης συνυποβαλλούσης, καὶ τοὺς ταῦτα καταπράττεσθαι κεχειροτονουμένους τὴν ἰσχὺν οὐκ ἔχειν, ἅτε δὴ τοῖς ἴσοις αἰτιάμασιν ἐνεχομένους. Ὅτε δὲ αὐτὸς ὁ Σωτὴρ λαμπρῶς ἀνακράζει· Οὐκ ἦλθον καταλῦσαι τὸν νόμον ἢ τοὺς προφήτας, ἀλλὰ πληρῶσαι· πῶς οὐ δέδοικε τὸ ἀναίσχυντον τῶν ἀσεβῶν φρόνημα τὸν νόμον καὶ τοὺς προφήτας πονηρᾶς λέγειν προελθεῖν ἀρχῆς, καὶ ταύτην διὰ βίου τεθεραπευκέναι ; Εἰ γὰρ πληρωτής ἐστιν ὁ Σωτὴρ ἡμῶν τοῦ νόμου καὶ τῶν προφητῶν, εἴη δὲ αὐτοῖς τὸ ἐπόμενον βλάσφημον περιτρεπόμενον εἰς τὰς κεφαλὰς, δυοῖν θάτερον, ἢ τὴν πονηρὰν μεταπλάττουσιν εἰς τὴν B φύσιν τοῦ ἀγαθοῦ, ἢ τὸ ἀνάπαλιν, μένουσαν ἐν τῇ ἰδίᾳ τῆς κακίας περιγραφῇ, ἐκούσιον ὑπηρέτην ταύτης γενέσθαι, καταδικάζουσι τὸν διὰ πολλὴν ἀγαθότητα, καὶ τῆς ἐν ἀνθρώποις τῶν παθῶν τυραννίδος παραγεγονότα καθελεῖν αὐτήν. Τὸ δὲ, Ἀμὴν λέγω ὑμῖν, ἕως ἂν παρέλθῃ ὁ οὐρανὸς καὶ ἡ γῆ, ἰῶτα ἓν ἢ μία κεραία οὐ μὴ παρέλθῃ ἀπὸ τοῦ νόμου, ἕως ἂν πάντα γένηται, τίνα μὲν βεβαιώσεως ὑπερβολὴν ἀπολείπει τινί ; πῶς δ' οὐ τὴν τῆς πλάνης σαλπίξει καταστροφὴν, ἢ τὰ τῶν ἀσεβῶν οὐκ ἐμφράττει ἀπύλωτα στόματα, κἂν ὑπ' ὀδόντα φιλονεικῶσιν ἔτι παραφθέλγεσθαι τὸν νόμον καὶ τοὺς προφήτας εἶναι τοῦ Πονηροῦ ;

Θ'. Ὅταν δὲ τὸν εὐαγγελιστὴν ἀκούσῃς τὴν τοῦ Ἰησοῦ Χριστοῦ τοῦ Υἱοῦ τοῦ Θεοῦ ἄφραστον ἐπι- C δημίαν, καὶ τὰς ὑπὲρ λόγον πράξεις ἀπ' αὐτῆς ἀρχῆς εἰς τοὺς προφήτας ἀναφέροντα, πῶς οὐκ αἰδώς σε λαμβάνει καὶ μετάνοια, ἀνθ' ὧν ἐνυβρίσαι παρηνέχθης, οὓς ἀναγράφει τὰ ἱερὰ Λόγια, τηλικούτου φιλανθρώπου μυστηρίου κήρυκάς τε καὶ ἐκφάντορας, καὶ ὧν αἱ προφητεῖαι τοῦ Εὐαγγελίου θεμέλιος ; Ἀρχὴ γὰρ, φασὶν, τοῦ Εὐαγγελίου Ἰησοῦ Χριστοῦ Υἱοῦ τοῦ Θεοῦ, ὡς γέγραπται ἐν τοῖς προφήταις (95). Ἰδοὺ ἐγὼ ἀποστέλλω τὸν ἄγγελόν μου πρὸ προσώπου σου, ὃς κατασκευάσει τὴν ὁδόν σου ἔμπροσθέν σου. Τίς δ' ἀπέστελλε κατασκευάζειν τὴν ὁδὸν τοῦ ἀγαθοῦ Υἱοῦ καὶ Θεοῦ, εἰ μὴ ὁ ἀγαθὸς Πατὴρ, ὃς τιὰ τῶν ἐν τῷ νόμῳ θεραπόντων αὐτοῦ τὴν μέχρι σαρκὸς καὶ αἵματος τοῦ Υἱοῦ D κένωσιν ἔσεσθαι πολλοῖς χρόνοις προεθέσπιζεν ; Ἐπὶ τέλει δὲ τῶν αἰώνων καὶ τὸν ἄγγελον αὐτοῦ τὸν Ἰωάννην ἀπέστελλε λέγοντα · Ἑτοιμάσατε τὴν ὁδὸν Κυρίου, εὐθείας ποιεῖτε τὰς τρίβους αὐτοῦ. Τοῦ δὲ ὕδατος, ἐν ᾧ καταδεδυκὼς ὁ φιλάνθρωπος Ἰησοῦς πᾶσαν δικαιοσύνην ἐπλήρωσε, πῶς ὅλως ψαῦσαι, μὴ ὅτι γε καθόλου ἐν αὐτῷ βαπτισθῆναι,

[90] Matth. v, 17. [91] ibid. 18. [92] Marc. i, 1, 2. [93] ibid. 3.

VARIÆ LECTIONES ET NOTÆ.

(94) Τοιαυτη. Ms. in dandi casu legit, sicut et sequens σαπρίᾳ. At rectius utraque vox pro nominativo habetur. Ea enim est Photii mens, saliturum non cadere in corpus, tanquam rem penitus malam et putridam, quæ proinde a putredine præservari non possit.

(95) Ἐν τοῖς πθοφήταις. Ita Photius communem, quæ hodie recte obtinet, lectionem astruit, quemadmodum Irenæus lib. III, c. 11 ; et Titus Bostrensis lib. I, *Contra Manichæos*. Codices quidam manu exarati habent ἐν τῷ προφήτῃ. Lege Jo. Millium, et Jo. Ernestum Grabium ad Irenæi l. c.

Digitized by Google Распознавание текста ABK/FR

ἠνέσχετο, καὶ καθαρσίου δυνάμεως καὶ ἁγιαστικῆς μεταδοῦναι χάριτος, εἰ μὴ τῆς αὐτοῦ δημιουργίας, ἀλλὰ τῆς ἀντικειμένης ἐτύγχανε δημιούργημα ; Καὶ ταύτην τὴν χάριν οὐ παρὼν μόνον τῷ σώματι πηγάζειν ἐδωρεῖτο, ἀλλὰ καὶ εἰς τοὺς ἐφεξῆς ἅπαντας αἰῶνας δι' αὐτοῦ τὴν ἀνάπλασιν καὶ ἀναγέννησιν εὑρίσκειν τοὺς σωζομένους ἐνεργείᾳ τοῦ παναγίου Πνεύματος ἐχαρίτωσεν, ὡς ἀθάνατον αὐτῷ παρακολουθεῖν τὴν δωρεὰν τοῦ χαρίσματος. Ἄξιος δὲ πάλιν τῆς ἐπιφανείας τοῦ ἀγαθοῦ Θεοῦ γεγονὼς ὁ Ἰωάννης, καὶ προφήτου περισσότερος, καὶ μείζων τῶν ἐν γεννητοῖς γυναικῶν ὑπ' αὐτῆς τῆς ἀληθείας ἀναγορευθεὶς, πῶς ὑπέστη νομικῆς ἐντολῆς ὑπερμαχεῖν, καὶ τότε πρόδρομος τῆς χάριτος ἀποσταλείς ; Ὁ δὲ οὐ μόνον ὑπὲρ τῆς ἤδη παυομένης, οὕτως ἤδει ταύτην Θεοῦ δῶρον, τὸν ἀγῶνα προθύμως μετήρχετο, ἀλλὰ καὶ μέχρι τοσούτου, ὥστε καὶ τὴν ἑαυτοῦ ζωὴν δευτέραν ἄγειν τῆς περὶ αὐτὴν φυλακῆς. Τὸ γὰρ ἐλέγχειν τὸν Ἡρῴδην, ὡς Οὐκ ἔξεστί σοι ἔχειν τὴν γυναῖκα τοῦ ἀδελφοῦ σου, πόθεν λαβὼν ἐπετίμα, ἢ τίνος ὑπερασπίζων νομοθεσίας τὸν ἔλεγχον προσῆγεν τῷ βασιλεῖ ; Οὐχ ὁρᾷς, πόσον ἀπεῖχεν ὑβρίζειν τὰς νομικὰς ἐντολὰς ὁ τῆς χάριτος πρόδρομος, καὶ τὸν τῆς χάριτος νομοθέτην βαπτίσαι καταξιωθείς ; Εἰ δὲ μὴ τῆς αὐτῆς ἦσαν θείας καὶ ἀγαθουργοῦ ἐπιπνοίας τὰ Μωσαϊκὰ παραγγέλματα, πῶς ὁ αὐτὸς τῆς χάριτος ὑπηρέτης οὐδ' ἐκείνων τὴν ὀλιγωρίαν ὑπέμενεν, ἀλλ' ἦν αὐτῶν σφοδρὸς ζηλωτὴς καὶ διάπυρος ἐκδικητής ; μάλιστά γε τοῦ Σωτῆρος διακεκραγότος· Οὐδεὶς δύναται δυσὶ κυρίοις δουλεύειν· ἢ γὰρ τὸν ἕνα μισήσει, καὶ τὸν ἕτερον ἀγαπήσει · ἢ τοῦ ἑνὸς ἀνθέξεται, καὶ τοῦ ἑτέρου καταφρονήσει. Οὐ δύνασθε Θεῷ δουλεύειν καὶ Μαμμωνᾷ. Καὶ μὴν εἰ δύο κυρίων ἀντικειμένων ὁ νόμο ; καὶ ἡ χάρις, ἀλλὰ μὴ τῆς μιᾶς ἀγαθότητός τε καὶ μοναρχίας, πῶς οὖ μηδεὶς ἐν ἀνθρώποις μείζων, δυσὶ δουλεύων ὤφθη κυρίοις κατὰ τὴν ἄθεον γλωσσαλγίαν ; Ὡσαύτως δὲ καὶ τῶν πρὸ αὐτοῦ προφητῶν ἡ ὁμήγυρις. Τὸ γὰρ ὅτι καὶ αὐτὸς ὁ Σωτὴρ τὸ πατρικὸν ἐπλήρου ἐνανθρωπήσας θέλημα, καὶ ὡς οὐκ ἦλθε καταλῦσαι τὸν νόμον, ἢ τοὺς προφήτας, ἀλλὰ πληρῶσαι, διὰ τὴν τῆς ἀθεότητος ὑπερβολὴν, οὐκ ἂν ὑποσταίην σαφέστερον ἀναπτύξασθαι.

Ι'. Πλὴν τόγε ἄῤῥητον, ὡς οἷόν τέ ἐστι, καὶ ἐφ' ὅσον μὴ παντελῶς χαρίσασθαι τοῖς ἐχθροῖς ἐκφυγὼν, τὸ μετ' ἐκεῖνο δεύτερον ἐρῶ. Ὡς ὁ Ἰωάννης τῇ τε τοῦ νόμου διαγνώσει καὶ τῆς χάριτος ὑπηρετούμενος, ναὶ δὴ καὶ τὸ σύνταγμα τῶν πρὸ αὐτοῦ προφητῶν ἀφύκτοις ἐλέγχοις τοὺς ἀσεβεῖς στηλιτεύουσι τὴν ἐνυπόστατον ἀλήθειαν εἰς ψεῦδος διασύρειν, καὶ μαχομένοις νομοθέταις τὰς ἐντολὰς διασχίζοντας τῇ τῶν προτέρων διαβολῇ, κἂν οὔπω γυμνῇ τῇ κεφαλῇ τεθαῤῥήκασιν, οὐδὲν ἧττον ἰαλωκότας (τί γὰρ ἂν ἐκ ψεύδους οὐ φαῦλον προέλθοι ;) συνεξορχεῖσθαι καὶ τὰ τῆς χάριτος. Εἰ γὰρ τῆς χάριτος μὲν ὁ ἀγαθὸς Δεσπότης νομοθέτης, ἓν δὲ αὐτοῦ τῶν δογμάτων καὶ τὸ, μηδένα δύνασθαι δυσὶ κυρίοις δουλεύειν, ἐν

A opposite potestatis opus exsisteret? Atque hanc gratiam ex baptismo tanquam fonte scaturire jussit non solum tunc, cum corpore præsens esset, sed gratiose effecit, ut in futura sæcula omnia salvandi hic per Spiritum sanctum regenerationem novamque creationem invenirent, atque adeo hoc gratiæ donum nunquam intercideret. Quomodo porro Joannes, dignus habitus, qui videret bonum Deum adventantem, idemque propheta, præstantior et major omnibus, qui ex uxoribus nati sunt, ab ipsa veritate renuntiat, pro præceptis legis pugnare ingressus est, is scilicet, qui missus erat, ut gratiæ esset prænuntius? Neque is tantum pro ea jam de-

B situra (adeo illam norat Dei donum esse) certamen ingressus est, sed eo quoque est provectus, ut vitam suam postponeret serio illam observandi studio. Unde enim animadversionem illam suam in Herodem, dicens : *Non licet tibi habere uxorem fratris tui* [94], unde, inquam, eam nactus est, aut pro qua lege propugnans ita objurgavit regem? Nonne vides, quam longe prodromus gratiæ a contumelia, præceptis legis inferenda, abfuerit, is omnino, qui ut auctorem gratiæ baptizaret, dignus habitus est? Si vero mosaica præcepta non ab eadem divina et benefica inspiratione profecta fuissent, quomodo idem gratiæ minister illa adeo non contemptim habuit, ut ea potius omni studio sectaretur et fervide urgeret? Servatore nostro imprimis clamante:

C *Nemo potest duobus dominis servire : aut enim unum odio habebit, et alterum diliget : aut uni adhærebit, et alterum contemnet. Non potestis Deo servire et Mammonæ* [95]. Quod si lex et gratia a duobus dominis oppositis non autem ab eadem bonitate et potestate profectæ sunt, quomodo is, quo nullus inter homines major est, duobus dominis, prout impia hominum lingua tradit, servire visus est? Atque eodem modo comparatus fuit omnium, qui ante ipsum fuerunt, prophetarum cœtus. Jam vero id, quod Servator ipse, homo factus, Patris voluntatem perfecit, quodque non venit ad solvendam legem aut prophetas, sed potius ad implendum, nolim amplius, ob maximam contrariæ sententiæ impietatem, evolvere.

D X. At infandum illud, quoad fieri potest, et in quantum non omni ex parte gratificari hostibus simul licebit, tanquam priori isto secundum enarrabo. Joannes scilicet, in confinio legis et gratiæ ministerio fungens, imo et omnis prophetarum, eo priorum, cœtus argumentis non solvendis convincunt homines istos impios, quod veritatem substantialem tanquam mendacium insectentur, et, dum, invectis legislatoribus contrariis, præcepta distrahunt, eadem opera, qua priora calumniantur, quamvis id palam facere non audeant, non minus et ea, quæ gratiæ sunt (quid enim mali ex mendacio non proficiscatur?) prodant et simul explodant. Si enim bonus Dominus gratiæ auctor est, hujus

[94] Marc. vi, 18. [95] Matth. vi, 24.

Digitized by Google Распознавание текста ABK/FR

vero inter reliqua hoc dogma est, quod nemo possit duobus dominis servire, utrique vero parti prædicti illi servierunt, nunc autem illa apostatarum colluvies alium Mosaicis præceptis Dominum constituit; nonne inter medios prætextus ipsam gratiam probris insectantur, dum calumniantur legem? Ita enim (quæ, utut etiam in confutatione impietatis commemorare vix fas sit, magis tamen integrum fuerit) ipsum Testamentum mendacii insimulare judicabantur. Sed quid si quis exceperit: Si lex bona est, num, qui sub gratia sumus, secundam eam vivimus? At tua quidem causa nihil attinet quemquam in subsidium vocare. Quodnam enim tibi impio amplius dubium erit, cujus solutionem non aggrediar? Nunquid forte levius peccabis, et dum bonitatem, nulli injuriæ obnoxiam injuria afficis, vel impune eam feres vel facilius dimittes? Imo vero ipsa illa difficultatis oppositio non minus defectionem hanc confutat: adeo undequaque etiam ex rebus ipsi contrariis veritatis robur resplendet. Si enim ex eo, quod lex ab illis, qui sunt sub Bono, non observatur, in suspicionem eodem admittitur, ac si cum gratia non concordet; quantæ bonitatis particeps eadem renuntiatur eo ipso, quod Deus bonus venit, non, *ut solveret legem et prophetas, sed ut impleret?* Et apostatis quidem plura respondere non opus est. At piorum causa, qui digni sunt, ut gratiæ mysteriis amplius initientur, facile edisseri potest, quod propterea secundum antiquas leges non vivimus, quia Christus, ubi advenerat, omni implevit, gratiam scilicet pro gratia per Mosen tradita, proque sanctis, quæ in sancto erant, typicis Sancta sanctorum, quæ per illa præfigurata erant, exhibens, quorum alterum Paulus [95a], alterum Joannes [96], in divina sua doctrina tradit. Itaque nunc quidem, qui secundum eas vivere instituat, reprehendendus foret, tanquam qui auderet negare Christum, qui legem implevit, omnia ejus implevisse. Sed regrediendum eo est, unde sermonis impetus, ad affinia deflectens, non avertit. Auctor gratiæ et cœlum et terram et Hierosolyma, imo et capillos adeo revereri non jubet, ut nec ad jusjurandum adhiberi velit: et cœlum quidem, *Thronum Dei, terram vero scabellum pedum ejus, Hierosolyma autem civitatem ejusdem Dei et magni Regis* [97], appellat. Si igitur ista ad creaturas boni Patris pertinent, sicut Filius, qui omnia quæ Patris sunt, novit, confirmat, quomodo non pro eo, quod in creaturas debacchantur, in ipsum potius Dominum nostrum Jesum Christum et Patrem ejus, eo ipso, quod apostatæ illorum creationem a malo principio repetunt, furere existimandi sunt.

A ἑκατέρᾳ δὲ μερίδι δεδουλεύκασιν οἱ προειρημένοι ἄλλον δὲ Κύριον τοῖς Μωσαϊκοῖς ἐφίστησιν ἡ ἀποστασία· πῶς οὐκ ἐν τῷ προπηλακισμῷ τοῦ νόμου, εἰ καὶ διὰ μέσων παραπετασμάτων, οὐ συμπροπηλακίζουσι καὶ τὴν χάριν; Οὕτω γὰρ (καίπερ οὐ φορητὸν οὐδ' ἐπ' ἐλέγχῳ λέγειν τῆς ἀσεβείας, ὅμως ἀνεκτότερον), ψεύδους αὐτὴν διαθήκην ἀποφαίνοντες εἶεν (96). Ἀλλὰ τί κἄν τις ὑπέκρουσεν· Εἴπερ ἀγαθὸς, μὴ κατὰ νόμον νῦν οἱ τῆς χάριτος βιοῦμεν; Ἀλλὰ σοῦ μὲν χάριν οὐδὲν ἀπαιτεῖ προσειπεῖν. Τί γὰρ ἔτι σοι δυσσεβοῦντι (97) διηπόρηται, ἐγὼ δὲ μὴ λύειν ἐλοίμην; Ἆρα κουφότερον ἀσεβήσεις, ἢ τὴν ἀνύβριστον ἀγαθότητα καθυβρίζων κερδανεῖς τὴν ὕβριν, ἢ μετριώτερον ἀπαλλάξεις; Καίτοιγε αὐτὸ τῆς ἀπορίας τὸ πρόβλημα οὐδὲν ἔλαττον τὴν ἀποστασίαν διελέγχει· οὕτω B πανταχόθεν καὶ διὰ τῶν ἐναντίων τῆς ἀληθείας ἀστράπτει τὸ κράτος. Εἰ γὰρ, ὅτι μὴ τοῖς ὑπὸ τὴν χάριν πράττεται, εἰς ὑπόνοιαν ὁ νόμος, ὅτι μὴ συμφωνεῖ τῇ ἀγαθότητι, περιάγεται· πόσης ἀγαθότητος οὐκ ἀνακηρύττεται μέτοχος τῷ τὸν ἀγαθὸν Θεὸν ἐλθεῖν, οὐ καταλῦσαι τὸν νόμον ἢ τοὺς προφήτας, ἀλλὰ πληρῶσαι; Καὶ πρὸς μὲν τοὺς ἀποστάτας οὐδὲν ἐπενεγκεῖν δεῖ πλέον. Τῶν δὲ εὐσεβῶν ἕνεκα, καὶ μυεῖσθαι καὶ μυσταγωγεῖν τὰ τῆς χάριτος οὐκ ἀναξίων, ῥᾷον καὶ σαφὲς εἰπεῖν, ὅτι διὰ τοῦτο μὴ κατὰ τοὺς πάλαι νόμους πολιτευόμεθα, διότι παραγεγονὼς πάντα πεπλήρωκεν ὁ Χριστὸς, χάριν μὲν ἀντὶ τῆς διὰ Μωσέως χάριτος παρασχὼν, ἀντὶ δὲ τῶν ἐν τοῖς ἁγίοις ἀντιτύπων ἁγίων, αὐτὰ τὰ προδιατυπούμενα ἁγίων Ἅγια, ὧν τὸ μὲν Παῦλος, C τὸ δὲ Ἰωάννης θεολογῶν ἑκάτερος ἀνακέκραγεν. Ὥστε μᾶλλον νῦν, εἴτις ἐδίου κατ' ἐκείνους, ἠλέγχετ' ἂν ἀπαρνεῖσθαι τολμῶν, μὴ πάντα πεπληρωκέναι τὸν πληρωτὴν τοῦ νόμου Χριστόν. Ἀλλὰ γὰρ ἐπανιτέον, ὅθεν ἡ τοῦ λόγου φορὰ πρὸς τὸ ἀκόλουθον ἁρμοζομένη παρήνεγκε φέρουσα. Εὐλαβεῖσθαι τὸν οὐρανὸν καὶ τὴν γῆν καὶ τὰ Ἱεροσόλυμα, ἀλλὰ καὶ αὐτὰς τὰς τρίχας, ὁ τῆς χάριτος παρακελεύεται νομοθέτης, καὶ τοσοῦτον, ὥστε μηδ' ὅρκῳ ταῦτα καθυποβάλλειν, καὶ τὸν μὲν οὐρανὸν θρόνον ἀνακηρύττει τοῦ Θεοῦ, ὑποπόδιον δὲ τὴν γῆν. Πάλιν δὲ, τὰ Ἱεροσόλυμα πόλιν τοῦ αὐτοῦ Θεοῦ καὶ μεγάλου Βασιλέως. Εἰ οὖν τῆς κτίσεώς ἐστι ταῦτα τοῦ ἀγαθοῦ Πατρὸς, ὡς ὁ πάντα τὰ τοῦ Πατρὸς εἰδὼς D Υἱὸς ἐβεβαίωσε· πῶς οὐχὶ πρὸ τῆς κατὰ τῶν κτισμάτων ὕβρεως κατ' αὐτοῦ τοῦ Κυρίου ἡμῶν Ἰησοῦ Χριστοῦ καὶ κατὰ τοῦ Πατρὸς αὐτοῦ, ἐν ᾧ πονηρᾶς ἀρχῆς οἱ ἀποστάται τὴν αὐτῶν κτίσιν ἀναρτῶσι, μεμηνότες οὐχ ἁλίσκονται;

[95a] Hebr. xi, 3. [96] Joan. i, 16. [97] Matth. v, 35.

VARIÆ LECTIONES ET NOTÆ.

(96) Ἀποφαίνοντες εἶεν. Ms. ita interpungebat: αὐτὴν διαθήκην ἀποφαίνοντες. Εἶεν. Sed nexus orationis, puto, satis ostendit postremum illud verbum cum antecedente participio conjungendum esse. Hoc loco monere fas sit me sæpissime interpunctionem apographi nostri Holsteniani mutasse, etiam ubi illius rei in notis indicium non feci, cum id nimis crebro fieri debuisset, et mutationis causæ essent manifestæ. Si quod vero dubium suboriri poterat, id nunquam tacui.

(97) Δυσσεβοῦντι. Ms. dividit hanc vocem in duas, legens δυσσεβοῦν τι. Emendationis nostræ causa in promptu est.

Digitized by Google Распознавание текста ABK/FR

ΙΑ'. Σὺ δὲ καὶ βαθύτερον αὐτῶν τῆς δυσσεβείας A δρα τὴν τόλμαν καὶ τὴν ἀπόνοιαν. Τὸν ἄρτον ἡμῶν τὸν ἐπιούσιον, τὴν μυστικὴν (98) τελῶν ἡμῖν καὶ παραδιδοὺς ὁ Σωτὴρ, αὐτὸς μὲν παρὰ τοῦ Πατρὸς αὐτοῦ προσέταξε ταύτην (99) αἰτεῖν. Οἱ δὲ τὸν ἄρτον εἰς τὴν ὀλέθριον, ὅτι καὶ πάντα τὰ ἐπὶ γῆς μετάγουσιν ἀρχὴν, καὶ τρέφειν τά ἐξ αὐτῆς τερατολογοῦσι προαχθέντα σώματα. Οὕτω κατ' αὐτῆς ἀναιδῶς τῆς Δεσποτικῆς ἐπανίστανται ἐντολῆς, φαῦλά τε λέγοντες τὰ σώματα καὶ φαῦλον τὴν τροφὴν, καίτοι διαῤῥήδην τοῦ Δεσπότου διατάττοντος, ταύτην ἡμῖν παρὰ τοῦ Πατρὸς αἰτεῖσθαι τοῦ ἀγαθοῦ. Καὶ πῶς ἂν εἴη τούτοις, μὴ ὅτι γε τῆς ἀληθοῦς ἐντολὴν ὁμολογεῖν, ἀλλὰ κἂν γοῦν σχήματι μύθου ταῦτα δυνατὸν ὑποβαλεῖν ; Ἴσον γάρ ἐστι ῥυσθῆναί τε τοῦ Πονηροῦ δυσωπεῖν, καὶ ἔνοικον αὐτὸν λαβεῖν παρὰ τοῦ Ἀγα- B θοῦ ἐπιζητεῖν. Εἴπερ τοῦ Πονηροῦ γεώργιον ἡ τροφὴ, καὶ μὴν ἐπὶ τέλει τῆς εὐχῆς ὥσπερ αὐτὸ τοῦτο προαναιρῶν τὴν ἀσέβειαν, ὁ ἐπὶ σωτηρίᾳ τοῦ γένους παραγεγονὼς, εἰς ὃν τὴν αἴτησιν ἀναφέρειν τῆς τροφῆς εἰς τὸν αὐτὸν ἀναφέρειν καὶ τὴν ἱκεσίαν ἐθέσπισε, δι' ἧς ῥυσθείημεν ἂν τοῦ Πονηροῦ, δηλῶν ὡς ὁ ῥυόμενος ἡμᾶς τοῦ Πονηροῦ, αὐτός ἐστιν ὁ παρέχων ἡμῖν καὶ τὴν σωματικὴν τροφὴν, ἐφ' οἷς καὶ τὴν βασιλείαν καὶ τὴν δύναμιν καὶ τὴν δόξαν εἰς τοὺς αἰῶνας εἶναι καὶ διαμένειν ὁ μονογενὴς Υἱὸς τοῦ ταῦτα χαριζομένου Πατρὸς ἀνεδίδαξεν. Ὁρᾷς, εἰς οἷον βάθος ἡ ἀποστασία καταδύεται, καὶ ὡς ὁ κατ' αὐτῆς τῆς ἀληθείας λόγος ἐνεργὴς ὢν, καὶ δισ- τόμου μαχαίρας ἁπάσης τομώτερος ἔπαφίεται ; Εἰ δὲ τὸν ἐπιούσιον ἄρτον οὐχ ἁπλῶς ἐρεῖ τις τὸν εἰς C τροφὴν τῷ σώματι χορηγούμενον, ἀλλ' ὃς εἰς σῶμα Χριστοῦ μεταβάλλει (1) καὶ τὴν ψυχὴν συναγιάζει τῷ σώματι, οὐδὲν ἔλαττον διὰ τῆς τοιαύτης θεωρίας, εἰ μὴ καὶ μᾶλλον, ἡ ἀσέβεια στηλιτεύεται (2) καὶ τὴν ἐκτομὴν ὁ λόγος κατ' αὐτοῦ ἐπιφέρει ἀδυσώπητον.

ΙΒ'. Εἰ δὲ καὶ δυσὶ κυρίοις οὐκ ἔστι δουλεύειν, τὸ δὲ τοῦ ἀνθρωπίνου συγκρίματος ἡμῶν ἅτε δὴ κτίσμα ὑπάρχον, ὡς ἡ ἀσέβεια βούλεται, τοῦ Πονηροῦ, ὑπόκειται αὐτῷ καὶ ἄκουσα καὶ δουλεύει ὡς πλάσμα τῷ πλάσαντι, οὐδεὶς ἄρα δουλεύσειε καθαρῶς (3) καὶ ὁλοκλήρως Θεῷ. Καὶ εἰς λῆρον αὐτοῖς τὰ θεῖα καταστρέφει κηρύγματα, καὶ ὦ τῆς ἀτόπου φρενός ! ἡ φρικτὴ παρουσία καὶ, ἐνανθρώπησις, καὶ πάντα, ὅσα ὑπὲρ τῆς ἡμῶν σωτηρίας ὁ δεσπότης ἐκὼν D ὑπέστη καὶ κατεδέξατο. Ἀλλὰ σύ μὲν τῶν ἀνθρω-

XI. Tu vero crassiorem adhuc impiorum illorum audaciam et dementiam perspice. Panem nostrum quotidianum, mysticam nobis orationem exhibens et tradens Servator, a Patre suo expetere jussit. At illi panem, sicut et omnia terrestria, ad perniciosum referunt principium, eoque corpora ab eodem producta nutriri nugantur. Adeo impudenter Dominico se illi præcepto opponunt, dum et corpora et cibum mala esse contendunt, quamvis Dominus diserte præcipiat, ut eum a bono Patre expetamus. At quomodo fieri potest, ut illi quidem hoc, non dicam, pro veritatis præcepto habeant, sed vel sub fabulæ specie ista animo repræsentent? Idem enim hoc est, ac si vereantur, ne a malo liberentur, adeoque a Bono expetant, ut illud tanquam domesticum recipiant. Si enim cibus Mali est opus, certe is, qui ad salvandos homines venit, dum in fine orationis idem illud e medio tollit, ad eumdem, ad quem preces pro cibo deferri vult, orationem quoque præstari jubet, per quam a Malo liberemur : indicans scilicet, quod, qui nos a malo liberavit, idem nobis et corporeum cibum suppeditat, super quibus et regnum, et potentiam, et gloriam in perpetuum esse et mansuram quoque unigenitus Patris, qui ista largitus est, Filius docuit. Videsne in quod barathrum apostasia se præcipitet, et quomodo verbum veritatis, efficax scilicet et ancipiti gladio quovis penetrantius, in eum grassetur? Si quis vero panem quotidianum dixerit non simpliciter eum esse qui corpori in escam suppeditatur, sed eum qui in corpus Christi mutatur, et animam cum corpore sanctificat, non minus, nisi adhuc magis, hac commentatione impietas confoditur, et sermo hic immedicabilem ipsi cladem infert.

XII. Quod si vero duobus dominis servire non licet, substantiæ vero humanæ dimidia pars, quippe quæ ex impiorum hominum mente creatura Mali exsistit, ipsi Malo etiam invita servit et subjecta est tanquam creatura conditori, nemo sane pure et integre Deo unquam serviverit. Adeo in nugas ipsis abeunt divina præconia, et, o hominum insolentiam ! ipse quoque tremendus Christi adventus et incarnatio, atque adeo omnia, quæ pro salute nostra Dominus ultro sustinuit et recepit. Scilicet tu

VARIÆ LECTIONES ET NOTÆ.

(98) Μυστικήν. Subintellige εὐχὴν, id est orationem Dominicam, quæ alias simpliciter εὐχὴ aut εὐχὴ Δεσποτικὴ a Græcis doctoribus vocari solet. Constat alioquin εὐχὴν μυστικὴν vocari illam precandi formulam qua sacerdotes in veteri Ecclesia ad sanctificanda elementa sacræ cœnæ uti solebant, et quæ cum ipsa oratione Dominica conjungi solebat. Hujus mentio frequens est in Liturgiis Græcis.

(99) Ταύτην. Legendum videri poterat τούτον, quia sermo est de ἄρτῳ. At Photius hæc scribens cogitavit de voce τροφὴ, quæ de pane etiam usurpari solet, et ad hanc, more scriptoribus Græcis solemni, pronomen ταύτην retulit.

(1) Μεταβάλλει. Innuit hic eorum sententiam, qui ἄρτον ἐπιούσιον de sacrosancta Eucharistia interpretantur, quod ex veteribus et recentioribus Ecclesiæ doctoribus non uni persuasum fuisse pervulgatum est. Vide Balthas. Stolbergii *Dissertationes*, p. 220 seqq.

(2) Στηλιτεύται. Refellitur scilicet hic eorum error ex eo quod, si panis a Malo esset, optimus Servator aliquid mali ad rem tam sanctam adhibendum censuisset, quod dicere nefas est.

(3) Καθαρῶς. Ita lego pro καθαρὸς, quod est in ms. Idque vel a sequente ὁλοκλήρως astruitur.

Digitized by Google Распознавание текста ABK/FR

quidem, malus et ingratus in benefactorem futurus, cibum corporum humanorum malitiæ segetem esse tradis : Servator vero omnium et auctor Patrem suum cœlestem ac Deum, cujus regnum nos præ rebus corporeis omnibus quærere jubet, non illius solum cibi quo homines, sed et illorum, quibus volucres nutriuntur, auctorem et procuratorem pronuntiat. Et quomodo sana ratio quævis illis extremæ insaniæ pœnas non merito irroget, qui clamores suos cum oraculis Dominicis et salutaribus permutant? Hæc enim docent, Patrem nostrum in cœlis nosse, quibus opus habeamus, ad quem et preces deferre jussi sumus clamantes : *Pater noster, qui es in cœlis* [97a] ; eumque, si regnum ejus ejusque justitiam quæramus, nuntiant, non solum cibum nobis præbere, sed et omnia reliqua, per quæ corpus curatur, nec ea solum, quæ ad necessarium usum hominum conferunt, sed et quæ secundum imo ultimum locum occupant, habitu suo naturali instruxisse et aluisse. *Considerate enim*, inquit, *lilia agri, quomodo crescant : non laborant, neque nent* [98]. Neque hæc solum, sed et ipsum adeo agri gramen, quod hodie exsistit, et cras in fornacem mittitur. Ait enim : *Si vero gramen agri hodie exsistens, et cras in fornacem conjici solitum Deus vestit, quomodo non multo magis vos, o exiguæ fidei homines* [99] ? Et naturalium quidem illorum indumentorum, quibus bonus Dominus gramen vestit, quæ et quanta est magnificentia ! Ea certe vestem regiam et purpura splendentem, quam humana solertia inter primas collocat, post se tanquam secundam relinquit. *Dico enim vobis, quod neque Salomon in omni sua gloria vestitus ita fuit, ut unum ex illis* [1]. Quomodo igitur graminis quidem vestitum bonus parat Deus, tu vero illius vestimenti, quo hominis anima circumdatur, corporis, inquam, alium, non vero eumdem, requires conditorem ? Et quomodo non simul te ipsum longe graviori pœnæ obnoxium fateris, quam gramen illud, quod in fornacem conjicitur ? Et Servator quidem illis, qui justitiam Dei et regnum per opera quærunt, eumdem, cujus regnum illud est, et cibum et vestimenta aliaque, quibus conservatur, suppeditaturum promittit. Tu vero ista gratiæ et benignitatis munera ad contraria omnia refers. Quomodo vero ipse, se eorum quorum non est auctor, sed quæ alterius sunt opera, auctorem inscribit ? Quomodo, quod adhuc absurdius est, se hominibus pro virtute dimicantibus et regnum suum quærentibus, talem sistit, qui eis malas Mali creaturas præmium studii sui, divino amore pleni, et certaminum plurimorum tradat et exhibeat ?

XIII. Quod vero lex consonet gratiæ, adeo certum est, ut altera ab altera stabiliatur. Gratia quidem, tanquam quæ a lege præfigurata et prænun-

πίνων σωμάτων τὴν τροφὴν πονηρὸς καὶ ἀχάριστος περὶ τὸν εὐεργέτην γεγονὼς, πονηρίας δογματίζεις γεώργιον· ὁ δὲ Σωτὴρ τῶν ὅλων καὶ Δημιουργὸς οὐ τῆς ἀνθρωπίνης τροφῆς μόνον τὸν οὐράνιον αὐτοῦ Πατέρα καὶ Θεὸν, οὗ τὴν βασιλείαν ἐγκελεύεται, πρὸ τῶν σωματικῶν ἁπάντων, ἡμᾶς ἐπιζητεῖν, ἀλλὰ καὶ δι' ὧν τὰ πετεινὰ τρέφεται, αὐτὸν ἀποφαίνε χορηγὸν τε καὶ προνοητήν. Καὶ πῶς οὐκ ἂν τῆς ἐσχάτης μανίας δίκην ἀποτιννύναι ἅπας ὀρθὸς ἐπιψηφιεῖται λόγος τοὺς τὰς ἰδίας ὑλακᾶς τῶν Δεσποτικῶν καὶ σωτηρίων ἀνταλλασσομένους χρησμῶν, ὃν διαῤῥήδην εἰδέναι τε τὸν ἐν οὐρανοῖς Πατέρα ἡμῶν, ὧν χρείαν ἔχομεν, πρὸς ὃν καὶ τὴν εὐχὴν ἀνατείνειν ἐδιδάχθημεν, Πάτερ ἡμῶν, ἀνακράζοντες, ὁ ἐν τοῖς οὐρανοῖς, καὶ ἐν σῷ ζητεῖν τὴν βασιλείαν αὐτοῦ καὶ τὴν δικαιοσύνην αὐτοῦ, οὐ τὴν τροφὴν παρέχοντα μόνον διαγγέλλουσιν, ἀλλὰ καὶ τὰ ἄλλα πάντα, δι' ὧν ἡ θεραπεία τοῦ σώματος, καὶ οὐχ ὅσα μόνον τῇ ἀνθρωπίνῃ χρείᾳ ἐξ ἀναγκαίου συντελεῖ, ἀλλὰ καὶ ὅσα δευτέραν, ἢ καὶ τελευταίαν ἐπέχει τάξιν, αὐτὸν αἴτιον εἶναι καὶ τῆς τούτων φυσικῆς περιβολῆς καὶ αὐξήσεως. Καταμάθετε γὰρ, φησὶ, τὰ κρίνα τοῦ ἀγροῦ πῶς αὐξάνει· οὐ κοπιᾷ, οὐδὲ νήθει. Καὶ οὐ ταῦτα μόνον, ἀλλὰ καὶ ἁπλῶς τὸν χόρτον τοῦ ἀγροῦ τὸν σήμερον ὄντα, καὶ αὔριον εἰς κλίβανον βαλλόμενον. Λέγει γάρ. Εἰ δὲ τὸν χόρτον τοῦ ἀγροῦ σήμερον ὄντα καὶ αὔριον εἰς κλίβανον βαλλόμενον ὁ Θεὸς ἀμφιέννυσιν, οὐ πολλῷ μᾶλλον ὑμᾶς, ὀλιγόπιστοι ; Καὶ τῶν φυσικῶν ἀμφιασμάτων τούτων, οἷς ὁ ἀγαθὸς Δεσπότης ἡμφιάσατο τὸν χόρτον, τίς ἡ λαμπρότης καὶ πόση ! Εἰς δευτέραν αὖτη, τὴν ἐξ ἀνθρωπίνης περινοίας τὰ πρῶτα λαχοῦσαν βασιλικὴν στολὴν, καὶ τῇ προφυρίδι ἐναστράπτουσαν, παραπέμρει. Λέγω γὰρ ὑμῖν, ὅτι οὐδὲ Σαλομὼν ἐν πάσῃ τῇ δόξῃ αὐτοῦ περιεβάλετο, ὡς ἓν τούτων. Τί οὖν τὴν μὲν τοῦ χόρτου περιβολὴν ὁ ἀγαθὸς περιβάλλει Θεὸς, τῆς δέ περιβολῆς, ἣν ἡ ἀνθρωπίνη ψυχὴ περιβάλλεται, τὸ σῶμα λέγω, ἄλλον καὶ οὐχὶ τὸν αὐτὸν ἐπιζητήσεις δημιουργόν ; Καὶ πῶς οὐχὶ τοῦ εἰς κλίβανον ἐμβαλλομένου χόρτου πολὺ χαλεπωτέρας σεαυτὸν τιμωρίας ὑπεύθυνον ἀποφαίνεις ; Καὶ ὁ μὲν Σωτὴρ τοῖς τὴν δικαιοσύνην τοῦ Θεοῦ, καὶ τὴν βασιλείαν δι' ἔργων ἐπιζητοῦσιν, αὐτὸν ἡμῖν, οὗ ἡ βασιλεία καὶ τὴν τροφὴν καὶ τὰ ἐνδύματα, καὶ οἷς ἄλλοις τὸ σῶμα συνέχεται, χορηγήσειν ἐπαγγέλλεται. Σὺ δὲ ταῦτα τῆς δωρεᾶς καὶ χρηστότητος εἰς ἀλλοτρίωσιν ὑποβάλλεις. Καὶ πῶς, ὃν περ αὐτὸς οὐκ ἔστι προαγωγὸς, ἀλλ' ἑτέρας ἀρχῆς πεφύκασιν ἔργα, αὐτὸν ἀναγράφει παροχέα ; Καὶ τὸ ἔτι ἀτοπώτερον, τοῖς τῆς ἀρετῆς ἀγωνισταῖς καὶ τὴν βασιλείαν αὐτοῦ ποθοῦσιν οἷα δὴ μισθὸν καὶ τῆς φιλοθέου προθυμίας καὶ τῶν ἀορίστων ἀγωνισμάτων τὰ τοῦ Πονηροῦ δημιουργήματα παρέχοντά τε καὶ ἀνταποδιδόντα ;

ΙΓ'. Ὅτι μέντοι σύμφωνος ὁ νόμος τῇ χάριτι, ἑκάτερον δι' ἑκατέρου δέχεται τὴν βεβαίωσιν. Ἡ μὲν ὡς ὑπ' αὐτοῦ προδιατυπουμένη τε καὶ προκαταγγελλο-

[97a] Matth. VI, 9. [98] Matth. VI, 28. [99] ibid. 30. [1] ibid. 29.

Digitized by Google Распознавание текста ABK/FR

μένη καὶ οἷον προχαραττομένη, καὶ ἐμφαινομένη τε καὶ ἐνδεικνυμένη τοῖς σκιάσμασιν· ὁ δὲ ἄτε τῶν προρρήσεων καὶ προχαραγμάτων ἐπ' ἔργοις ἐκβεβηκότων διὰ τῆς χάριτος, καὶ τὴν ἐν αὐτῷ ὑπὸ τοῖς παραπετάσμασι κρυπτομένην ἀνακαλυπτούσης τε καὶ ἀνακηρυττούσης ἀλήθειαν. Εἰ δὲ μὴ τὸ σύμφωνον συνδιέσωζον ἀλλήλοις ἡ χάρις καὶ τὰ πρὸ τῆς χάριτος, πῶς ἂν ἃ παρὰ τοῦ νόμου καὶ τῶν προφητῶν ἐχρησμῳδήθη ταῦτα πανδήμοις ὄμμασιν ὡρᾶτο τελούμενα. Πῶς δὲ καὶ ὁ Σωτὴρ ἡμῶν τοὺς λεπροὺς ῥήματι καθαίρων πρὸς τοὺς ἐν νόμῳ ἱερεῖς τούτους ἀπέστελλε, προστάττων ἀπιέναι καὶ ἐπιδεικνύκαι τούτοις ἑαυτοὺς, ὡς ὁ νόμος ἐκέλευε. Καὶ τὸ ἰσχυρότερον προσενεγκεῖν τὸ δῶρον, ὡς ὁ Μωσῆς διετάξατο. Καὶ εἰ τὰ πάλαιὰ τοῖς νέοις διαμάχεται, πῶς τοὺς πληρωτὰς (4) τῶν Δεσποτικῶν ἐντολῶν καὶ πολιτευσαμένους ἐν τῇ χάριτι ἀπὸ ἀνατολῶν καὶ δυσμῶν συνάγων ὁ Σωτὴρ αὐτὸς, μετὰ τοῦ Ἀβραὰμ καὶ τοῦ Ἰσαὰκ καὶ τοῦ Ἰακὼβ, τοὺς κατὰ νόμον εὑηρεστηκότας Θεῷ ἐν τῇ βασιλείᾳ συνεισάγει τε καὶ συντάττει τῶν οὐρανῶν. Ἴσον δὲ ἐστιν εἰπεῖν τῆς αὐτοῦ συγκληρονόμους τε καθίστησι τοὺς ἐξ ἑκατέρας, διαθήκης καὶ συναπολαύοντας τῶν ἐπηγγελμένων καὶ αἰωνίων ἀγαθῶν.

tiata et quasi expressa, imo manifestata et promulgata est variis adumbrationibus : lex autem postquam prædictiones et figuræ illæ per gratiam, in rem ipsam abierunt, quæ veritatem, sub velis ejus latentem retexit et in lucem produxit. Quod si res gratiæ et res eam antegressæ mutuam hanc consensionem non servassent, quomodo, quæ a lege et prophetis prænuntiata erant, omnium oculis ut impleta apparuerunt ? Quomodo vero et Servator noster, leprosos verbo mundatos, ad sacerdotes, qui sub lege erant, ablegat, abire eos, seque ipsis ex præcepto legis ostendere, imo, quod plus valet, donum a Mose postulatum offerre jubens. Si vetera novis opposita sunt, quomodo eos, qui Domini præcepta impleverunt, et in gratia versati sunt, ipse Servator ab oriente et occidente collectos cum Abrahamo et Isaaco et Jacob [23] qui secundum legem Deo placuerunt, in regno cœlorum congregat et conjungit, vel, quod dicere fas est, regni sui ex utroque Testamento cohæredes constituit, ut simul promissis et æternis bonis frui possint ?

ΙΔ'. Ἆρ' οὖν ἔστιν εὑρεῖν τι τῆς λεγούσης φωνῆς μανικώτερον ἢ τῆς διανοίας ἀθεώτερον τῶν ἐννοουμένων ὅλως εἰς ἀντιπάλους διασχίζειν μοίρας τὴν χάριν καὶ τὸν νόμον, καὶ τοὺς ἐν ἑκατέρᾳ διαπρέψαντας πολιτείᾳ μὴ τὸν αὐτὸν ἀγαθὸν θεραπεῦσαι λέγειν Θεὸν, ἀλλ' ἀντικειμέναις συνδιασπασθέντας ἀρχαῖς διὰ μαχομένης λατρείας ἀλλήλοις προελθεῖν : Καὶ Μωσέως δὲ πάλιν τὰς ἐντολὰς ὁ τῆς χάριτος παράγων εἰσηγητὴς ὢν ἐστι μία καὶ ἡ, Τίμα τὸν πατέρα σου, νομοθετοῦσα, καὶ τὴν μητέρα σου· μᾶλλον δὲ πράττων αὐτῶν τὴν ἐκδίκησιν, ἐντολὰς μὲν ταύτας ἀποφαίνει Θεοῦ. Διὰ δέ γε τῆς εἰρημένης καὶ τὸν ἐγκεκρυμμένον τῆς καρδίας δόλον, καὶ τὴν ὑπόκρισιν τῶν Ἰουδαίων ἀπογυμνῶν καὶ διελέγχων, ὅτι τῶν θείων προσταγμάτων ταύτης οὔσης αὐτοὶ τὰς οἰκείας ἐντολὰς ἔμπροσθεν τῆς ἐκ Θεοῦ δεδομένης ἦγον. Καίτοι πόσον ἦν κουφότερον ἀνθρωπίναις προσανέχειν ὑποθήκαις, ἥπερ ἃς ὁ ἀρχέκακος ἀνετείλατο ; Ἀλλ' οὖν γε δι' αὐτῆς κατὰ τῶν τότε τοῖς μαθηταῖς οὐκ εὐλόγως προσκεκρουκότων σφοδρὰν τὴν ἐπιτίμησιν ἐπαφίησιν, οὐδὲν τῶν εἰς βρῶσιν καὶ πόσιν ἡκόντων, ὅτιπερ οὔτε κοινοῖ, οὔτε βεβηλοῖ τὸν ἄνθρωπον ἀποφαινόμενος. Καὶ ὅρα ὡς οὐ κατ' ἐκείνων μόνον, ἀλλ' οὐδὲν ἔλαττον καὶ καθ' ὑμῶν αὐτῶν ἡ θεία ψῆφος ἐκφέρεται. Ἐκείνοις μὲν ἃ μηδεμίαν φέρει βλάβην οἴκοθεν τὰ βρώματα καθυβρίζουσα, ὑμῶν δὲ τὴν βλασφημίαν προαναιροῦσα καὶ προεκτέμνουσα, δι' ἧς πονηρίας εἶναι ταῦτα καὶ λέγειν καὶ νομίζειν παρηνέχθητε. Εἰ γὰρ

XIV. Num quis igitur dabitur sermo magis furiosus, aut sententia magis impia, quam eorum est qui gratiam et legem ad opposita principia referunt, eosque qui sub utraque republica vixerunt, non eumdem coluisse bonum Deum, sed contrariis principiis divisos contrario etiam cultu usos esse dicant ? Cumque doctor gratiæ Mosis iterum proferat præcepta, quorum et hoc est quod præcipit: *Patrem et matrem cole* ; imo ultionem ejus suscipiat ; ea quidem Dei præcepta esse edicit eademque opera per memoratam legem et dolum in animo latentem, et hypocrisin Judæorum denudat ac castigat, quod cum id ex præceptis divinis sit, ipsi legi divinæ sua præferant. Nam sane et facilius erat, præceptionibus humanis obedire, quam quas Malignus injunxerat. Interim per eam (legem) illos, qui præter rationem discipulis se infectos præbebant, graviter objurgat, ostendens, nihil eorum, quæ in cibum et potum assumuntur, vel inquinare vel polluere hominem. Et vide, quod non solum contra illos, sed et non minus contra vos ipsos divina sententia pronunciatur : contra illos quidem, quibus nota inuritur, ideo, quod cibi in se, nullam noxam afferant ; vos autem, quorum calumniam occupat et præscindit, per quam ex Malo ea esse et dicere et existimare sustinetis. Quod si enim a malo conditore sunt semina et germina ex terra orta, et quæ ad rerum, ratione carentium, classem pertinent, nonne illa eos, qui his fruuntur et nutriuntur, polluunt et in-

[23] Matth. VIII, 11.

VARI LECTIONES ET NOTÆ.

(4) **Πληρωτάς.** Ita quidem lego pro πληρωθέντας, quod erat in ms. ; sermo est enim de hominibus legem servantibus.

(5) **Ὑμῶν.** Ms. legit ἡμῶν, quemadmodum et paulo post iterum in hac periodo. Utrinque per errorem librarii. Sequens enim παρηνέχθητε ostendit Photium hic alloqui Paulicianos, eosque a Servatore confutatos dicere. Itaque utrinque legendum est ὑμῶν.

Digitized by Google Распознавание текста ABK/FR

quinant, ac duplici, imo vero multipici ac continua pravitate implent dum, hinc malitiam humanis corporibus ab ortu insitam augent, conservant et continent ; hinc pravitatem innatam maturant et protrudunt. Sed si leges Mosaicæ non essent a benefica providentia profectæ, quomodo Dominus regni cœlorum scribam, illas approbantem, primamque et secundam earum recipientem, dilexit, et laudibus ornavit, quippe qui et principatum illis tribuerit cum ratione, easque cultu et studio prosecutus sit ? Quod vero ab laudem plus valet, ideo, quod a Bono profecta erant Mosis præcepta, eum, qui in illis vixerit, cultumque illis exhibuerit, non procul a regno cœlorum esse professus est. Sic et Zachariam et Elisabetham, vitam secundum legem instruentes, videre licet a Scriptura sacra justos pronuntiatos, non simpliciter, sed ita ut justitia ipsorum coram Deo manifesta dicatur. Quod ipsum ostendit, eos non ex humana gloria justitiam nancisci, sed ea se, tanquam divini judicii ornatu, vestire. Quid vero tandem operis præstiterunt, ut hanc gratiam, se ornantem, consequerentur ? *In omnibus*, inquit, *præceptis et institutis Domini ambularunt inculpabiles.* Quando igitur sacra oracula eos, qui Mosaicis præceptis exerciti sunt, justos et reprehensioni non obnoxios pronuntiant, tu vero eos ut malitiæ ministros calumniari audes, nonne ostendis, te non minus, quam alios, Christianum nomen mentiri ? Imo nonne non minus, si non magis, contra ipsam gratiam quam contra legem insurgis, et impia labia in eam moves, quam tamen lingua adorare, et cultu prosequi te simulas ? Missio vero Gabrielis a Deo facta, et sanctificatio uteri virginei ac semen non experti, nec minus renuntiatio Davidis, tanquam Patris boni universitatis rerum conditoris ; traditio item throni Davidis regii a rege omnium in perpetuum facta ; tum vero ipsa carnis assumptio, ac hominis appellatio, quam bonus boni Patris Filius suscepit (hæc enim quasi per reticentiam obiter commemorare fas sit, cum accurata confutatio blasphemiam secum ferat, nec ipsis auribus ferendam), quomodo, inquam, ista omnia non omnem mali principii audaciam et rabiem dejiciant ? Quid enim id quod hinc consequitur, magis horrendum et silentio præteritum afferre attinet, quod et cogitatione assequi licet, et jam ante indicatum est ? Cumque illi eo insaniæ mentisque pertinaciæ pervenerint, ut cultus legalis asseclas convicientur, et condemnent, suffecerit omnino, si pietas impietati tantæ nihil aliud opposuerit, quam tremendum illud mysterium, incarnationem scilicet Domini nostri Jesu Christi, assumptionem carnis ex semine Davidis, nec minus id, quod sanctissimi Spiritus supervenientis virtute virgineus sanguis, in carnem compactus, hominem produxerit, imo, si et hæreditatem aliquam tanquam paternam, regi hujus universi attribuendam putas, successionem in regno Davidico, et reliqua omnia quæ tanto mysterio

A τῆς ἀρχεκάκου δημιουργίας τὰ ἀπὸ γῆς φυόμενα σπέρματα καὶ βλαστήματα, καὶ ὅσα τὴν ἄλογον ἐκληρώσατο φύσιν, ἐπὶ τοὺς μετέχοντας αὐτῶν, καὶ ὑπ' αὐτῶν τρεφομένους οὐ βεβηλοῖ ταῦτα καὶ κοινοῖ· καὶ διπλῆς, μᾶλλον δὲ πολλαπλῆς καὶ διηνεκοῦς ἐμπίμπλησι πονηρίας, τοῦτο μὲν αὔξοντα τὴν ἐμφωλεύουσαν ἀπὸ γενέσεως τοῖς ἀνθρωπίνοις σώμασι πονηρίαν διακρατοῦντά σε καὶ συνέχοντα· τοῦτο δὲ καὶ τὴν ἐν αὐτοῖς ἔμφυτον κακίαν ὑποφυόμενά τε καὶ συνεπάγοντα ; Ἀλλ' εἰ μὴ τῆς ἀγαθουργοῦ προνοίας ἦσαν αἱ Μωσαϊκαὶ νομοθεσίαι, πῶς ὁ τῆς τῶν οὐρανῶν βασιλείας Κύριος τὸν συγκαταθέμενον ταύταις γραμματέα καὶ ἀποδεξάμενον τήν τε πρώτην ἐν τῷ νόμῳ καὶ τὴν δευτέραν ἐντολὴν, ἠγάπησε, καὶ δι' ἐπαίνων ἐδεξιώσατο, ὅτι τε νουνεχῶς αὐταῖς τὸ B πρεσβεῦον ἐπεψηφίσατο, καὶ ὅτι τιμῶν καὶ ἀσπαζόμενος ταύτας ὤφθη ; Καὶ τὸ μεῖζον εἰς ἐγκώμιον, καὶ ὅτι τῆς ἀγαθότητος προῆλθον αἱ διὰ Μωσέως ἐντολαὶ, οὐ μακρὰν εἶναι ἀπεφήνατο τὸν ἐν ταύταις βεβιωκότα, καὶ τιμὴν αὐτοῖς εἰδότα, τῆς βασιλείας τῶν οὐρανῶν. Ἀλλὰ γὰρ ὁ Ζαχαρίας καὶ ἡ Ἐλισάβετ νόμῳ τὸν βίον ἰθύνοντες, ὁρᾷν ἔνεστιν, ὅπως ὑπὸ ἱερολογίας δίκαιοί τε ἀνακηρύττονται, καὶ οὐχ ἁπλῶς, ἀλλὰ καὶ τὴν δικαιοσύνην αὐτῶν ἔχουσι παῤῥησιαζομένην, ἐνώπιον τοῦ Θεοῦ. Ὅπερ οὐκ ἐξ ἀνθρωπίνης δόξης τὸ δίκαιον διδάσκει λαβεῖν, ἀλλὰ θείας κρίσεως κόσμον ἑαυτοῖς τὴν δικαιοσύνην περιβαλεῖν. Καὶ τί δὲ πράττοντες ταύτην εἶχον τὴν χάριν κοσμοῦσαν αὐτούς ; Ἐν πάσαις, φησὶ, ταῖς ἐντολαῖς καὶ δικαιώμασι τοῦ Κυ- C ρίου πορευόμενοι ἄμεμπτοι. Ὅταν οὖν τὰ ἱερὰ λόγια δικαίους καὶ ἀμέμπτους θείᾳ κρίσει τοὺς ἐνασκουμένους ταῖς Μωσαϊκαῖς ἀναγράφει ἐντολαῖς, σὺ δὲ πονηρίας ὑπηρέτας τούτους ἐξυβρίζειν τολμᾷς, πῶς οὐ καταψεύδῃ μὲν μετὰ τῶν ἄλλων σαυτοῦ καὶ αὐτὴν τὴν ἐπωνυμίαν Χριστοῦ ; Πῶς δὲ οὐδὲν ἔλαττον εἰ μὴ καὶ μᾶλλον κατ' αὐτῆς τῆς χάριτος ἥπερ τοῦ νόμου κατεξανίστασαι, καὶ τὰ βλάσφημα χείλη κινεῖς ; καὶ ταῦτα τῇ γλώσσῃ προσποιούμενος προσκυνεῖν καὶ διὰ σεβάσματος ἄγειν αὐτήν ; Ἡ δὲ τοῦ Γαβριὴλ θεόθεν ἀποστολὴ, καὶ ὁ τῆς ἀσπόρου καὶ παρθενικῆς γαστρὸς ἁγιασμὸς, καὶ τὸ ἀναῤῥηθῆναι Πατέρα τὸν Δαβὶδ τοῦ ἀγαθοῦ Δημιουργοῦ τῶν ὅλων Θεοῦ· ἀλλὰ καὶ τὸν ἐκείνου βασιλικὸν θρόνον δι' αἰῶνος ἐγχειρίζεσθαι τὸν τῶν ὅλων βασιλέα· καὶ ἁπλῶς τὸ σάρκα λαβεῖν, καὶ D ἄνθρωπον χρηματίσαι τὸν ἀγαθὸν Υἱὸν τοῦ ἀγαθοῦ Πατρὸς (δεῖ γὰρ ἐν ἀποσιωπήσεως νόμῳ κἀνταῦθα διελθεῖν· ὁ γὰρ διὰ τῆς ἀκριβείας ἔλεγχος καὶ αὐταῖς ἀκοαῖς τὸ βλάσφημον ἀφόρητον συνεφέλκεται)· πῶς ἅπασαν τῶν ἀποστατῶν οὐ καταβάλλει τόλμαν καὶ μανίαν τῆς χείρονος μοίρας ; Τί γὰρ δεῖ τὸ φρικτότερον ἐπάγειν τῇ ἀκολούθου καὶ σιωπῶμενον, αὐτὸ μάλιστα νοεῖν παρεχούσης, ἄλλως τε καὶ προειρημένον ; Τοὺς δ' οὖν τῇ νομικῇ λατρείᾳ προσανακειμένους διασύρειν τε καὶ καταδικάζειν πρὸς τοσαύτην μέθην καὶ διανοίαις πώρωσιν ἀπεννεγμένων, ἦρχει μὲν, εἰ καὶ μηδὲν ἄλλο κατὰ τῆς ἀσεβείας προύβάλετο ἡ εὐσέβεια, ἀλλ' αὐτό γε τὸ φρικτὸν, τὴν ἐνανθρώπησιν λέγω τοῦ Κυρίου ἡμῶν Ἰησοῦ Χριστοῦ, καὶ τὸ σάρκα λαβεῖν ἐκ σπέρματος Δαβὶδ, καὶ τὸ διὰ παρθενικῶν

Digitized by Google Распознавание текста ABK/FR

αἱμάτων, ἐπιφοιτήσει τοῦ παναγίου Πνεύματος συμπαγέντων, εἰς σάρκα προελθεῖν, καὶ ὅλως ἄνθρωπον γενέσθαι. Εἰ βούλει δὲ καὶ ὡς πατρῷον κλῆρον ἐπιβάλλειν τῷ βασιλεῖ τῶν ὅλων, τὴν τῆς Δαυϊδικῆς βασιλείας διαδοχήν, καὶ ὅσα ἄλλα τῷ μυστηρίῳ συμπεριέχεται· ἤρκει δὲ ταῦτα καὶ χωρίς τινος ἄλλης ἐπιφορᾶς καὶ προσθήκης, τοῖς τε μὴ παντάπασι τὴν τοῦ νοῦ προδεδωκόσι χάριν, ἣν Πλαστουργὸς δεξιὰ αὐτῇ διαπλάσει ἐχαρίσατο, ἐπιστροφήν τινα καὶ ἀνάνηψιν τῆς θεομάχου γνώμης ἀπεργάσασθαι, καὶ τῶν ταύτην καθάπαξ δι' ὧν θεομαχοῦσιν, ἀπεσβηκότων καὶ τῷ ἐχθρῷ προδεδωκότων, ἀνακόψαι τε τὸ θράσος, καὶ πρὸς σιωπὴν ἐξ ἀπορίας, εἰ καὶ μὴ ἑκόντων, συνελάσαι. Τί γὰρ τούτου λαμπρότερον εἰς ἔλεγχον τῆς τοιαύτης ἀσεβείας; Τί δὲ δυνατώτερον κημῷ καὶ χαλινῷ τὰς σιαγόνας αὐτῶν ἄγξαι καὶ τῶν μαστίγων τὸ πλῆθος ἐπιδεῖξαι, ὧν πόρρω τῆς ἀληθείας γεγονότες, καὶ μηκέτι Θεῷ προσεγγίζειν ἀνεχόμενοι ὀπευθύνους ἑαυτοὺς παρεσκευάσαντο· πλὴν εἰ καὶ πάντα παράγειν οὐ ῥᾴδιον ὅσα στηλιτεύει τὴν ἀπόνοιαν, ἀλλ' οὖν διὰ τῶν ἐπικαίρων ἔτι προϊέναι, οὐ περιττὸν ἴσως οὐδὲ ἄχρηστον. Σεμνυνεῖται γὰρ εἰ σίᾳ τῶν κατὰ τῆς ἀποστασίας ἀποδείξεων τῆς τοῦ Θεοῦ

ΙΕ'. Ὁ μὲν οὖν τῶν ἀγγέλων ὕμνος ἐπὶ τῷ τόκῳ, οἷς τὸν οὐρανὸν καὶ τὴν γῆν εἰς μίαν ἁρμονίαν καὶ συμφωνίαν συνῆπτεν, εἰς ἕνα ποιητὴν τὴν αἰσθητικὴν κτίσιν ἅπασαν ἀνῆγε, διὰ τῶν ἄκρων αὐτῆς καὶ τὰ ἐν μέσῳ συναναφέρων. Καὶ χαρᾶς ἀρχὴν ἀεννάου τὴν πόλιν εὑρεῖν τοῦ Δαυὶδ εὐηγγελίζετο, ἅτε δὴ τῆς ἀνεκλαλήτου εἰρήνης τε καὶ θείας εὐδοκίας διὰ πάσης γῆς ἐμπολιτεύεσθαι παῤῥησίαν λαμβανούσης. Οἷς δ' ἡ θεόθεν εἰρήνη, καὶ ἡ εὐδοκία, δι' ὧν αὐτῶν τὰς ψυχὰς ἀτοπίας ἐπλήρωσαν, ἀπελήλαται, τούτοις εἰκότως οὐδὲ τὸν αὐτῶν Ποιητὴν, ὃς καὶ τοὺς ἀγγέλους ὑμνολογεῖν ἐξαπέστειλε, καὶ τὸν ὕμνον προσεδέξατο, οὐμενοῦν οὐχ ὁμολογεῖν τὸν αὐτὸν οὐρανοῦ τε καὶ γῆς ποιητὴν συνησέβηται. Ἀλλὰ ταῦτα μὲν οὐκ ἔξω τῶν πρώτων τοῦ μυστηρίου συμβόλων, οἶμαι, πίπτουσιν. Ἃ δὲ τὴν μετ' ἐκεῖνα τάξιν ἐπέχει, ὁ ὑπὸ τὸν νόμον Συμεὼν, καὶ τὸ ἐπ' αὐτὸν πνεῦμα ἅγιον καὶ ὁ δι' αὐτοῦ χρηματισμὸς, καὶ ἡ ἐν τῷ νομικῷ ναῷ τοῦ πρεσβύτου παρουσία, οὐδ' αὐτὴ χωρὶς τοῦ παναγίου Πνεύματος τελουμένη, καὶ τῆς ἀγαθότητος ἡ πηγὴ ὑποκύπτων ὁ Σωτὴρ ἡμῶν τῷ νόμῳ, καὶ οὐχ ὑποκύπτων μόνον, ἀλλὰ καὶ ἀγκάλαις, αἳ τὴν νομικὴν ἱστεργον λατρείαν, δορυφορούμενος καὶ αὐτὸ δὴ τὸ ἱερὸν καὶ πάλιν ὁ Συμεὼν, ἐπεὶ τῶν ἐλπίδων εἶχε τὸ πέρας, καὶ τοῦ χρηματισμοῦ τὸ μεῖζον εἶδε, καὶ τὸ λεῖπον αὐτῶν, καὶ τυγχάνων εὐλογῶν τε τὸν Θεὸν, ὃς ἰδεῖν τε αὐτῷ ἐχρημάτισε τὸ ἀπόῤῥητον, καὶ τῆς ἐλπίδος οὐκ ἐψευσεν, ἀλλ' ὀφθαλμοῖς ἠξίωσε θεάσασθαι τὸ σωτήριον πάντων τῶν ἐθνῶν, καὶ τὴν δόξαν τοῦ Ἰσραὴλ, ἥτις ἐστὶν αὐτὸς ὁ Σωτὴρ ἡμῶν Ἰησοῦς Χριστός. Καὶ μὴ παρέργως ταῦτα τοῖς ὠσὶ δέχου. Πνεῦμα ἅγιον ἦν ἐν τῷ πρεσβύτῃ, ἀλλ' οὐχ ὁ Πονηρὸς, ἄνθρωπε, δι' οὗ καὶ ὁ χρηματισμὸς (6) ἀνδρὶ

A comprehenduntur: hæc, inquam, sine omni alia accessione aut additione suffecerint illis, qui non omnino illud, quod Conditoris dextra in ipsa creatione illis largita est, rationis beneficium abjecerunt, ad conversionem et excussionem sententiæ impiæ perducendis, non minus autem eorum, qui rationem per pugnam adversus Deum exstinxerunt, hostique tradiderunt, audaciæ contundendæ, ipsisque etiam invitis a disputatione ad silentium compellendis. Quidnam enim luculentius ad confutationem talis impietatis afferri potest? Quid vero efficacius ad maxillas eorum quasi camo et freno compescendas, ac ostendendam eminus flagrorum copiam, quibus se ipsi tanquam a veritate alieni, neque ad Deum accedere cupientes, obnoxios reddiderunt.

B Enimvero quamvis non omnia ea, quæ insaniam eorum coarguunt, in medium afferri possint, præcipua tamen persequi nec supervacaneum forte, nec inutile fuerit. Plenitudo enim Ecclesiæ Dei si nulla re alia, certe copiis et abundantia argumentorum contra defectionem hanc superbit.

μή τινι ἄλλῳ, ἀλλ' οὖν γε τῷ πλούτῳ καὶ τῇ περιουσίᾳ τῶν κατὰ τῆς ἀποστασίας ἀποδείξεων τῆς τοῦ Θεοῦ Ἐκκλησίας τὸ πλήρωμα.

XV. Angelorum itaque hymnus in nativitate decantatus, per quos cœlum et terram in harmoniam et concentum conjunxit, creaturas sensibiles omnes ad unum Conditorem retulit, per suprema earum ea quoque, quæ in medio sunt, in eamdem classem collocans. Idem quoque civitatem David

C primas hujus gaudii æterni partes ferre nuntiat, pace scilicet ineffabili et divino beneplacito per omnem terram dominandi facultatem exercente. Quibus vero rebus divina pax et benevolentia, per quas animas suas insolentes reddiderunt, ab ipsis propulsata est, iisdem eo impietatis redacti sunt, ut nec eorum Conditorem, qui et angelos hymnum cantaturos misit, hymnumque eorum recepit, non eumdem cœli et terræ creatorem profiterentur. Sed illa quidem non prima mysteriorum elementa, puto, superant. Quæ vero secundum ab istis locum occupant, Symeon scilicet sub lege exsistens, Spiritus sanctus ipsi superveniens, vaticinium per eum editum, ejusdem senis in templum adventatio, nec ipsa sine Spiritu sancto facta; et Servator noster,

D ille bonitatis fons, legi se subjiciens, nec subjiciens solum, sed et ulnis, quæ cultum legalem amplectebantur, susceptus, imo ipsum quoque templum, iterumque Symeon, qui ideo, quod finem spei suæ consecutus erat, et majorem vaticinii partem viderat, Deum laudabat, qui et arcanum hoc ipsum visurum prædixerat, nec spe permiserat frustrari, sed potius dignum judicaverat, qui oculis suis videret Salutare omnium gentium, et gloriam Israelis, quæ est ipse Servator noster Jesus Christus. Tu vero hæc auribus non obiter accipe. Spiritus sanctus erat apud senem illum, o homo, non autem Malus

VARIÆ LECTIONES ET NOTÆ.

(6) **Χρηματισμός. Ita scripsi pro** χρηματισμὸν, **quod textum mendose occupaverat.**

Digitized by Google Распознавание текста ABK/FR

ille : per eumdem et oraculum illud factum erat homini in lege viventi, sicut et Servator juxta legem in templum adducitur, et juxta legem ulnis portatur. Neque vero homo injurius aut Malo obnoxius, sed a Deo duplici nomine actus, quod et Spiritus Sanctus super eum erat, et manibus ferebat Christum, salutem omnium gentium imo et gloriam Israelis proclamat, non alium atque alium, sed ipsum Dominum nostrum Jesum Christum, mediatorem et conditorem. Nam quæ Patris sunt, eadem sunt et ipsius omnia, sive veteris sint testamenti sive gratiæ. Quæ quidem, quamvis prædictis inferiora sint, non tamen in confutatione hominum contra Deum pugnantium secundum locum occupant. Ubi enim blasphemiam ullam contra legem, aut ea, quæ sunt legis, aut sanctuarii legalis, inveniri ostendent ? Sed quid dico blasphemiam ? Nonne potius omni honore et cultu afficiunt ea, quæ communia sunt et conjuncta, et affinia gratiæ. Anna autem, prophetis [4], cujus vita erat precatio, et commoratio in templo, et ut summatim dicam, cultus legalis, nisi et ipsa a benefica manu et providentia profecta fuisset una cum iis, quibus in vita gaudebat, nisi etiam inspirationem inde habuisset quomodo laudasset Dominum, et de bono Deo locuta fuisset, quod scilicet saluti futurus sit illis, qui Hierosolymis ipsum exspectarent ? Itane illi, qui sperabant Christum in salutem suam venturum, malum principium colentes, ad bonum retulissent spem suam ? Quis vero, rationis compos, non aversetur et gravissimi erroris arguat ita ratiocinantem ?

XVI. Sed procede mecum ulterius. Ascendit Servator in templum una cum Matre sua, vere tali, et virgine : simul vero ibat pater, ex desponsatione talis habitus. Et hic iterum legem implens Servator ascendit, non semel, sed sæpius, quasi destinata opera non semel sed sæpe coercere et dejicere vellet homines in præcepta legis injurios. Cum igitur aliquando pro more eo abiisset, absolutis iis, quæ lex poscebat, ac tempore domuitionem inferente sanctissima quidem Mater cum aliis, et ipso quoque Josepho, domum revertebatur : et, qui nostri causa puer factus erat, per triduum integrum in templum commorabatur cumque inter medios doctores, uti decebat, consedisset, tum perceptione quæstionum, tum exquisitis et accuratis responsionibus ita cepit colloquentes, ut stuporem illis et admirationem Deo plenam afferret, neque illis solum, sed et omnibus, quibus doctrinam et sententiarum collationem audire licebat. Cum interea Jesus, templo addictus, in his versaretur, sanctissima Mater ejus et Josephus in via Jesum secum non esse videntes, cum cognatis autem versari opinantes, non adesse vero, instituto scruti-

διὰ νόμου βιοῦντι, καὶ κατὰ νόμον ὁ Σωτὴρ ἀνάγεται εἰς τὸ ἱερὸν, καὶ κατὰ τὸν νόμον ἀγκαλοφορεῖται. Καὶ οὐχ ὁ θεοβλαβὴς ἢ ἀνειμένος τῷ χείρονι, ἀλλ' ὁ θεοφορούμενος ἀμφοτέρωθεν, ὅτι τε Πνεῦμα ἅγιον ἦν αὐτῷ, καὶ ὅτι χερσὶν ἔφερε τὸν Χριστὸν, σωτηρίαν μὲν πάντων τῶν ἐθνῶν ἀναφωνεῖ, ἀλλὰ καὶ δόξαν τοῦ Ἰσραὴλ, οὐκ ἄλλον καὶ ἄλλον, ἀλλ' αὐτὸν τὸν Κύριον ἡμῶν Ἰησοῦν Χριστὸν, τὸν μεσίτην καὶ δημιουργόν. Καὶ τὰ τοῦ Πατρὸς γὰρ αὐτοῦ ἐστιν ἅπαντα τῆς παλαιᾶς καὶ τῆς χάριτος. Ταῦτα εἰ καὶ δευτερεύει τῶν προλαβόντων, ἀλλ' οὖν οὐ τὴν δευτέραν χώραν, ὅσα γε τοῖς ἐλέγχοις βάλλειν τοὺς θεομάχους, ἔχει. Ποῦ γάρ τινα βλασφημίαν κανὰ τοῦ νόμου ἢ τῶν ἐν τῷ νόμῳ, ἢ τοῦ νομικοῦ ἱεροῦ πάροδον εὑρεῖν ὅλως ἐνδιδόασιν ; Ἀλλὰ τί εἶπον βλασφημίαν ; Πόσης τιμῆς καὶ δόξης οὐ μεταδιδόασιν, ὅσοις ἔνεστι μετασχεῖν τοῖς κοινωνοῦσι καὶ συνδιαπλεκομένοις καὶ συμφωνοῦσι τῇ χάριτι ; Ἡ δὲ προφῆτις Ἄννα, ἧς βίος ἡ προσευχὴ καὶ ἡ ἐν τῷ ναῷ σχολὴ, καὶ τὸ πᾶν εἰπεῖν, ἡ νομικὴ λατρεία, εἰ μὴ τῆς ἀγαθουργοῦ καὶ χειρὸς καὶ προνοίας ἦν καὶ αὐτὴ, καὶ οἷς ἐβίου καὶ ἐσεμνύνετο, εἰ μὴ τὴν ἐπίπνοιαν εἶχεν (7) ἐκεῖθεν, πῶς ἀνθωμολογεῖτο τῷ Κυρίῳ, καὶ περὶ τοῦ ἀγαθοῦ ἐλάλει Θεοῦ, ὡς λύτρωσις οὗτος εἴη τοῖς ἐν Ἰερουσαλὴμ προσδεχομένοις αὐτόν ; Ἆρα δὲ, οἳ προσεδόκων εἰς Σωτηρίαν αὐτῶν ἥκειν τὸν Χριστὸν, οὗτοι, τὴν φαύλην θεραπεύοντες ἀρχὴν, πρὸς τὴν ἀγαθὴν ἀνέφερον τὰς ἐλπίδας ; Καὶ τίς ἂν λογισμοῦ κύριος οὐ βδελύξηται καὶ πλανης ἐσχάτης ἐπιψηφιεῖται τὸ διαλογίζεσθαι ταῦτα ;

ΙϚ'. Ἴθι δή μοι καὶ προσωτέρω. Ἄνεισιν ὁ Σωτὴρ εἰς τὸ ἱερὸν ἅμα τῆς ὡς ἀληθῶς Μητρὸς καὶ παρθένου· συναναβαίνει δὲ καὶ ὁ τῇ δόξῃ τῆς μνηστείας πατήρ. Κἀνταῦθα πάλιν τὸν νόμον πληρῶν ὁ Σωτὴρ καὶ ἄνεισιν, οὐχ ἅπαξ, ἀλλὰ καὶ πολλάκις, ὥσπερ ἐξεπίτηδες, οὐχ ἅπαξ ἀλλὰ καὶ πολλάκις, ἐπιστομίζειν καὶ καταβάλλειν σπουδάζων τοὺς τῶν νομικῶν ὑβριστὰς ἐντολῶν. Ἀνελθὼν δ' οὖν ποτε κατὰ τὸ εἰθισμένον, ἐπεὶ τὰ νενομισμένα αὐτοῖς ἐτελευτήθη, καὶ τὴν εἰς τὸν οἶκον ἐπάνοδον ἐπέβαλλεν ὁ καιρὸς, ἡ μὲν πανάγιος μήτηρ ἅμα τε ἄλλοις καὶ τῷ Ἰωσὴφ οἴκαδε ἀπῄει· ὁ δὲ δι' ἡμᾶς παῖς ἐφ' ὅλας ἡμέρας τρεῖς ἐνεφιλοχώρει τε τῷ ἱερῷ καὶ τῶν διδασκάλων, ἡνίκα δέοι, καθεζόμενος ἐν μέσῳ, τῇ τε συνέσει τῶν ἐρωτήσεων καὶ τῇ εὐθύτητι καὶ ἀκριβείᾳ τῶν ἀποκρίσεων οὕτως εἶλε (8) τοὺς προσομιλοῦντας, ὡς ἔκστασίν τε καὶ θάμβος αὐτοῖς φιλόθεον ἐμβαλεῖν. Καὶ οὐ τούτοις μόνον, ἀλλὰ καὶ ὅσοις ἀκούειν παρῆν τῆς διδασκαλίας καὶ τῶν διαλέξεων. Εἶτα ἐν ᾧ διέτριβεν ἐν τούτοις, τῷ ἱερῷ προσεδρεύων ὁ Ἰησοῦς, ἡ πανάγιος Μήτηρ αὐτοῦ καὶ ὁ Ἰωσὴφ κατὰ τὴν ὁδὸν οὐχ ὁρῶντες συνόντα αὐτοῖς τὸν παῖδα, συνεῖναι δὲ νομίζοντές τισι τῶν συγγενῶν, ἐπεὶ ἀνεδίδαξεν αὐτοὺς

[4] Luc. II, 36.

VARIÆ LECTIONES ET NOTÆ.

(7) Εἶχεν. Legendum puto εἵλκεν ex ἕλκω. Ita paulo post § 16, Noster : Πῶς δὲ τὴν ἐπίπνοιαν ἐκ πονηρᾶς εἵλκον ἐνεργείας ;

(8) Εἶλε. Ita non dubito legendum esse ex αἱρέω pro εἴτε quod scripserat librarius.

Digitized by Google Распознавание текста ABK/FR

bus mortem conciliaverat, retulisset, postquam morte spoliata resurrexerat, et corpus antea ab anima sejunctum receperat, atque cum Cleophæ comitibus, qui Dominum non agnoscebant, versaretur [17]; ipsos quidem ignorantiæ, vel potius imprudentiæ et circa res fidei negligentiæ nomine reprehendit. Non alio vero nomine, quam quod ad scientiam pertinebat, reprehendit, quamvis in promptu esset, manus ostendere, et dextram et pedes, qui et clavorum et lanceæ vestigia et signa referebant, eumque, qui passus erat, ipsa illa perpessione demonstrabat : sicut et postea per ea incredulitatem a discipulis dubitantibus amoliebatur. Neque etiam in memoriam illis revocabat. quod ante passionem adhuc cum ipsis versatus ea prædixerit; nec memorabat quibus miraculis sermonum suorum veritatem comprobasset, quamvis et hoc illis, quibus deinde apparuit, recenseret. Sed nihil horum ipsis proponebat, nec ullum salutaris suæ passionis momentum ipsis objiciebat, aut exponebat, sed ostensurus quasi, et suos sermones et passionem, et Mosaica ac prophetica oracula ad demonstrandam veritatem et illustrandas hominum mentes sufficere : aliis quidem, ostensis in corpore passionis suæ vestigiis, quæ ipse prædixerat, resurrectionem suam confirmavit; aliis vero, qui visionem ejus animo præceperant, nullo eorum, quæ dicta sunt, seipsum vel revelans, vel in objurgationem eorum utens, ex prophetis et Mose objurgationem nectit, eademque opera ignorantiam et mentis et oculorum ab iis amolitur. Quod vero ad vim ac dignitatem legis ostendendam multum facit, hinc quidem ad doctrinam et confutationem sermonibus suis et passione usus est, assumpto in consortium Mosaico et prophetico testimonio; hinc vero propheticis et Mosaicis verbis passionem suam et gloriam et resurrectionem revelans, in illis penitus acquievit, quippe qui confirmatione aliunde petita non egebat. Adeo is perspectam habebat vim veritatis verborum propheticorum et Mosaicorum, magnamque eorum utilitatem, non quod hæc illis prætulerit, sed quod pro prudentia sua efficere vellet, ut oracula fruerentur reverentia et virtute earum rerum, quæ ante nuntiatæ nunc evenerant. Illis enim domestica venustas sufficiebat, his autem ad nobilitatem insitam decoris aliquid addi oportebat. Sed nihil vetat, quominus ipsa Domini verba audiamus. Dicit enim : *O imprudentes et pigri corde ad credendum iis, quæ locuti sunt prophetæ* [18]. Audisne, quomodo objurgationem per prophetas inferat? Et postea : *Nonne hæc oportebat pati Christum, et sic ingredi in gloriam suam* [19]? Ita prophetæ gloriam Servatoris annuntiant : tu vero eos ad extremam ignominiam deturbas. Et is quidem, facto a Mose et

σαντος τῷ γένει τὸν θάνατον λαμπρὰν (23), ἐπειδὴ τὸν θάνατον σκυλεύσας ἀνέστη, καὶ τὸ σῶμα, ὅπερ τῆς ψυχῆς διέστη, πάλιν προσείληφε, καὶ τοῖς μὲν περὶ Κλεόπαν ὁδοποιοῦσι συνεπορεύετο, οἱ δὲ τὸν Δεσπότην οὐκ ἐγίνωσκον· ἐπιτιμᾷ μὲν αὐτοὺς τῆς ἀγνοίας, μᾶλλον δὲ τῆς ἀνοίας, καὶ τῆς περὶ τὴν πίστιν βραδύτητος. Οὐκ ἄλλοθεν δὲ ἐπιτίμησιν, ἢ τὴν ἐπὶ γνῶσιν φέρει, καίτοι ῥᾷον ὂν χεῖράς τε δεῖξαι καὶ πόδας, ἃ τῶν ἥλων καὶ τῆς λόγχης ἔφερε τοὺς τύπους, καὶ τὰ σύμβολα, καὶ τῷ πάθει σαφῶς ἀνεδίδασκε τὸν πεπονθότα, ὥσπερ ὕστερον τοῖς τῶν μαθητῶν ἀμφιβάλλουσι δι' αὐτῶν τὴν ἀπιστίαν διέλυσεν. Οὐ μὲν οὐδ' ἀνέμνησεν, ὅτι πρὸ τοῦ πάθους συνὼν αὐτοῖς ταῦτα προεῖπεν, οὐδ' οἷς θαυματουργῶν τῶν λόγων αὐτοῦ τὴν ἀλήθειαν συνεῖχε· καίτοι καὶ τοῦτο προσανέμνησεν, οἷς ὤφθη μετὰ ταῦτα. Ἀλλ' οὐδὲν τούτων αὐτοῖς προθεὶς, οὐδ' ἀφ' ἑνὸς τῶν σωτηρίων παθῶν, οὔτε ἐπιπλήξας, οὔτε διδάξας, ἀλλ' ὥσπερ μονονουχὶ δεικνὺς ἐφαμίλλους εἶναι πρὸς ἀληθείας παράστασιν, καὶ φωτίζειν ἀνθρώπων διάνοιαν, τούς τε οἰκείους λόγους καὶ τὰ πάθη καὶ δὴ καὶ τὰς Μωσαϊκὰς καὶ προφητικὰς φωνάς· τοῖς μὲν δι' ὧν ἔδειξέ τε τὰ ἐπὶ τοῦ σώματος τῶν παθῶν ἴχνη, καὶ αὐτὸς προεθέσπιζεν, ἐβεβαίου τὴν ἀνάστασιν· τοὺς δὲ προλαβόντας εἰς θέαν αὐτοῦ καταστῆναι, ἀπ' οὐδενὸς τῶν εἰρημένων ἑαυτὸν ἀνακαλύπτων, οὐδ' ὑποβάλλων εἰς ἐπιτίμησιν, ἀπό γε τῶν προφητῶν καὶ τοῦ Μωσέως τό τε ἔγκλημα τούτοις ὑφαίνει, καὶ τὴν ἄγνοιαν αὐτῶν τῆς ψυχῆς, ἅμα καὶ τῶν ὀμμάτων ἀποσκευάζεται. Καὶ τόγε ἐξαίρετον εἰς ἰσχὺν καὶ ἀξίωμα, ἐν οἷς μὲν ἐχρήσατο πρὸς διδασκαλίαν καὶ ἔλεγχον τοῖς αὐτοῦ λόγοις καὶ παθήμασι καὶ τὴν Μωσαϊκὴν καὶ προφητικὴν μαρτυρίαν συνεφήρμοσεν· ἐν οἷς δὲ διὰ τῶν προφητικῶν καὶ Μωσαϊκῶν ῥημάτων τὰ πάθη καὶ τὴν δόξαν αὐτοῦ καὶ τὴν ἀνάστασιν ἀπεκάλυπτεν, ἠρκέσθη τούτοις, οὐδὲν ἐπιδεηθεὶς τῆς ἀπὸ τῶν ἄλλων βεβαιώσεως. Τόσοῦτον ἤδει τῶν προφητικῶν λογίων καὶ Μωσαϊκῶν τὸ τῆς ἀληθείας κράτος καὶ τῆς ὠφελείας τὸ μέγεθος, οὐχ ὅτι ταῦτα ἐκείνων προῆγεν, ἀλλ' ὅτιπερ ἐπὶ τοσοῦτον ἐμεθόδευε τοὺς ἐν τῷ νόμῳ χρησμοὺς συναπολαύειν τῆς τῶν ἐκβεβηκότων σεβασμιότητός τε καὶ δυνάμεως· τοῖς μὲν γὰρ ἦρκει χάρις ἡ οἴκοθεν, τοῖς δὲ προσέδει κόσμου ἀνάγειν εἰς τὴν ἐκείνων εὐγένειαν. Ἀλλ' οὐδέν ἐστιν οἷον αὐτῶν τῶν Δεσποτικῶν ῥημάτων ἀκούειν. Λέγει γάρ. Ὦ ἀνόητοι καὶ βραδεῖς τῇ καρδίᾳ τοῦ πιστεύειν ἐπὶ πάσιν, οἷς ἐλάλησαν οἱ προφῆται. Ἀκούεις, πῶς τὴν ἐπιτίμησιν διὰ τῶν προφητῶν ἐπάγει; Εἶτα· Οὐχὶ ταῦτα ἔδει παθεῖν τὸν Χριστὸν, καὶ εἰσελθεῖν εἰς τὴν δόξαν αὐνοῦ; Τὴν δόξαν οἱ προφῆται τοῦ Σωτῆρος κηρύττουσι· καὶ σὺ πρὸς τὴν ἐσχάτην αὐτοὺς, μᾶλλον δὲ κἀκείνων, ἀπελαύνεις ἀτιμίαν. Καὶ ἀρξάμενος ἀπὸ Μωσέως καὶ πάντων τῶν προφητῶν, διερμήνευεν αὐτοῖς ἐν πάσαις ταῖς

[17] Luc. XXIV, 18. [18] Luc. XXIV, 15. [19] ibid. 16.

VARIÆ LECTIONES ET NOTÆ.

(23) Λαμπράν. Sic lego pro λαμπρὸν, quod erat in ms. Præstat enim, vocem hanc referre ad νίκην quam ad θάνατον.

Digitized by Google Распознавание текста ABK/FR

Γραφαῖς τὰ περὶ ἑαυτοῦ. Ὁ Λυτρωτὴς ἡμῶν ἑρμηνευτὰς τῶν ἔργων δι' ὧν ἡμᾶς ἐλυτρώσατο τῆς τυραννίδος, τοὺς προφήτας ἀνομολογεῖ· καὶ σὺ τῆς τυραννίδος ὑπηρέτας οὐ φρίττεις ποιεῖν; Ἢ σύγε σεαυτὸν οὐ ταύτῃ μόνον, ἀλλ' ἅμα καὶ τρόπον ἄλλον τοσαύτης ἀνοίας καὶ παραπληξίας ἐνέπλησας, ὥστε μηδ' αἴσθησιν ἔχειν, μηδ' ἐν ᾧ νὰ ἐναντιώτατα καὶ φρονῶν καὶ λέγων ἀλίσκῃ. Νῦν μὲν γὰρ τὸν νοῦν (24) τὸν μέγαν, τὸν Ἀσσύριον αὐτοκράτορα (25), καὶ κύριον τοῦ παντὸς θεομαχῶν προκαθίζεις· νῦν δὲ λανθάνεις αὐτὸν, οὐδὲ ἑαυτοῦ κατεξουσιάζοντα ποθὲν οὐδὲ τῶν λογισμῶν κυριεύειν, ἀλλ' εἰς λῆρον μακρὸν καὶ παράφροσύνην ἀνυπέρβλητον ἐκπέμπεις. Τὸ γὰρ τοὺς αὐτοῦ θεράποντας καὶ λατρευτὰς (εὐμενεῖς δὲ ἡμῖν εἶησαν οἱ προφῆται, ὑπὲρ αὐτῶν γὰρ ἡ κατ' αὐτῶν (26) μνημονεύεται ὕβρις), τὸ γοῦν τούτους ἐπιπνεῖν τε καὶ χειροτονεῖν, ὥστε τῆς τυραννίδος αὐτοῦ τὴν κατάλυσιν ὑποτίθεσθαι καὶ προανακηρύττειν, ἀλλὰ καὶ τὸν τρόπον τῆς καταλύσεως οὕτω λεπτομερῶς τε καὶ περιφανῶς ἀποσαλπίζειν, καὶ οὐκ ἀποσαλπίζειν μόνον, ὧν οὐδὲν οὐδ' ὁ λῃστὴς αὐτὸς ἐγνώκει, ἀλλὰ καὶ μετὰ πάσης σπουδῆς μηχανᾶσθαί τε καὶ κατασκευάζειν· πόσης οὐκ ἂν εἴη ταῦτα παρανοίας; Τίνος δὲ διανοίας, τὴν ἔμφυτον κίνησιν, κἂν γοῦν ἐπ' ἐχάτοις ἴχνεσιν, διασωζούσης; Μᾶλλον δὲ, εἰ βούλει, οἷς μὲν αὐτὸν τὰ ἀπόῤῥητα καὶ ὑπερφυῆ προειδέναι λέγεις, καὶ ἃ μόνῳ ἦν τῷ ἀληθινῷ Θεῷ ἐγνωσμένα τε καὶ προωρισμένα, φεῦ τῆς ἀτοπίας! σοφίαν αὐτῷ τὸν ἀνυπέρβλητον καὶ σύνεσιν ἄφατον χαρίζῃ· οἷς δὲ τὴν αὐτοῦ κατάλυσιν συνεργάζεσθαι καὶ θριαμβεύειν οὐδὲν τῶν παραπαιόντων καὶ ἐξεστηκότων, ὃν τοῖς χείλεσιν ἔθου θεὸν, κατ' οὐδὲν ἐᾷς παραλλάττειν.

ΚΕ'. Τοιοῦτοι τῶν σῶν δογμάτων οἱ καρποὶ, τοιαῦτα τῶν ὑπὲρ τῆς πονηρίας σπουδασμάτων τὰ ἐπίχειρα, μᾶλλον δὲ πρὸς τὸν αὐτόθεν ὄγκον τῆς σῆς βλασφημίας καὶ τῆς ἀπαρχῆς τῶν σῶν ζιζανίων σπορᾶς. Καὶ ταῦτα μικρά. Ἐκεῖνο δὲ τῶν Σαδδουκαίων οἱ ἀναισθητότεροι (οὐ γὰρ ἂν φαίην, ἀσεβέστεροι· μείζων γὰρ αὐτῶν ἐστιν ἡ ἀποστασία, τῆς πρὸς τὰ χείρω συγκρίσεως), ἀλλ' οὖν ἐκεῖνο πῶς οὐ δυσωποῦνται οἱ πρὸς πᾶσαν θείαν καὶ ἀπειλὴν καὶ ὀργὴν καὶ χάριν καὶ εὐεργεσίας ἀπόλαυσιν ἀδυσώπητοι, ὃ τοῖς νενοσηκόσι Σαδδουκαίοις νεκρῶν μὴ εἶναι ἀνάστασιν, πειράζειν ἐπιχειρήσασι τὸν ἀπείραστον, αὐτὸς ἀνεφθέγξατο. Περὶ δὲ τῆς ἀναστάσεως τῶν νεκρῶν οὐκ ἀνέγνωτε τὸ ῥηθὲν ὑμῖν ὑπὸ τοῦ Κυρίου λέγοντος· Ἐγὼ εἰμι ὁ Θεὸς Ἀβραὰμ, καὶ ὁ Θεὸς Ἰσαὰκ, καὶ ὁ Θεὸς Ἰακώβ· οὐκ ἔστιν

A omnibus prophetis initio, ex omnibus Scripturis ea, quæ ad se pertineant, exposuit. Ita Servator noster prophetas profitetur esse interpretes operum per quæ nos a tyrannide liberavit : tu vero eos non vereris facere ministros tyrannidis. Aut num forte tu temetipsum non hoc solum, sed et alio modo tanta amentia et stupore implevisti, ut ne quidem sentias, quod contraria et sentias et dicas. Nunc enim animum illum excelsum, Assyrium monarcham et dominum universi, contra Deum pugnans, præ aliis evehis : nunc vero vel inscius non permittis ipsi potestatem sibi ipsi dominandi et ratione utendi, sed nugas agere et incredibiliter desipere jubes. Quantæ enim, quæso, dementiæ esset, servos
B suos et cultores (indulgeant nobis hæc prophetæ, quando in ipsorum commodum et defensionem injuriam in ipsos effusam memoramus) afflare et parare, ut tyrannidis suæ destructionem proponant et prænuntient, imo et modum destructionis tam clare et accurate ebuccinent, neque ebuccinent modo ea, quorum ipse latro ignarus erat, sed et omni studio promoveant et provehant? Quantæ hæc, inquam, essent dementiæ, cum vicissim prudentiæ sit, naturalem impetum, etiam in extremis gradibus consistentem, conservare. Vel si alia id ratione cognoscere mavis, ei, quem recondita et supernaturalia præscire dicis, atque ea, quæ soli vero Deo cognita ac prædefinita erant, infinitam et inenarrabilem sapientiam, vah imprudentiam! tribuis,
C quem ipsum tamen, dum eum suam perniciem promovisse ais, nihil eorum quæ insani et deliri suscipere possint, quamvis Deum labiis facias, prætermittere pateris.

XXV. Atque isti sunt dogmatum tuorum fructus, hæc sunt studii in malitiam probati ; vel potius blasphemiæ tuæ primitiarumque zizaniorum, quæ in te sparsa sunt, præmia. Sed illa quidem exigua sunt. Nunquid vero homines Sadducæis stupidiores (neque enim dixerim, magis impios, major enim est eorum defectio, quam ut pejoribus conferri possit), nunquid, inquam, pudore non suffunduntur homines, qui nec omnibus Dei minis, nec ira, nec gratia, nec beneficentiæ ejus fructu moventur, eo Servatoris dicto non perculsi quo, in Sadducæos, re-
D surrectionem mortuorum negare, et eum, qui tentari non potest, tentare sustinentes, usus est. *De resurrectione vero mortuorum nonne legistis, quod vobis dictum est a Domino dicente : Ego sum Deus Abrahami, et Deus Isaaci, et Deus Jacobi : non igitur Deus mor-*

VARIÆ LECTIONES ET NOTÆ.

(24) Τὸν νοῦν. Νοῦν μέγαν appellat Satanam, qui fastu elatus, nil nisi excelsa cogitabat. Angeli alioquin νόες appellantur tum ab aliis, tum a Dionysio Areopagita, lib. I. *De cœlesti hierarchia*, cap. I, p. 4.

(25) Τὸν Ἀσσύριον αὐτοκράτορα. Alludit procul dubio Noster ad Isa. XIV, 12, ubi secundum sensum litteralem sermo est de rege Babyloniæ, quem vero Patrum permulti mystice accomodant et interpretantur de diabolo, insolentia fastus de dignitate sua deturbato. Ita inter cæteros, Tutus Bostrensis lib. I *Adversus Manichæos*. Aliorum Patrum loca habes apud Dionys. Petavium, in *Dogmatibus theologicis*, tom. III, lib. I, c. 94 ; et Julium Bartoloccium, t. I *Bibliothecæ magnæ rabbin.*, p. 287 seqq., qui et Judæorum in eamdem sententiam interpretationes producit.

(26) Κατ' αὐτῶν. Ita scripsi pro κατ' αὐτόν, quod erat in ms. Sermo scilicet hic est de prophetis, in quos calumniis suis injurii erant Pauliciani

Digitized by Google Распознавание текста ABK/FR

tuorum Deus, sed viventium [20]. Quid enim quisquam hoc oraculo invenerit efficacius, aut ad audaciam hostium Dei destruendam aptius? Deus Abrahami, Isaaci et Jacobi, viventium Deus est. Et manifestum sane est, quod quorum est Deus, illi et nunc, et post resurrectionem in ipso vivant. Resurrectionem vero operatur Deus, adeoque quos resurgere facit Filius (resuscitat vero homines omnes, quibus omnino continentur et majores patriarcharum), iis omnino dominatur et nunc et post resurrectionem Deus, quando fictus ille corporis tui conditor igne et vermi æterno traditus erit, non solum ipse, sed et illi quibus volupe fuit obedire et obtemperare voluntati ejus. Ac illi quidem cum ipso pœnas sustinebunt, Abrahamus vero et Isaacus, et Jacobus, omnesque qui Deo per legem placent, gaudio nunquam finiendo nec edisserendo fruentur. Quid ais, miser homo, tuus, quem vocas, conditor ignis fit esca, illi vero, qui circa Abrahamum sunt, a vero Deo cœlestia sortiuntur tabernacula. Et tu ais imperare iis eum, quem exteriores tenebræ coercent. Servator mundi Patrem suum vocat Deum Abrahami et cæterorum patriarcharum. Tu vero eum de imperio deturbas, ejus vero loco introducis eum, qui igne tabescit, ac te ipsum, nisi cito resipiscens errorem effugias, in easdem pœnas abripit? Et Judæi quidem, Servatore hæc dicente, percellebantur: imo et Sadducæorum impudens factio coercebatur. Tu vero ne sic quidem linguam compescis, nec impias cogitationes deseris. Quomode itaque, aut unde, aut quo tempore vel gutta veniæ tibi stillabit?

A οὖν ὁ Θεὸς νεκρῶν Θεὸς, ἀλλὰ ζώντων. Τί γὰρ ἂν τις εὕροι ταύτης τῆς χρήσεως βεβαιότερον, ἢ καθελεῖν τὴν τῶν θεομάχων τόλμαν κραταιότερον; Ὁ τοῦ Ἀβραὰμ καὶ ὁ τοῦ Ἰσαὰκ καὶ ὁ τοῦ Ἰακὼβ Θεὸς, αὐτός ἐστιν ὁ τῶν ζώντων Θεός. Καὶ δῆλον, ὡς, ὧν ἐστι Θεὸς, οὗτοι ζῶσι καὶ νῦν καὶ μετὰ τὴν ἀνάστασιν ἐν αὐτῷ. Τὴν δὲ ἀνάστασιν ἐνήργησεν ὁ Θεὸς, ὥστε οὓς ἀνίστησεν ὁ Υἱὸς (ἀνιστᾷ δὲ σύμπαν τὸ ποίημα (27), ἐν οἷς καὶ οἱ πρόγονοι τῶν πατριαρχῶν), τούτων ἄρα βασιλεύει καὶ νῦν καὶ μετὰ τὴν ἀνάστασιν ὁ Θεὸς, ὅτε καὶ τοῦ σοῦ πλάσματος ὁ πεπλασμένος ποιητὴς τῷ ἀτελευτήτῳ πυρὶ καὶ τῷ σκώληκι παραδέδοται, αὐτός τε καὶ οἷς ὑπακούειν καὶ ὑπηρετεῖν αὐτοῦ γνώμη γέγονε τῷ θελήματι. Ἀλλ' ἐκεῖνοι μὲν σὺν ἐκείνῳ τὴν δίκην ὑπέχουσιν, Ἀβραὰμ δὲ καὶ B Ἰσαὰκ, καὶ Ἰακὼβ, καὶ πάντες οἷς ἡ διὰ νόμου Θεοῦ εὐαρέστησις, τῆς ἀτελευτήτου καὶ ἀνεκλαλήτου τρυφῆς ἀπολαύουσι. Τί λέγεις, ἄθλιε, ὁ σὸς τῇ γλώττῃ δημίουργὸς πυρὸς γίνεται τροφὴ, οἱ δὲ περὶ τὸν Ἀβραὰμ παρὰ τοῦ ἀληθινοῦ Θεοῦ τὰς οὐρανίους κληροῦνται σκηνάς. Καὶ σὺ λέγεις ἄρχειν αὐτῶν, ὃν τὸ ἐξώτερον συνέχει σκότος; Ὁ Σωτὴρ τοῦ κόσμου τὸν ἑαυτοῦ Πατέρα Θεὸν λέγει τοῦ Ἀβραὰμ καὶ τῶν ἄλλων πατριαρχῶν, Σὺ μὲν τοῦτον ἐκβάλλεις τῆς ἀρχῆς, ἀντεισάγεις δὲ τὸν κατατηκόμενον τῷ πυρὶ, καὶ σὲ, ἐὰν μὴ θᾶττον ἀνανήψας φύγῃς τὴν πλάνην, ταῖς αὐτοῖς συναπάγοντα (28) ποιναῖς. Καὶ οἱ μὲν Ἰουδαῖοι, ταῦτα λέγοντος τοῦ Σωτῆρος, ἐξεπλήττοντο, ναὶ δὴ καὶ τὸ τῶν Σαδδουκαίων ἀναιδὲς ἐπεφίμωτο. Σὺ δ' οὐδ' οὕτω χαλινοῖς τὴν γλῶτταν, οὐδὲ C τῶν λογισμῶν ἀπορρίπτεις τὸ δυσσέβημα. Καὶ πῶς ἂν ἄλλως ἢ πόθεν συγγνώμης σοι σταγὼν, ἢ κατὰ ποῖον καιρὸν ἐπισταχθήσεται;

XXVI. Sed nec hoc prætermittere fas est. Quidam Pharisæorum, qui aliis legis scientia præstare videbantur, tentationem Jesu aggreditur, et interrogat, dicens, *Magister, quodnam præceptum in lege majus est* [21]. Vide vero ex iis, quæ repondet Jesus, quomodo præceptis Mosaicis et dignitatem, et amorem Dei illis præceptum, vindicet. *Diliges* enim, inquit, *Dominum Deum tuum ex toto corde tuo, et in tota anima tua, et in tota mente tua* [22]. Atque hæc quidem legis mens est: attende vero et ad judicium Domini. Subjungit enim: *Hoc est primum et præcipuum præceptum* [23]; magnum præceptum et præcipuum eum, qui legi conformis est, Dei cultum vocans, Quænam autem jubebat necessitas hoc judicium ferre, et hanc prærogativam vindicare cultui divino Mosaico, nisi pro paterno instituto illum habuisset? Sed ipsum quoque præceptum per se, si quis consideraverit, nonne plenum est beneficæ

ΚΣ'. Οὐδ' ἐκεῖνο δὲ δεήσει παραδραμεῖν. Τῶν Φαρισαίων τις, δοκῶν τῶν ἄλλων τῇ τοῦ νόμου γνώσει προέχειν, εἰς πεῖραν αὐτὸν καθίστησι τοῦ Ἰησοῦ, καὶ ἐπερωτᾷ, Διδάσκαλε, λέγων, ποία ἐντολὴ μεγάλη ἐν τῷ νόμῳ; Καὶ ὅρα, δι' ὧν ἀμείβεται ὁ Ἰησοῦς, ὅπως ταῖς Μωσαϊκαῖς ἐντολαῖς καὶ τὸ μεγαλεῖον ἐπιμαρτύρεται καὶ τὸ θεοφιλές. Ἀγαπήσεις γὰρ, φησὶ, Κύριον τὸν Θεόν σου ὅλῃ τῇ καρδίᾳ σου, καὶ ἐν ὅλῃ τῇ ψυχῇ σου, καὶ ἐν ὅλῃ τῇ D διανοίᾳ σου. Καὶ τοῦτο μὲν ἡ τοῦ νόμου φωνή· πρόσχες δὲ καὶ ἐπικρίσει τῇ Δεσποτικῇ. Ἐπιφέρει γάρ· Αὕτη ἐστὶ πρώτη καὶ μεγάλη ἐντολὴ, μεγάλην ἐντολὴν καὶ πρώτην τὴν κατὰ νόμον θεοσέβειαν καλῶν. Καίτοι τίς ἐπέκειτο χρεία εἰς τὴν ψῆφον ταύτην ἐλθεῖν, καὶ τὸ μεγαλεῖον δοῦναι τῇ θεοσεβείᾳ τῇ Μωσαϊκῇ, εἰ μὴ πατρῴας ταύτην ἐπεγίνωσκε νομοθεσίας. Ἦλθε καὶ αὐτή γε καθ' ἑαυτὴν ἡ ἐντολὴ, εἴ τις ἐθέλοι θεωρεῖν, πῶς οὐ μεστὴ μὲν

[20] Matth. xxii, 31. [21] Matth. xxii, 36. [22] ibid. 37. [23] ibid.

VARIÆ LECTIONES ET NOTÆ.

(27) Ποίημα. De hominibus speciatim interpretor, de quibus sane hic sermo est, non ignorans alioquin, de tota creaturarum universitate hanc vocem usurpari posse, sicut et Deus ipse ab earum productione ποιητὴς appellatur. Illustris Theophili est locus lib. I, *Ad Autolycum*: Θεὸς δημιουργὸς καὶ ποιητὴς λέγεται, διὰ τὸ αὐτὸν εἶναι κτίστην, καὶ ποιητὴν τῶν ὅλων.

(28) Συναπάγοντα. Ita scribendum est pro συνυπάγοντα, quod est in ms. Neque enim aliud patitur pronomen σὲ antecedens, ad quod refertur τὸ συναπάγειν, id est, *abducere*.

Digitized by Google Распознавание текста ABK/FR

ἀγαθοειδοῦς καὶ θείας ἐπιπνοίας ; μεστὴ δὲ τῆς πρώτης φιλοσοφίας, Θεὸν εἰδέναι τὸν Πλάστην καὶ Εὐεργέτην, καὶ πρὸ τῶν ἄλλων ἁπάντων ἀγαπᾷν. Τίνα γὰρ ἄλλον ἐχρῆν πρὸ τοῦ κηδεμόνος καὶ ἐκ μὴ ὄντων ὑποστήσαντος ; πῶς δὲ οὐχ ὅλῃ μὲν ψυχῇ, οὐχ ὅλῃ δὲ καρδίᾳ, οὐχ ὅλῃ δὲ διανοίᾳ, μετά τινος δὲ διϛταγμοῦ καὶ διαμερισμοῦ λογισμῶν καὶ οἷον ἀφοσιούμενον τῷ ἐτάζοντι καρδίας καὶ νεφροὺς προσῆκε φέρειν τὴν τῆς ἀγάπης ὀφειλὴν ἀνθ' ὧς ὑπέστησεν, ἀνθ' ὧν τρέφει καὶ συνέχει, ἀνθ' ὧν ἡμαρτηκότα μὴ ἀπώσατο, ἀλλὰ καὶ τὸν ἴδιον Υἱὸν, τῶν αὐτοῦ μὴ διαστάντα κόλπων, ἐπὶ σωτηρίᾳ καὶ ἀνορθώσει τοῦ πεπλανημένου σαρκὶ κατέπεμψε τοῖς ἀνθρώποις ἐμπολιτεύσασθαι· ὃς ἐπὶ τοσοῦτον τὸ πατρικὸν ἠσπάσατο βούλημα, ὡς μὴ μόνον ἡμῖν παραπλησίως κοινωνῆσαι σαρκὸς καὶ αἵματος, καὶ καθ' ἡμᾶς ἄνθρωπος χωρὶς ἁμαρτίας χρηματίσαι, ἀλλὰ καὶ σταυρὸν καὶ θάνατον ἐνεγκεῖν, δι' ὧν ὁ πεσὼν ἀνέστη, καὶ μείζονος ἢ τῆς προτέρας δόξης ἠξίωται ; Ἀντὶ γοῦν τούτων ἆρ' οὐκ ἐν ὅλῃ καρδίᾳ καὶ ψυχῇ καὶ διανοίᾳ τὸν ταῦτα χαρισάμενον οὐκ ἀγαπᾷν δεῖ ; Ταύτην τὴν ἐντολὴν ὁ μὴ σωτήριόν τε καὶ τῆς Ἰησοῦ νομοθεσίας εὐταξίαν καὶ φρονῶν καὶ λέγων, ἀνάξιον ἑαυτὸν ὡς ἀληθῶς ἐπιγινώσκειν ἀποφαίνει τὸν ἀληθινὸν Θεόν. Σὺ δὲ ὅρα καὶ τὴν ἑφεξῆς· Ἀγαπήσεις τὸν πλησίον σου ὡς σεαυτόν. Καὶ τί ταύτης ἂν εἴη λυσιτελέστερον ἢ ἀγαθοειδέστερον ; ἢ τὸν βίον συνέχειν ἐπιτηδειότερον ; ἢ τὸ κοινωνικὸν καὶ ἥμερον συγκροτεῖν τῆς φύσεως, ὡς τὸ ἀγαπᾷν τὸν πλησίον ὡς ἑαυτόν ; καὶ ἔργον μὲν τῆς αὐτῆς εἰδέναι χειρὸς, φύσεως δὲ μιᾶς ; διὰ τῆς αὐτῆς δὲ γενέσεως εἰς φῶς προελθόντα, καὶ διὰ τῆς αὐτῆς ὁδοῦ τὸν βίον ἀπολιμπάνοντα, καὶ τὴν μὲν περιμένειν τὸν αὐτὸν, καὶ τῶν βεβιωμένων ἐξεταστὴν, καὶ πρό γε τούτων μηδὲν ἀνέχεσθαι πλημμελεῖν εἰς τὸν πέλας, ὧν οὐδεὶς ἑαυτὸν (28*) πλημμελῶν ἂν ὀφθείη, τὰ κάλλιστα δὲ καὶ σωτήρια καὶ συνεύχεσθαι καὶ ᾧ παροικεῖς (29) συγκαπράττεσθαι τοῦτο γάρ ἐστιν ὁ τῆς ἀγάπης λόγος. Ἆρα οὐ δοκεῖ σοι τὰ μέγιστα καὶ καιριώτατα τῶν ἐν ἀνθρώποις ; Προσθήσω δὲ καὶ ὅσα ἐστὶ θεῖα καὶ θεοφιλῆ διὰ ταύτης κατευθύνεσθαι τῆς ἐντολῆς. Οὐκ ἴσταται δὲ οὐδὲ μέχρι τούτων ὁ Σωτὴρ, ἀλλ' ἵνα πᾶσαν τῶν ἀσεβῶν διακόψῃ πρόφασιν, μηδὲ πρός τινα κακουργίαν ἀποβλέψωσιν, ὡς αὕτη μόνη τῶν ἄλλων ἆρα ἡ δυὰς τῆς τιμώσης αὐτὴν Δεσποτικῆς ἠξιώθη, ψήφου· τῶν δ' ἄλλων λόγος ἐστὶν οὐδείς· ἵνα τοίνυν αὐτοῖς πανταχόθεν ἀποκλείσῃ τὴν τῆς πονηρίας μηχανὴν, ὅρα πῶς ἐπάγει· Ἐν ταύταις ταῖς δυσὶν ἐντολαῖς ὅλος ὁ νόμος καὶ οἱ προφῆται κρέμανται, μονονουχὶ λέγων, ὡς οἷς αὗται τῆς ἐμῆς μετέσχον δικαίας ἀποδοχῆς, καὶ καθ' ἑαυτὰς τὴν φύσιν εἰσὶ σωτήριοι καὶ θεοφιλεῖς, διὰ τῶν αὐτῶν

et divinæ inspirationis, plenum primæ philosophiæ, quæ jubet Deum nosse et Conditorem et Benefactorem, eumque præ omnibus aliis amare ? Quem enim alium oportebat amare præ illo, qui omnium curam habet, et omnia ex nihilo creavit ? Quomodo non omni anima, omni corde, et omni mente, sed potius cum dubitatione quadam mentisque distractione et quasi perfunctorie illi, qui corda scrutator et renes debitum amorem solvere conveniat pro eo quod produxit, quod nutrit et conservat, quod delinquentem adeo non a se repulit, ut potius Filium poprium, a suo sinu non remotum, in salutem reductionemque errantium indutum carne misit, ut inter homines versaretur : qui sane paternam voluntatem ita sectatus est, ut non solum nobiscum particeps factus sit carnis et sanguinis, et sine peccato homo appellatus, sed et crucem ac mortem pertulerit, per quam qui cecidit, excitaretur, et majore, quam antea, gloria afficeretur ? Pro his enim omnibus eorumque similibus nonne eum, qui talia largitus est, omni corde, anima et mente amare oportet ? Qui hoc præceptum non salutare, nec Jesu instituta bene ordinata vel credit, vel appellat, is omnino prodit se indignum, qui verum Deum vere agnoscat. Tu vero considera et sequens præceptum : *Diliges proximum tuum sicut te ipsum* [24]. Eo vero quodnam utilius aut melius est ? quodnam ad vitam producendam aut ad socialitatem mansuetudinem que humanæ naturæ provehendam magis idoneum, quam diligere proximum ut seipsum ? et nosse se ejusdem manus opificium, ejusdem naturæ, ac ejusdem generationis beneficio in lucem editum, eadem quoque via ex vita hac abiturum, postquam immineat unus idemque rerum in vita gestarum arbiter et judex ; et ante omnia statuere, nihil in proximum suscipiendum esse eorum, quæ nemo in seipsum patrare unquam cernatur ; optima vero quæque et salutaria tum precari, tum illi, cui vicinus es, afferre. Ea enim est amoris ratio. Nonne tibi ista quidem potiora et præcipua videntur esse in humanis rebus officia ? Addam vero nunc, quæ divina divinique amoris plena, eodem præcepto observato, perfici possint. Neque enim hic subsistit Servator, sed ut omnem impiorum prætextum eludat, efficiatque, ne quid maligni suspicentur, quasi duo illa tantum præcepta hoc Domini judicio honorifico digna habita sint, reliquorum vero ratio haberi non debeat : ut, inquam, illis undiquaque malitiæ apparatum occludat, vide quæ subjicit : *Ex his duobus præceptis tota lex et prophetæ pendent :* quasi diceret, quod in quantum illa duo justa mea approbatione potita sunt, et natura sua saluta-

[24] Matth. XXII, 38.

VARIÆ LECTIONES ET NOTÆ.

(28*) Οὐδείς. Malim legere ὧν οὐδὲν εἰς ἑαυτὸν, etc., id est, *quorum nullum quisquam in se ipsum unquam admiserit.* Certe præpositio εἰς excidit, quippe qua ad phrasim plenam reddendam opus est. Facile autem excidere potuit, in primis si Photium οὐδεὶς scripsisse statuas.

(29) Ὧ παροικεῖς. Ms. οἷ παροίκοις, nullo sensu. Photius loquitur de proximo, eumque a vicinitate domicilii describit. Id vero Græci exprimunt per παροικεῖν τινι.

Digitized by Google Распознавание текста ABK/FR

ria sunt ac amorem Dei urgent, in tantum et lex tota et prophetæ eodem honore digni judicandi sunt. Mutuo enim nexu ea sibi invicem conjuncta sunt, et ab eodem legislatore profecta, et legislator ac doctor eorum omnium eodem indiquaque honore prosequendus est. Sic et Davidem alibi testem affert, qui ipsum ut Dominum et victorem renuntiavit, non nude et per se, sed in Spiritu sancto, talem item qui a Domino, Dominus exsistens ipse, sessionem a dextris acceperit, videritque hostes suos scabello pedum suorum subjectos et prostratos. Qui vero pronuntiare hæc et prædicare potuisset, contrarii principii afflactu actus, in primis, cum tam clare et palam Jesum Deum pronuntiet, eumque Dominum suum profiteatur, Patrisque dignitatem, commemorato dominio, ipsi vindicet, et quam illustrem invincibilemque potentiam adversus hostes probaturus sit, testetur. Hæc omnia cujus fuerit et prænuntiare, et in effectum perducere, quam quidem beneficæ Dei sapientiæ, per quam et omnia consistunt, et ea, quæ ad salutem nostram pertinent, ab origine mundi definita, eventumque sortita, sunt eo, qui definiverat, non indignum?

XXVII. Perpendamus vero etiam hoc loco, annon Moses et Elias, secundum legem viventes, ministri fuerint boni et veri Dei, ipsique placuerint? Quomodo enim in monte, in quo Servator transfiguratus est, gloriamque divinitatis suæ manifestavit, et præcipuis suis discipulis fulguris instar videndam dedit, aderant illi, divinoque splendore fruebantur, nisi ad cultores ejus et ministros pertinuissent [25]? Imo quomodo non solum aderant, instar nudorum spectatorum, sed ut tales, qui præ reliquis discipulis primitiis his visionis Dei fruebantur, et ex gratia prærogativa quadam præ illis, in quorum alioquin societate erant, ornabantur? Splendore enim circumfusi cum Jesu loquebantur, sermonumque illorum summa erat crux, et victoria et tropæa a morte reportanda. Quod igitur respectu cæterorum discipulorum Petrus, Jacobus et Joannes erant, id respectu illorum (veterum) Mosen et Eliam esse hoc ipso Servator declarabat, eosque evehebat. Quod vero collocuti cum eo sint, primumque locum occuparint, ita Scriptura sacra effert: *Cumque precaretur, habitus vultus ejus factus est alius, et vestimenta ejus alba ac refulgentia. Et ecce duo viri colloquebantur cum eo, qui erant Moses et Elias* [25]. Audisne? Moses, inquit, erant, et Elias, qui in gloria apparentes ipsi exitum prædicebant, quem sortiturus erat Hierosolymis. Vel si mavis intelligere gloriam de qua alia Scriptura testatur, Mosen et Eliam divinitatis suæ, quoad illa ab homine videri potest, spectatores Servator transfiguratus esse

[25] Matth. XVII, 2, 3.

A καὶ ὁ νόμος ὅλος καὶ οἱ προφῆται τῶν αὐτῶν εἰσιν ἐπάξιοι γερῶν. Συνήρτηται γὰρ ἀλλήλοις ταῦτα καὶ συνέχεται, καὶ τῆς αὐτῆς νομοθεσίας ἐξῆπται. Καὶ αὐτὸς ὁμότιμός ἐστιν ὁ τούτων ἁπάντων καὶ νομοθέτης καὶ εἰσηγητής. Ἀμέλει καὶ τὸν Δαυὶδ πάλιν εἰσάγει μάρτυρα, Κύριον αὐτὸν καὶ νικητὴν προανακηρύττοντα, καὶ οὐχ ἁπλῶς, ἀλλ' ἐν Πνεύματι ἁγίῳ καὶ παρὰ Κυρίου τὴν ἐκ δεξιῶν καθέδραν. Κύριον καὶ αὐτὸν ὄντα, λαμβάνοντα, καὶ τοὺς ἐχθροὺς ὑποπόδιον τῶν ποδῶν αὐτοῦ τιθεμένους, καὶ καταπίπτοντας. Καὶ ποῦ ταῦτα προαγορεύειν ἐκεῖνον καὶ θεολογεῖν παρῆν, εἰ τῆς ἐναντίας εἶλκε μερίδος τὴν ἐπίπνοιαν, μάλιστά γε θεολογεῖν οὕτω σαφῶς καὶ ἀπερικαλύπτως τὸν Ἰησοῦν, Κύριόν τε ἴδιον αὐτὸν ἀνομολογεῖν, καὶ τὸ πατρικὸν ἀξίωμα διὰ τῆς κυριότητος ἐπιμαρτυρεῖν, καὶ ὡς λαμπρῶς καὶ ἀναφαίρετον τὸ κράτος ἀναδήσεται τὸ κατὰ τῶν ἐχθρῶν. Ἅ τίνος ἦν ἄλλου καὶ προθεσπίζειν καὶ εἰς πέρας ἄγειν, εἰ μὴ τῆς ἀγαθοδότιδος (30) Θεοῦ σοφίας, δι' ἧς τό τε σύμπαν ὑπέστη, καὶ τὰ τῆς σωτηρίας ἡμῶν ἀπὸ καταβολῆς προωρίσθη κόσμου, καὶ πέρας ἔλαβε τοῦ προορίσαντος οὐκ ἀνάξιον.

B

C

ΚΗ'. Σκοπῶμεν δὲ κἀντεῦθεν, εἰ μὴ Μωσῆς καὶ Ἠλίας νόμῳ βεβιωκότες θεράποντες ἦσαν, καὶ πρὸς ἀρέσκειαν πράττοντες τοῦ ἀγαθοῦ καὶ ἀληθινοῦ Θεου. Πῶς ἐν τῷ ὄρει, ἐν ᾧ μετεμορφώθη ὁ Σωτὴρ, καὶ τὴν δόξαν αὐτοῦ τῆς θεότητος παρεγύμνωσε, καὶ ἐνήστραψε τοῖς προκρίτοις τῶν μαθητῶν, συμπαρῆσαν οὗτοι καὶ συναπήλαυον τῆς θείας ἀστραπῆς, μὴ τῆς αὐτοῦ λατρείας μηδὲ θεραπείας ὄντες; Καὶ οὐ συμπαρῆσαν μόνον οἷα δὴ τυχόντες θεασαὶ, ἀλλὰ μαθητῶν μὲν τῶν πλειόνων οἰκειώσεώς τε προνομίοις καὶ θεοπτίαις ἐξαιρούμενοι· καὶ οἷς δὲ συνετάττοντο κἀκείνων τι πλέον ἔχειν παρὰ τῆς ἀγαθότητος δῶρον φέροντες. Καὶ γὰρ δόξῃ περιαυγαζόμενοι συνελάλουν τῷ Ἰησοῦ καὶ τῶν λόγων ἦν τὸ κεφάλαιον ὁ σταυρὸς καὶ ἡ κατὰ τοῦ θανάτου νίκη καὶ τὸ τρόπαιον. Ὥστε ὅπερ ἦσαν τοῖς ἄλλοις Πέτρος καὶ Ἰάκωβος καὶ Ἰωάννης. τοῦτο Μωσῆ καὶ Ἠλίαν τούτοις εἶναι διεκόσμει κατά γε τοῦτο καὶ ἐμεγάλυνεν ὁ Σωτήρ. Ὅτι δὲ συνωμίλουν αὐτῷ καὶ τὴν πρώτην τάξιν ἐπλήρουν, ὠδὶ τὸ τῆς ἱερολογίας φησί· Καὶ ἐγένετο ἐν τῷ προσεύχεσθαι αὐτὸν, τὸ εἶδος τοῦ προσώπου αὐτοῦ ἕτερον, καὶ ὁ ἱματισμὸς αὐτοῦ λευκὸς ἐξαστράπτων, καὶ ἰδοὺ ἄνδρες δύο συνελάλουν αὐτῷ, οἵτινες ἦσαν Μωσῆς καὶ Ἠλίας. Ἀκούεις; Μωσῆς, φησὶν, ἦσαν καὶ Ἠλίας, οἱ ὀφθέντες ἐν δόξῃ, ἔλεγον τὴν ἔξοδον αὐτοῦ, ἣν ἔμελλε πληροῦν ἐν Ἱερουσαλήμ. Ἢ εἰ βούλει τὴν δόξαν, ὥσπερ ἄλλη διδάσκει Γραφὴ (31)) Μωσῆν καὶ Ἠλίαν τῆς αὐτοῦ θεότητος, ὡς ἐστιν ἀνθρώπῳ δυνατὸν ἰδεῖν, παρέστησε θεατὰς μορφωθεὶς ὁ Σωτὴρ, καὶ

D

VARIÆ LECTIONES ET NOTÆ.

(30) Ἀγαθοδότιδος. Ms. ἀγαθότιδος. Rescripsi prius, ex ἀγαθοδότης et in feminino genere ἀγαθοδότις, id est, *qui* vel *quæ bona suppeditat*. Usus hac voce est Dionysius Areopagita.

(31) Γραφή. Alludit Noster procul dubio ad Joan. I, 14, ubi ita: Εἴδομεν τὴν δόξαν αὐτοῦ, δόξαν ὡς Μονογενοῦς παρὰ Πατρός.

Digitized by Google Распознавание текста ABK/FR

τοῖς μαθηταῖς συντάττει, μᾶλλον δὲ, ὡς δέδεικται, προάγει, οὐχ ὅτι διόλου τὸ ἔλαττον ἔχουσιν, ἀλλ' ὅτι τοῖς μὲν τῷ νῷ διαπλεῖν ἔτι τὸν βίον, καὶ ταῖς τρικυμίαις, οἷα δὴ τὰ ἀνθρώπινα, ὑπελίπετο κλυδωνίζεσθαι· οἱ δὲ τὸν ὅρμον εἶχον ἀκύμαντον. Ὁ δὲ τῆς ἀσφαλείας καὶ τοῦ λιμένος μήπω τυχὼν, τοῦ καταλαβόντος ἤδη, καὶ πολὺ τιμιώτερον τὸ φορτίον φέρῃ τῇ ἀδηλίᾳ τῆς σωτηρίας, τοῦ βεβαίαν ταύτην εὑρομένου πολλῷ λείπεται (32). Πλὴν ἀλλ' οὗς τηλικαύτης δόξης ἀξιοῖ Χριστὸς ἡ ἀλήθεια, ὡς καὶ συλλαλεῖν αὐτοὺς αὐτῷ καὶ ὑμνεῖν αὐτοῦ τὴν δόξαν καὶ τὴν ἔξοδον, ἆρα τούτους οὐ φρίττεις κωμῳδεῖν, ἀλλ' εἰς πονηρὰν ἐλαύνεις ἀρχήν; Τίς δ' αὐτὸν ἐκάλει καὶ χρείᾳ ἀγαθὸν ὄντα καὶ ἀγαθότητος πηγὴν, τοὺς οὐκ ὄντας μὲν αὐτοῦ, κακίᾳ δὲ συμφυεῖς, τοῖς τε ἄλλοις, ἃ προείρηται, τιμᾷν, καὶ πρὸς ἑαυτὸν μετακλήτους ποιεῖν. Οὐδὲ γὰρ ἐκεῖνοι γνώμῃ παρῆσαν ποθὲν, οὐδὲ γὰρ ἴσχυον, ἀλλὰ τὸν μὲν αὐτὸς ἐξ ᾅδου ἀνασπῶν, τὸν δὲ ἐκ μεταρσίων τε καὶ φθορᾶς ἐλευθέρων μετάγων σκηνωμάτων, ἐξῳκειοῦτό τε καὶ συνῆπτεν αὑτοὺς ἑαυτῷ. Καὶ οὐ ταῦτα μόνον, ἀλλά γε καὶ ὁ Πατὴρ ἄνωθεν, παρόντων τῶν ἀλλοτρίων, ὡς οἱ τοῦ ἀλλοτρίου φασὶ, νεφέλην φωτὸς διετάννυεν, ἐπισκιάζουσαν αὐτοὺς. Καὶ φωνὴν ἐκ τῆς νεφέλης ἀφίει λέγουσαν· Οὗτός ἐστιν ὁ Υἱός μου ὁ ἀγαπητὸς, ἐν ᾧ εὐδόκησα αὐτοῦ ἀκούετε. Τοὺς οὖν τηλικούτου θεάματος ἐπόπτας καὶ μύστας καὶ μυσταγωγοὺς ἆρα οὐ διὰ πάσης προσῆκεν ἄγειν τιμῆς, οἷς λόγος ἐστὶν ὀπωσοῦν καὶ πράξεων καὶ κρίσεων τῶν Δεσποτικῶν; Ἀλλὰ μὲρ ὁ Σωτὴρ καὶ πάντα σοφίας πλούτῳ καὶ φιλανθρωπίας καὶ πράττων καὶ προσδεχόμενος τῶν παίδων τοῖς ὕμνοις, οὓς τὰ παράδοξα τῶν ἔργων εἰς εὐφημίαν ἐκίνει δορυφορούμενος, ἐπεὶ τῶν Ἰουδαίων ἡ πώρωσις καὶ σκληροκαρδία εἰς διαγογγυσμοὺς ἐξερρίπίζετο, οὐκ ἀλλαχόθεν αὐτοὺς ἐπιπλήττων στηλιτεύει, πάλιν δὲ τὸν Δαυϊτικὸν χρησμὸν ἄφυκτον ἐλέγχων (33) ἀνατείνει· καὶ δι' ἐκείνου τοὺς μὲν καταισχύνει, ἑαυτῷ δὲ τοὺς ὕμνους ἐπιβάλλειν διδάσκει. Καὶ ποῦ τοῦτο καλόν; ποῦ δὲ ἀκόλουθον, δίκαιον δὲ πῶς ἂν εἴη τὸν παραγεγονότα καταλῦσαι τὸ τοῦ διαβόλου κράτος, δι' ἐκείνου τὸ τῆς δόξης πρέπον, καὶ τὴν σύστασιν ἑαυτῷ πορίζειν (34); τοῦτο γὰρ τῆς ἀποστατικῆς σπορᾶς ὁ καρπός. Καὶ ἅμα μὲν ἐπιδημῆσαι πάσης πίστεως ἄπορον τὸν ἐχθρὸν ποιεῖν, ἅμα δὲ τὰς μεγίστας αὐτῷ προξενεῖν καὶ λανθάνειν ἑαυτὸν ἀντισυνιστῶντα καὶ κρατύνοντα, οὗ τὸ κράτος ἦκεν ἀφελεῖν. Οἷς γὰρ τἂν δις ἰὰ τῶν τοῦ ψεύστου ῥημάτων τὴν ἀλήθειαν σπουδάζει δεῖξαι παροῦσαν ἑαυτῷ καὶ τὸ

A voluit, eosque cum discipulis conjungit, vel potius, ceu ostensum est, iis præfert, non quod per omnia secundas partes laturi essent, sed quod hi quidem animo adhuc per vitam quasi in mari vagari et fluctibus, quos humanæ res secum ferunt, jactari adhuc deberent, illis tranquillum portum tenentibus. Qui vero securitatem et portum nondum assecutus est, deterioris est conditionis eo, qui jam utrumque tenet; et cujus salus adhuc incerta est, illo est multo inferior, qui eam jam invenit. Quos vero tanta gloria dignatur Christus, ipsa veritas, ita ut et colloqui eos secum, et gloriam suam ac exitum prædicare faciat, eisne tu illudere, imo ad malum principium eos referre non vereris? Quis vero eum et necessario bonum et bonitatis fontem B appellabit qui non sint sui, sed potius mali natura, tum aliis, quos diximus, modis colat, tum ad se advocet? Neque enim illi sponte sua ipsi præsto fuerunt, nec esse poterant: sed alium quidem ex sepulcro retractum, alium vero ex habitaculis supernis et a corruptione immunibus deductum sibi asciscebat ipse et jungebat. Neque hoc solum, sed et Pater ipse superne, præsentibus alienis, ut illi, qui ad alienum pertinent, aiunt, lucis nubem expandit eos obumbrantem, et vocem ex nube emisit dicentem: *Hic est Filius meus dilectus, in quo complacui: eum audite*[26]. Hos igitur tanti spectaculi contemplatores et mystas et doctores nonne omni honoris genere prosequi decet illos, qui vel actionum vel judiciorum Domini ullam habent rationem? C Imo et Servator, qui omnia pro sapientiæ suæ amorisque in homines divitiis agit, et recipit, cum infantum hymnis, quos miranda sua opera ad laudem permoverant, efferretur, atque hoc ipso Judæis indurati difficilesque corde ad murmura compellerentur, non aliunde eos objurgatos compescit, sed iterum oraculum Davidicum instar argumenti non eludendi immittit, eoque illos quidem confundit, seipsum vero laudibus prosequi docet. Unde vero hoc bonum nascitur? qui item conveniens est, imo quomodo justum æquumque erat, ut is qui venit ut solveret potestatem diaboli, per ipsum illum gloriæ partem et materiam sibi pararet (hic enim apostaticæ sationis fructus est), et eadem opera efficeret, ut et hostis, omnis fidei vacuus, adveniat, et D potiores ipsi partes relinquat, nesciatque, seipsum eum juvare et corroborare, cui robur adempturus venerat? Quisquis enim per verba mendacis veritatem demonstrare conatur, quam ipse habet, et id

[26] Matth. xvii, 5.

VARIÆ LECTIONES ET NOTÆ

(32) Λείπεται. Deesse hic quædam non præter rem suspicari mihi videor. Duobus, si quid video, similibus usus hic est Photius: altero a navigantibus, altero a portitoribus petito. Utraque vero comparat cum iis qui et navigatione defuncti et onere liberati sunt. At posterius simile dictio hiulca non satis exprimit. Interim scriptoris mentem me puto assecutum.

(33) Ἄφυκτον ἐλέγχων. Legendum puto, quod et in versione expressi, ἄφυκτον ἔλεγχον, ut scilicet χρησμὸς ille Davidicus pro argumento invicto ad errantes convincendos habeatur.

(34) Πορίζειν. Hoc substitui pro πορίζει codicis manu exarati. Neque enim id jungi potest antecedenti καταλῦσαι.

Digitized by Google Распознавание текста ABK/FR

quod definitum erat, inde producere, is eum, quem mendacium ducem habebat, veritatis auctorem faciens a crimine omni absolvit. Neque magis, quod tamen Deus prohibeat! se ipsum immunem a criminationibus Judæorum esse ostendit, quam illum, cujus ope ista amolitur, a mendacii, cujus auctor est, culpa liberat. Itaque defectionis amor vobis certe non vergit in commodum, quando veritatis Patrem prædicatis esse mendacii auctorem, ab hoc autem veritatem substantialem verum mutuo sumpsisse, et æquali, ne dicam majori, ea, quæ mutuatus est, studio excipienda dicitis.

XXVIII. Age vero, etiam per parabolas non parabolice, sed clare, dogma impiorum disjectum videamus. Quod enim Servator advenerit, ut quærat et servet id quod perditum erat [27], a nemine huc dum in dubium vocatum est. Si vero ovem vere perditam ab interitu voluit liberare, et ad se reducere, et ad salutem revocare, non difficile fuerit perspicere quod parabola docet humanam substantiam manus beneficæ opus exsistere. Omnino enim ovis deperdita primum e caula earum fuit, quæ servatæ sunt, deinde vero a grege resiliens in viam ad exitium declinavit. Quod enim ab initio in pernicie natum fuit, ne naturam quidem ad salutem revertendi habet, vel potius reverti non potest, aut servari. Imo nec usu ipsi venire potuit perire, siquidem cum ipso ortu ex malo provenit principio, nec unquam boni et salutis particeps visum est. Cujus enim aliquis nunquam fuit, quomodo inde dici potest delapsus, et qui salutis in ortu ipso non fuit particeps, quomodo ad exitium pervenire aut periisse dici potest? Sed et Dominus noster hominum amantissimus, veritatis doctor et auctor, cum deperditi mentionem sæpissime faceret, nunquam tamen pravitatem tanquam cum eodem conditam, aut perniciem vel eminus commemorat: semper vero occasionem facit cogitandi, quod illud postliminio ab ordine pristino nexuque et communione cum cæteris disjunctum in perniciem devenerit. Ait enim: *Quid vobis videtur, si cui homini fuerint, centum oves* [28]. Ecce oves illæ centum sunt totus grex nondum errans: nulla earum tunc vel errabat, vel perdita erat. Si postea vel una ex illis a grege aberravit, a salvis illa se separat, a non errantibus aberrat, ex ovili recedit. Propterea et hominum amantissimus illam citius quærit, et repertam reliquis non deviis annumerat, et de reparata jactura gaudet, et amicos sibi angelos in societatem gaudii excitat [29], quia ovem ab ordine et gloria ipsarum ante separatam ad suam, qua ipsi gaudebant, feli-

A ὁρισθὲν προελθεῖν· οὗτος, ὃν τὸ ψεῦδος ἔσχεν ἀρχηγόν, ἀληθείας δεικνὺς χορηγὸν τῆς ἐνούσης αἰτίας ἀπολύει. Καὶ οὐδὲν μᾶλλον, ἀλλ' Ἵλεως εἴη Θεός! ἀνεύθυνον ἐπιδείκνυσιν ἑαυτὸν τῶν αἰτιαμάτων τῶν Ἰουδαϊκῶν, ἢ τὸν, δι' οὗ ταῦτα ἀποσκευάζεται, τῆς τοῦ ψεύδους, οὗ χορηγός ἐστιν, ἐνοχῆς. Ἆρα οὐκ εἰς καλὸν ὑμῖν ὁ τῆς ἀποστασίας ἔρως τελευτᾷ, ἀληθειας μὲν κηρύττειν τὸν Πατέρα τοῦ ψεύδους δημιουργὸν, ἐξ αὐτοῦ δὲ κατασκευάζειν τὴν ἐνυπόστατον ἀλήθειαν δανείζεσθαι τὸ ἀληθὲς, καὶ οἷς δανείζεται, ἵνα μὴ λέγω μείζοσι, ταῖς ἴσαις ὀφείλειν ἀντιδεξιοῦσθαι τιμαῖς.

B Κθ'. Φέθε δὴ καὶ διὰ τῶν παραβολῶν οὐκ ἐν παραβολαῖς, ἀλλ' ἐμφανῶς ἴδωμεν τὸ δόγμα καταλυόμενον τῶν ἀσεβῶν. Ὅτι μὲν γὰρ καταγέγονεν ὁ Σωτὴρ ζητῆσαι καὶ σῶσαι τὸ ἀπολωλὸς, οὐδενὶ μέχρι νῦν εἰς δισταγμὸν περιέστηκεν· εἰ δὲ τὸ ὡς ἀληθῶς ἀπολωλὸς πρόβατον τῆς ἀπωλείας ἠθέλησεν ἀνασώσασθαι, καὶ εἰς ἑαυτὸν ἐπιστρέψαι, καὶ πρὸς σωτηρίαν ἀνακαλέσασθαι, οὐδὲν ἐργῶδες συνιδεῖν, ὡς ἀρχῆς τὸ ἀνθρώπινον σύγκριμα τῆς ἀγαθουργοῦ παλάμης ἔργον ἐκδιδάσκει ἡ παραβολή. Πάντως γὰρ τὸ ἀπολωλὸς πρόβατον τῆς μάνδρας πρότερον τῶν σεσωσμένων γεγονὸς, ὕστερον δὲ τῆς ἀγέλης ἀποσκιρτῆσαν (35) εἰς τὴν τῆς ἀπωλείας ἀπεπλανήθη ὁδόν· Τὸ μὲν γάρ ἀπ' ἀρχῆς δι' ἀπωλείας φυὲν οὐδ' ἔχει φύσιν πρὸς τὴν σωτηρίαν ἐπανελθεῖν, μᾶλλον δὲ οὐδ' ὅλως (36) ἐστὶν αὐτῷ τὸ ἐπανελθεῖν, οὐδὲ τὸ ἀνασωθῆναι. Ἀλλ' οὐδ' ἐπῆλθεν αὐτῷ τὸ ἀπολωλέναι, εἴπερ ἐκ χείρονος μὲν ἅμα τῷ φῦναι προῆλθεν C ἀρχῆς, οὐδέποτε δὲ τῆς ἀγαθότητος καὶ σωτηρίας ὤφθη μετασχών. Οὐ γὰρ τις γέγονεν οὐδαμῶς, ἢ πῶς ἂν ἐκεῖθεν ῥηθείη καταπεσὼν, καὶ ὁ σωτηρίας ἀμέτοχος προελθὼν, πῶς ἂν εἰς ἀπώλειαν κατενεχθείη, ἢ λέγοιτ' ἂν ἀπολωλώς. Ἀλλὰ μὴν καὶ ὁ φιλάνθρωπος ἡμῶν Δεσπότης, ὁ τῆς ἀληθείας διδάσκαλος καὶ χορηγὸς, τοῦ ἀπολωλότος μνήμην ποιούμενος πολλαχοῦ, οὐδαμοῦ συγκατεσκευασμένην αὐτῷ τὴν κακίαν ἢ τὴν ἀπώλειαν οὐμενοῦν οὐδὲ μέχρι ψιλῆς ἐπινοίας παραδηλοῖ· ἀεὶ δὲ ὡς ὕστερον τῆς τάξεως καὶ τῆς τῶν ἄλλων συναφείας τε καὶ συνδιατριβῆς ἀποῤῥαγὲν οὕτως ἀπενεχθῆναι πρὸς τὴν ἀπώλειαν παρέχει νοεῖν. Καὶ γὰρ φησιν, Τί ὑμῖν δοκεῖ, ἐὰν γένηταί τινι ἀνθρώπῳ ἑκατὸν πρό- D βατα. Ἰδοὺ τὰ ἑκατὸν πρόβατα πᾶσα ἡ ἀγέλη ἀνλανῆς· οὐδὲν αὐτῶν τέως οὔτε πεπλανημένον, οὔτε ἀπολωλός (37). Εἶτα κἂν πλανηθῇ ἓν ἐξ αὐτῶν, τῆς ἀγέλης τῶν σωζομένων διέστη, τῶν μὴ πεπλανημένων ἀπεπλανήθη, τῆς μάνδρας ἐξέβη. Διὸ καὶ θᾶττον αὐτὸ (38) ὁ φιλάνθρωπος ἐπιζητεῖ, καὶ τοῖς μὴ πεπλανημένοις ἀνευρὼν συγκαταλέγει (39), καὶ

[27] Matth. XVIII, 11. [28] Matth. XVIII, 12. [29] Luc XV, 4.

VARIÆ LECTIONES ET NOTÆ

(35) Ἀποσκιρτῆσαν. Ita scripsi pro ἀποσκιρτήσας, quod ms. exhibebat. Antecedens enim ἀπολωλὸς et γεγονὸς hanc formam requirit.

(36) Οὐδ' ὅλως. Sic scribendum pro οὐ δόλως, quod erat in ms.

(37) Ἀπολωλός. Hoc rationes grammaticæ postulant pro ἀπολωλὼς, quod in codice inveniebam.

(38) Αὐτό. Ita legendum pro αὐτῷ codicis ms. Refertur enim ad antecedens πρόβατον.

(39) Συγκαταλέγει. Hoc verbum requirit sensus pro συγκαταλήγει ms.

Digitized by Google Распознавание текста ABK/FR

χαίρει ἐπὶ τῇ ἀνευρέσει, καὶ τὰς φίλας δυνάμεις (40) συγχαίρειν παρασκευάζει, ὅτι τὸ ἀποπλανηθὲν τῆς τάξεως καὶ δόξης αὐτῶν, πάλιν εἰς τὴν αὐτῶν, ἐθεάσαντο ἐπαναδραμὸν εὐκλῆρίαν τε καὶ σωτηρίαν. Καὶ τῶν δέκα δὲ δραχμῶν ἡ παραβολὴ, ἐξ ὧν ἡ μία ἀπώλετο, τὴν αὐτὴν ἀναμφιβόλως παρίστησιν ἔννοιαν. Τότε γὰρ τὰς δέκα δραχμὰς τὸν αὐτὸν ἐντετυπωμένον φέρειν χαρακτῆρα καὶ τὴν ἴσην ροπὴν ἕλκειν, εἰ βούλει δὲ καὶ τὴν ὕλην μίαν πᾶσιν ὑποκεῖσθαι τῆς ἐμφύτου ἀγαθότητος καὶ σωτηρίας τὸ ἀπαράλλακτον πάντοθεν ἐκδιδάσκει. Καὶ εἰ μηδὲν τούτων παρείληπτο, ἀλλὰ τό γε ὑπὸ τὴν αὐτὴν κυριότητα πᾶσαν τελεῖν τὸ τῆς ἐξουσίας ἄτμητον καὶ ἀδιαίρετον ἀνακηρύττει, καὶ ἐξ ὧν ἐσώζοντο πᾶσαι, ὅτι τῆς ἀγαθουργοῦ μὲν δυνάμεως ἐτύγχανεν ἔργα. Τῷ δὲ τῆς αὐτεξουσιότητος ἀξιώματι οἱ μὲν ἐφ' ἧτε προήχθησαν ἀγαθότητι καὶ σωτηρίᾳ διέμειναν· ὁ δὲ παρακινηθεὶς ἐκεῖθεν ἐξετράπη πρὸς ἀπώλειαν. Καὶ γέγονε τὸ τῆς γνώμης αὐτοδέσποτον, ὥσπερ τοῖς, καθ ὃν ἔδει τρόπον, χρησαμένοις αὐτῷ, τῆς τε ἐνούσης σωτηρίας καὶ ἀγαθότητος φυλακτήριον, καὶ προσθήκη μείζονος τελειότητος (Τὸ γὰρ χωρὶς τῶν πράξεων θαυμαζόμενον, καὶ τὴν ἀπὸ τῶν ἔργων δόξαν προσλαβὸν, πολὺ θαυμασιώτερόν τε καὶ τιμιώτερον), οὕτω τοῖς παραχρησαμένοις τῷ χαρίσματι εἰς ἀπώλειάν τε καταπεσεῖν· τῆς ὁμοφυοῦς καλλονῆς προελήλυθε, καὶ τὴν ἐπὶ τὰ χείρω λαβεῖν ἀλλοίωσιν τῶν κρειττόνων ἀλλαξάμενοι, εἰ μή τις τῆς ἐπὶ φθόρον ἀγούσης μεταβολῆς μετὰ πολλῆς σπουδῆς ἀνασώσειε, προδεδώκασι τὴν φύσιν καταπεπῶσθαι τῷ παραπτώματι.

A citatem et salutem reverti viderunt. Et illa quoque de decem drachmis parabola, ex quibus una perdita erat, eamdem sine exceptione sententiam nobis commendat [30]. Quod enim decem illæ drachmæ eamdem sibi notam impressam habent, et ejusdem sunt valoris, imo etiam, si placet, ex eadem materia sunt compactæ, boni insiti incolumitatisque perpetuitatem undiquaque infert. Imo, si horum nihil inde relinqueretur, id certe evincitur, quod sub eodem Domino omni potestas indivisa et indivulsa contineatur : quoniam vero etiam omnes servatæ sunt, id indicio quidem est, omnes esse potentiæ beneficæ opera. Et nonnulli quidem libero suo arbitrio recte usi in ea, qua donati erant, bonitate et incolumitate permanserunt : qui vero inde B amotus est, in perniciem se ipse detrusit. Et quemadmodum liberum arbitrium, illis, qui eo recte utebantur, prosperitatis bonitatisque ipsis collatæ conservatorium erat, et majoris perfectionis accessio (quod enim etiam sine actionibus admirationi est, id, ubi gloria ex operibus accedit, multo magis miramur et magni facimus) : ita illis qui dono hoc abutebantur, occasio exstitit a nativa bonitate in perniciem incidendi, et mutationem in pejus admittendi, qui proinde, facta hac cum melioribus permutatione, nisi quis ex transversione hac, in exitium ducente, cum cura se receperit, produnt naturam suam lapsu isto absorptam fuisse.

C

ΚΘ'. Ἐπιστράφηθι δὴ καὶ πρὸς τοὺς ἐκ τοῦ αὐτοῦ πατρὸς δύο πεφυκότας παῖδας, ὧν ὁ νεώτερος τὸν πατρικὸν οὐκ ἐλάττω τοῦ πρεσβυτέρου λαβὼν κλῆρον, εἰς χώραν μὲν ἄπεισι μακρὰν, καὶ τὴν τοσαύτην οὐσίαν κατασπάσας (41) τε καὶ κατασπαταλήσας τῇ ἀποδημίᾳ, ἐπ' ἐνδείᾳ τῇ ἀνυπερβλήτῳ χοίρων τροφὴν προσεφέρετο τὰ κεράτια. Τίς οὐ τῇ πλάνῃ τῇ τοσαύτῃ σταλάξειε δάκρυον (42); Ὁ τηλικαύτης κύριος περιουσίας, μισθαρνίας ἔκδοτος, καὶ χοίρων τροφῇ τὴν ἀνάγκην κλέπτων τῆς φύσεως, εἶτα τοῖς πάθεσι καὶ τῷ λιμῷ μεταδιδαχθεὶς τὸ ὀλίσθημα, ἐπανέρχεται πρὸς τὸν πατέρα, καὶ συντριμμῷ καρδίας τὴν μετάνοιαν προχεάμενος, ὦ τῆς περὶ ἐμὲ πολλῆς τοῦ Πατρὸς καὶ Δεσπότου φιλανθρωπίας! πλείονες ἢ κατὰ συγγνώμην ἀξιοῦται δεξιώσεως. Ὁ γὰρ πατὴρ τὸν νεωτερισμὸν οὐκ ὀνειδίζει, οὐδὲ τὴν πλάνην αἰσχύναι προάγει· οὐδ' ὅτι τῆς λιμοῦ μᾶλλον ἢ τῆς γνώμης ἐστὶν ἡ ἐπιστροφή. Οὐδὲν τούτων

XXIX. At converte te nunc etiam ad duos filios ex eodem patre natos, quorum natu minor non minorem, quam major, sortem accipiens, in dissitas abit regiones, tantasque facultates dilapidans et profundens in itinere, tandem inopia immodica adductus, siliquis, porcorum cibo, usus est [31]. Quis non errorem hunc lacrymis prosequatur ? Qui tartarum opum dominus erat, is mercenaria opera functus, porcorumque escam ad sublevandas naturæ necessitates suffuratus, postea malis his ipsaque fame meliora edoctus, revertitur ad patrem, et ex contrito corde pœnitentiam testatus, o magnam patris et domini humanitatem ! majori, quam impetrata venia sperare jubebat, receptione dignus habetur. Pater enim juvenilem culpam non perstringit, nec errorem pudori exponit, neque conversionem illam fami potius quam animi proposito acceptam fert : nullum horum in delinquentem D

[30] Luc. xv, 8. [31] Luc. xv, 11.

VARIÆ LECTIONES ET NOTÆ.

(40) Δυνάμεις. De angelis interpretor, quos in applicatione parabolæ commemorat Servator Luc. xv, 10. Et sane scriptores ecclesiastici sæpe voci isti hunc significatum subjiciunt. Chrysostomus, hom. 6. in Epist. ad Hebræos, λειτουργικὰς δυνάμεις vocat : quas Apostolus, Hebr. I, 14, λειτουργικὰ πνεύματα appellat. Confer Suiceri *Thesaurum ecclesiasticum* tom. I, p. 969 ; et Henric. Valesium, ad Eusebium, p. 282 b, ubi ostendit Græcos τὰ δαιμόνια appellare δυνάμεις, Latinos autem *potestates*.

(41) Κατασπάσας. Hoc rescripsi pro κατασπασθήσας ms. Græci enim κατασπᾶν dicunt eos qui bona sua abliguriunt. Testem habemus scholiastem Aristophanis ad *Equites*.

(42) Δάκρυον. Fortasse legendum δακρύων.

Digitized by Google Распознавание текста ABK/FR

conjicit. Noverat enim, eum qui reversus erat, suam esse progeniem (quamvis per alienum semen adulteratus esset) ; noverat a se ex amore esse productum, non autem aliunde recens satum. Itaque nihil horum quo contristari is poterat, afferebat ; neque diuturnis filii ærumnis adjiciebat quidquam. Utinam ut erroris tui, ita et conversionis, ac receptionis, in gratiam factæ, fructum percipiam ! Scilicet humanissimus et optimus pater eum eminus adhuc et sola pœnitentia ad se adventantem, nullum vero fructum huc dum ferentem, conspicatus, ne ferebat quidem istos pœnitentiæ labores, sed videns ipsum adeo squalidum, et sola pœnitentia se respicientem, misericordia permotus est, ut currens collumque ejus amplexatus eum deoscularetur. Quid vero filius ? quis eos quibus distrahebatur, affectus enumeraverit ? Aderant pudor, tristitia, metus, angustia animi, timiditas, spes in solo desiderio fluctuans, memoria rerum superiorum, recordatio infandorum, cogitatio futurorum. Et illis tamen omnibus per pœnitentiam superior est. Ait enim : *Pater, peccavi in cœlum et coram te, neque dignus amplius sum, qui vocer filius tuus* [33]. Atque ista confessio verbis facta, ab animæ habitu non discrepans, facit ut pater ipsum veste præcipua induat, annulo manus suæ actiones obsignet, pedesque calceamentis, ne a serpente calces lædi possent, muniat. Postea et vitulum saginatum mactat, magnoque cum splendore et sumptu convivatur cum filio, a mortuis reverso, et post longam illam jacturam iterum reperto. Vides, quomodo parobola hæc in ænigmate omnium et exquisitissimo et luculentissimo tradat ista : a bono et Conditore et Creatore natum et ortum esse et prodigum illum filium, et alterum illum ejusdem ortus, ac tum ætate tum factis ipso majorem, qui et in patria domo permanserit, et pristinum decus ac facultates suas cum ætatis prærogativa retinuerit : non autem majorem illum natu ex alia, minorem vero itidem ex alia stirpe aut generatione derivat, sed utrumque ab iisdem originibus et productione et educatione deducit. Simul vero et hoc considerare fas est, quod, si quis filios in parabola illa memoratos humanam naturam indicare censeat, et per majorem natu illos, qui gratiam pristinam conservarint, nec donum illud intemperantia sua corruperint ; per juniorem vero eos, qui mala præ bonis elegerint, et facultates suas luxuria dissiparint ; sive illum quidem angelorum, hunc vero hominum repræsentare hinc statum, hinc mutationem, censeat ; sive denique placeat (licebit enim quidquid libuerit) per eos intelligere illos, quorum alii sub lege alii sub gratia sint ; certe utraque hæc meditatio clare et sine exceptione de-

[33] Luc. xv, 21.

εἰς τὸν ἐξημαρτηκοτα ἀποῤῥίπτει· ἤδει γὰρ αὐτοῦ γέννημα εἶναι τὸν προσελθόντα, κἂν ἀλλοτρίαις ἐπισποραῖς ἐνοθεύετο, καὶ τῆς αὐτοῦ φιλανθρώπου προαγωγῆς, ἀλλ' οὐχ ἑτέρας ποθὲν νεωτεριζούσης καταβολῆς. Μηδενὶ (43) δὲ τῶν λυπούντων προδιαθέμενος, μηδ' ἐπιβαλὼν ἄλγημα τοῖς πολυχρονίοις τοῦ παιδὸς ἀλγήμασιν. Ἀ'θ' ὥσπερ σου τῆς πλάνης, οὕτω καὶ τῆς ἐπιστροφῆς καὶ τῆς ἀποδοχῆς κοινώνήσαιμι ! Ἀλλ' οὖν ὁ φιλάνθρωπος καὶ ἀγαθὸς πατὴρ ἔτι πόῤῥω καὶ διᾶ μόνης τῆς μετανοίας ὁρῶν προσερχόμενον, καρπὸν δὲ οὐδ' ὁντιναοῦν προβαλλόμενον, οὐκ ἀνέμεινε καὶ τοὺς ἐπὶ τῇ μετανοίᾳ πόνους, ἀλλ' ἰδὼν αὐτὸν οὕτω κατηφῆ, καὶ τῇ μετανοίᾳ μόνῃ ἀποβλέποντα ἐσπλαγχνίσθη· καὶ δραμὼν ἐπέπεσεν ἐπὶ τὸν τράχηλον αὐτοῦ, καὶ κατεφίλησεν αὐτόν. Τί δὲ υἱός ; τίς ἂν, ἃ τότε διεμέριζεν αὐτὸν, ἀναριθμήσαι πάθη ; αἰσχύνη, λύπη, φόβος, δειλία, κατήφεια, ἐλπίδες, μόνῳ τῷ θέλειν σαλεύουσαι, ἀνάμνησις τῶν ἀρχαίων, μνήμη τῶν ὑπερορίων, λογισμὸς τῶν μελλόντων. Ὁ δὲ κρατεῖ τῇ μετανοίᾳ πάντων. Καί φησι· Πάτερ, ἥμαρτον εἰς τὸν οὐρανὸν καὶ ἐνώπιόν σου, καὶ οὐκέτι εἰμὶ ἄξιος κληθῆναι υἱός σου. Καὶ ἡ τῶν ῥημάτων ἐξομολόγησις τῆς ψυχῆς οὐ ψευδομένη τὴν διάθεσιν, παραυτίκα μὲν αὐτὸν τὴν στολὴν ἐνδύει τὴν πρώτην. Καὶ δακτυλίῳ τῆς χειρὸς τὰς πράξεις σφραγίζει, καὶ ὑποδήμασι τοὺς πόδας, μηκέτι δάκνειν τὸν ὄφιν τὴν πτέρναν, ἀσφαλίζεται. Εἶτα καὶ τὸν μόσχον θύει τὸν σιτευτὸν, καὶ εὐφραίνεται λαμπρῶς τε καὶ πολυτελῶς ὁ πατὴρ μετὰ τοῦ ἐκ νεκρῶν ἀναλύσαντος υἱοῦ καὶ ἀνευρεθέντος μετὰ τὴν μακρὰν ἐκείνην ἀπώλειαν. Ὁρᾷς ὅπως αἰνιγμάτων πάντων ἀκριβέστερόν τε καὶ σαφέστερον ἡ παραβολὴ παραδίδωσιν. Ἀγαθοῦ μὲν καὶ πλάστου καὶ πλάσματος προελθεῖν ὅς καὶ φῦναι τόν τε ἄσωτον υἱὸν καὶ τὸν ὁμοφυῆ καὶ πρεσβύτερον αὐτοῦ, καὶ χρόνῳ καὶ ἀνορθώμασιν, ὅς καὶ τῇ τοῦ πατρικοῦ οἰδιαίτῃ (44) διαμεμένηκέ τε, καὶ τὴν προτέραν δόξαν, καὶ οὐσίαν μετὰ τοῦ πρισβείου συνετήρησε, καὶ οὐχὶ τὸν μὲν πρεσβύτερον ἐξ ἄλλης, τὸν δὲ νεώτερον ἐξ ἀντικειμένης σποράς ἢ γενέσεως προάγει, ἀλλ' ἄμφω καταβολῆς τε τῆς αὐτῆς καὶ φύσεως καὶ προαγωγῆς καὶ διαίτης ἀναγράφει. Καὶ ἐπιθεωρεῖν πρόσήκει, ὡς εἴ τις τοὺς τῆς παραβολῆς υἱοὺς τὴν ἀνθρωπίνην δηλοῦν φύσιν ὑπολάβοι, καὶ διὰ μὲν τοῦ πρεσβυτέρου τοὺς, οἳ τὴν ἀπ' ἀρχῆς διεσώσαντο χάριν, καὶ τὸ δῶρον οὐχ ὕβρισαν ἀσωτίᾳ, διὰ δὲ τοῦ νεωτέρου τοὺς ἀνθελομένους τὰ φαῦλα πρὸ τῶν ἀμεινόνων, καὶ τὴν οὐσίαν εἰς ἀσωτίαν ἀμειψαμένους, εἴτε τὸν μὲν τὴν ἀγγελικὴν, τὸν δὲ τὴν ἀνθρωπίνην παραδειγματίζειν κατάστασιν καὶ λῆξιν. Εἰ βούλει δὲ (πῶς δ' ἂν σὺ βουλητῆς), τοὺς ὑπὸ τὸν νόμον τε καὶ ὑπὸ τὴν χάριν (45). οὐδὲν ἔλαττον δι' ἑκατέρας θεωρίας λαμπρῶς τε καὶ ἀναμ-

VARIÆ LECTIONES ET NOTÆ.

(43) Μηδενί. Malim legere μηδέν. Id enim sibi velle videtur Noster, quod nihil eorum in medium attulerit, quæ animum pœnitentis tristitia majore implere poterant.

(44) Οἰδιαίτῃ. Ita ms. Sensus vero per se ostendit legendum esse οἴκου διαιτῃ.

(45) Καὶ ὑπὸ τὴν χάριν. **Varias veterum hujus parabolæ expositiones memorat cl. Jo. d'Outrein. in Explicatione Belgica hujus et similium aliarum parabolarum, quæ prodiit Amstelod., 1692, 4.**

Digitized by Google Распознавание текста ABK/FR

φιβόλως ἐπιδείκνυται, ὡς ἐκ τῆς αὐτῆς ἐστι πατριᾶς καὶ ἀγαθότητος καὶ οὐσιώσεως, τότε τῶν ἀγγέλων καὶ τὸ τῶν ἀνθρώπων γένος, ὅ τε νόμος καὶ ἡ χάρις, καὶ ἡ τῶν ἀνθρώπων φύσις, κἂν ἡ μὲν τὸ ἔμφυτον συνδιασώσατο χάρισμα, ἡ δὲ τῆς δωρεᾶς τὴν ἀπώλειαν ἀντεσπάσατο. Καὶ τόγε τῆς παραβόλῆς χρησιμώτατόν τε καὶ θαυμασιώτατον, ὡς μιᾶς τινος τῶν τριῶν μοίρας κρατούσης οὐδὲν ἔλαττον, ἢ εἴπερ αἱ τρεῖς τὴν ἴσην ἐκληροῦντο νίκην, τῆς ἀποστάσίας τὸ φρόνημα καταβάλλεται.

Λ'. Καταβάλοιτο δ' ἂν ὁμοίως, καὶ οἷς τοὺς Γραμματεῖς καὶ Φαρισαίους τῶν Ἰουδαίων ἐταλάνιζεν ὁ Χριστὸς, ὅτι τῶν (46) μὲν δεδομένων αὐτοῖς ἠμέλουν νόμων, τὰς δὲ ἰδίας ἔμπροσθεν ἦγον. Οὐαὶ γὰρ, φησὶν, ὑμῖν, ὁδηγοὶ καὶ τυφλοὶ οἱ λέγοντες· Ὃς ἂν ὀμόσῃ ἐν τῷ ναῷ οὐδέν ἐστιν· ὃς δ' ἂν ὀμόσῃ ἐν τῷ χρυσῷ τοῦ ναοῦ, ὀφείλει, τουτέστιν ὑπεύθυνός ἐστι δίκης, ὡς παραβάτης ὅρκου. Εἶτά ὁρᾶτε τὸ μέγεθος ὑμῶν τῆς πλάνης, κἂν νῦν, εἰ μὴ πρότερον. Ἐπάγει γὰρ ταῖς προλαβούσαις ἐπιτιμήσεσι καὶ ταῦτα· Μωροὶ καὶ τυφλοὶ, τίς μείζων ἐστὶν, ὁ χρυσὸς, ἢ ὁ ναὸς ἁγιάζων τὸν χρυσόν; Οὐχ ἅγιον μόνον τὸν νομικὸν ναὸν, ἀλλὰ καὶ τὴν γῆν ἁγιότητος καὶ γινώσκων καί ἀποκαλῶν. Ἀλλ' ὁ μὲν Σωτὴρ τοιαύτην ἀφῆκε ψῆφον περὶ τοῦ ναοῦ· ὑμεῖς δ' αὐτὸν οὐ φρίττετε καθυβρίζειν τὴν ἐσχάτην ὕβριν, πολεμίᾳ προσκατιθέντες χειρί. Καὶ τίσιν ἂν μᾶλλον τὸ, μωροὶ καὶ τυφλοὶ, ἐφαρμόσειε, τοῖς τετιμηκόσι μὲν ὡς ἁγίους ἄμφω, προτετιμηκόσι δὲ τὸν χρυσὸν, ἢ τοῖς καὶ τὸν ναὸν αὐτὸν καὶ πάντα τὰ ἐν αὐτῷ τῇ βλασφήμῳ διασπῶσι γλώττῃ, καὶ μὴ πεφρικόσι ἀῤῥήτοις ὕβρεσι καταπλύνειν, καὶ διωθουμένοις τῆς ἀγαθουργοῦ προνοίας εἰς τὴν ἀνυπόστατον τῆς τυραννίδος ἐπίνοιαν. Εἶτα· Καὶ ὃς (47) δ' ἂν ὀμόσῃ ἐν τῷ θυσιαστηρίῳ, οὐδέν ἐστιν· ὃς δ' ἂν ὀμόσῃ ἐν τῷ δώρῳ τῷ ἐπάνω τοῦ θυσιαστηρίου, ὀφείλει. Καὶ ταῖς ἴσαις παροινίαις ἴση πάλιν καὶ ἡ παρατίμησις. Μωροὶ καὶ τυφλοί! τί γὰρ μεῖζον, τὸ δῶρον, ἢ τὸ θυσιαστήριον τὸ ἁγιάζον τὸ δῶρον; Οὐ τὸν ναὸν μόνον, ἀλλὰ καὶ τὸ θυσιαστήριον πηγάζειν λέγων ὁ Σωτὴρ τῆς ἁγιότητος, καὶ ἅγια μὲν ἅπαντα τὰ τοῦ Ἱεροῦ· μετοχῇ δὲ καὶ μεταδόσει τὰ μὲν τῶν ἁγίων τὴν πρώτην εἰς τιμὴν ἐκληρώσατο τάξιν, τὰ δὲ δευτερεύει. Καὶ τοὺς Ἰουδαίους οὐχ ὅτι πεπαρῳνήκασιν (48) ἐν αὐτοῖς, ἀλλ' ὅτι τὴν τάξιν τετολμήκασιν ἀμεῖψαι, τὸ τοῦ κόσμου φῶς, ἡ ἀνυπόστατος τοῦ Θεοῦ σοφία, τυφλοὺς καὶ μωροὺς καταδικάζει. Καὶ ὁ μὲν τὸν Πατέρα καλῶς εἰδὼς, Οὐδεὶς γὰρ οἶδε τὸν Πατέρα, εἰ μὴ ὁ Υἱὸς καὶ ᾧ ἐὰν ὁ Υἱὸς ἀποκαλύψῃ· οὗτος τὴν χάριν ἡμῖν τῷ πατρικῷ ναῷ καὶ τῷ θυσιαστηρίῳ παραγυμνῶν, αὐτὰ καὶ μεταδιδόναι τῶν ἁγιασμῶν ἐκδιδάσκει. Σὺ δὲ, ὦ! τί σε ἄν τις εἰκὼν ἀξίως προσείποι; τὸ γὰρ ἀνυπέρβλητον τῆς

A monstrat, quod ab eodem Patre et bono et Ente proficiscantur et angelorum et hominum genus, lex item et gratia, et hominum natura, sive illa insitum bonum conservarit, sive pro dono gratiæ exitium receperit. Quodque in hac parabola et utilissimum et præcipuum est, quod scilicet una potestas tribus illis dominetur, id non minus, ac si tres illæ æqualem victoriam retulissent, apostatarum sententiam prosternit.

XXX. Prosternetur vero ea similiter per ista, quibus Christus Scribas et Pharisæos Judæorum miseros proclamavit, quis leges ipsis datas negligentes ratiocinia sua potiora ducebant: *Væ* enim, inquit, *vobis, duces et cæci, qui dicitis: Quicunque juraverit per templum, nihil est; qui vero juraverit per aurum templi, debet*[33]. Hoc est, crimini est obnoxius tanquam transgressor juramenti. Deinde, videte magnitudinem erroris vestri vel nunc, si minus antea. Addit enim præcedentibus objurgationibus et ista: *Stulti et cæci, quid majus est, aurumne an templum, quod sanctificat aurum*[34]? ubi non solum templum sub lege structum sanctum, sed et terram sanctitatis plenam agnoscit et appellat. Sed hanc quidem sententiam de templo Servator fert. Vos vero non veremini maxima illud ignominia afficere, hostili manu acceptum ferentes? Et ad quos magis voces illas, *stulti et cæci*, referat ad eosne qui utrumque ut sanctum colunt, aurum vero præferunt; an ad illos, qui et templum ipsum, et omnia quæ in eo erant, lingua maledica proscindunt, nec infandis conviciis temerare horrent, ac a providentia beneficia ad vanos tyrannidis conceptus propellunt? Pergit Dominus: *Et qui juraverit per altare, nihil est: qui vero juraverit per donum quod est super altari, debet*[35]. Simili huic insolentiæ similis impingitur objurgatio. *Stulti et cæci! quid enim majus est, donum an altare quod sanctificat donum*[36]. Ibi Servator non templum solum, sed et altare fontem esse ait sanctitatis. Et sancta quidem erant omnia quæ in templo erant: in communicanda vero et distribuenda sanctitate alia quidem primum locum sortita erant, alia secundum. Et Judæos quidem, non quod contumeliosos se in ea præstiterant, sed quod ordinem immutaro ausi erant, lux mundi, substantialis Dei sapientia, cæcos et stultos appellat. Et qui Patrem bene norat: *Nemo enim Patrem novit nisi Filius, et cui Filius revelaverit*[37]; hic gratiam nobis Patris per templum et altare explicaturus, docet, illa alias quoque res sanctitatis participes reddere. Tu vero, at quo nomine te digne satis quisquam exceperit, cum insuperabilis audacia te longe ultra stultum et cæcum evehat! Non vereris res sanctas primo

B C D

[33] Matth. xxiii, 16. [34] ibid. 7. [35] ibid. 18. [36] ibid. 19. [37] Matth. xi, 27.

VARIÆ LECTIONES ET NOTÆ.

(46) Τῶν. Sic scripsi pro ὧν, quod erat in ms.

(47) Ὃς. Reposui hoc pro ὡς, quod mendose erat in ms.

(48) Πεπαρῳνήκασιν. Ita scribere debebat librarius, pro eo quod mendose exaravit πεπαρῳνύκασι.

Digitized by Google Распознавание текста ABK/FR

omnis abominationis auctori acceptas ferre? Atque ille quidem tanto honore et gloria sacra legalia cingit, et Judæos, eo quod, quamvis ea colerent, digno tamen cultu non prosequerentur, tantis comminationibus et pœnæ obnoxios facit, ita quidem, ut illæ non tam ipsis quam tibi immittantur: tu autem ne sic quidem sentire vis, quanta sit tua calumnia. Et substantialis quidem Dei sapientia Scribis et Pharisæis *Væ* occlamat, quod non per omnia legi debitum cultum præstiterint, sed in levioribus quidem legem observarint, in gravioribus autem neglexerint. Tu vero, qui contra omnes et leges et sacra linguam acuis, imo et eos qui secundum legem versati sunt, in extremam impietatem pertrahis, non existimas pœnas multiplices te manere? Namque Servator: *Væ vobis*, ait, *o Scribæ et Pharisæi hypocritæ, quia decimatis mentham et cyminum et deseruistis graviora legis, judicium et misericordiam, et fidem* [38]. At secundum apostatarum sermones non ideo, quod neglexerant præcepta legis, sed quod eorum observationem sectati erant, ad pœnas vocari debuissent. Quæ enim bono non placent, eorum ut praxis ud examen et pœnas vocat facinorosos; ita aversatio extra omne crimen collocat. Sed Servator noster ut Veteris, ita et Novi Testamenti dominus et auctor exsistens, contra recentem illam impietatem magis, quam contra Judaicam negligentiam, sententiam dicit. *Hæc enim*, inquit, *decebat facere, et illa non omittere* [39], legem veterem hoc modo per novam graviter et summa cum auctoritate stabiliens. Si igitur ab iis ideo, quod dimidiam legum partem neglexerant, tantam pœnam justus judex exigit, quantam vos dare debebitis, tam impudenter non ex negligentia, sed ex odio injuriam tantam in omnes leges effundentes? Et si illos, qui prophetarum sepulcra ædificabant, et justorum monumenta ornabant, pietatisque speciem ex parte assumebant, ex propheticidis quippe orti, non judicavit a culpa immunes, sed quia mentem a sanguinario patrum ingenio non diversam circumferebant, inevitabilibus suppliciis subjecit, quæ tandem pœna invenietur, quæ non longe subsidat infra scelus vestrum, qui contra prophetas magis, quam illi, cædes spiratis, et non solum ad structuram sepulcrorum monumentorumque vos convertitis, sed implacabilem contra eos etiam post mortem inimicitiam et injuriam nunquam superandam exercetis? Quod si vero mali principii cultores fuissent prophetæ divini, non solum non decebat maledictioni subjicere vel occisores eorum, vel occisorum posteros, eosque ad pœnam rapere, sed potius eximiis mactare honoribus. At enimvero bonus hominumque amans Servator noster, suorumque ultor servorum, non solum in primos cædis

A τόλμης πορρώτερω σε καὶ μωροῦ καὶ τυφλοῦ παραπέμπει, οὐ φρίττεις τῷ ἀρχεκάκῳ βδελύγματι τὰ ἅγια ἀναφέρειν; καὶ ὁ μὲν τοσαύτῃ τιμῇ καὶ δόξῃ περιτειχίζει τὰ νομικὰ ἱερά, καὶ τοὺς Ἰουδαίους, ὅτι τιμῶντες μὴ κατὰ τὸ προσῆκον ἐτίμων, τηλικαύτης ἀρᾶς καὶ δίκης ἐνόχους ποιεῖ, οὐ κατ' ἐκείνων μᾶλλον ἢ κατὰ σοῦ ταύτας ἀφιείς. Σὺ δὲ τοῦ μεγέθους τῆς σῆς βλασφημίας οὐδ' οὕτως αἴσθησιν βούλει λαβεῖν. Καὶ ἡ μὲν αὐθυπόστατος τοῦ Θεοῦ σοφία τοὺς Γραμματεῖς καὶ Φαρισαίους ἔτι καθυποβάλλει τῷ οὐαὶ, ὅτι μὴ διὰ πάντων τῷ νόμῳ τὸ σεβάσμιον ἔνεμον, ἀλλ' ἐν μὲν τοῖς μικροτέροις ἐνομοφυλάκουν, ἐν δὲ τοῖς μείζοσι παρηνόμουν. Σὺ δὲ κατὰ πάντων τὴν γλῶσσαν ὀξύνων καὶ νόμων καὶ ἱερῶν, ἀλλὰ καὶ τοὺς, ὅσοι ποτὲ κατὰ τόν νόμον ἐπολιτεύοντο εἰς ἐσχάτην ἀσέβειαν B ἕλκων, οὐκ οἶει πολυπλασίους τὰς ποινὰς ὑφέξειν; Καὶ γὰρ ὁ Σωτὴρ, Οὐαὶ ὑμῖν, ἐπιφέρει, Γραμματεῖς καὶ Φαρισαῖοι ὑποκριταὶ, ὅτι ἀποδεκατοῦτε τὸ ἡδύοσμον καὶ τὸ ἄνηθον, καὶ τὸ κύμινον, καὶ ἀφήκατε τὰ βαρύτερα τοῦ νόμου, τὴν κρίσιν καὶ τὸ ἔλεος, καὶ τὴν πίστιν. Καίτοιγε κατὰ τὸν τῆς ἀποστασίας λόγον οὐκ ἐφ' οἷς παρεώρουν τὰ τοῦ νόμου, ἀλλ' ἐν οἷς ἕστεργον τὰς εἰσπράξεις, ἔδει τούτους ἀπαιτεῖσθαι. Ἃ γὰρ οὐκ ἔστι τῷ Ἀγαθῷ ἀρεστὰ, τούτων ὥσπερ ἡ πρᾶξις ἐν εὐθύναις τοὺς ἑλομένους ἀπάγει (49), οὕτως ἡ φυγὴ πάσης ἀνωτέρω τίθησιν αἰτίας. Ἀλλ' ὁ Σωτὴρ ἡμῶν, ὁ τῆς Παλαιᾶς ὥσπερ καὶ τῆς Καινῆς κύριος ὑπάρχων καὶ δεσπότης, κατὰ τῆς νεωτεριζούσης ἀσεβείας μᾶλλον ἢ τῆς Ἰουδαϊκῆς ὀλιγωρίας τὴν ψῆφον ἐκφέρει· Ταῦτα C γὰρ ἔδει, φησὶ, ποιῆσαι, κἀκεῖνα μὴ ἀφιέναι, νόμῳ τὸν νόμον τὸν παλαιὸν τῷ νέῳ σφόδρα καὶ μετὰ πολλῆς ἀσφαλισάμενος τῆς κυριότητος. Εἰ οὖν παρ' ἐκείνων, ὅτι τὰ ἡμίσυ παρεώρων τῶν νομίμων, τηλικαύτην δίκην ὁ δίκαιος κριτὴς λαμβάνει, ὑμῖν τίς ἂν ἐξαρκέσῃ δοῦναι καὶ ταῦτα οὕτως ἀνέδην οὐκ ἐξ ὀλιγωρίας, ἀλλ' ἐξ ἀπεχθείας, θεομάχον τηλικαύτην ὕβριν κατὰ πάντων ἀπορρίπτουσιν; Καὶ εἰ ἐκείνους τοὺς τῶν προφητῶν οἰκοδομοῦντας τάφους, καὶ τὰ τῶν δικαίων μνημεῖα κοσμοῦντας, καὶ μέρει τινὶ τὸ τῆς εὐλαβείας σχῆμα περιβαλλομένους, τῆς προφητοκτόνου σπορᾶς ἀνευθύνους οὐκ ἀφῆσιν, ἀλλ' ὅτι τὰς γνώμας πρὸς τὴν πατρῴαν μιαιφονίαν οὐδὲν D ἐχούσας εὐλαβέστερον ἔφερον, καὶ τιμωρίαις ἀπαρακλήτοις ὑποβάλλει, ὑμᾶς κατὰ τῶν προφητῶν πολὺ πλέον ἐκείνων μιαιφονοῦντας, καὶ οὐ μόνον πρὸς οἰκοδομὴν τάφων καὶ μνημείων ἐπιστροφὴν τινα δεχομένους, ἀλλ' ἄσπονδον τὴν κατ' αὐτῶν ἔχθραν καὶ μετὰ θάνατον, καὶ τὴν ἀνυπέρβλητον κρατύνοντας ὕβριν, τίς ἂν τιμωρία τὴν δίκην εὕρεθείη μὴ πολὺ ἐλάττω τοῦ τολμήματος ἀπαιτοῦσα· Καίπερ εἰ τῆς κακεργέτιδος ἦσαν οἱ θεοφόροι προφῆται θεραπευταὶ, οὐ μένον οὐκ ἐχρῆν ἀραῖς ὑποβάλλεσθαι οὔτε τοὺς ἀνελόντας αὐτοὺς, οὔτε μὲν τοὺς

[38] Matth. XXIII, 23. [39] ibid. 24.

VARIÆ LECTIONES ET NOTÆ.

(49) Ἀπάγει. Ita scripsi pro ὑπάγει, quod ms. mendose præferebat. Hoc enim verbum cum sequente ἑλομένους conjungi nequit.

Digitized by Google Распознавание текста ABK/FR

ἐκ τῶν προφητοκτόνων φύντας, οὐδ' εἰς ποινὰς ἄγειν, ἀλλὰ ταῖς πρώταις δεξιοῦσθαι τιμαῖς· Ὁ δὲ ἀγαθὸς καὶ φιλάνθρωπος ἡμῶν Σωτὴρ, καὶ τῶν αὐτοῦ θεραπόντων ἐκδικητὴς οὐκ εἰς τοὺς αὐτουργοὺς μόνον τῶν μιαιφόνων καὶ τὰς τῆς μιαιφονίας εὐθύνας περιγράφει, ἀλλὰ καὶ τοὺς ἐκείνων παῖδας ὄφεις καὶ γεννήματα ἐχιδνῶν ἀποφαίνων ἄφυκτον αὐτοῖς ἀναμένειν τὴν γέενναν τοῦ πυρὸς προαγγέλλει. Συνέχων δ' ἔτι μᾶλλον τὰ νέα τοῖς παλαιοῖς καὶ τὰ παλαιὰ συνάπτων τοῖς νέοις, καὶ τὸ ἐν ἀμφοῖν πλημμέλημα δι' ἴσου δεικνὺς εἰς καταδίκην ἄγον, δι' ἧς καὶ τὰ τῆς τιμῆς, αὐτοῖς συνεισάγεται τῆς ἴσης καὶ ὁμοίας κληρουχίας μετεσχηκότα· Διὰ τοῦτο ἐγὼ, φησὶν, ἀποστελῶ πρὸς ὑμᾶς προφήτας καὶ σοφοὺς καὶ γραμματεῖς, καὶ ἐξ αὐτῶν μαστιγώσετε ἐν ταῖς συναγωγαῖς ὑμῶν, καὶ διώξετε ἀπὸ πόλεως εἰς πόλιν. Πρόσχες· Ὅπως ἂν ἔλθῃ ἐφ' ὑμᾶς, πᾶν αἷμα δίκαιον ἐκχυνόμενον ἐπὶ τῆς γῆς, ἀπὸ τοῦ αἵματος Ἄβελ τοῦ δικαίου ἕως τοῦ αἵματος Ζαχαρίου υἱοῦ Βαραχίου, ὃν ἐφονεύσασε μεταξὺ τοῦ ναοῦ καὶ [τοῦ θυσιαστηρίου. Ὁρᾷς, ὅπως τῆς αὐτῆς ἐνόχους καὶ μιαιφονίας καὶ τιμωρίας ἀποφαίνει, ὅσοι τε τὰς παλαμναίους καὶ χεῖρας κατὰ τῶν πρὸ τῆς χάριτος Θεῷ εὐαρεστησάντων ἐπανετείναντο, καὶ ὅσοι κατ' ἐκείνων, ὧν ἡ χάρις τὸ πολίτευμα, καὶ οὓς αὐτὸς εἰς τὰς τῶν Ἰουδαίων συναγωγὰς καὶ πόλεις τὴν βασιλείαν αὐτοῦ κηρύσσειν ἀπέστειλε, τὴν αἱμοβόρον λύσσαν ἐναπεχέαντο. Οὕτως τὴν χάριν καὶ τὰ πρὸ τῆς χάριτος τιμῶν τε καὶ ἀποδεχόμενος ὁ ἑκατέρας καὶ δημιουργὸς καὶ νομοθέτης καὶ διὰ πάντων τὴν αὐτῶν παριστῶν συμφωνίαν, μετέχειν τε δεικνὺς ὁμοτίμου σεβασμιότητος, πανταχόθεν τῆς ἀσεβίας ἅπασαν πρόφασιν προεκτέμνει.

A auctores homicidii pœnas transfert, sed et progeniem eorum serpentes et serpentum fetus appellans, inevitabilem ignis gehennam eos manere prænuntiat. Adhuc vero magis nova cum veteribus conjungens, et vetera novis adaptans, atque id, quod utrinque peccatur, æqualem pœnam promereri ostensurus, quo ipso simul subinnuitur, utrisque eumdem cultum eumdemque dignitatis locum adjudicatum esse: *Propterea ego*, inquit, *mittam ad vos prophetas et sapientes, et scribas, et ex illis nonnullos cædetis in synagogis vestris, et persequemini ex una urbe in aliam*[40]; attende nunc! *Ut veniat super vos omnis sanguis justus, qui effusus est super terram inde a sanguine Abelis justi usque ad sanguinem Zachariæ, filii Barachiæ, quem occidistis intra templum et altare*[41]. Videsne, quomodo eidem et cædi et pœnæ obnoxios pronuntiet, tum eos, qui impias manus intulerunt iis qui ante gratiæ tempus Deo placuerunt, tum illos qui in homines sub gratia viventes eosque omnes, quos ipse regnum suum annuntiaturos in urbes et synagogas miserat, sanguinarium furorem effuderunt. Ita et tempus gratiæ, et ea quæ illud antecesserunt, æstimans et magni faciens Jesus, utriusque auctor et conditor, et ubique utriusque consensionem stabiliens, ac eodem cultu prosequenda ostendens, omnem impietatis prætextum præscindit.

ΚΑ'. Ἔδει δ' οὖν τοὺς ἀποστάτας, εἰ καὶ μὴ τὴν μίαν ἀρχὴν εἰς δύο διχάζοντας, μηδ', ἐπειδὰν τὰ τοῦ νόμου διαγελῶσι μυστήρια (καίτοι πῶς ἀνειμένος εἶπον μηδ' ἡνίκα τὴν κτίσιν συλᾷν ἐπιχειροῦντες τοῦ κτίστου, κακοὶ κακὸν κακίστῳ δῶρον προσφέρωσιν;)· ἔδει γοῦν αὐτοὺς εἰ καὶ μὴ ἐπ' οὐδενὶ τούτων, μηδ' ἐφ' ᾧ τοῦ προφήτου ὑβρίζουσι, καίτοι τηλικούτων τὴν ἀτοπίαν ὄντων, ἀλλ' οὖν, ἐπειδάν γε τὸ ἑαυτῶν σῶμα πονηρὸν καὶ πονηρᾶς πλάσεως λέγωσιν, αὐτίκα καταδύεσθαι. Ἀλλὰ ποῦ γῆς; Ζητεῖν δὲ καὶ τῶν ὑποχθονίων εἶνι βαθύτερον, οὐχ ὅτι ἐκείνων πρὸς ἀθεότητα τοῦτο βαρύτερον, ἀλλ' ὅτι καὶ, δι' οὗ τὴν βλάσφημον φωνὴν ἀφιεῖσιν, ἐξ ἀθέου πλάσματος ὁμολογοῦντες λαμβάνειν τὸ ὄργανον, οὐκ αὐτίκα ῥίπτουσι πάντα, καὶ φεύγουσι τὴν ἀσέβειαν, ὀργάνῳ πονηρίας βοῶντες ὡς, ἐν οἷς ταῦτα φθέγγονται, κέχρηνται. Ἀλλ' ἔτι τολμῶσι πρὸς τὰ τῶν ἀνθρώπων βλέπειν πρόσωπα. Ἄνθρωπε, τί λέγεις; Δύο ἀρχαί; ἀλλὰ διὰ τοῦ πονηροῦ ταῦτα φθέγγῃ στόματος. Ὁ νόμος πολεμίας ἀρχῆς, καὶ μαχομένης τῇ χάριτι; ἀλλὰ καὶ τοῦτο τὸ τῆς πονηρίας ἀπήχησεν ὄργανον· οἱ προφῆται μοίρας χείρονος; ἐκ τοῦ αὐτοῦ αὐτοῦ τῆς κακίας σκεύους καὶ τοῦτο προχεῖται. Τὸ σώμα πονηρὸν καὶ πονηρᾶς δημιουργίας, καὶ τί μὴ σιγᾷς τὴν ἐσχάτην σιγήν; ἀλλ' ἔτι φθέγγῃ καὶ χαρίζῃ τῷ οὕτω σε πονηρῶς καὶ ἐβδελυγμένως ὑποστήσαντι, ὥστε μηδὲ φθέγγεσθαι δύνασθαι μηδὲν ὅλως σωτήριον, μηδὲ

XXXI. Decebat igitur apostatas, etiamsi unum principium in duo non distinguerent, hoc saltem nomine, quando legis mysteria rident (sed quomodo hæc facilior et remissior dico de hominibus, qui creaturam Conditori subripere ausi pessimi pessimo pessimum donum offerunt?); decebat, inquam, eos, si vel maxime nullo horum et ne eo quidem, quod prophetas calumniantur, crimine tenerentur, in omni ista sua insolentia, saltem hoc nomine, quod corpus suum malum et a mala manu profectum dicunt, confestim se præ pudore abscondere. At ubi terrarum? Imo vero subterranea, et si quid his profundius est, quærere loca debent, non quod hoc quod ad impietatem prioribus gravius sit, sed quod membrum illud, per quod voces blasphemas emittunt, ab impia origine se accepisse profitentes, non statim abjiciunt omnia et impietatem fugiunt, clamantes se, dum ista quidem loquerentur, malitiæ instrumento usos esse. Et vel sic tamen homines isti in aliorum conspectum venire audent? Quid ais, homo? Duone sunt principia? sed tu quidem ore impio ista profers. Lex, inquis, est a principio hostili, et gratiæ opposito, sed et hunc sonum malitiæ instrumentum edit; prophetæ malum agnoscunt auctorem? At ex eodem malitiæ vase et illud profluit. Corpus est malum et mali conditoris? Et qui non ad extremum te

[40] Matth. xxiii, 34. [41] Ibid. 35.

Digitized by Google Распознавание текста ABK/FR

silentium componis, sed pergis loqui et gratificari illi, qui adeo malum te et abominandum reddidit, ut nihil omnino sani proferre possis, quod a summa feritate et mendacio remotum sit ? Namque malitiæ thesaurus non potest nisi malitiam et errorem ut recipere, ita et proferre : quomodo enim lingua mendacis vera dixerit, aut quomodo malitia meditetur quidquam boni ? Mendacium veritatem dicere refugit. Et quomodo tu tibimet ipsi credis loquenti, cum mendacii sis instrumentum ? Si vero ego largiar et opiner te longe aliter sentire quam loqueris, multo te et sapientiorem et prudentiorem repræsentavero, quam si quis alius iis te vere delectari dicat, quæ proponis. Si enim hæc a malis instrumentis proficiscuntur, ac propterea mala aut falsa sunt, nonne, quippe in malis, levius peccatum est, ea quæ verbis contraria sunt, amplecti, quam cum lingua mentem quoque ipsam corrumpere. Quod si igitur ejusmodi homo de principiis loquitur, unum illum credere convenit ; si de lege gratiæ adversa, utriusque conversionem astruere censendus est ; si chorum prophetarum malum dixerit, nemo aliunde magis convincetur eum bonum esse. Si corpus ad malum referat, pro evidentissima demonstratione habe id manus esse beneficæ. Videte mihi insaniæ abyssum et impietatis magnitudinem, in iis hominibus qui nequidem in rebus imaginariis ratione certa uti possunt. Itaque nec incantando aures fascinare fas est, quia hoc ipso insanabili culpæ subjici eas merito quis affirmarit. Atqui, inquam ego, si quis salutaribus incantamentis aurem præbeat, initium faciet ad pristinam nobilitatem redeundi : sin minus, vel ex inde sententiam non revocandam ipse in se ipsum fert, quod pravam transformationem bonæ formationi omnino præfert, et mutationem in deterius, cum bonam decuisset, servat constanter. Non quippe incantatori potest vitio dare, quod silet, sed silentii causam sibi exprobrare omnem, culpæque omnis se reum facere debet, qui suam ipsius insaniam et cæcitatem pro silentii culpa nobis venditat. Propterea et reliqua his junge.

τῆς βαθείας μέθης καὶ ψευδολογίας ἐλεύθερον. Ὁ γὰρ πονηρίας θησαυρὸς οὐκ οἶδεν, ἀλλ' ἢ τὰ τῆς πονηρίας καὶ πλάνης ὥσπερ θησαυρίζειν, οὕτω δὴ καὶ προβάλλεσθαι· ἡ τοῦ ψευστου γλῶσσα πῶς ἂν ἀλήθειαν εἴποι ; ἡ πονηρία πῶς ἐννοήσοι τὴν ἀγαθότητα ; τὸ ψεῦδος λέγειν φεύγει τὴν ἀλήθειαν. Καὶ πῶς σὺ σαυτῷ πιστεύεις λέγοντι, τοῦ ψεύδους ὑπάρχων ἐργαστήριον. Ἐγὼ δὲ σε φρονεῖν τάναντία, ὧν λέγεις, ἐξιὼν, καὶ νομίζων, πολὺ σωφρονέστερον ἂν καὶ συνετώτερον εἰσάγω, ἢ εἴτις σε στέργειν, ἃ λέγεις, τίθησιν. Εἰ γὰρ ἐκ πονηρῶν ὀργάνων ταῦτα, καὶ διὰ τοῦτο πονηρὰ ἢ ψευδῆ, πῶς, ὡς ἐν κακοῖς, οὐ πολλῷ κουφότερον τὰ ἐναντιώτατα τῶν ῥημάτων πρεσθεύειν, ἢ τῇ γλώττῃ καὶ τὸν νοῦν συνδιαφθείρεσθαι. Διὸ (50) λέγει ἀρχάς· μίαν προσῆκε φρονεῖν. Πολέμιος ὁ νόμος τῇ χάριτι. τὴν συμφωνίαν κηρύττειν αὐτῶν· Τῶν προφητῶν φαῦλος ὁ χορός· καὶ πόθεν ἄν τις γνοίη μᾶλλον, ὅτι χρηστός. Το σῶμα πλάττει τοῦ πονηροῦ· ἀρκεῖ πρὸς τελευταίαν ἀπόδειξιν, ὅτι παλάμης ἐστὶ τῆς ἀγαθουργοῦ. Ὁρᾶτε τὸ τῆς ἀνοίας βάθος, τὸ μέγεθος τῆς ἀθεότητος, τῶν μὴ δυναμένων ἔχειν λογισμῶν οὐδ' ἐπὶ φαντασίαις πλαττομέναις ὑπόστασιν. Οὐκοῦν (51) οὐδ' ἐπᾴδειν ὅλως δεῖ ταῖς ἀκοαῖς, ὅτι τὸ αὐτὸ τῆς αἰτίας ἀνίατον εἶποι τις ἂν ταύτας ἐπινέμεται. Φαίην ἂν ἔγωγε· εἰ μὲν γὰρ τις τῶν σωτηρίων ἐπῳδῶν παραδέξοιτο, ἀρχὴν λαμβάνει πρὸς τὴν προτέραν ἐπαναδραμεῖν εὐγένειαν· εἰ δέ μὴ, καθ' ἑαυτοῦ γε, κάντεῦθεν τὴν ψῆφον αὐτὸς ἀφίησαν ἄφυκτον, πονηρὰν μετάπλασιν τῆς ἀγαθῆς πλάσεως καθόλου ἑαυτὸν ἀνθελόμενος, καὶ τὴν πρὸς τὰ χείρω μεταβολὴν (δέον τὸ ἀγαθὸν) συντηρήσας ἀμετάβλητον. Οὐκοῦν οὐ τὸν ἐπᾴδοντα σιγᾷν, ἀλλὰ σιγῆς ἑαυτὸν πάσας στηλιτευει καὶ διὰ πάντων ὑπεύθυνον, ὃς τὴν οἰκείαν ἐξ ἀπονοίας πώρωσιν σιγῆς ἡμῖν αἰτίαν ἐπέσειεν. Διὸ δὴ σύναψαι καὶ τὰ λείποντα.

XXXII. Servator noster hominum amantissimus et optimus, qui venit, ut peccata mundi tolleret, tum morbis aliis et ærumnis liberavit homines, tum multis peccatorum remissionem largitus est, factæque remissionis argumentum a sanatione corporis petiit et aliis proposuit. Jam vero si mali conditoris opus esset corpus, sicut homines blasphemi audacter tradunt, fieri certe non poterat, ut illud solius bonæ divinitatis beneficium, veniam nempe peccatorum, in fidem confirmationemque per pravitatem suam reciperet. Idem enim hoc est, ac si dicas malitiæ compagem fontem esse, ex quo bonitas scaturiat, siquidem remissio peccatorum ex sanatione corporum, quæ malitiæ sunt progenies, procederet. At enimvero Servator noster non

ΛΒ'. Ὁ φιλάνθρωπος ἡμῶν Σωτὴρ καὶ ὑπεράγαθος, ὁ τὰς ἁμαρτίας ἐπιδημήσας ἆραι τοῦ κόσμου, τῶν ἄλλων νοσημάτων καὶ παθῶν τὸ γένος ἐλευθερῶν, καὶ τὴν τῶν ἁμαρτημάτων πολλοῖς ἄφεσιν ἐχαρίζετο, καὶ τὴν ἀπόδειξιν τῆς ἀφέσεως ἀπὸ τοῦ σώματος θεραπείας ἐλάμβανέ τε καὶ παρείχετο. Καίπερ εἰ πονηρᾶς ἦν τὸ σῶμα διαπλάσεως, ὡς βλασφημία θρασύνεται, οὐκ ἂν εἴη δυνατὸν τὸ μόνης τῆς ἀγαθῆς θεότητος ἀγαθούργημα, τὴν τῶν πλημμελημάτων συγχώρησιν, τὸ πιστῶν καὶ βέβαιον διὰ τῆς κακίας ἐπιδέχεσθαι. Οὐδὲν γὰρ ἐστιν ἄλλο λέγειν, ἢ τὴν τῆς κακίας σύστασιν πηγάζειν τῆς ἀγαθότητος τὴν ἐνέργειαν, εἴπερ ἡ μὲν ἄφεσις τῶν ἁμαρτημάτων ἐκ τῆς τῶν σωμάτων θεραπείας προείη, τὰ δὲ τῆς κακίας ὑπάρχει γεννήματα. Ἀλλ' ὁ Σω-

VARIÆ LECTIONES ET NOTÆ.

(50) Διό. Fortasse legendum est δύο. Bina enim erant principia, quæ Pauliciani venditabant. Interim et particula διὸ locum tueri potest, quippe qua ad argumentationem opus esse videtur, præcipue, cum legendi constet, non plura quam duo principia istis hominibus recepta fuisse.

(51) Οὐκοῦν. Obscurior in his est Photius et subtilior. Mentem tamen ejus assecutum me esse spero.

Digitized by Google Распознавание текста ABK/FR

τὴρ οὐ μόνον λόγῳ τὰς τῶν σωμάτων θεραπείας ἐδράβευεν, ἀλλὰ καὶ χειρὶ, Πάλιν ἀλλαχοῦ κρατεῖ χειρὸς, ἧς μὴ πλάστης ἦν, καὶ τὸ κοράσιον ἐγείρει, καὶ τὸν υἱὸν ἀνίστα τῆς χήρας, καὶ καλῶς ἀποσκευασθὲν τῆς ψυχῆς σῶμα πάλιν ἐπαναστρέφει, καὶ συνάπτει ταύτῃ, ὃ καλὸν μὲν ἦν κατὰ τὴν θεομάχον γλῶτταν μηδ' ὅλως λαβεῖν, δεύτερον δὲ λαβοῦσαν θάττον ἀποθέσθαι, χείριστον δὲ καὶ μετὰ τὴν ἀπόθεσιν συναφθῆναι πάλιν. Καὶ ὁ τὸ κράτος ἐλθὼν καταλῦσαι τοῦ ἐχθροῦ, πάσῃ δυνάμει κρατύνειν αὐτοῦ τὰ ἔργα φιλονεικεῖ. Καὶ τί λέγω κρατύνειν ; μενοῦνγε τὴν τυραννίδα πολλάκις λυομένη, τοῦτο μὲν οἷς ὑπέκειτο τὰ ταύτης ἔργα παντοδαποῖς νοσήμασι δαπανώμενα, τοῦτο δὲ οἷς διεσπᾶτο τῷ θανάτῳ καὶ τῇ φθορᾷ παρεδίδοτο, αὐτὸς ὁ τῆς τυραννίδος καθαιρέτης παρ' ὅλον τῆς ἐπιδημίας αὐτοῦ τὸν καιρὸν, ἀνακαινίζων ταύτην ὤφθη τῆς φθορᾶς ἀνιστῶν, τῶν παθῶν ἀπαλλάττων, καὶ τοσαυτάκις, ὁσάκις νεκροὺς τε εἰς ἀναβίωσιν ἦγε καὶ τῶν σωμάτων τὰς νόσους ἀπῄλαυνε.

ΛΓ'. Καὶ τὸ ἔτι μάλιστα δυσανασχετούμενον, ὅτι περ ἐξ ἐκείνου μέχρι νῦν διά τε τῶν αὐτοῦ θεοφόρων μαθητῶν, καὶ ἃ τὴν ἐκείνων μετῆλθον διαδοχὴν, οὐ λήγει ταύτην διὰ τῶν ὁμοίων πράξεων συγκαταπράττων καὶ συγκατασκευαζόμενος. Ἆρα ἔστι τι τῆς τοιαύτης ἐμπληξίας, ἢ παρ' Ἕλλησιν ἢ παρὰ Βαρβάροις ἐμπληκτότερον ἢ ἀθεώτερόν τι λαβεῖν ; Ἐγὼ μὲν οὐχ ὁρῶ, οἶμαι δὲ οὐδ' ἄλλως ὁρᾷν οὐκ ἀνάξιος. Πυνθανομένοις μέν τοι τοῖς Φαρισαίοις εἰ ἔξεστιν ἀνθρώπῳ κατὰ πᾶσαν αἰτίαν ἀπολύειν τὴν γυναῖκα αὐτοῦ, ὅρα, πῶς οὐκ ἀλλαχόθεν, οὐδ' ἐκ τῆς ἰδίας ἐξουσίας καὶ τῶν τῆς χάριτος δογμάτων ὁ φιλάνθρωπος ἡμῶν Δεσπότης, ἀλλὰ δι' αὐτῆς τῆς ἀρχαιογονίας καὶ τὴν λύσιν αὐτῶν τῆς ἀπορίας καὶ τὴν ἐπιτίμησιν ἐπάγει. Οὐκ ἀνέγνωτε γὰρ, φησὶ ὅτι ὁ ποιήσας αὐτοὺς ἀπ' ἀρχῆς, ἄρσεν καὶ θῆλυ ἐποίησεν αὐτούς ; διδάσκων, μὴ δεῖν ῥᾳδίως διαλύεσθαι τὰ συνοικέσια μηδ' οὕτως προπετῶς, πρὸς ἃ συνωθεῖ τὸ τῆς ὁρμῆς ἀκόλαστον, καταφέρεσθαι. Καὶ ὅτι τὴν δημιουργίαν αὐτὴν διδάσκαλον ἔχοντες τοῦ μήτε (52) πλείοσι μιᾶς γυναιξὶ συνάπτεσθαι, μήτε διασπᾷν τὴν συνάφειαν, οὐκ ἠθέλησαν οὔτε τὴν ἐντολὴν ἐκ τοῦ Μωσαϊκοῦ διδασκαλείου μαθεῖν, οὔτε τὸ ἄπορον (53) ἐπιλυόμενον συνιδεῖν ; Ἀλλ' αὐτὸς ἐκεῖθεν πρὸς ἑκάτερον παραταξάμενος μόνον λοιπὸν ἴδιον τὸν παλαιὸν ποιεῖται, ἐαὶ δι' ἐκείνου πλέκει τὸν τῆς χάριτος. Ὁ γὰρ ἐκ μὴ ὄντων ἅπαντα παραγαγὼν, δι' ὧν εἰς ἄρσεν καὶ θῆλυ τὴν ἀνθρωπίνην φύσιν μορφώσας διήρθρωσε, καὶ εἰς ἓν ἀλλήλοις συνήρμοσεν, ἐκεῖνός ἐστι, φησὶν, ὁ καὶ τὰ σπέρματα τοῦ νόμου καταβαλὼν, ὅς μὴ δεῖν μοχθηρίᾳ γνώμης ἀπ' ἀλλήλων τοὺς στναφθέντας

[42] Matth. xix, 4.

solum verbis, sed et manu sua, sanationem corporum condecoravit. Alibi enim apprehendit manum, cujus tamen non erat conditor, et puellam excitat, et filium viduæ in vitam revocat, corpusque ab anima optimo consilio separatum, reducit, et cum eadem conjungit. Atque id tamen secundum impiam hominum illorum linguam ita comparatum ets, ut præstitisset nunquam illud accepisse, vel acceptum quam citissime deponere ; pessimum vero sit, depositum iterum junctum videre. Qui vero venit ad potentiam hostis frangendam, is pro viribus opera ejus stabilire annitur. Quid, inquam, stabilire ? imo vero destructor tyrannidis illius per totam suam vitam visus est ipsum hoc tyrannicum dominium, sæpius nunc quidem variis morbis, quibus opera ejus subjecta erant ; nunc autem morte et corruptione, cui morbis consumpta tradebantur, destructum iterum instaurare, modo ab interitu excitans, modo a malis liberans, idque toties, quoties mortuos in vitam revocavit, et morbos a corporibus propulsavit.

XXXIII. Et, quod adhuc minus ferri posse videtur, inde ab eo tempore usque ad præsens, non desistit tum per discipulos suos divino Spiritu actos, tum per eos qui hos in officio exceperunt, similibus actionibus idem dominium confirmare et perficere. Nunquid vero vel apud Græcos vel apud Barbaros quidquam est magis barbarum aut impium, quam quidem hoc ? Ego quidem tale quid nusquam video, neque putem me, ut viderem, alioquin indignum esse. Cum Pharisæi aliquando quærerent, num liceat homini quacunque de causa uxorem suam dimitterre, vide mihi, quomodo non aliunde, nec ex propria potestate, aut ex gratiæ doctrina Dominus noster, hominum amantissimus, sed ex ipsa creationis historia et objectionem eorum solvat, et reprehensionem formet. *Nonne enim legistis*, inquit, *quod quid fecit eos ab initio, marem et feminam fecit eos* [42] ? clare per ipsam hanc formationem diversam docens, non tam facile solvere licere connubia, neque tam temere eo abripi, quo impetus difficulter coercendus impellit. Cumque creationem ipsam magistram haberent, quod nec plures una conjuges ducere, nec conjugium dirimere liceat ; illi tamen nec præceptum hoc ex disciplina Mosaica discere, neque difficultatem solutam videre volebant. At ille inde contra utrumque decertans, veterem tantum regem propriam sibi fecit, atque hinc eam, quæ gratiæ est, nectit. Qui enim ex non exsistentibus omnia produxit, ex quibus humanam naturam in masculum et feminam formando finxit, utrumque in unum conjunxit ; is, inquit, idem est, qui et hujus legis semina spar-

VARIÆ LECTIONES ET NOTÆ.

(52) Μήτε. Ita scripsi pro ἤτε, quod non admittit sequens μήτε.

(53) Ἄπορον. Hanc vocem reposui pro ἄσπορον quo erat in ms. Ἄπορον enim æque ac ἀπορία paulo ante nodum vindice dignum significat.

Digitized by Google Распознавание текста ABK/FR

sit; et præcepit quod non liceat ex iniqua animi sententia semel conjunctos a se invicem separare, neque immodicas sectari cupiditates, et introducto polygamias vitio hominum generationem contaminare. Vides, quomodo inde ab originibus mundi Mosaicis legem suam repetat, atque inde initium suum habere ostendat. Postea non Judæos magis per Creatorem et creationem ad silentium redigens, quam eos omnes qui eo provecti sunt, ut humanam naturam calumnientur, et generationem hominum ex se invicem convicientur, post pauca subjungit: *Quod igitur Deus conjunxit, homo ne separet*[43]. Non decet, inquit, quas Deus condidit leges, humanis consiliis evertere, neque creaturæ convenit, contra Creatorem leges ferre. Neque solum in eam dignitatem Mosaicam physiologiam evehit, sed et cum Judæi pro commendatione sententiæ suæ et opinionis Mosen proferrent et objicerent, quippe qui ipsis permiserit dimittere uxores, nihil ipsi reprehensionis impegit, neque crimini eum fecit obnoxium. Sed, quamvis ex ipsa creatione primæva et ex Judæorum exceptione occasionem nactus esset, causam hujus rei in Mosen referendi, adeo tamen se a Mose accusando abstinuit, ut eum potius sapienter tanquam dispensantem egisse profiteatur. *Moses enim*, inquit, *ob duritiem cordis vestri permisit vobis dimittere uxores*[44]. Hoc est, non ipse pœnitentia ductus, veterem illam, quamque ipse scripsit, legem negligens ad alterum illud se convertit, neque quam acceperat latentem, gratiam divinam creationem exponendi, suis ratiociniis postposuit, atque adeo nec divisionis hujus causa exstitit, sed durities cordis vestri omnem in vos causam refert. Cum enim illa perfectam legis rationem recipere nollet, et prioris illius præcepti mutationem vobis peperit, et affectibus vestris frenum boni ordinis nonnihil laxare coegit. Neque enim vir, qui Deum vidit, neglecto creationis præcepto, ad aliud digressus est, sed vestra repugnantia a rigore ejus remittere aliquid per dispensationem suasit: ne forte, cum connubium nexum juberet esse indissolubilem, durities et rigiditas mentis multo pejora efficeret, homicidio scilicet solutionem procurans, quam vi legis et doctrinæ non liceret efficere. His ratiociniis et argumentis Servator flagitium Judæorum castigat quidem, sed et simul quæstionem sophistice prolatam solvit, omnesque docet ut eum sciant nostrum esse conditorem, cujus etiam hæc lex est, ut maritus ab uxore non recedat. Quæ quidem initio ipsa creatione et conjunctione in antecessum adumbrata, deinde vero consilio et verbis ipsis promulgata et diserte proposita est. Namque Trinitatis infinitæ et omnipotentis ut bonitas et regnum et potentiam, ita

A κελεύει διίστασθαι, μηδ' ὑπερορίους ἡδονὰς, καὶ τὴν τῶν ἀνθρώπων γένεσιν ὑβρίζειν πολυγαμίας μιασμῷ (54) Ὁρᾷς ὅπως ἀπὸ τῆς Μωσαϊκῆς κοσμογενείας τὸν ἑαυτοῦ διαπλέκει νόμον καὶ τὴν ἀρχὴν ἐκεῖθεν ἔχειν ἐπιδείκνυσι τῆς θέσεως. εἶτα οὐ τοὺς Ἰουδαίους μᾶλλον ἐπιστομίζων διὰ τοῦ πλάστου καὶ τῆς πλάσεως, ἀλλὰ καὶ πάντας, ὅσοι δυσφημεῖν τὸν ἄνθρωπον παρηνέχθησαν, καὶ τὴν ἐξ ἀλλήλων προπηλακίζουσι γέννησιν, μετ' ὀλίγον ἐπάγει. Ὃ οὖν ὁ Θεὸς ἔζευξεν, ἄνθρωπος μὴ χωρίζέτω. Οὐ δεῖ, φησὶν, οὓς ὁ Θεὸς ἐπηξε νόμους ἀνθρωπίνοις παρακινεῖσθαι σπουδάσμασιν, οὐδ' ἀντινομοθετεῖν τὸ πλάσμα τῷ Πλάσαντι. Καὶ οὐ μέχρι τοσαύτης τιμῆς τὴν Μωσαϊκὴν φυσιολογίαν ἀνάγει, ἀλλ' ἤδη καὶ τῶν Ἰουδαίων ἐπὶ συστάσει τῆς ἰδίας γνώμης τε καὶ B δόξης ἀντιπροβαλλομένων τε καὶ ἀνθυποφερόντων τὸν Μωσέα, ὡς αὐτὸς αὐτοῖς ἐπέτρεψεν ἀπολύειν τὰς γυναῖκας, οὐδὲν εἰς αὐτὸν οὐδαμῶς ἀπερρίψε μέμψεως, οὐδ' ὑπαίτιον ἐποιήσατο. Ἀλλὰ καίτοι ἔχων καὶ τὴν ἀπ' ἀρχῆς ἐκ τῆς δημιουργίας ἀφορμὴν παροξύνουσαν, καὶ τὴν Ἰουδαϊκὴν ἀπορίαν εἰς τὸν νομοθέτην τὴν αἰτίαν ἐνεγκεῖν, τοσοῦτον ἀπέχετο τὸ ὑπεύθυνον ἀποφῆναι τὸν Μωσῆν, ὥστε καὶ τοῦ τῇ οἰκονομοῦντος ἐπεκόσμησε σοφίᾳ. Μωσῆς γὰρ, φησὶ, πρὸς τὴν σκληροκαρδίαν ὑμῶν ἐπέτρεψεν ἀπολῦσαι τὰς γυναῖκας, τουτέστιν, οὐκ αὐτὸς ἐν μεταμελείας, τὸν ἀρχαῖον, καὶ ὃν ἔγραψεν, ὑπεριδὼν νόμον πρὸς δευτέραν ἀπόφασιν ἐπεστράφη, οὐδ' ἣν χάριν ἔλαβε λανθάνουσαν καταγγεῖλαι θείαν δημιουργίαν λογισμῶν ὀπίσω θέμενος, οὐδεὶς αὐτὸν ὁρᾷ τοῦ διεσίου (*sic*) τὸ ὑπαίτιον, ἀλλὰ τὸ ὑμέτερον σκληροκάρδιον C εἰς ὑμᾶς πᾶσαν ἀναρτᾷ τὴν αἰτίαν. Μὴ βουλόμενον γὰρ παραδέχεσθαι τὴν τελειότητα τῆς νομοθεσίας, καὶ τοῦ προτέρου νόμου τὴν μεταβολὴν ὑμῖν κατεπράξατο καὶ ταῖς ὁρμαῖς καθυφεῖναι τὸν τῆς εὐταξίας χαλινὸν ἐδιάσατο. Οὐ γὰρ ὑπερορῶν ποθεν ὁ θεόπτης τὸ τῆς δημιουργίας πρόσταγμα πρὸς ἕτερον ηὐτομόλησεν, ἀλλὰ τὸ ὑμῶν ἀπαράδεκτον οἰκονομίᾳ λῦσαι τὴν ἀκρίβειαν συνεβούλευσεν, ὡς ἂν μὴ, τῆς συναφείας ἐχούσης τὸ ἀδιάλυτον, τὸ σκληρὸν τῆς γνώμης καὶ τὸ ἀνήμερον, τὰ πολλῷ κατεργάσοιτο χείρονα, φόνῳ τὴν λύσιν, ὅτι μὴ ἔξεστι δόγματι, ἐπιμηχανώμενον. Τοιούτοις λογισμοῖς ὁ Σωτὴρ καὶ ἐνθυμήμασιν ἀπορράπτει μὲν τῶν Ἰουδαίων τὸ κακούργημα, λύει δὲ τὸ σεσοφισμένον D τῆς ἐρωτήσεως. Καὶ παιδεύει πάντας, ἐκεῖνον ἡμῶν εἰδέναι δημιουργὸν, οὗ καὶ τὸν ἄνδρα τῆς γυναικὸς νόμος ἐστὶ μὴ διΐστασθαι. Καταρχὰς μεν τῇ διαπλάσει καὶ συναφείᾳ οἱονεὶ τυποῦμενος προβουλεύματι, ὕστερον δὲ καὶ ῥήμασιν αὐτοῖς ἐμφανιζόμενός τε καὶ διαῤῥήδην κηρυττόμενος. Καὶ γὰρ κοινόν ἐστι καὶ ἀμέριστον τῆς ὑπερουσίου καὶ παντοκρατορικῆς Τριάδος, ὥσπερ τὸ ἀγαθὸν καὶ ἡ βασιλεία καὶ ἡ δύναμις οὕτω καὶ τῆς δημιουργίας καὶ τῆς

[43] Matth. 6. [44] ibid. XIX, 8.

VARIÆ LECTIONES ET NOTÆ.

(54) Μιασμῷ. Sic scripsi pro μίασμα, quod ms. exhibebat. Forte etiam recte legeris μιάσματι.

Digitized by Google Распознавание текста ABK/FR

νομοθεσίας τὸ ἀξίωμα. Διὸ καὶ τοῦ παρόντος νόμου (55) κατὰ μὲν τὴν ἀρχαιογονίαν ὁ τοῦ Πατρὸς Υἱὸς ὁμοούσιος τὰ σπέρματα καταβάλλεται, σάρκα δὲ λαβὼν τὴν ἡμὴν καὶ τοῖς ἀνθρώποις ὡς ἄνθρωπος ἐμπολιτευσάμενος καὶ ῥήμασιν αὐτοῖς ἀπαρτίζει τοῦτον καὶ ἐκτίθησι. Καὶ πῶς οὐκ ἄν τις φρίξειε τῆς ἐναντίας μοίρας ἢ τὴν πλάσιν ἡμῶν, ἢ τὸν Μωσέα, ἢ τὴν κοσμογένειάν μὴ ὅτι φθέγξασθαι, ἀλλὰ καὶ λογισμοῖς τῆς τοιαύτης βλασφημίας, τοῦ πονηροῦ προσβάλλοντος, κἂν ἐπίβραχυ δοῦναι τῇ δυσσεβείᾳ κυμαίνεσθαι τὴν διάνοιαν, ἀλλὰ μὴ θᾶττον καὶ αὐτὴν ἀποσοβεῖν τὴν πεῖραν καὶ μετὰ σφοδρότητος ἀποτρέπεσθαι.

ΛΔ'. Χωρὶς δὲ τῶν εἰρημένων ὁ Δεσπότης ἰδὼν αὐτοῦ τὸν κόσμον καὶ γινώσκει, καὶ πολλάκις ἐπιδείκνυται. Καὶ πῶς οἱ ἀλλοτριοῦντες αὐτὸν τῆς ἐκείνου κραταιᾶς χειρὸς οὐκ ἀλλότριοι περιφανῶς καὶ αὐτῆς τῆς τῶν Χριστιανῶν ἐξελέγχονται κλήσεως. Καὶ γὰρ τὴν παραβολὴν τοῦ σπείροντος τὸ καλὸν σπέρμα ἐν τῷ ἀγρῷ αὐτοῦ, καὶ τὴν τῶν ζιζανίων ἐπισπορὰν, ἣ καθεύδουσιν ἐπιθέμενος ἔσπειρεν ὁ ἐχθρὸς, ταύτην δὴ τοῖς μαθηταῖς ἀναπτύσσων αἰτοῦσι μαθεῖν. Ὁ σπείρων, φησὶ, καλὸν σπέρμα ἐστὶν ὁ υἱὸς τοῦ ἀνθρώπου, ὁ δὲ ἀγρός ἐστιν ὁ κόσμος. Ὃν ἐν τῇ ἀποτυπώσει τῆς παραβολῆς ἀγρὸν αὐτοῦ εἶπε, τοῦτον ἐν τῇ ἀναπτύξει κόσμον ὀνομάζων καὶ δηλῶν, οὐκ ἄλλου τινὸς, ἀλλ' αὐτοῦ εἶναι τὸν περίγειον κόσμον, ἐν ᾧ καὶ σωματικῶς παρὼν τὸν τῆς σωτηρίας διέσπειρε λόγον. Ὅταν οὖν ἡ ἀλήθεια τὸν κόσμον αὐτοῦ λέγῃ εἶναι, ἔλεγε δὲ καὶ ὁ πονηρὸς, ἵνα τὰς βασιλείας πάσας κατηλαζονεύετο ὑποχειρίους ἔχειν· οἱ δὲ τῇ τόλμῃ τῆς γλώττης ἀφαιροῦσι μὲν αὐτὸν τοῦ κοινοῦ Κτίστου καὶ Δημιουργοῦ, ὑπόβάλλονται δὲ τῷ διαβόλῳ, ἆρα οὐκ εἰς ψεῦδος μὲν ἀποῤῥίπτουσι τὴν ἀλήθειαν, τὸν δ' ἀρχηγὸν τοῦ ψεύδους ἀληθείᾳ μετὰ τῆς ἄλλης δόξης καλλωπίζουσι καὶ τοῦ μὲν Δεσπότου συλοῦσι τὸ κτῆμα, μετὰ τοῦ λῃστοῦ δὲ γίνονται, καὶ τὸν ἀποστάτην καὶ μαστιγίαν καὶ ἀγνώμονα τῶν ὁμοδούλων ἀναγορεύουσι κύριον; Καὶ πῶς ἂν οὗτοι τὸν ἀληθῆ καὶ φιλάνθρωπον ὄψονται Κύριον, τῆς τυραννίδος συνεργοὺς καὶ ὑπηρέτας, μᾶλλον δὲ ἀρχηγοὺς ἑαυτοὺς ἀπογραψάμενοι; Ἄλλως τε δὲ, εἴπερ μὴ ἦσαν οἱ ἀγροὶ καὶ ὁ κόσμος τοῦ ἀγαθοῦ καὶ φιλανθρώπου Σωτῆρος ἡμῶν, ἀλλ' ἡ φαυλότης αὐτῶν διεκληροῦτο τὴν κυριότητα, πῶς τοῖς ἕνεκεν τοῦ ὀνόματος αὐτοῦ καταλιποῦσιν οἰκίας καὶ ἀγροὺς, καὶ τῆς σωματικῆς συγγενείας τὰ τιμιώτατα κατὰ τὴν ἐν τῷ παρόντι βίῳ μισθαποδοσίαν, οὐκ ἀφαιρεῖται τοὺς ἀγροὺς, οὔτε ἄλλα, ὅσα τῆς αἰσθητῆς ἐστι κτίσεως, ἀλλὰ καὶ αὐτὰ τῷ ἑκατονταπλασίονι περιλαμβάνει δώρῳ καὶ ἀντιδίδωσιν, οἷς κληρονομία ἡ αἰώνιος ζωὴ, καὶ φιλοτιμεῖται τούτοις τοὺς θερμοὺς ἐραστὰς, ὧν ἡ κτίσις, εἰ μὲν (56) ἦσαν φαῦλα, καὶ αὐτὸν ἂν ἀπ-

et creationis dignitas communia sunt et indivisa. Proinde et præsentis legis semina in creatione ipsa Filius, Patri quod ad essentiam æqualis, spargit, carne vero nostra assumpta, et inter homines ut homo versatus, verbis ipsis eamdem perficit atque exponit. Et quis non exhorrescat, vel creationem nostram, vel Mosen, vel mundi productionem non solum ad contrarium principium referre, sed et blasphemis ejusmodi cogitationibus, annitente malo, indulgendo, vel brevi tempore impietatis fluctibus mentem permittere, nec potius quam citissime ipsam aggressionem evitare, et cum contentione adversari?

XXXIV. Præter ea vero quæ dicta sunt, Dominus videns mundum, agnoscit suum, et hoc nomine appellans, agnoscere se declarat. Nonne itaque illi, qui eum forti ipsius manui subtrahunt, ipsa quoque Christianorum appellatione indigni et privandi videbuntur? Parabolam enim de seminante bonum semen in agro suo, et zizaniorum disseminationem, quam malus, dormientibus insidiatus, suscepit, discipulis suis, utramque discendi cupidis explicans: *Serens*, inquit, *bonum semen filius hominis est, ager vero est mundus*[45]. Quem in summa parabolæ agrum suum dixerat, eum in explicatione mundum vocat, atque hoc ipso manifestat, non alterius cujusdam, sed suum esse mundum terrestrem, in quo corpore præsens verbum salutis sparserit. Quando igitur veritas mundum suum esse dicit, idem vero et malus affirmat, regna omnia sibi subjecta habere gloriatus: hi autem homines temerariis linguis eum communi Creatori ac Conditori subripiunt, vicissimque diabolo vindicant, nonne iidem veritatem in mendacium convertunt, mendacii vero auctorem veritatis aliarumque rerum gloria ornant, ac Domino quidem sua auferunt, et prædoni se jungentes apostatam, et mastigiam et refractarium conservorum suorum dominum constituunt? Quomodo vero illi verum hominumque amantissimum Deum videbunt, qui se ipsos tyrannidis illius socios et servos vel potius primipilos gesserunt? Quod si vero agri et mundus boni hominumque amantissimi Servatoris nostri non sunt, sed potius malum principium illorum dominatum distribuit, quomodo illis, qui ob nomen ejus reliquerunt domos et agros, et cognationis naturalis præclarissima quæque præmia in hac vita distribuens, non adimit agros, nec cætera quæ ad sensibiles creaturas pertinent, sed et illa centuplici præmio comprehendit, ac tribuit illis, quorum hæreditas est vita æterna[46], quomodo iisdem strenuos suos amatores mactat, quorum creatio, si mala fuisset, ipsum quoque eorum amorem apud eos exstinxisset? Quomodo præmii rependendi partem ea facit, quæ ne quidem ab initio possidere

[45] Matth. XIII, 37. [46] Matth. XIX, 29.

VARIÆ LECTIONES ET NOTÆ.

(55) Νόμου. Superscripta in codice ab eadem manu erat vox λόγου; sed malui retinere alteram.

(56) Εἰ μέν. Ita scribere jussit sensus et series verborum pro εἶπεν, quod in codice scriptum erat.

Digitized by Google Распознавание текста ABK/FR

licebat ? Multo itaque magis justitia requirebat, ob quæ his non darentur talia, præmii loco, aliis etiam auferrentur. Quomodo denique locum habere potest, ut sapientia, omnem rationem superans ea quæ a malo profecta sunt, cum bonis suis donis conjungat, siquidem agri agrorumque proventus mali essent principii ?

A εσθίννυ τὸν ἔρωτα, καὶ μεροποιεῖται τῆς ἀμοιβῆς, ἃ μηδὲ τὴν ἀρχὴν ἔδει κεκτῆσθαι. Μᾶλλον μὲν οὖν, δι' ἃ καὶ τῶν ἄλλων ὁ μισθὸς, οὐχ οἷς δοθείη, ἄλλοις ἀφαιρεθείη, φέρει τὸ δίκαιον. Ποῦ δὲ χῶραν ἔχει συντάττειν τὴν πάντα νοῦν ὑπερέχουσαν σοφίαν ταῖς ἀγαθοποιοῖς αὐτῆς δωρεαῖς, ἃ τῆς πονηρίας ἐστὶν, εἴπερ ἦσαν οἱ ἀγροὶ καὶ τὰ ἐν τοῖς ἀγροῖς δημιουργήματα (57).

VARIÆ LECTIONES ET NOTÆ.

(57) Δημιουργήματα. Videntur hic nonnulla desiderari. Nam et abruptus sermo est, et verisimile fit Photium nostrum nova quadam ad Arsenium compellatione dicendi finem facturum fuisse. In ipso quoque ms. nulla, quæ alias comparere solet, colophonis impositi nota inveniebatur.

ΦΩΤΙΟΥ ΠΑΤΡΙΑΡΧΟΥ

ΛΟΓΟΣ

ΠΕΡΙ ΤΗΣ ΤΟΥ ΑΓΙΟΥ ΠΝΕΥΜΑΤΟΣ ΜΥΣΤΑΓΩΓΙΑΣ.

—

PHOTII PATRIARCHÆ

LIBER

DE SPIRITUS SANCTI MYSTAGOGIA

QUEM NOTIS VARIIS ILLUSTRATUM AC THEOLOGIÆ CRISI SUBJECTUM

PRIMUS EDIDIT

J. HERGENROETHER,

S. Theol. Doctor ejusdemque in Wirceburgensi lit. Universitate Professor P. O.

Ratisbonæ, MDCCCLVII. 8° Sumptus fecit G. Josephus Manz.

—

J. HERGENROETHERI PRÆFATIO.

I. De Photio ipso nihil est, quod in præsentia dicam. Uberius enim de hujus vita et scriptis ampliori opere sum acturus, quod Deo propitio uno alterove abhinc anno lucem visurum esse spero. Illud monuisse sufficiat, viros catholicos, dum dirum schisma per eum in suæ ipsius gentis perniciem excitatum, quæque illud præibant ac comitabantur facinora, ex animo detestantur, nihilo tamen secius maximi semper fecisse miram ejus eruditionem, cujus præter celeberrimum *Myriobiblion* vel *Amphilochianæ quæstiones* opera Em. Maii, immortalis memoriæ viri, maxima demum ex parte publici juris factæ testimonium faciunt luculentum ; nemini deinde esse dubium, quin ex accurata ejus historia tum dogmatum tum Ecclesiæ ipsius annales egregie juvari et illustrari possint. Atqui Photii patriarchæ

B historiam non ita pridem Gallico sermone cl. Jager eleganter non minus quam solerter pertractavit ; quod recens opus (1) auctoris scopo accommodatum, usu Photianarum epistolarum sagacissimo, insigni illorum temporum studio, judicio satis acuto, narrandi arte egregia aliisque ornamentis esse præditum haud diffiteor. Attamen præterquam quod, mea quidem sententia, ampliori adhuc usui esse possunt Byzantinæ Historiæ fontes, ac præsertim Cedreno, Zonara et Glyca longe vetustiores, quodque universim nationis nostræ historiographi strictiorem ac severiorem, licet minori venustate fulgentem, scribendi modum methodumque sectantur, mihi neque in omnibus, quæ occurrunt, quæstionibus eadem mens est idemque judicium, neque scopus meus (utpote latius excurrens, in iis vero potissi-

(1) *Histoire de Photius, patriarche de Constantinople*, par M. l'abbé Jager, Chanoine honoraire de Paris et de Nancy, professeur d'histoire à la Sorbonne, 2e édition, Paris, A. Vaton, 1854.

Digitized by Google Распознавание текста ABK/FR

mum, quæ ad historiam litterariam attinent) eos A patitur fines, quos ille bene meritus auctor sibi voluit præstitutos.

II. Jam vero quod ad præsentem spectat Photii librum, quem amplioris nostri operis veluti prodromum exhibemus, editio e tribus potissimum confecta fuit codicibus, quorum duo Romæ prostant, tertius vero in Regia Monaeensi bibliotheca, aliis nonnullis, uti fieri poterat, in subsidium vocatis. Primum mihi de ineditis adhuc Photii operibus indaginem instituenti in cod. Monac. Gr. n. 27. chartac. sæc. xv vel xvi (2), majorem hujus operis partem contigit invenire. Ibi enim post *Acta conciliorum* a. 869 et a. 879 in causa Photii Constantinopoli celebratorum, fol. 449 a, sub titulo: Φωτίου πατριάρχου κατὰ Λατίνων occurrunt primo loco B quatuordecim paragraphis distincta cum initio: τίς ὅλως ἀνάσχοιτο τῶν ἐν Χριστιανοῖς τελούντων ea ipsa argumenta de Spiritus sancti ex solo Patre processione, quæ in secunda Photii epistola ed. Londin. a. 1651, p. 51-54 leguntur, et quidem huic editioni ad verbum consona. Sed fol. 450 a, sine externo et evidentiori novi operis indicio, nisi quod nova in magine notata mox sequitur capitum series (3), immediate post quatuordecim illa argumenta legitur: Τοῦ αὐτοῦ περὶ τῆς τοῦ ἁγίου Πνεύματος μυσταγωγίας καὶ ὅτι ὥσπερ ὁ Υἱὸς ἐκ μόνου τοῦ Πατρὸς ἱερολογεῖται γεννᾶσθαι, οὕτω καὶ τὸ ἅγιον Πνεῦμα ἐκ μόνου τοῦ αὐτοῦ αἰτίου θεολογεῖται ἐκπορεύεσθαι· λέγεται δὲ τοῦ Υἱοῦ εἶναι ὡς ὁμοούσιον καὶ ἀποστελόμενον (sic) δι' αὐτοῦ. Ἐν πολλοῖς μὲν, κ. τ. λ. Textus porro a fol. 450 a (lin. 2, ab infra) usque ad f. 462 b, extremam paginam pertingit, et abrupte desinit novo notato capite [4] in particula εἰ (4). Est bene omnino scriptus, ac licet mendis non careat, et interdum gravioribus quoque erroribus deformetur, ea tamen non sunt adeo frequentia, ut in aliis illorum posteriorum sæculorum manuscriptis quam plurimis ea est invenire. Statim vero intellexi celebrem Photii *De Spiritu sancto* librum, etsi non integrum, hic exstare, qualis jam a doctis viris fuerat descriptus.

III. Primus inter eruditos, quantum scio, hujus operis mentionem fecit Leo Allatius, qui *Tractatum sane luculentissimum* illud vocat (5) atque interdum ex eo quædam suis scriptis interserit (6). Ex Allatio suas de hoc Photiano opere hauserunt notitias, qui de Historia Græcorum sive ecclesiastica sive litteraria fusius egere (7). Ampliora demum sæculo nostro dedit Card. *Maius*, cum *Amphilochianarum Quæstionum* ineditam adhuc nobilissimam partem typis evulgaret ac simul plura Photii opera luce publica huc usque carentia recenseret. Quanquam, ita doctissimus cardinalis (8), alia quædam Photii scripta de Spiritu sancto (9) exstant, hic tamen liber luculentus et varius atque prolixus nondum lucem aspexit, etsi non uno in codice Vaticano inest atque in aliis etiam bibliothecis (10) occurrit. Et in uno quidem ex Vaticanis, scilicet 216 (11), Metrophani id opus tribui observavit Allatius (12), in quo codice libros quoque adversus Manichæos eidem Metrophani, Smyrnensi episcopo (13), tribui ego ipse vidi. Sed tamen hanc inscriptionem (14) quis non falsam agnoscit, quam tot C alii codices refellunt? Si vero locus operis consideretur, ubi de Joanne papa sermo fit, nemo Photium auctorem esse dubitabit. Nunc, ut operis conspectum exhibeam, utar codice Columnensi Vaticano, quem

(2) Cf. *Aretin, Beiträge zur Geschichte der Literatur*. München 1803. 1806; t. I, fasc. iv, p. 18 seq.; t. VII, p. 387.

(3) Hinc in Notitia codicis l. c.; p. 18 scribitur: Sermo hic quasi in duos libros divisus est. Primo enim occurrunt capita xiv, tum capita xxxiii.

(4) Ibid.: Finis vero est mutilus. Sic enim desinit: Ἔργῳ δὲ καὶ τῇ κατασκευαζούσῃ αὐτῇ τὸ οἰκεῖον βούλημα εἰς τὴν τῶν θεομάχων καὶ φθοροποιῶν ἑαυτοὺς ἀπελαύνουσιν· εἰ..., Fabricius, t. IX, p. 563, inter inedita recenset. Infra legitur: ἐξισώθη κατὰ τὸ ἑαυτοῦ πρωτότυπον, h. e.: *exæquatum suo prototypo*. — Neque hoc exemplar, e quo nostrum descriptum fuit, integrum textum habuisse, suadere videtur scriptionis modus in fine f. 462 b, quo extremæ lineæ aliæ aliis breviores triangulari fere forma ponuntur, quod in librorum conclusionibus fieri consuevit; ultima vero et penultima regulariter scribuntur et totum spatium occupant; tot enim supererant verba, ut commode ea forma continuari haud potuerit.

(5) Leo Allatius, *De Eccles. Occid. et Orient. perpetua consensione*, lib. ii, c. 6, n. 4, p. 575, ed. Colon. Agrip. 1648.

(6) Exhibemus ea in Notis ad Photii textum.

(7) Walch, *Historia controversiæ Græcorum Latinorumque de processione Spiritus sancti*, Ienæ 1751, p. 37. — *Schrœckh Christliche Kirchengeschichte*, tom. XX, p. 499. — Fabricius, *Bibliotheca Græca*, t. XI, p. 28 ed. Harless.

(8) *Scriptorum Veterum nova Collectio*, tom. I, Præfat. *De Photio* § 7, p. xxiii seq. ed. Romæ 1831.

(9) Cf. Fabricium et Harless. l. c., p. 13, 14, 25, 28, 29.

(10) Harless. l. c., p. 29 memorat mss. Paris, in bibl. publica cod. 1228. n. 2; Venet. in cod. Marciano 167 (teste Morellio in Bibl. ms. Gr. et Lat. I, p. 95). *Escorial.* (V. Plüer *Itinerar. per Hispan.* p. 187). Sed et alibi idem opus reperiri haud dubium, ut vel Monac. codex ostendit Fabricio et Harlessio non ignotus, qui tamen aliud ibi opus exstare existimarunt, de quo paulo post (§ 4) agemus.

(11) Scil. Palatino 216 membran. Sunt qui eum ad sæc. xii vel xiii pertingeret censeant. D

(12) *De consens.* l. c., p. 575.

(13) « Metrophanem hunc Photii æqualem memorat sanctus Nicolaus papa epist. 8, p. 53. Et quidem hujus episcopi celebre satis nomen in illorum temporum historia est. » *M.* — Ex Metrophanis Smyrnensis ep. exposit. in I. Jo. ep. locum citat Veccus sive Beccus epigr. viii in Allatii *Græcia orthodoxa*, vol. II, p. 605, 606, Romæ 1659.

(14) Inscriptio cod. Palat. 216, f. 211 b, est hujusmodi: Τοῦ αὐτοῦ Μητροφάνους τοῦ ἁγιωτάτου μητροπολίτου Σμύρνης περὶ τῆς τοῦ παναγίου Πνεύματος μυσταγωγίας· καὶ ὅτι ὥσπερ ὁ Υἱὸς ἐκ μόνου τοῦ Πατρὸς ἱερολογεῖται γεννᾶσθαι, οὕτως καὶ τὸ Πνεῦμα, κ. τ. λ., ut in titulo nostro; deest solum δι' αὐτοῦ in fine. Eidem Metrophani in cod. Gr. theol. Vindobon. 249 (Vide infra ad c. 3 textus nostri notam 20 et ad c. 6 not. 55) quædam nostri operis particulæ ascribuntur.

Digitized by Google Распознавание текста ABK/FR

(37) Hæc ita refert ex Photio Simon Cpl. ep. ad Jo. Nomophylacem (Allat. c. Hotting., p. 381 et 374): Τίς τῶν ἱερέων καὶ περιωνύμων Πατέρων ἡμῶν τὸ Πνεῦμα ἐκ τοῦ Υἱοῦ ἐκπορεύεσθαι ἐμυσταγώγησε;

(38) Allatius duobus in locis, ubi hæc citat, legit οἰκουμενική, c. Hott. c. 18, p. 374: Ποῖα σύνοδος οἰκουμενικὴ ὁμολογίαις στηριζομένη. *Vindic. syn.*

Digitized by Google Распознавание текста ABK/FR

λογίαις στηριζομένη καὶ διαπρέπουσα (39) ; μᾶλλον δὲ τίς (40) ἱερέων καὶ ἀρχιερέων θεόλεκτος σύλλογος (41) οὐ ταύτην τὴν διάνοιαν καὶ πρὶν (42) φανῆναι τῇ τοῦ παναγίου [9] Πνεύματος ἐπιπνοίᾳ κατεψηφίσατο (43) ; καὶ γὰρ (44) τὸ Πνεῦμα τοῦ Πατρὸς κατὰ τὴν Δεσποτικὴν μυσταγωγίαν τελεσθέντες καὶ αὐτοὶ λαμπρῶς τοῦ Πατρὸς ἐκπορεύεσθαι καὶ μεγαλοφώνως ἀνεκήρυττον · καὶ δὴ καὶ τοὺς μὴ φρονοῦντας οὕτως ὡς τῆς καθολικῆς καὶ ἀποστολικῆς (45) Ἐκκλησίας ὑβριστὰς τῷ ἀναθέματι καθυπέβαλον (46) · ἐκ παλαιῶν τῶν χρόνων τὴν ἀρτιγενῆ δυσσέβειαν προφητικοῖς προορῶντες ὄμμασι (47) καὶ αὐτὴν μετὰ τῆς προλαβούσης πολυμεροῦς ἀποστασίας καὶ γραφῇ καὶ λόγοις καὶ διανοίᾳ κατεδίκαζον. Ἐδογμάτισεν εὐθὺς τῶν οἰκουμενικῶν καὶ ἁγίων ἕκτα συνόδων (48) ἡ δευτέρα τὸ Πνεῦμα τὸ ἅγιον ἐκ τοῦ Πατρὸς ἐκπορεύεσθαι, διεδέξατο ἡ τρίτη, ἐβεβαίωσεν ἡ τετάρτη, σύμψηφος ἡ μέμπτη κατέστη, συνεκήρυξεν (49) ἡ ἕκτη, ἐπεσφράγισε λαμπρῶς ἀγωνίσμασιν ἡ ἑβδόμη · καθ' (50) ἑκάστην αὐτῶν [10] ἔστι περιφανῶς καθορᾶν παῤῥησιαζομένην τὴν εὐσέβειαν, καὶ τὸ Πνεῦμα τοῦ Πατρὸς, ἀλλ' οὐ τοῦ Υἱοῦ (51) θεολογούμενον ἐκπορεύεσθαι. Σὲ δὲ τίς ἀγέλη (52) δυσσεβοῦσα μετεδίδαξε, τίς τῶν ἀντινομοθετούντων τῷ Δεσπότῃ καταπεσεῖν εἰς ἀθέσμους δόξας ὑπηγάγετο (53) ;

et munita, imo quis sacerdotum atque episcoporum divinitus coactus cœtus sententiam istam etiam antequam in lucem prodiret, per sanctissimi Spiritus afflatum non condemnavit ? Etenim Spiritu Patris juxta Christi Domini doctrinam ipsi quoque initiati illum a Patre procedere clara et alta voce prædicabant eosque qui non ita sentirent, utpote catholicæ et apostolicæ Ecclesiæ contemptores anathemati subjiciebant, jam inde ab antiquis temporibus novam istam impietatem propheticis oculis prospicientes, ipsamque una cum multiplici priorum hæreseon defectione et scriptis et verbis et animo condemnabant. Definivit statim universalium et sanctarum septem synodorum secunda, Spiritum sanctum ex Patre procedere ; excepit tertia, confirmavit quarta, suffragata est quinta, prædicavit sexta ; obsignavit claris certaminibus septima ; in qualibet illarum est luculente cernere libere prædicatam pietatem, traditumque de Spiritu, illum a Patre, non autem a Filio procedere. Te vero quisnam impiorum grex diversa sentire docuit, quis ex iis qui Domino contraria sanciunt, in opiniones iniquas ut delabaris effecit ?

VARIÆ LECTIONES ET NOTÆ

Ephes. l. c. Quis e sacerdotibus et laudatissimis nostris Patribus Spiritum ex Filio procedere decrevit ? Quæ synodus universalis confessionibus constabilita et celebris ? — Sed Etherianus ut supra ex codicibus.

(39) Allat. c. Hott. l. c. Ἐνδιαπρέπουσα. Sic. Col.

(40) Monac. Μᾶλλον δὲ τῶν ἱερ.

(41) Monac. Σύνοδος.

(42) Monac. Πρὶν ἢ φαν. Sic. Col.

(43) Simon Cpl. l. c., p. 372, 373 : Μᾶλλον δὲ τίς ἱερέων καὶ ἀρχ. θεόλ. σύλλογος οὐ ταύτην τὴν διάνοιαν (δηλονότι τὴν λέγουσαν, καὶ ἐκ τοῦ Υἱοῦ τὸ Πνεῦμα τὸ ἅγιον) τῇ ἐπινοίᾳ τοῦ Πνεύματος κατεψηφίσατο ; Allatius non recte vertit : « Quis ex sacerdotibus et præsulibus a Deo congregatus cœtus non hanc cogitationem (eam nempe quæ pronuntiat etiam ex Filio Spiritum S.) *adversus* Spiritus sancti inspirationem calculum dedit ? » Melius Hugo Etherian. (vide not. 17).

(44) Sic cod. Vatic. ; Monac. et Cod. : Δι' ὧν γάρ. Palat. : ἵσ : δι' ὧν γὰρ τὸ πν. Ether. : Per quos.

(45) Καὶ ἀποστολ. in Monac. ad marg. suppletur.

(46) Apud Allat. c. Hott., p. 373 : Καὶ γὰρ τοὺς μὴ φρονοῦντας οὕτως (ἤγουν ὡς τὸ πν. ἐκ μόνου τοῦ Πατρὸς καὶ οὐ μὴν ἐξ Υἱοῦ) ὡς τῆς καθ. κ. ἀπ. ἐκκλ. ὑβριστὰς τῷ ἀναθεματισμῳ καθυπέβαλον. « Namque eos qui non ita tenent (nempe Spiritum ex solo Patre, et non ex Filio) veluti in cath. et apost. Ecclesiam injuriosos anathemate percusserunt. » — Monac. habuit καθυπέρβαλον ; sed ρ deinde deletum. Col. καθυπέβαλλον.

(47) Monac. ὀφθαλμοῖς.

(48) Eodem pacto et iisdem fere verbis septem synodos protendunt Jos. Bryennius Or. 8, de S. Trin., Mich. Balsamon in *Anaphora cleri Cpl.*, Glycas aliique, quorum textus recitat Allatius, *De Occid. et Or. Eccl. consens.* l. III, c. 2, n. 1, p. 916-918 ; c. Hotting, p. 315-321. *Vindic. syn. Ephes.* c. 77. p. 648, 949.

(49) Col. Συννεκήρυξεν.

(50) Col. Καὶ καθ'.

(51) Monac. Col. et Pal. Ἐκ τοῦ Πατρὸς, ἀλλ' οὐκ ἐκ τοῦ Υἱοῦ.

(52) Monac. Ἄλλη ; tunc supplend. : σύνοδος.

(53) Hæc postrema verba Græce allegantur in citata Simonis Cpl. ep. (Allat. c. Hott. p. 381) sine ulla varietate, Latine tantum in *Vindic. syn. Ephes.* p. 652 : « Te vero quisnam grex impius inversa doctrina docuit decernere Spiritum ex Filio ? Quis contra Dominum leges instituens in iniquas opiniones delabi subduxit ? » — Sed Hugo Etherianus (l. c., p. 1231. C. D.) totum caput recitat hoc pacto : « Quis dixit sacerdotum seu Patrum nostrorum, Spiritum ex Filio procedere ? Quæ synodus universalibus sponsionibus firmata et adornata, magis autem quod Pontificum divinitus adunatum collegium non hanc sententiam, et antequam appareret, sancti Spiritus inspiratione condemnavit ? Per quos Spiritus sanctus Patris esse juxta Dominicam institutionem apparet ; ex quo liquido procedere magis vocibus prædicaverint (l. prædicaverunt), et quidem non sic sentientes ut universalis et apostolicæ Ecclesiæ contemptores subdiderunt anathemati. Ab antiquis enim temporibus noviter ortam impietatem præsagis Providentiæ (l. providentes) oculis et ipsam cum antecipante multifaria discessione scripto, verbo atque sententia condemnarunt. Dogmatizavit statim universalium et sacrarum synodorum secunda, Spiritum sanctum ex Patre procedere ; suscepit tertia, quarta confirmavit, consensum præbuit quinta, sexta adjudicavit, splendidis consignavit certaminibus septima. Per singulas earum est patenter videre fiducialiter egisse pietatem et Spiritum ex Patre, sed non ex Filio divinitus annuntiatum procedere. Te vero quis grex impius perdocuit, quis contrarias leges Domini ponens legibus incidere in nefarias sectas subinduxit ? »

Digitized by Google Распознавание текста ABK/FR

6. Verum hinc quoque horum impietas Deoque repugnans licentia refutatur. Si enim quæcunque sunt communia secundum indifferentem et individuam simplicemque ac singularem communitatem; si, inquam, quæcunque horum Spiritui et Patri adsunt, hæc Filio quoque insunt; similiter et quæcumque in Spiritu et Filio intelliguntur, nequeunt Patri itidem negari : imo nec potest Spiritui adimi quidquam eorum quæ Filio et Patri adsunt ; puta regnum, bonitas, substantiæ supersubstantialitas, incomparabilis virtus, æternitas, immunis a corpore spiritualitas, cæteræque innumeræ id genus voces, quibus divinissima de Deitate doctrina catholicis fuit ab initio tradita. Si ergo hæc ita considerantur, et nemo Christianorum iis adversari ausit ; juxta vero hæreticam istam temeritatem Spiritus processio Patri et Filio communis est Spiritui quoque (quo quid queat scelestius auderi ?) in Spiritus processionem dividendus foret, essetque pars quidem illius producens, pars vero producta, et illa quidem causa, hæc autem causatum, et ingens aliarum blasphemiarum agmen sequeretur.

7. Sed enim procedit Spiritus a Filio. Quam ob causam : Ut scilicet aliquid accipiat, quod non habuit procedens a Patre. Jam vero si potest admitti atque affirmari, quod Spiritus hinc aliquid pluris acceperit, quod modo non absque illius assumptione erat imperfectus ? Vel omnino post illud acceptum ? Nam hinc quoque sequeretur ; posse de simplici atque compositionis experte natura duplicitatem et compositionem prædicari. Sin vero nil pluris accepit, quænam est ratio (necessitas), processionis nihil omnino præstaré valentis ?

ς'. [ε'] Ἀλλὰ κἀντεῦθεν ἔστιν αὐτῶν φωράσαι τὸ δυσσεβὲς καὶ πρὸς θεομαχίαν αὐτόνομον. Εἰ γὰρ πάντα (54) ὅσα ἐστὶ κοινὰ κατὰ τὴν ἀδιάφορον καὶ ἀμερῆ, ἁπλῆν τε καὶ ἐνιαίαν κοινότητα · εἰ πάντα ὅσα τούτων ἐστὶ, Πνεύματος καὶ Πατρὸς (55), [11] ταῦτα πρόστεστι καὶ Υἱῷ · ὡσαύτως δὲ (56) καὶ ὅσα ἐνθεωρεῖται τῷ Πνεύματι καὶ Υἱῷ, οὐκ ἔστι μὴ συνομολογεῖν ἐνυπάρχειν καὶ (57) τῷ Πατρί · οὐ μήν, ἀλλ' οὐδὲ ὅσα (58) Υἱῷ καὶ Πατρὶ, οὐδὲ τούτων οὐδὲν ἔστι τοῦ Πνεύματος ἀποστερεῖν (59) · ἐννόει μοι βασιλείαν, ἀγαθότητα (60), τὸ τῆς οὐσίας ὑπερούσιον, τὴν ὑπὲρ ἔννοιαν δύναμιν, τὸ ἀΐδιον, τὸ ἀσώματον, τὰς μυρίας καὶ συστοίχους φωνὰς, αἷς ἡ ὑπέρθεος θεολογουμένη Θεότης τοῖς εὐσεβέσιν ἄνωθεν παραδέδοται (61). Εἰ οὖν οὕτω ταῦτα θεωρεῖται, καὶ οὐδείς ἐστι τῶν ἐν Χριστιανοῖς, ὃς εἰς μαχόμενον ἀπενεχθείη διαβούλιον · ἐστὶ δὲ, ὡς ὁ αἱρετίζων νεανιεύεται λόγος, ἡ τοῦ Πνεύματος ἐκπόρευσις Πατρὸς καὶ Υἱοῦ κοινὸν, εἴη ἂν καὶ τὸ Πνεῦμα (οὗ τί ἂν γένοιτο πρὸς δυσσέβειαν τολμηρότερον ;) εἰς τὴν τοῦ Πνεύματος ἐκπόρευσιν μεριζόμενον, καὶ τὸ μὲν αὐτοῦ προάγον, τὸ δὲ προαγόμενον, καὶ τὸ μὲν αἴτιον, τὸ δὲ αἰτιατὸν, καὶ πολλὴ ἄλλη θεομαχίας παράταξις (62).

[12] ζ'. [ς'.] Ἀλλὰ γὰρ ἐκπορεύεται τὸ Πνεῦμα τοῦ Υἱοῦ. Τί δήποτε (63) προσλαμβάνον, ὅπερ οὐκ ἔσχεν ἐκπορευόμενον τοῦ Πατρός ; εἰ μὲν γὰρ ἔστι τι λαβεῖν καὶ εἰπεῖν (64), ὃ προσείληφε, πῶς οὐχὶ χωρὶς τῆς προσλήψεως ἀτελές (65) ; ἢ πάντως γε μετὰ τὸ προσλαβεῖν ; εἰ δὲ μηδὲν προσείληφεν (ἐπιφύεται γὰρ κἀνταῦθα τά τε ἄλλα, καὶ τὸ διπλοῦν καὶ σύνθετον, καθαρτασυνόμενον τῆς ἁπλῆς τε καὶ ἀσυνθέτου φύσεως) τίς ὁ λόγος τῆς οὐδὲν παρασχεῖν δυναμένης ἐκπορεύσεως (66) ;

VARIÆ LECTIONES ET NOTÆ

(54) Mon. cod. hic figit cap. ε'. ut Vatic. Ex hoc capite plura dat supra laudatus cod. Vindobon. f. 79 b. Καὶ πάλιν εἰ πάντα ὅσα, etc.

(55) Vindob. Εἰ πάντα ὅσα ἐστὶ τοῦ Πνεύματος καὶ τοῦ Πατρός.

(56) Mon. omittit δέ.

(57) Καὶ deest in Vindob.

(58) Col. οὐδ' ὅσα.

(59) In cod. Monac. hic plura verba desunt: Habet enim post : Ἐνυπάρχειν καὶ τῷ Πατρὶ immediate : οὐδὲ τούτων οὐδέν ἐστι ἀποστερεῖν · ἐννόει μοι. Vindob. : Οὐ μήν, ἀλλ' οὐδ' ὅσα ὑ. κ. π. οὐδὲ τούτων οὐδ' ἔστιν τοῦ πν. ἀποστ.

(60) Vindob. Βασιλείας ἀγαθότητα.

(61) Huc usque io citato Vindob. Cod. verba sunt eadem ; nunc vero sequitur : Εἰ οὖν ἡ τοῦ Πνεύματος ἐκπόρευσις Πατρός ἐστι καὶ Υἱοῦ, κοινὸν ἂν εἴη καὶ τῷ Πνεύματι · τουτὶ (sic) ἂν γένοιτο πρὸς δυσσέβειαν τολμηρότερον.

(62) Mon. Παράτασις. Hugo Ether. (l. II, c. 17, p. 1232 G.) compendio hoc argumentum ita refert : « Si omnia communia Patris et Filii, et Spiritus exsistunt omnia communia, ut Deus, rex, conditor, omnipotens, simplex, incorporeus, et simpliciter omnia alia ; commune vero Patris et Filii progressio Spiritus ex eis ; et ex se utique procedet Spiritus, et principium erit sui, et causa simul et causatum, quod neque gentilium fabulæ confinxerunt. » Hæc vero non ex nostro libro, sed potius ex Photii encyclica desumpta sunt, ubi idem argumentum ita evolvitur (n. 12, p. 52) : Εἰ πάντα τὰ κοινὰ Πατρὸς καὶ Υἱοῦ καὶ τοῦ Πνεύματος πάντως ὑπάρχει κοινὰ, ὡς τὸ Θεὸς, τὸ βασιλεὺς (Mon. Cod. 27, f. 449 a. cap, ε' addit : Τὸ Κύριος), τὸ δημιουργὸς, τὸ παντοκράτωρ, τὸ ὑπερούσιον, τὸ ἁπλοῦν, τὸ ἀσχημάτιστον, τὸ ἀσώματον, τὸ ἀόρατον, ἁπλῶς τὰ ἄλλα πάντα · κοινὸν δὲ Πατρὸς καὶ Υἱοῦ ἡ τοῦ Πνεύματος ἐξ αὐτῶν πρόοδος · καὶ ἐξ αὐτοῦ ἄρα ἐκπορευθήσεται τὸ Πνεῦμα, καὶ ἀρχὴ ἔσται αὐτὸ ἑαυτοῦ, καὶ αἴτιον ἅμα καὶ αἰτιατὸν, ὅπερ οὐδ' οἱ τῶν Ἑλλήνων μῦθοι ἀνεπλάσαντο. Cf. alterum Phot. opusc. ab Euthymio vulgatum, cap. 7. Huc spectat quoque argumentum Nicomediensis præsulis apud Etherianum (lib. I, c. 13, p. 1207) : « Quod non est unius proprium, trium est commune ; si igitur causa emissionis Spiritus non est tantum Patris, sed et Filii, necesse quoque Spiritus esse, sicque erit Spiritus emissor simul et emissus. »

(63) Palat. Υἱοῦ τι δήποτε. Col. Υἱοῦ ; τί δήποτε.

(64) Καὶ εἰπεῖν deest in cod. Monac.

(65) Monac. Ἀτελής.

(66) Hugo Etherianus (l. II, c. 18, p. 1233 A) : « At vero procedit Spiritus ex Filio, aliquid accipiens, quod procedendo ex Patre non habuit. Si enim aliquid est accipere et dicere, qui (l. quod) acceperit, quomodo non absque assumptione imper-

Digitized by Google Распознавание текста ABK/FR

(13) η'. [ζ'.] Σὺ δὲ καὶ τοῦτο λογισμοῖς ἐπισκόπει (67)· εἰ γεννᾶται μὲν ὁ Υἱὸς ἐκ τοῦ Πατρὸς, ἐκπορεύεται δὲ τὸ Πνεῦμα τοῦ Υἱοῦ, τίς ἂν ἐπινοηθείη σχέσις ἄλλη, καθ' ἣν καὶ τὸ Πνεῦμα τῆς ἑτέρου προαγωγῆς ἑαυτῷ τὸ προνόμιον· συνδιασώσει καὶ τῆς ὁμοφυοῦς οὐσιώσεως οὐ φαυλίσει τὸ ἀξίωμα (68);

θ'. [η'.] Ὅρα δὲ κἀντεῦθεν (69)· εἰ τοῦ Πατρὸς ἐκπορευόμενον τὸ Πνεῦμα (70) καὶ τοῦ Υἱοῦ ἐκπορεύεται, τίς ἀντιπεσεῖται [14] λόγος μὴ καταπεσεῖν ἐξ ἀνάγκης [ὦ φρενὸς ἄκρατον (71) μεθυούσης τὴν ἀσέβειαν!] τὸ τῶν ἰδιωμάτων ἀμετάπτωτον καὶ ὁ Πατὴρ [ἵλεως δ' ἡμῖν εἴη καὶ τὸ βλάσφημον εἰς τὰς τῶν αἰτίων τρέποιτο κεφαλάς (72)!] ψιλὸν ἂν εἴη περιλειπόμενον (73) ὄνομα, κοινοποιηθέντος ἤδη τοῦ χαρακτηρίζοντος αὐτὸν ἰδιώματος, καὶ εἰς ἓν πρόσωπον τῶν δύο συναλειφομένων θεαρχικῶν ὑποστάσεων· καὶ ἀναβλαστήσει πάλιν ἡμῖν ὁ Σαβέλλιος, μᾶλλον δέ τι τέρας ἕτερον ἡμισαβέλλειον (74).

ι'. Οὐδὲ γὰρ οὐδ' ἡ (75) κατὰ τὸν Υἱὸν ἐννοουμένη νυνὶ καὶ προτεινομένη πρὸς ἀποφυγὴν τοῦ ἀτοπήματος γέννησις οὖμενουν οὐδὲν ἀνεκτότερον τὸ δύσφημον ἀπεργάσοιτο τοῦ πατρικοῦ ἰδιώματος (76), λέγω

8. Tu vero et hoc æqua lance judicis pondera. Si nascitur quidem Filius a Patre, procedit autem Spiritus a Filio, quænam alia relatio excogitari queat, per quam et Spiritus sibi conservet prærogativam producendi aliam personam nec a dignitate æqualitatis et consubstantialitatis degeneret?

9. Hoc item considera. Si Spiritus a Patre procedens etiam a Filio procedit, quænam obstabit ratio, ne necessario (o mentem mera ebriam impietate!) concidat constantissima idiomatum firmitas et Pater (propitius sit nobis et blasphemiam in eorum capita convertat quorum causa hæc loquimur) nudum relinquatur nomen? communi scilicet facto idiomate illo, quo ipse discernitur, atque in unam personam contractis et confusis (coalescentibus) duabus divinis hypostasibus; sicque rursum emerget nobis Sabellius, imo monstrum aliquod semisabellianum.

10. Neque vero generatio, quæ nunc in Filio intelligitur et in subterfugium absurditatis objicitur, leniorem ullatenus tolerabilioremque impietatem istam efficiet, quæ in paternam exsurgit proprieta-

VARIÆ LECTIONES ET NOTÆ.

fectus? Quodsi nihil accepit, obruuntur et hinc alia, duplex scilicet et compositum, violantia simplicitatem naturæ, quæ compositionem non habet. Quæ ratio nihil potentis præstare processionis? » Affine est argumentum quod tum in alio Photii Opere (cap. 4) tum in Encyclica occurrit; ibi legitur n. 9: Διὰ τί δὲ καὶ ἐκπορευθείη τοῦ Υἱοῦ τὸ Πνεῦμα; εἰ γὰρ ἡ ἐκ τοῦ Πατρὸς ἐκπόρευσις τελεία (τελεία δὲ, ὅτι Θεὸς τέλειος ἐκ Θεοῦ τελείου), τίς ἡ ἐκ τοῦ Υἱοῦ ἐκπόρευσις καὶ διὰ τί; περιττὸν γὰρ εἴη τοῦτο καὶ μάταιον. Quod uberius evolvit Nicolaus Methonensis apud Hugonem Ether. (lib. I, c. 14, p. 1207): « Si perfecta ex Patre processio Spiritus (perfecta autem, quoniam Deus perfectus de Deo perfecto, Patre, Spiritus), quid, inquam, confert ad hanc illa, quæ ex Filio? Quorum si et hic aliquid confert, non est perfecta illa; quomodo enim perfecta, si tantum debabet, quantum illa confert? Si autem ex Filio processio Spiritus eadem (ei) quæ ex Patre processioni est, nihilque amplius est neque invenire neque dicere ad declarationem Spiritus perfectionis, superflua utique sit prorsus ea quæ ex Filio; at superfluus est atque vanus superfluum quid inducens in superconsummata supraperfectaque Trinitate. » Græcum textum suppeditat cod. Monac. 66, f. 78 a, b, cap. 11: Εἰ τελεία ἡ ἐκ τοῦ Πατρὸς ἐκπόρευσις τοῦ Πνεύματος (τελεία δὲ ὅτι Θεὸς τέλειος ἐκ Θεοῦ τελείου, τοῦ Πατρὸς, τὸ Πνεῦμα), τί δήποτε συντελεῖ πρὸς ταῦτα ἡ ἐκ τοῦ Υἱοῦ; εἰ μὲν γὰρ καὶ αὐτὴ συνεισφέρει τι, οὐ τελεία ἐκείνη· πῶς γὰρ τελεία, ἣ τοσοῦτον δεῖ, ὅσον αὕτη συνεισφέρει; εἰ δὲ παρὰ τὴν ἐκ τοῦ Πατρὸς ἐκπόρευσιν τοῦ Πνεύματος οὐδὲν ἔστι πλέον ἑτέρωθεν οὐθ' εὑρεῖν οὔτ' εἰπεῖν, περιττὴ πάντως ἡ ἐκ τοῦ Υἱοῦ· ἀλλὰ περιττὸς ὄντως καὶ μάταιος ὁ περιττόν τι παρεισάγων ἐν τῇ τελείᾳ θεότητι· οὐδὲ γὰρ ῥητέον, τὴν μὲν ἐκ τοῦ Πατρὸς ἐκπόρευσιν εἰς ὕπαρξιν τῆς οὐσίας τῷ Πνεύματι συντελεῖν, τὴν δὲ ἐκ τοῦ Υἱοῦ εἰς ἄλλο τι τῶν περὶ τὴν οὐσίαν θεωρουμένων, πάσης διπλόης καὶ συνθέσεως τῆς θείας φύσεως ἀπεληλαμένης.

(67) Sic Vatic. Monac. Τοῦτο μετὰ λογισμοῦ σκόπει.

(68) Hoc caput tum in Vatic. tum in Monac. cod. septimum numeratur. Argumentum affine est ei, quod cap. 3 prolatum est quodque sub variis formis sæpius redit. Quo et pertinet Joan. Phurnæ objectio apud Beccum, l. c., n. 51, 52 (*Gr. orth.* I, p. 184, 185): Εἰ πάντα ὅσα ἔχει ὁ Πατὴρ καὶ ὁ Υἱὸς, ταῦτα καὶ τὸ ἅγιον ἔχει Πνεῦμα, διὰ τὸ συμφυὲς καὶ ὁμόθεον, ἀναγκαίως πάντως τὸ καὶ ἐξ αὐτοῦ δεῖν ἐκπορεύεσθαί τι συναχθήσεται. Cf. etiam opusc. contra vet. Romæ assecias, cap. 8.

(69) Monac. f. 451 b: κἀνταῦθα.

(70) Monac. Τοῦ Πατρὸς τὸ Πν. ἐκπορευόμενον.

(71) Monac.: Ἄκρατα.

(72) Familiaris Photio exclamatio, quæ pariter occurrit epist. 2 encycl. n. 22, p. 54, ed. Lond. et ep. ad Aquilei. archiepisc. (apud Jager, *Histoire de Photius*. Append. p. 456).

(73) Monac. f. 452 a. Περιλειπόμενος. Sic. Col.

(74) Vatic. f. 198: Ἡμῖν Σαβέλλειον. Palat. f. 214 a. ἡμισαβέλιον. Mon. et Col. ἡμισαβέλλιον. Cf. opusc. secundo loco ed. infra c. 1. Arguit Photius: Si Patri et Filio est communis spiratio activa, personarum idiomata communicantur; sed his communicatis non amplius ab invicem distinguuntur; unde incidimus in Sabellianismum, qui Patris et Filii hypostases in unam contrahit. Similiter Joan. Phurnes apud Beccum, l. c., n. 50, p. 183: Εἰ τὸ Πνεῦμα τὸ ἅγιον ἐκ τοῦ Πατρὸς καὶ ἐκ τοῦ Υἱοῦ ἐκπορεύεται, τὸ ἴδιον μετακεκίνηται τοῦ Πατρός; et Nicolaus Methon. c. 4 (ex cod. Mon. 66, f. 76): Ἔτι εἰ ὥσπερ ἐκ τοῦ Πατρὸς, οὕτως καὶ ἐκ τοῦ Υἱοῦ κατὰ μίαν καὶ ἀδιάφορον πρόοδον ἐκπορεύεται τὸ Πνεῦμα, οὐ μόνον κοινοῦται τὸ πατρικὸν ἰδίωμα καὶ Πατὴρ καὶ Υἱὸς εἰς ἓν συγχέονται πρόσωπον, ἀλλὰ καὶ καθόλου τὸ ἓν καὶ ἡ ἁπλότης καὶ ἡ ἀμερία τῆς μιᾶς καὶ ἁπλῆς, μᾶλλον δὲ καὶ ὑπερηνωμένης καὶ ὑπερηπλωμένης τριάδος ὑπεροριζεται, καὶ Σαβέλλιος, μᾶλλον δέ τι τέρας ἡμισαβέλλιόν τε καὶ ἡμιάρειον ἀναφύεται, σύγχυσιν ὁμοῦ καὶ κατατομὴν διαπλέκον. Cf. de hac objectione Manuel Calec. l. III, c. Græc. (*Bibl. PP. max. Lugdun.* t. XXVI p. 438.)

(75) Monac. omitt. οὐδὲ γὰρ, et legit tantum Οὐδὲ ἡ δὴ κατά.

(76) Monac. Ἀξιώματος.

Digitized by Google Распознавание текста ABK/FR

tem, quæ scilicet denotat processionis causam ; cum hæc ipsa secundum impiorum fabulas in Filii refundatur et commisceatur proprietatem. Sectio enim rursus et partitio atque indivisi divisio. Si enim unum idiomatum suorum dat Pater et de proprietate, qua ipse per illud distinguitur, recedit, aliud vero iuviolatum servat, quomodo non concedent, partem quidem ipsius in idiomate considerari, partem vero una cum idiomatis innovatione dividi ? Verum horror subit, quod et eousque illorum blasphemiam in medium proferre sustinuimus.

11. Præter jam dicta, si duo principia in divina et supersubstantiali Trinitate conspiciuntur, ubinam erit toties decantatum ac Deo dignissimum monarchiæ robur ? Quomodo non impium irrepet polytheismi dogma, atque adeo atheismus ? Quomodo non sub specie christianismi superstitio gentilitatis ab his qui hæc audent asserere, introducetur ?

12. Rursum si duo principia in monarchica Trinitate admittantur, quomodo non etiam tertium ex eadem sententia prodiens emicabit ? Semel enim principio summo et independente de sua sede ab impiis exturbato et in binarium dejecto, faciliori ausu etiam ad ternarium sectio principii procedet ; quando quidem et in supernaturali atque individua singularique Deitatis natura ternarium potius quam binarium emicat, utpote quod et idiomatibus congruit et adaptatur.

13. Num ergo hæc Christianis sunt auribus toleranda ? Nonne iram et fletum, affectus ut plurimum insociabiles, impiorum istorum temeritas coire super ipsos cogit ? Iram quidem, quod tantam arrogantiam amentiamque conceperint ; fletum vero

A δήτοῦ δηλοῦντος [15] τὸ τῆς ἐκπορεύσεως αἴτιον (77) τούτου δὴ τούτου κατὰ τοὺς τῶν δυσσεβῶν μύθους εἰς τὸ τοῦ Υἱοῦ ἀναχεομένου τε (78) καὶ συνθλιβομένου ἰδίωμα, κατατομὴ γὰρ πάλιν καὶ διαίρεσις καὶ τοῦ ἀμερίστου μερισμός· εἰ γὰρ τὸ μὲν αὐτοῦ τῶν ἰδιωμάτων δίδωσιν ὁ Πατὴρ, καὶ τῆς κατ' αὐτὸ (79) χαρακτηριζούσης αὐτὸν ἐξίσταται ἰδιότητος, τοῦ δὲ συντηρεῖ τὸ ἀκήρατον, πῶς οὐχὶ τὸ μὲν αὐτοῦ δώσουσιν (80) ἐνθεωρεῖσθαι τῷ ἰδιώματι, τὸ δὲ (81) συνδιαιρεῖσθαι τῇ καινοτομίᾳ (82) τοῦ ἰδιώματος ; Ἀλλὰ γὰρ (83) φρίττειν ἔστι, ὅτι καὶ μέχρι τούτων τὴν βλασφημίαν αὐτῶν προαγαγεῖν ὑπηνέγκαμεν.

ια'. [θ'.] Χωρὶς δὲ τῶν εἰρημένων, εἰ δύο αἴτια ἐν τῇ θεαρχικῇ καὶ ὑπερουσίῳ Τριάδι καθορᾶται, ποῦ τὸ τῆς μοναρχίας πολυύμνητον καὶ θεοπρεπὲς κράB τος (84) ; [ι'·] Πῶς οὐχὶ τὸ τῆς πολυθείας ἄθεον νῦν ἐπικωμάσει (85) ; [ια'] Πῶς δ' οὐκ ἐν προσχήματι Χριστιανισμοῦ ἡ δεισιδαιμονία τῆς Ἑλληνικῆς πλάνης τοῖς ταῦτα (86) λέγειν τολμῶσιν οὐ συνεισελάσει (87) ;

ιβ'. [ιβ'.] Πάλιν εἰ δύο αἴτια τῆς μοναρχικῆς Τριάδος ἐπαναβέβηκε, πῶς οὐχὶ καὶ τὸ τρίτον τῆς αὐτῆς συνανακύψει γνώμης προερχόμενον ; Ἄπαξ γὰρ τῆς ἀνάρχου καὶ ὑπεραρχίου ἀρχῆς τῆς οἰκείας ἕδρας τοῖς δυσσεβέσι περιτραπείσης καὶ εἰς δυάδα διατμηθείσης, νεανικώτερον (88) καὶ πρὸς τὴν Τριάδα ἡ κατατομὴ τῆς ἀρχῆς προελεύσεται, ἐπεὶ κἂν τῇ [16] ὑπερφυεῖ καὶ ἀμερεῖ καὶ ἑνιαίᾳ τῆς θεότητος φύσει τὸ τριαδικὸν μᾶλλον ἢ τὸ δυαδικὸν (89) ἀναφαίνεται, οἷα δὴ καὶ τοῖς ἰδιώμασιν ἁρμοζόμεC νον (90).

ιγ'. [ιγ'.] Ἆρα Χριστιανῶν ἀκοαῖς ἀνεκτὰ ταῦτα ; ἆρ' οὐκ ὀργὴν καὶ θρῆνον, τὰ τῶν παθῶν ὡς ἐπίπαν ἀσυνδύαστα, οἱ δυσσεβεῖν θρασυνθέντες (91) εἰς ἓν ἐπ' αὐτῶν συνελθεῖν (92) ἐκβιάζονται (93) ; ὀργὴν μὲν, οἷς τοσαύτην ἀπόνοιαν ἀνελάβοντο· θρῆνον δὲ,

VARIÆ LECTIONES ET NOTÆ.

(77) Monac. Αἰτίαν.
(78) Τε deest in Monac.
(79) Col. Κατὰ αὐτό.
(80) Monac. Ἑαυτοῦ δίδωσι
(81) Monac. Τῷ δὲ σύνδ.
(82) Col. Κενοτομία.
(83) Col. Ἰδ. καὶ ἀλλὰ γάρ.
(84) Similiter Photius ep. ad Aquilei. l. c. Ἡ ἐν Τριάδι μοναρχία φροῦδος οἰχήσεται. Nicol. Methon. c. 2 in fine : Καὶ ἅμα ἡ δυαρχία τὴν μοναρχίαν ἀπὸ τῆς μιᾶς ἐξορίζει θεότητος.
(85) Monac. Ἐπεισκωμάσει. Sic Col.
(86) Monac. Πλάνης τοιαῦτα λέγειν τολμ. Etiam in Vatic. erat τοιαῦτα, sed οι rasum est.
(87) Monac. Συνελάσει.
(88) Monac. Νενεανικώτερον.
(89) Sæpe Photiani objiciunt, dualitatem causa rum absurdam esse, derivari τὴν μονάδα ἐκ τῆς δυάδος et similia. Nicolaus Methon. apud Hugon. Ether. (l. I, c. 3, p. 1201) : « Si Spiritus ex Patre et Filio procedit, erit utique unum ex duobus, et duo principia unius ; unus enim est Spiritus sanctus, ut Pater unus et Filius unus ; Pater autem et Filius non unus, sed duo, licet natura unum sint ; alius enim et alius, quamvis non aliud et aliud. At omnium rerum rationes in Deo sunt et ab ipso in res-

universas distribuuntur. Quare omnis erit quæ in rebus prospicitur unitas ex dualitate et dualitas principium unitatis, quod est inconveniens. » Hæc quoad priorem partem et Nicolao Græce adducit Beccus orat. 1, *De unit. Eccl.* n. 61 (G. O. I. 203) ; integrum textum dat cod. Monac. 66 f. 76 a, cap. 1 : D Ὡμολογησαμένου (sic in cod., Becc. ὡμολογημένου), τοῦ, ὅτι τὸ ἐκπορεύεσθαι ἰδίωμα τοῦ Πνεύματός ἐστι παραστατικὸν, τῆς ὑποστατικῆς ἦγουν προσωπτικῆς αὐτοῦ ὑπάρξεως· εἰ τὸ Πνεῦμα ἐκ τοῦ Πατρὸς καὶ ἐκ τοῦ Υἱοῦ ἐκπορεύεται, εἴη ἂν τὸ ἓν ἐκ τῶν δύο καὶ οἱ δύο ἀρχὴ τοῦ ἑνός (ap. Beccum : Δύο ἀρχαὶ ἔσονται τοῦ ἑνός). ἓν γὰρ τὸ Πνεῦμα τὸ ἅγιον, ὡς καὶ ὁ Πατὴρ εἷς καὶ ὁ Υἱὸς εἷς· Πατὴρ δὲ καὶ Υἱὸς οὐχ εἷς, ἀλλὰ δύο, εἰ καὶ τῇ φύσει ἕν· ἄλλος γὰρ καὶ ἄλλος, εἰ καὶ μὴ ἄλλο καὶ ἄλλο. Καὶ ἐπεὶ τῶν ὄντων πάντων οἱ λόγοι πρόεισιν ἐν τῷ Θεῷ, κἀκεῖθεν εἰς τὰ ὄντα διανέμονται, εἷς ἂν καὶ πᾶσα ἡ ἐν τοῖς οὖσι θεωρουμένη μονὰς ἐκ δυάδος, καὶ ἡ δυὰς ἀρχὴ τῆς μονάδος, ὅπερ ἄτοπον.
(90) Cf. cum hoc capite, cap. 42.
(91) Monac. Δυσσεβεῖς θρασυνθέτες (sic).
(92) Monac. Εἰς ἓν συνελθεῖν ἐπ' αὐτῶν.
(93) Monac. Οὐ βιάζονται, sic habuit et Vaticanus f. 198 ; sed posteriori manu τῷ οὐ superscriptum fuit ex. Col. et Mon.

Digitized by Google Распознавание текста ABK/FR

οἷς πρὸς ὄλεθρον ἀβοήθητον καταφέρονται· ἡ γὰρ εὐσέβεια, κἂν ὀργιζομένη, τὸν τοῦ ὁμοφυοῦς οἶκτον οὐκ ἀποτίθεται.

ιδ'. [ιδ'.] Σκοπεῖν δὲ τὸ τῆς δυσσεβείας μέγεθος οὐδὲ διὰ [17] τῶν ῥηθησομένων ἐστὶ δυσχερές. Εἰ γὰρ μετὰ τὴν ἄναρχον καὶ πατρικὴν ἀρχὴν καὶ αἰτίαν ὁμοουσίου πάλιν ἀρχὴ καθίσταται καὶ αἴτιον (94) ὁ Υἱὸς, πῶς ἂν τις διαφύγοι μὴ δύο λέγειν ἐν τῇ (95) Τριάδι παραλλαττούσας ἀρχὰς, τὴν μὲν τὸ ἄναρχον ἔχουσαν καὶ ἑστηριγμένην ἐν αὐτῷ, τὴν δὲ ἀρχομένην τε ἅμα καὶ πρὸς ἀρχὴν ἀνατρέχουσαν καὶ συμμεταφερομένην τῇ τῶν σχέσεων διαφορᾷ (96);

ιε'. [ιε'.] Εἰ δ' αἴτιος ὁ Πατὴρ τῶν ἐξ αὐτοῦ, οὐ τῷ λόγῳ τῆς φύσεως (97), τῷ δὲ λόγῳ τῆς ὑποστάσεως, ὁ δὲ λόγος τῆς πατρικῆς ὑποστάσεως οὐδενὶ μέχρι νῦν (98) περιορίζειν καὶ τὴν τοῦ Υἱοῦ ὑπόστασιν δεδυσσέβηται (οὐδὲ γὰρ οὐδὲ Σαβελλίῳ τὴν Υἱοπατορίαν τερατευσαμένῳ (99) δεδυσφήμηται) οὔμενουν οὐκ ἂν εἴη οὐδενὶ τρόπῳ οὐδενὸς τῶν ἐν τῇ Τριάδι αἴτιος ὁ Υἱός (1).

[18]] ις'. [ις.] Οὐδὲ τοῦτο δὲ χρὴ παραδραμεῖν, ὅτι καὶ αὐτὴν ὑπόστασιν τοῦ Πατρὸς εἰς δύο τὸ δυσσέβημα διαιρεῖ· ἢ πάντως γε τὸ τοῦ Υἱοῦ πρόσωπον εἰς μέρος ἀνειλῆφθαι τῆς πατρικῆς ὑποστάσεως νομοθετεῖ. Εἰ γὰρ, ὡς εἴρηται, οὐ τῷ λόγῳ τῆς φύσεως, τῷ δὲ λόγῳ τῆς ὑποστάσεως αἴτιός ἐστιν ὁ Πατὴρ τῶν ἐξ αὐτοῦ (2), ἐστὶ δὲ καὶ τοῦ Πνεύματος αἴτιος ὁ Υἱὸς, ὡς ἡ θεομαχία βοᾷ, ἢ συμμεριζόμενον ἀποφῆναι (3) τὴν πατρικὴν ὑπόστασιν τὸν Υἱὸν, ἐξ ἧς καὶ τὸ αἴτιον παρέσχε λαβεῖν, ἢ τὸν Υἱὸν ἀναπληροῦντα τὸ πρόσωπον τοῦ Πατρὸς, ἐκεῖνο δὲ (4) συναποτολμῆσαι λέγειν πρὸ (5) τῆς ἀναπληρώσεως ἐνδεές· καὶ τὸν Υἱὸν μέρος χρηματίσαντα πατρικὸν, τὸ

quod in perniciem irreparabilem præcipites agantur. Pietas enim, etiam dum irascitur, proximi sui commiserationem non abjicit (non deponit).

14. Porro etiam per ea quæ mox dicentur facile est impietatis magnitudinem conspicari. Si enim post supremum et independens paternum principium causamque iterum consubstantialis personæ principium et causa constituitur Filius, quomodo quis effugiet a duobus asserendis in Trinitate principiis, quorum alterum principio careat et in hac principii carentia fundetur et firmetur, alterum vero principiatum simul et ad principium recurrat et una cum relationum differentia producatur?

15. Quod si Pater est causa personarum ab ipso procedentium non ratione naturæ, sed ratione personæ, ratione autem paternæ personæ contineri et includi etiam Filii personam nemo hactenus, licet sublestus et impius affirmavit (ne ipse quidem Sabellius, qui monstrosum Filiopaternitatis commentum excogitavit), nullatenus profecto Filius poterit causa esse ullius in Trinitate personæ.

16. Neque vero et hoc prætereundum, quod ipsam quoque Patris personam in duas impia illa doctrina dividit, vel certe Filii personam in partem paternæ hypostaseos assumi sancit ac statuit. Si enim, ut modo dictum est, non ratione naturæ, sed ratione hypostaseos Pater est causa prodeuntium ab ipso personarum; est vero et Spiritus causa Filius quemadmodum sacrilega ista sententia clamat; necessario affirmare cogimur, aut Filium una cum Patre esse paternæ hypostaseos participem, ex qua et hoc habuerit, quod sit causa, aut Filium personam complere Patris, quæ proinde ante hoc complementum indiga et deficiens, sicque admit-

VARIÆ LECTIONES ET NOTÆ.

(94) Monac. αἴτιος.
(95) Τῇ deest in Monac.
(96) Hugo Etherianus (l. II, c. 3. p. 1216 G.): « Methonensis antistes paralogismos texit ordiendo: si cum Patre, quæ (l. qui) est sine initio et causa, consubstantiale (—is) rursus principium exsistit Filius : duo sunt in Trinitate diversa principia; hoc quidem in eo, quod sine principio est, principatuque dignitatis consolidatum, hoc vero in eo, quod intercidens et initians simul et initiatum habitudinumque differentia conjugum sit. » Græce in Cod. Mon. 66 f. 78 b, cap. 12 : Εἰ καὶ μετὰ τῆς ἀνάρχου καὶ πατρικῆς ἀρχῆς καὶ αἰτίας ὁμοουσίου πάλιν ἀρχὴ καθίσταται ὁ Υἱὸς, εἶεν ἂν ἐν τῇ Τριάδι δύο ἀρχαὶ παραλλάττουσαι· ἡ μὲν ἐν τῷ ἀνάρχῳ καὶ μόνῳ τῷ ἀρχικῷ ἀξιώματι ἑστηριγμένη, ἡ δὲ μεταπίπτουσα καὶ ἀρχομένη τε καὶ ἄρχουσα, καὶ τῇ τῶν σχέσεων διαφορᾷ συνδυάζομένη.
(97) Monac. : οὐ λόγῳ τῆς φ.
(98) Monac. : μέχρι τοῦ νῦν.
(99) Monac. : τερατευσαμένην.
(1) Hoc Photii argumentum nonnullis detruncatum refert Hugo Ether. (l. II. c. 18, p. 1233 C) : « Si causa est Pater eorum, quæ ex ipso sunt, non ratione naturæ, ratione vero personæ; sed ratio personæ paternæ a nullo usque nunc includere personam Filii impie dicta est ; nequaquam igitur sit alicujus eorum, qui in Trinitate, causa Filius. » Huc spectat Nicolai Methonensis ratiocinatio (lib. II, c, 3, p. 1217 G) : « Si Pater eorum causa est, qui ex ipso sunt, secundum quod major non ratione naturæ, sed ratione personæ; ratio autem paternæ personæ non convenit Filio, qua sit ratione unius in Trinitate, scil. Spiritus, causa, Filius? Naturæ? Itaque natura major est et pneumatomachia manifesta. At ratione personæ; ergo coaptabitur rationi personæ Patris, quo Filius a Sabellio, qui eum prodigialiter Patrem asserebat, infamatus est; nulla ratione Spiritus causa Filius exsistit. » Græce in Cod. Mon. 66, f. 78 b, cap. 13 : εἰ ὁ Πατὴρ αἴτιος τῶν ἐξ αὐτοῦ, καθὸ καὶ μείζων, οὐ τῷ λόγῳ τῆς φύσεως, ἀλλὰ τῷ λόγῳ τῆς ὑποστάσεως, ὁ δὲ λόγος τῆς πατρικῆς ὑποστάσεως οὐκ ἐφαρμόξει καὶ τῷ Υἱῷ, τίνι ἂν εἴη λόγῳ τοῦ ἐν τῇ Τριάδι Πνεύματος αἴτιος ὁ Υἱός; τῷ τῆς φύσεως; οὐκοῦν καὶ μείζων ἔσται (λόγῳ) τῆς φύσεως καὶ πνευματομαχία δηλοῦται· ἀλλὰ τῷ τῆς ὑποστάσεως· οὐκοῦν συνεφαρμόζεται τῷ λόγῳ τῆς ὑποστάσεως· ὅπερ οὐδὲ τῷ υἱοπατορίαν τερατευσαμένῳ δεδυσφήμηται Σαβελλίῳ· οὐδενὶ ἄρα λόγῳ αἴτιον τοῦ Πνεύματος ὁ Υἱός. — Editus Hugonis Etheriani textus nonnihil depravatus et pessima interpunctione laborans sæpius ex græcis, quos citat, auctoribus corrigendus est.
(2) Col. : τοῦ ἐξ αὐτοῦ.
(3) Col. : ἀποφανεῖται.
(4) Monac. : ἐκεῖνό τε Sic Col.
(5) Monac. : πρός.

Digitized by Google Распознавание текста ABK/FR

tendo Filium quamdam esse portionem Patris, tremendum Trinitatis mysterium in binarium circumcidemus.

17. Ingens quoque aliorum zizaniorum copia ex malo hoc semine ab initio posito germinaverit; quod tamen non dormientibus, ut videtur, verum mortis secundum animam vigiliam vigilantibus quærentibusque insanis istis, quomodo supremum illud ingenuum et salutare semen adulterarent, superveniens humani generis hostis in miseris ipsorum animabus seminavit. Etenim quidquid proprie (per se) proprium alicujus est, si de duobus aliquibus, re ipsa ab illo translatum accipiatur, ac de uno quidem vere affirmetur, de altero non item, duo illa proposita diversæ naturæ esse ostendit; verbi gratia risibile (risivum), quod per se est homini proprium, et Josue quidem Israelis duci apte congruit, conspecto autem angelo principi copiarum Domini nullo omnino pacto convenit, perspicue ostendit, ducem illum populi nullatenus esse ejusdem atque archangelum substantiæ vel naturæ existimandum. Sicque in cæteris rebus omnibus qui eadem processerit methodo, clare ac nullo labore eamdem veritatem nanciscetur. Quod si istud ubique viget et eodem modo consideratur, processio autem Spiritus ex Patre paternam prædicat proprietatem, hæc vero, ut hæresis jactitat, congruit quidem Filio, Spiritui autem nequaquam (nondum enim quisquam istam blasphemiam animo concepit), quod hinc sequitur, ipsi talium malorum institutores contra suamet capita colligant. Quod si Spiritus processionem non esse paternam proprie-

φρικτὸν τῆς Τριάδος μυστήριον εἰς δυάδα περιτεμεῖν (6).

[19.] ιζ'. [ιζ'.] Καὶ πολὺ ἂν εἴη ζιζανίων ἄλλο πλῆθος ἀπὸ τῆς ἐξ ἀρχῆς καταβληθείσης πονηρᾶς ἀναβλαστάνον σπορᾶς· ἣν οὐχὶ καθευδόντων, ὡς ἔοικεν, ἀλλὰ τὸν (7) κατὰ ψυχὴν ἐγρηγορότων θάνατον καὶ ζητούντων τῶν φρενοβλαβῶν, ὅπως τὸν ἄνωθεν καὶ εὐγενῆ καὶ σωτήριον ἐπινοθεύσωσι σπόρον (8) ἐπελθὼν ὁ τοῦ γένους ἐχθρὸς ταῖς αὐτῶν κατέσπειρεν (9) ἀθλίαις ψυχαῖς [10]. Καὶ γὰρ (11) ἅπαν κυρίως ἴδιόν τινος ἐπὶ δύο τινῶν ἀπ' ἐκείνου πραγματικῶς λαμβανόμενον, καὶ κατὰ θατέρου μὲν ἀληθῶς λεγόμενον, κατὰ δὲ τοῦ ἑτέρου οὐκέτι, ἑτεροφυῆ τὰ προτεθέντα δείκνυσιν· αὐτίκα τὸ γελαστικὸν ἀνθρώπου κυρίως ἴδιον ὂν καὶ Ἰησοῦ μὲν εἰ τύχοι τῷ δημαγωγῷ τοῦ Ἰσραὴλ ἁρμοζόμενον, τῷ δὲ ἐπιστάντι αὐτῷ ἀρχιστρατήγῳ τῆς τοῦ Κυρίου δυνάμεώς (12) [20] κατὰ πάντα διϊστάμενον, ὁρᾷν (13) ἐναργῶς δίδωσιν οὐχ ὁμοφυῆ τὸν δημαγωγὸν οὔμενουν τῷ ἀρχαγγέλῳ νομίζειν οὐδ' ὁμοούσιον. Καὶ ἐπὶ τῶν ἄλλων ἁπάντων ὁ διὰ τῆς αὐτῆς μεθόδου προϊὼν σαφῶς τε καὶ ἀταλαιπώρως εὑρήσει τὴν αὐτὴν θεωρίαν προβαίνουσαν (14). Εἰ δὲ τοῦτο παντὸς κρατεῖ καὶ τὴν αὐτὴν ἀποσώζει διάνοιαν, ἐστὶ δὲ τοῦ Πνεύματος ἡ ἐκ τοῦ Πατρὸς ἐκπόρευσις τὸ πατρικὸν ἀνακηρύττουσα ἴδιον, τοῦτο δὲ κατὰ τὸ φρόαγμα τῆς αἱρέσεως ἐφαρμόζεται μὲν τῷ Υἱῷ, κατὰ δέ τοῦ Πνεύματος οὐδαμῶς [οὕπω γὰρ τις τοῦτο τὸ δύσφημον ἐννοήσειε (15)]· τὸ ἐξῆς αὐτοὶ κατὰ τῆς ἑαυτῶν κεφαλῆς οἱ τῶν τηλικούτων κακῶν εἰσηγηταὶ συναγέναωσαν (16)· εἰ δὲ μὴ πατρικὸν ἴδιον τὴν τοῦ Πνεύματος

VARIÆ LECTIONES ET NOTÆ.

(6) Initium hujus cap. profert Hugo Etherianus (l. II, c. 18, p. 1233): « At hoc autem neque hic convenit præterire, quoniam et ipsam personam Patris in duo divisit impietas, aut prorsus Filii personam in partem recipi paternæ personæ asseverat. » — Nicol. Methon. cap. 14 ita Photii argumentum recitat: εἰ ἐν τῷ αὐτῷ λόγῳ, δηλαδὴ τῷ τῆς ὑποστάσεως, αἴτιος τοῦ Πνεύματος ὁ Υἱός, ᾧ καὶ ὁ Πατὴρ αἴτιος τῶν ἐξ ἑαυτοῦ, δύο ταῦτα κατὰ ταὐτὸν ἄτοπα συμβαίνει· μέρος τε λέγειν τὸν Υἱὸν τῆς πατρικῆς ὑποστάσεως· εἶπερ ὁ μὲν τῶν δύο, ὁ δὲ τοῦ ἑνὸς τοῦτων αἴτιος· καὶ ἀναπληροῦντα τὸ τοῦ Πατρὸς πρόσωπον, ὡς ἄρα πρὸ τῆς ἀναπληρώσεως ἐνδεές. Apud Hugon. Eth. (l. II, c. 3, p. 1217). « Nam si eadem ratione causa personæ Spiritus exstat Filius, qua et Pater eorum, qui ex ipso sunt, causa est: duo hæc secundum idem accidunt inconvenientia: partem (editio habet: patrem) quidem dicere Filium paternæ hypostaseos, cum hic quidem duorum, hic vero unius eorum causa exsistat, et quod actu compleat Patris personam, quasi ante completionem imminutam. »

(7) Mon.: f. 452 a, : τῶν.

(8) Mon.: σπόρον ἐπινοθεύσωσιν.

(9) Mon.: κατασπείρων.

(10) Apud Hugon. Ether. (l. II, c. 18, p. 1223 D.); « Et quidem multa et zizaniorum alia multitudo, ab ea quæ a principio invecta est, mala pullulans dispersione. Quæ non dormientium, ut videtur, sed secundum animam vigilantium, mortem quærentium insanorum, ut supremum (l. supernum), generosum et salutare degener efficiat (sic) semen, superveniens generis inimicus in eorum sevit (ed. habet: sævit) miseris animabus zizania).

(11) Mon.: οὐ γάρ.

(12) Josue V. 14. Comparat Josue cum Archangelo protectore.

(13) Ὁρᾷν deest in Monac.

(14) Eamdem doctrinam ita illustrat Nicol. Methonensis cap. 24 (Cod. Mon. 66, f. 80 a): Πᾶν ἴδιόν τινος ἀπ' ἐκείνου μεταλαμβανόμενον, οὗπερ ἂν ἴδιον ᾖ, καὶ καθ' ἑτέρων τινῶν δύο λεγόμενον, εἰ μὲν κατ' ἀμφοῖν ἐπίσης ἀληθεύεται, ὁμοφυοῦς· εἰ δὲ κατὰ τοῦ ἑνὸς, τοῦ ἑτέρου δὲ μή, ἑτεροφυῆ τὰ δύο ταῦτα δείκνυσιν ὄντα· οἷον φέρε εἰπεῖν· τὸ γελαστικὸν ἴδιον ὂν τοῦ κατὰ τὸν ἄνθρωπον εἴδους, ἀπὸ τούτου δὴ μεταλαμβανόμενον λεγέσθω πρῶτον κατὰ τινων δύο καὶ ἀληθευέτω, οἷον Σωκράτους καὶ Πλάτωνος· γελαστικὸν γὰρ ἑκάτερον τούτων· οὐκοῦν καὶ ὁμοφυὴς Σωκράτης καὶ Πλάτων· λεγέσθω πάλιν καὶ καθ' ἑτέρων δύο, καὶ κατὰ μὲν τοῦ ἑνὸς ἀληθευέτω, κατὰ δὲ τοῦ ἑτέρου μηκέτι· οἷον κατὰ τοῦ Σωκράτους καὶ κατὰ τῆς γεγραμμένης εἰκόνος αὐτοῦ· ὁ μὲν γάρ Σωκράτης ὄντως πλαστικὸν (lege : γελαστικὸν), ἡ δὲ εἰκὼν αὐτοῦ οὐκέτι· ἑτεροφυῆ ἄρα τὰ δύο ταῦτα, Σωκράτης καὶ εἰκὼν αὐτοῦ.

(15) Mon.: οὐδαμοῦ· οὕτω γάρ τις τοῦτο τὸ δύσφ. ἐνενόησε.

(16) Nicol. Methon. l. c. hæc uberius evolvit ita pergens: Κατὰ δὴ τὸν αὐτὸν λόγον ἐπειδὴ τὸ προάγειν τὸ Πνεῦμα ἐξ ἑαυτοῦ ἴδιόν ἐστι τοῦ Πατρὸς, τοῦτο δὲ ἀπὸ τοῦ Πατρὸς μεταλαμβανόμενον καὶ κατὰ τοῦ

Digitized by Google Распознавание текста ABK/FR

ἐκπόρευσιν φήσουσι, δηλονότι οὐδὲ τοῦ [21] Υἱοῦ. A
ἐπεὶ δὲ οὐδὲ τοῦ Πνεύματος (17), λεγέτωσαν οἱ πάντα
λέγειν θρασεῖς, πῶς ὁ μηδενός ἐστιν ἴδιον τῶν τριῶν,
ἀλλὰ μηδὲ (18) κοινόν, χώραν ὅλως ἔχει θεωρεῖσθαι
ἐφ' ἑνός τινος τῶν ὑποστάσεων τῶν θεαρχικῶν (19);

ιη'. [ιη'] Παραπλήσιον δὲ τοῖς εἰρημένοις καὶ
τοῦτο· Εἰ τὸ ἴδιον τοῦ Πατρὸς εἰς τὴν ἰδιότητα μετα-
βάλλεται τοῦ Υἱοῦ (20), καὶ τὸ ἴδιον δηλονότι τοῦ
Υἱοῦ εἴη ἂν εἰς τὴν ἰδιότητα μεταβαλλόμενον τοῦ
Πατρός. Ἅπαξ γὰρ ὁδὸν ἀνατεμούσης τῆς δυσσεβοῦς
γλωσσαλγίας, δι' ἧς τὰ τῶν ὑποστάσεων χαρακτη-
ριστικὰ ἰδιώματα μεταπίπτειν καὶ ἀντιπερίστασθαι
βούλεται (21), καὶ ὁ πατὴρ αὐτοῖς (22) (ὦ βάθος ἀσε-
βείας!) ὑπελεύσεται τὴν γέννησιν, ὅτε γεγέννηται ὁ
Υἱός· ἔδει (23) γὰρ τοὺς πάντα τολμητὰς (24), ὡς B
ἔοικε, μηδὲ τὴν τοιαύτην θεομαχίαν ἀτόλμητον λι-
πεῖν (25).

ιθ'. [ιθ'.] Καθόλου δὲ ἐπὶ πάντων τῶν κυρίως ἰδίων,
ἐπειδ' ἄν τι τούτων κατά τινος πραγματικῶς ὑποστά-
σεως ἀπὸ τοῦ πρώτως ἐξιδιωσαμένου μεταλαμβανό-
μενον ἀληθεύοι, εἰ καὶ μὴ τὸ ἀξίωμα τῆς ἀντιστρο-
φῆς αὐτῷ (26) συνεπάγοιτο, ἐκεῖνο (27) δὴ τὸ παρέχον
ἑτέρῳ μετέχειν τοῦ ἰδιώματος εἰς [22] λόγον ὁρῶμεν
ἀναγόμενον φύσεως. Εἰ οὖν ὅπερ ἦν ἴδιον ἀπ' ἀρχῆς
ἐγνωσμένον τοῦ Πατρός, τοῦτο οἴδωσιν ἡ τόλμα
παρεῖναι (28) καὶ τῷ Υἱῷ, συνοράτω καὶ ἄκουσα,
πρὸς οἷον αὐτῆς τέλος καταστρέφει τὸ θεοστυγές·
ἀκόλουθον δ' ἄρα, ὡς ἔοικεν, ἦν τοῖς ἐρασταῖς τοῦ
ψεύδους, κατὰ τῶν ἰδιωμάτων ἐφάπαξ ἐκμεμηνόσι,
τοῦ Πατρὸς καὶ αὐτήν γε παντελῶς τὴν ὑπόστασιν C
εἰς φύσιν ἀναλῦσαι καὶ τὸ αἴτιον ὅλως περιελεῖν τῶν
θεαρχικῶν ὑποστάσεων (29).

κ'. [κ'.] Ναί, φησὶν, ἀλλ' ὁ Σωτὴρ ἔφη (30) τοὺς
μαθητὰς μυσταγωγῶν, ὅτι (31) Τὸ Πνεῦμα ἐκ τοῦ
ἐμοῦ λήψεται καὶ ἀναγγελεῖ ὑμῖν. Καὶ τίνα ἂν
λάθοις (32-33), ὡς ἐπὶ τὴν τοῦ Σωτῆρος κατέφυγες

talem dixerint, profecto nec Filii proprietas erit, quoniam vero nec Spiritus est, dicant qui omnia dicere audent, quomodo quod nullius trium personarum est proprium sed nec commune, locum omnino habeat, ut in aliqua divinarum hypostaseon intelligatur.

18. Affine autem jam dictis et hoc: Si quod proprium est Patris transfertur in proprietatem Filii, profecto et quod proprium Filii in Patris proprietatem erit transferendum. Ubi enim impia garrulitas semel aperuit viam, qua notionales hypostaseon proprietates mutuo transitu alias in alias migrare et mutari vult, Pater quoque per ipsos (o impietatis profunditatem!) subibit generationem, quia generatus est Filius; oportebat enim audacissimos istos nec ab hoc quidem impio ausu sibi temperare.

19. Universim vero in omnibus per se propriis quando aliquid horum de aliqua realiter hypostasi ab eo, quod illud sibi primario ut proprium vindicavit, acceptum verificatur, tametsi dignitatem reciprocæ conversionis secum non trahat, attamen illud, quod alteri præbet ut proprietatis sit particeps, videmus in naturæ rationem reduci. Si ergo quod ab initio proprium Patris agnoscebatur, hoc audacia istorum Filio quoque habendum tradit, videant vel inviti, quo demum ipsorum impietas desinat. Consequens enim foret, ab istis mendacii amatoribus contra Patris proprietates semel debacchatis, ipsam quoque hypostasin omnino in naturam resolvi, ita ut causæ ratio penitus a divinis hypostasibus auferatur.

20. Ita sane, inquiunt. At Salvator dixit discipulos erudiens et instruens, quod, *Spiritus de meo accipiet et annuntiabit vobis* [47]. Et quis non videt, te ad hanc Salvatoris confugisse vocem, non ut

[47] Joan. XVI, 14.

VARIÆ LECTIONES ET NOTÆ.

υἱοῦ λεγόμενον καὶ τοῦ πνεύματος, εἰ κατὰ μὲν τοῦ υἱοῦ ἀληθεύει, ὡς τὸ καινὸν δόγμα φησί, κατὰ δὲ τοῦ πνεύματος οὐκέτι (οὐδὲ γὰρ αὐτὸ ἑαυτὸ προβάλλει). ἑτεροφυῆ ἄρα ταῦτα, ὁ υἱὸς καὶ τὸ πνεῦμα· εἰ δὲ ταῦτα ὁμοφυῆ, ἢ κατ' ἀμφοῖν ἀληθευέτω τὸ προβάλλειν τὸ πνεῦμα ἐξ αὐτῶν ἢ εἰ μὴ κατὰ τοῦ ἑνὸς, οὐδὲ κατὰ τοῦ λοιποῦ ἀληθεύει.

(17) Mon.: πατρός.

(18) Cod. Col. ἀλλ' οὐδέ.

(19) Rursum Nicol. Methon. c. 9. vers. fin.: εἰ δὲ μήτε κοινὴ τῶν τριῶν, μήθ' ἑτός τινος τῶν τριῶν ἰδία, οὐδ' ἄρα ὅλως θεωρηθήσεται ἐπὶ τῆς τριάδος ἡ τοῦ πνεύματος προβολὴ, καὶ συνοιχήσεται καὶ τὸ πνεῦμα· ἀλλ' ἐπὶ κεφαλῆς τοῦ καινοτομοῦντος τὸ βλάσφημον ἀναφέροιτο!

(20) Monac.: Πατρὸς μεταβάλλεται εἰς τὴν ἰδ. τοῦ υἱοῦ. In Mon. hoc cap. signatur ιδ'.

(21) Mon.: ἀντιπεριίσταται βούλονται.

(22) Mon.: αὐτῆς.

(23) Mon.: εἶδει.

(24) Mon.: τολμῶντας.

(25) Nicol. Methon. c. 26 (l. c. f. 89 b.): ὅτι εἰ τὸ ἴδιον τοῦ πατρὸς εἰς τὸν υἱὸν μεταφέρεται, τί μὴ καὶ τὸ ἴδιον τοῦ υἱοῦ εἰς τὸν πατέρα ἀντιπερίσταται, ἵνα καὶ ὁ πατὴρ γεννητὸς ᾖ, ὡς μηδὲν εἶδος βλασφημίας ἀτόλμητον καταλείπεσθαι;

(26) Sic in cod. Col. 277.

(27) Mon.: κἀκεῖνο.

(28) Παρεῖναι deest in Mon.

(29) Nicol. Methon. c. 27: Οὐδὲν ἴδιόν τινος ὑποστάσεως ἑτέρᾳ ὑποστάσει ἐφαρμόζειν δύναται· ἀλλ' ἐπειδὰν ἴδιόν τι ἀπὸ τοῦ πρώτως ἐξιδιωσαμένου κατά τινος ὑποστάσεως πραγματικῶς ἀληθεύει, ἐκεῖνο τὸ πρώτως αὐτὸ ἐξιδιωσάμενον εἰς λόγον ἀνάγεται φύσεως· οἷον τὸ γελαστικὸν πρῶτον ἐξιδιοῦται ὁ καθόλου λεγόμενος ἄνθρωπος, ἀπὸ δὲ τούτου μεταλαμβανόμενον ἀληθεύει πραγματικῶς κατὰ πάντων τῶν κατὰ μέρος ἀνθρώπων· ἀλλ' ὁ καθόλου ἄνθρωπος ὁ πρῶτος τὸ γελαστικὸν ἐξιδιωσάμενος οὐχ ὑποστάσεως, ἀλλὰ φύσεώς ἐστιν ὄνομα. Εἰ τοίνυν καὶ τὸ προάγειν τὸ πνεῦμα πρῶτος μὲν ἐξιδιοῦται ὁ πατὴρ, ἐξ αὐτοῦ δὲ μεταλαμβάνει τοῦτο καὶ ὁ υἱὸς, ὑπόστασις ὤν, ἀκόλουθον ἂν εἴη τὸν πατέρα λέγειν μὴ εἶναι ὑπόστασιν, ἀλλὰ φύσιν· εἰ δὲ τοῦτο, μηδ' εἶναι ὅλως πατέρα. — Cohæret hoc cap. intime cum c. 17.

(30) Col. ἔφησε.

(31) Mon.: ἡ τί· sed ed. marg.: ἴσως· ὅτι.

(32-33) Mon.: λάθῃς.

Digitized by Google Распознавание текста ABK/FR

patrocinium invenias, sed ut ipsum quoque Dominum, perennen veritatis fontem, dissonantiæ insimules? Sic enim lingua tua ad quidlibet audendum est prona et ad ansas, ubi nullæ sunt, confingendas et excogitandas. Si enim hic ipse humani generis Conditor et curator modo quidem Spiritum docet a Patre procedere, nullatenus adjiciens, quod et a se procedat, sed illum (Patrem) solum causam, quemadmodum suæ generationis, ita et Spiritus processionis credi a nobis et prædicari jubet; modo autem, ut tu asseris, quia dicit: *De meo accipiet* [48], alto quidem silentio compressit priorem institutionem ac doctrinam; quanquam oportebat, ut in secundam ingressus initiationem prioris quoque memoriam refricaret, doctrinasque adeo inter se dissitas conjungeret et ad invicem conciliaret; ille vero hoc quod faciendum erat non facit, et loco dicendi, Spiritum a Patre procedere, in ipsum processionem Spiritus transfert: quo modo non evidenter evincitur. substantialem atque inalterabilem veritatem a te inique dissonantiæ insimulari?

21. Quoniam vero vel ea quæ pueris sunt nota scire te vetuit summa illa, qua etiam ad impossibilia contendis temeritas, nunc saltem, etsi non prius intelligere debes nihil tam clare tuæ vesaniæ adversari, quemadmodum hæc Domini atque Salvatoris vox. Si enim diceret: *De me accipiet*, nec sic quidem quod studes evinceretur; haberet tamen aliquem prætextum error. Neque enim accipere ab aliquo ob alium quempiam usum et substantiali processione procedere in eumdem sensum conveniunt; multum abest, ut hoc ita se habeat. Quoniam vero tantæ impietatis magnitudinem Salvator prævidens, non talem emisit vocem, ne multos ope tua dæmonis nequitia depasceretur, quomodo loco accusationis quam Domino intendis, ad ejus cle-

A φωνήν, οὐχ ἵνα συνήγορον εὑρήσῃς (34), ἀλλ' ἵνα καὶ αὐτὸν τὸν Δεσπότην, ἀένναον (35) τῆς ἀληθείας πηγήν, εἰς διαφωνίαν ἐξυβρίσῃς; οὕτω γὰρ ἡ σὴ γλῶσσα πάντα τολμᾷν ἐστιν ἀσελγὴς καὶ τῶν ἀλήπτων λαβὰς συμπλάττειν καὶ ἐπινοεῖν (36). Εἰ γὰρ αὐτὸς οὗτος ὁ Δημιουργὸς [23] τοῦ γένους καὶ προνοητὴς νῦν μὲν τὸ Πνεῦμα διδάσκει ἐκπορεύεσθαι τοῦ Πατρὸς, οὐδαμῶς προστιθεὶς (37-38), ὅτι καὶ ἐξ αὐτοῦ, ἀλλ' ἐκεῖνον αἴτιον μόνον, ὥσπερ τῆς ἑαυτοῦ γεννήσεως, οὕτω καὶ τῆς τοῦ Πνεύματος ἐκπορεύσεως, θεολογεῖσθαι μυσταγωγεῖ· νῦν δὲ, ὡς σὺ λέγεις, διότι φησίν (39). Ἐκ τοῦ ἐμοῦ λήψεται, περιεῖλε μὲν σιγῇ βαθείᾳ τὴν προτέραν (40) μυσταγωγίαν· καίτοι γε πρὸς δευτέραν ἐλθόντα (41) τελετὴν ἔδει καὶ τῆς προτέρας ἀναμνῆσαι καὶ συνάψαι τὰ (42) τοσοῦτον (43)

B ἀλλήλων τῇ θεωρίᾳ διεστηκότα· ὁ δὲ (44), τοῦτο μὲν δέον πράττειν, οὐ ποιεῖ· ἀντὶ δὲ τοῦ ἐκπορεύεσθαι τὸ Πνεῦμα τοῦ Πατρὸς εἰς ἑαυτὸν τὴν ἐκπόρευσιν τοῦ Πνεύματος μετάγει· πῶς οὐχὶ τὴν σὴν ἔκθεσμον διαφωνίαν τῆς ἐνυποστάτου καὶ ἀναλλοιώτου κατασκεδάζων (45) ἀληθείας οὐχ ἑάλως δίκην ὀφείλων (46);

κα'. Ἐπεὶ δέ σε οὐδὲ τὰ τῶν παίδων εἰδέναι ἡ τοῦ τοῖς ἀδυνάτοις ἐπιχειρεῖν ἀπεστέρησε (47) θρασύτης, ἀλλά γε νῦν, εἰ καὶ μὴ πρότερον, συνιέναι σε χρὴ, ὡς οὐδὲν οὕτω (48) [24] λαμπρῶς ἵσταται κατὰ τῆς σῆς ἀπονοίας, ὡς ἡ Δεσποτικὴ καὶ Σωτήριος αὕτη φωνή (49). Εἰ μὲν γὰρ ἔλεγεν· Ἐξ ἐμοῦ (50) λήψεται, οὐδ' οὕτως τό σοι σπουδαζόμενον ἐλάμβανε πέρας· πλὴν ἀλλ' εἶχέ τινα πρόφασιν ἡ πλάνη (51).

C Οὐδὲ γὰρ οὐδὲ (52) τὸ λαμβάνειν ἀπό τινος χρείας ἄλλης χάριν, καὶ τὸ πρὸς οὐσίωσιν (53) ἐκπορεύεσθαι εἰς ταυτὸ (54) συνάγεται τῇ διανοίᾳ· πολλοῦ γε καὶ δεῖ. Ἐπεὶ δὲ τῆς τοσαύτης ἀσεβείας τὸ μέγεθος ὁ Σωτὴρ προορῶν οὐδὲ τοιαύτην ἀφῆκε φωνὴν (55), ἵνα μὴ πολλοὺς διὰ σοῦ ἡ τοῦ Πονηροῦ κακουργία κατανεμηθῇ (56), πῶς, ἀντὶ τοῦ κατηγορεῖν τὸν Δεσπό-

[48] Joan. xv, 26.

VARIÆ LECTIONES ET NOTÆ.

(34) Mon.: εὑρήσεις.
(35) Col. ἀέννaον.
(36) Hæc rursum adducit Hugo Etherianus (l. II, c. 18, p. 1233. E. F.): « Etiam. Sed Salvator dixit discipulos instruens, quoniam Spiritus de meo accipiet et annuntiabit vobis. Et quod utique lateas, qui ad Salvatoris confugeris vocem, non ut advocatricem sumas, sed ubi (ut) ipsum per dissonantiam objurges; sic enim tua lingua est audax et impudica, ut in iis quæ incomprehensibilia sunt, occasiones confingat et subintelligat. »
(37-38) Mon. οὐδαμοῦ που τιθείς.
(39) Col. φησὶν ὅτι ἐκ τ. ἐ.
(40) Mon. πρότερον.
(41) Mon. μετελθόντα.
(42) Τὰ deest in Mon.
(43) Palat. f. 217 b. τοσούτων.
(44) Ὁ δὲ deest in Mon.
(45) Palat. κατασκεδάζειν. Col. διασκεδάζειν.
(46) Hugo Ether. (l. c.): « Quomodo tuam ex legem (edit.: ex lege) dissonantiam quæ incommutabilem et inalterabilem dissipat veritatem, non coercuisti cum pœnam debeas? »
(47) Sic Vat. Balat. et Hugo Ether., qui vertit privavit. Monac.: παρεχώρησε.
(48) Mon. οὕτως.
(49) Palat. f. 218 a.: ἡ δεσπ. κ. σωτ. αὐτὴ φ. Monac.: ἡ δεσπ. αὕτη κ. σωτήριος φ.
(50) Col. p. 278, ἔλεγεν καὶ ἐξ ἐμοῦ.
(51) Hugo Ether. (l. c.): « Ideo autem te, ut quæ puerorum sunt, non cognoscas, impossibilia conaudo privavit temeritas. At vero age, nunc, etsi non prius, intelligere te oportet, quod nihil sic manifeste stat contra tuam insolentiam, quemadmodum Dominica et salutaris ista vox. Nam si dixisset: *De me* accipiet, neque sic adinventio tua reperisset terminum; verum haberet aliquam competentem occasionem error. »
(52) Hoc alterum οὐδὲ abest a Mon.
(53) Col. καὶ πρὸς οὐσ.
(54) Mon. αὐτό. Sic Col.
(55) Mon. οὐδὲ τὴν τοιαύτην φωνὴν ἀφῆκεν.
(56) Hugo Ether. l. c.: « Propterea tantam impietatis magnitudinem Salvator providens non hujusmodi emisit vocem, ne forte diaboli versutia multos per te devoraret. »

Digitized by Google Распознавание текста ABK/FR

την (57) οὐκ εἰς τὴν τοῦ Δεσπότου διὰ συγγνώ- A
μης (58) οὐ (59) καταφεύγεις φιλανθρωπίαν καὶ τὰ
τῆς καρδίας ὑπανοίγεις ὦτα τῇ ἐκείνου διδασκα-
λίᾳ (60);

κβ'. Εἶπεν ὁ Σωτὴρ ὅτι (61), οὐκ, Ἐξ ἐμοῦ λή-
ψεται, ἀλλ', Ἐκ τοῦ ἐμοῦ λήψεται (62), Ἤδει γὰρ ὁ
πάντας ἐλθὼν τῇ ἀληθείᾳ διδάξαι συμφωνεῖν, πολλῷ
μᾶλλον συντηρεῖν (63) ἀνεπίληπτον [25] τὴν συμ-
φωνίαν ἑαυτῷ· Ἐκ τοῦ ἐμοῦ λήψεται· πολλὴν καὶ
μεγάλην (64), εἰ καὶ βραχεῖ παραλλάττει (65) ῥή-
ματι, τὸ ἐκ τοῦ ἐμοῦ πρὸς τὸ (66), ἐξ ἐμοῦ, τὴν
διαφορὰν ἔχει (67). τὸ μὲν γὰρ, ἐξ ἐμοῦ, αὐτὸν τὸν
εἰπόντα τὴν φωνὴν συνεισάγει (68)· τὸ δὲ ἐκ τοῦ
ἐμοῦ πάντως ἕτερον πρόσωπον παρὰ τὸν εἰπόντα·
τοῦτο δὲ ποῖον ἂν εἴη, ἐξ οὗ λαμβάνει τὸ Πνεῦμα, εἰ
μὴ ὁ Πατήρ (69); οὐδὲ γὰρ οὐδ' ἄλλο τι θεομα- B
χοῦντες ἀναπλάσσουσιν (70)· οὔτε γὰρ ἐξ ἑτέρου
Υἱοῦ, οὐ μήν, ἀλλ' οὔτ' (71) ἐξ αὐτοῦ τοῦ λαμβά-
νοντος Πνεύματος (72). Ὁρᾷς ὅπως οὐδὲ τὰ τῶν
παίδων σοι παρεῖναι φιλεῖ (73); καὶ γὰρ καὶ παίδες
ἴσασιν ἄρτι φοιτῶντες εἰς γραμματιστοῦ (74), τὸ
μὲν, ἐξ ἐμοῦ (75), [26] αὐτὸν συνεισάγει (76) τὸν
προάγοντα (77) τὴν τοῦ λόγου περικοπήν, τὸ δὲ ἐκ τοῦ
ἐμοῦ ἕτερον πρόσωπον ἐμφαίνει, ἡνωμένον (78) μὲν
δεσμοῖς οἰκειώσεως τῷ εἰπόντι, διάφορον δὲ πάντως
τῇ ὑποστάσει· πρὸς ὃ καὶ των ἀκροατῶν τὴν διά-
νοιαν ἁπλανῶς φέρεσθαι (79) παραπέμπει· ὥστε τὸ
σὸν προσφύγιον, εἴπερ ὅλως ἔλοιο (80) ἀντὶ μοῦ δυσ-
σεβεῖν εὐσεβεῖν, μετανοίας ἂν σοι προσφύγιον γέ-
νοιτο, οὐδεμία (81) δὲ πρὸς τὸ θεομαχεῖν ἀφορ-
μή (82). C

mentiam impetrandæ veniæ causa non confugis nec cordis pandis aures ad ejus doctrinam?

22. Dixit Salvator, non *de me* accipiet, sed *de meo accipiet*. Noverat enim qui venit hortaturus omnes, ut veritati concordent et consonent, multo magis sibi consonantiam illibatam conservare. *De meo accipiet*, licet modicum sono verborum discrepet, multum tamen et magnum interest discrimen inter *de meo* et *de me*. Nam dicendo *de me* ille ipse qui vocem enuntiavit, inducitur; dicendo autem *de meo*, omnino alia a proferentis persona intelligitur. Hæc vero quænam alia fuerit, ex qua accipit Spiritus, nisi Pater? Neque enim hi ipsi Deo repugnantes aliud quid confingent; non enim ex alio Filio, imo neque ex ipsomet accipiente Spiritu. Vides, quomodo ne illa quidem, quæ pueris trita sunt, calles; nam vel pueri grammaticorum frequentantes scholam sciunt, voce hac *de me* illum ipsum includi, qui orationis pericopen protulit; hac autem *de meo* aliam personam diserte significari, unitam quidem juribus conjunctionis cum eo qui vocem pronuntiavit, sed differentem omnino quoad hypostasin; ad hanc etiam auditorum cogitationes sine erroris periculo transmittit et secure deducit. Quare tuum subterfugium, dummodo pie malis quam impie sentire, pœnitentiæ tibi perfugium fuerit, non vero ulla ad repugnandum Deo occasio.

VARIÆ LECTIONES ET NOTÆ.

(57) Mon. τοῦ δεσπότου.

(58) Mon. συγγνώμην. Vat. διὰ συγγνώμης οὐ καταφ. Sic et Pal.

(59) Col. deest οὐ.

(60) Col. καρδ. ὦτα τῇ ἐκείνου ὑπανοίγεις διδ.

(61) Col. ὁ σωτήρ. τί; οὐκ ἐξ ἐμ.

(62) Sic Vat. et Pal.; Mon. omissis οὐκ ἐξ ἐμοῦ λήψεται, ἀλλ' — tantum habet: ὅτι ἐκ τ. ἰ. λ.

(63) Mon. τηρεῖν.

(64) Mon. πολλὰ καὶ μεγάλα.

(65) Mon. παραλλάττων.

(66) Col. ἐκ τοῦ ἐμοῦ λήψεται πρὸς τό.

(67) Mon. ἔχειν.

(68) Mon. εἰσάγει.

(69) Photii verba: ποῖον ἂν ἕτερον πρόσωπον εἴη, ἐξ οὗ τὸ τοῦ κυρίου πνεῦμα λαμβάνει, εἰ μὴ ὁ Πατήρ; D adducit Beccus l. III, ad Theod. Sugd. n. 10 (*Gr. Orth.* II, p. 144).

(70) Mon et Col. ἀναπλάσσουσιν.

(71) Mon. οὐδ'.

(72) In Mon. deest πνεύματος. Hæc ita leguntur apud Hugon. Ether. l. c.: « Non dixit Salvator: De me, sed de meo accipiet; multam et magnam, licet brevi permutetur verbo, *de me* ad illud quod *de meo* differentiam possidet. Nam *de me* ipsum inducit, qui vocem pronuntiat; *de meo* autem omnino aliam a pronuntiante personam. Hic autem qui sit, ex quo Spiritus accipit, nisi Pater? Neque enim aliquid aliud qui contra Dominum pugnant confingent; neque enim ex alio Filio, sed neque ex accipiente Spiritu » (ed. habet Spiritum).

(73) Hanc ignorantiæ accusationem Photius adversariis impingit etiam in ep. ad Aquilei.: οὐδὲ τὰς πᾶσιν ἐγνωσμένας φωνὰς συνιέντες οὗτοι οὐδὲ τῶν ἐν γερσὶ μάθησιν ἔχοντες, οὐ μόνον οὐκ ἀνέχονται παρ' ἑτέρων μαθεῖν τὸ ἀγνοούμενον· καίτοι γε παράκαλεῖν ἐχρῆν καὶ σπουδῇ ζητεῖν τοὺς αὐτοὺς τῆς ἀγνοίας ἀνελκύσοντας· οἱ δὲ καὶ διδασκάλους ἑαυτοὺς τῶν οἰκείων ἀναπλασμάτων προκαθίζουσι.

(74) Hæc Photii verba refert pariter Beccus l. c. (p. 145).

(75) Monacensis codicis scriptor hic lineam totam omisit, verba nimirum: αὐτὸν συνεισάγει — τὸ δὲ ἐκ τοῦ ἐμοῦ. Habet enim: τὸ μὲν ἐξ ἐμοῦ ἕτερον πρόσωπον ἐμφαίνειν, quod sensum plane perturbat.

(76) Col. συνεισάγειν.

(77) Palat. f. 218 b. προαγαγόντα.

(78) Col. εμφανῶς ἡνωμ.

(79) Monac. πέμπεσθαι.

(80) Ἔλοιο deest in Mon.

(81) Mon. οὐδεμίας.

(82) Mon. ἀφορμήν. — Eodem pacto de Christi verbis disserit Photius in ep. ad Aquilei. (apud Jager l. c., p. 458, 459): Καὶ γὰρ ὅπερ ἐν ἄλλοις εἶπεν ὁ σωτήρ· « Τὸ πνεῦμα ἐκ τοῦ πατρὸς ἐκπορεύεται, » τοῦτο καὶ νῦν διὰ τῆς προκειμένης ἐκδιδάσκει ῥήσεως, « Τὸ πνεῦμα, λέγων, ἐκ τοῦ ἐμοῦ λήψεται· » οὐ γὰρ εἶπεν ἐξ ἐμοῦ, ἀλλ' ἐκ τοῦ ἐμοῦ, δῆλον ὅτι τοῦ πατρός.... Πῶς γὰρ οὐκ αἰσχύνονται, τοῦ Σωτῆρος λέγοντος, ὅτι « Τὸ πνεῦμα ἐκ τοῦ ἐμοῦ λήψεται καὶ ἀναγγελεῖ ὑμῖν, » αὐτὸ τὸ, ἐκ τοῦ ἐμοῦ, οὐχ, ὡς εἶπεν ὁ σωτὴρ, ἐξακούοντες, ἀλλὰ τοῦτο παραγραφόμενοι ἀντ' ἐκείνου τὸ, ἐξ ἐμοῦ ἀντιγράφουσι; τοῦτο γὰρ αὐτοῖς ἴσως ἔδοξε κατασκευάζειν τὸ βούλημα· καίτοι εἰ καὶ οὕτως εἴρητο, ὥσπερ οὐκ εἴρη

Digitized by Google Распознавание текста ABK/FR

23. Quid ergo? Nonne oportebat te hæc saltem, quæ et pueri norunt, addiscere, prius quam blasphemiam efferres? Quomodo vero non pertimescis, licet dolo velando aptissimus, ita temere atque impudenter verbis Dominicis insultare et illudere, et quæ nec orationis series nec sententiæ integritas permittit, hæc non erubescis asserere Dominum affirmare? Certe enim vocem *de me* Christus non enuntiavit; tu tamen, licet non voce, at saltem fraudis exercendæ studio vocem *de meo* in hanc aliam *de me* transformans, asserensque Dominum docuisse id quod tibi per istam locutionem videtur significari, tria hæc simul ei per calumniam tribuis: dixisse nempe, quod non dixit, non dixisse quod dixit, et sententiam docere quam non solum non significavit voce, sed contra potius doctrinæ suæ adversari perspicue cernitur; et quarto eum sibi ipsi contraria sancientem inducis. Quonam pacto? Ipse dixit: *De meo accipiet*, non autem *de me;* tu vero docere ipsum affirmas, quod voce ista *de me* importari existimas; quamobrem quod quidem dixit, tollis ac negas, quod vero non dixit, quasi dictum obtrudis. Clamas enim Christum vocis, quam non enuntiavit, sententiam discipulis tradidisse et per ipsam docere, quod nullatenus labiis suis purissimis protulisse cognoscitur. Et sapientia quidem Dei per se subsistens Spiritum tradit procedere a Patre; tu vero omni contendens studio illum quasi dissonantem sibi redarguere clamas ipsum mutato consilio docuisse, Spiritum ab ipso procedere, et a priori quidem theologia recessisse, per secundam vero illam priorem sprevisse, imo nec posteriori robur suum conservasse. Si enim semel gratiæ theologia ab ipsamet gratia subvertatur, nusquam firma poterit permanere.

24. Sed jam tempus adest, ab initio audire tum verborum Dominicorum seriem, tum sententiæ, quam verba illa important, scopum; multo enim validius per illa impietatis impudentia panditur et

κγ'. Τί οὖν; οὐκ ἔδει σε ταῦτα, εἰ μή τι ἄλλο πρὸ τοῦ βλασφημεῖν, ἃ καὶ παῖδες ἴσασιν, εἰδέναι ζητεῖν; Πῶς δέ σε φόβος οὐκ ἔλαβε, καίτοι δραστήριον ὄντα κρύψαι κακουργίαν, ἀνέδην (83) οὕτω (84) τῶν Δεσποτικῶν ῥημάτων κατορχεῖσθαι καὶ καταψεύδεσθαι; καὶ ἃ μήτε τὸ ἀκόλουθον τοῦ λόγου μήτε τῆς διανοίας ἐπιτρέπει τὸ ἀνύβριστον, ταῦτα λέγειν οὐκ ἐρυθριᾷς τὸν Δεσπότην ἀποφαίνεσθαι (85); 27] Καὶ γὰρ τὸ μὲν, ἐξ ἐμοῦ, δηλονότι μὴ ἐφθέγξατο· σὺ δὲ εἰ καὶ μὴ τῇ φωνῇ, μηχανῇ δὲ τῇ τοῦ κακουργεῖν τὸ ἐκ τοῦ ἐμοῦ μεταπλάσας εἰς τὸ, ἐξ ἐμοῦ (86), καὶ τὸ διὰ ταύτης σοι νομιζόμενον δηλοῦσθαι (87) τῆς προσφορᾶς τὸν Σωτῆρα διδάσκειν κατηγορῶν ἅμα τρία ταῦτα διαῤῥήδην συκοφαντεῖς· εἰπεῖν ὃ μὴ εἶπε, μὴ εἰπεῖν ὅπερ εἶπε, καὶ νοῦν ἐκοιδάσκειν, ὃν οὐ μόνον οὐκ ἐδήλωσε τῇ φωνῇ, ἀλλά καὶ τοὐναντίον τῇ μυσταγωγίᾳ τῇ αὐτοῦ μαχόμενον ἔστι σαφῶς καθορᾶν· καὶ τέταρτον ἀτνινομοθετοῦντα εἰσάγεις (88) ἑαυτόν. Πῶς καὶ τίνα τρόπον (89); Αὐτὸς μὲν εἶπεν· Ἐκ τοῦ ἐμοῦ λήψεται, ἀλλ' οὐκ, ἐκ ἐμοῦ (90)· σὺ δὲ διδάσκειν αὐτὸν διισχυρίζῃ, ἅπερ ἡ ἐξ ἐμοῦ λέξις δοκεῖ σοι παραδηλοῦν· ὥστε ὃ μὲν εἴρηκεν, ἀναιρεῖς· ὃ δὲ οὐκ ἔφησεν, ὡς εἰρημένον συγκροτεῖς. Τὸν γὰρ νοῦν βοᾷς ἧς οὐκ εἶπε φωνῆς δογματίζειν αὐτὸν τοῖς μαθηταῖς καὶ δι' αὐτῆς διδάσκειν ὃ μηδόλως ἐγνώσθη διὰ τῶν ἀχράντων χειλέων προαγαγών. Καὶ ἡ μὲν ἐνυπόστατος σοφία τοῦ Θεοῦ τὸ Πνεῦμα μυσταγωγεῖ ἐκπορεύεσθαι τοῦ Πατρός· σὺ δ' ὥσπερ ἐλέγχειν πᾶσαν (91) σπουδὴν ἐπελθὼν (92) διαφωνοῦντα πρὸς ἑαυτὸν, τὸ Πνεῦμα κράζεις μεταδιδάσκειν ἐκπορεύεσθαι, ἐξ αὐτοῦ, καὶ τῆς μὲν προτέρας ἐξίστασθαι θεολογίας, διὰ δὲ τῆς δευτέρας ἐκείνης τε παραφαῦλον (93) ποιεῖν καὶ οὐδὲ αὐτῇ τὸ κύριον συντηρεῖν. [28] Ἅπαξ γὰρ τῆς ἐν χάριτι θεολογίας ὑπὸ τῆς χάριτος περιτρεπομένης οὐδαμοῦ τὸ βέβαιον τὴν διαμονὴν εὑρήσει.

κδ'. Ἀκούειν δ' ἄνωθέν ἐστι καιρὸς καὶ τῶν Κυριακῶν λογίων τῶν εἰρημένων (94) καὶ τῆς διανοίας, ἧς τὰ ῥήματα διερμηνεύουσι τὸν σκοπόν (95)· οὐδὲ γὰρ ἔλαττον, ἀλλὰ καὶ πολλῷ μᾶλλον δι' αὐτῶν τῆ

VARIÆ LECTIONES ET NOTÆ.

ται, οὐδ' οὕτως αὐτοῖς εἶχεν ἰσχὺν ἡ ἐπήρεια· οὐ γὰρ ἀεὶ τὸ λαμβάνειν εἰς τὴν τοῦ ἐκπορεύεσθαι διάνοιαν λαμβάνεται, ἀλλ' ἔσθ' ὅτε καὶ πολλὴν τὴν παραλλαγὴν ὑπαινίττεται· ἄλλο γάρ ἐστι τὸ λαμβάνειν καὶ ἀπαρύεσθαι ἀφ' ἑτέρας ὑποστάσεως ἑτέραν ὑπόστασιν, καὶ ἄλλο τὸ πρὸς οὐσίωσίν τε καὶ ὑπόστασιν ἐκπορεύεσθαι.

(83) Monac. ἀνέδωκε.

(84) Col. p. 279 : ἀναίδην οὕτω.

(85) Mon. ἀπεφαίνεσθαι.

(86) Εἰς τὸ ἐξ ἐμοῦ deest in Mon.

(87) Col. δηλοῦται.

(88) Mon. εἰσάγειν.

(89) Col. ἑαυτὸν πῶς καὶ τίνα τρόπον ;

(90) Quod Photius toties inculcat, in eo Photiani omnes summopere insistunt. Unum ex recentioribus adducamus. Theophanes Procopowicz archiep. Novogrodensis Tract. *de process. Sp. S.*, Gothæ a. 1772, cap. x, § 170, p. 199, scribit : « Gratis, imo frustra Latini τὸ de meo accipiunt pro *de me;* incumbit sane eis probare, *de meo* idem significare quod *de me.* »

(91) Πᾶσαν deest in Mon.

(92) Sic Palat. f. 219 a.; Vatic. habuit ὑπελθών, sed postea in ἐπελθὼν correctum est : Mon. μετελθών. Col. ὑπελθών.

(93) Mon. παρὰ φαῦλον.

(94) Col. τὸν εἱρμὸν (lege εἰρμὸν) κ. τ. δειν.

(95) Theophan. Procopowicz. l. c., § 172, p. 200 : « Sensus verborum Christi est : Spiritus, quem consolatorem et doctorem vobis promitto, non illa quædam alia ab his, quæ et a me percipitis, docebit vos, verum eadem mea mysteria, res ad meam gloriam pertinentes. Quæ licet ad Patris tendant gloriam, tamen et mea sunt; ei quidem omnia, quæ Patris sunt, tam quæ in natura Deitatis, vita, sapientia, omnipotentia, etc., quam quæ extra sunt cœlum, terra, angeli, homines, eventus varii, et communi et singulari providentia fluentes, cuncta *mysteria* mea etiam sunt. » Hæc jejuniora sunt quam ea quæ Photius profert.

Digitized by Google Распознавание текста ABK/FR

ἀσεβείας στηλιτεύεται τὸ ἀναιδές. Μετα γαρ τὸ εἰπεῖν, ὅτι (96) Πορεύομαι πρὸς τὸν Πατέρα, ὑποκατιὼν ἐπάγει ῥήμασιν αὐτοῦ (97). Ἀλλ' ὅτι ταῦτα λελάληκα (97*) ὑμῖν, λύπη (98) πεπλήρωκεν ὑμῶν τὴν καρδίαν. Ἀλλ' ἐγὼ τὴν ἀλήθειαν λέγω ὑμῖν· συμφέρει, ἵνα ἐγὼ ἀπέλθω· ἐὰν γὰρ ἐγὼ μὴ ἀπέλθω, ὁ Παράκλητος οὐκ ἐλεύσεται πρὸς ὑμᾶς. Καὶ μετ' ὀλίγον. Ἔτι πολλὰ ἔχω λέγειν ὑμῖν, ἀλλ' οὐ δύνασθε βαστάζειν ἄρτι· ὅταν δὲ ἔλθῃ ἐκεῖνος, τὸ Πνεῦμα τῆς ἀληθείας, ὁδηγήσει ὑμᾶς εἰς πᾶσαν τὴν ἀλήθειαν· οὐ γὰρ λαλήσει ἀφ' ἑαυτοῦ, ἀλλ' ὅσα ἂν ἀκούσῃ, λαλήσει καὶ τὰ ἐρχόμενα ἀναγγελεῖ ὑμῖν. Πάντα ὅσα ἔχει ὁ Πατήρ, ἐμὰ ἐστι· διὰ τοῦτο εἶπον, ὅτι ἐκ τοῦ ἐμοῦ λήψεται καὶ ἀναγγελεῖ ὑμῖν (99). Ἆρ' οὐχὶ ταῦτα ἱερὰ καὶ θεόχρηστα λόγια, καὶ τὸ τῆς εὐσεβείας μυστήριον οὐ παρέχεται σαφῶς ἐννοεῖν ; καὶ τὴν αἰτίαν οὐκ ἐμφανίζει. [29] δι' ἣν εἰπεῖν ταῦτα ἐδικαίωσεν (1), καὶ τὴν ἐξ ἀρχῆς μυσταγωγίαν οὐκ ἀκήρατον συντηρεῖ, καὶ πᾶσαν οὐ καταισχύνει συκοφαντίαν (2) καὶ δυσσεβείας ἁπάσης ἐκκόπτει ἀφορμήν ; Ἐπεὶ γὰρ οἶδε (3) τοὺς μαθητὰς εἰς ἀθυμίαν καταπεσόντας, ὅτιπερ αὐτοῖς παρὼν ἀπεῖπε τὸν κατὰ σῶμα χωρισμὸν καὶ ὅτι (4) πορεύεται πρὸς τὸν Πατέρα, διὰ ταῦτα (5) τούτους ἰδὼν εἰς κατηφείας λογισμὸν (6) καθενεχτέντας (7), ἀνακτώμενός (8) τε καὶ σὺν ἀληθείᾳ ψυχαγωγῶν, πρῶτον (9) μὲν, ὅτι συμφέρει αὐτοῖς τὸ ἀπελθεῖν αὐτὸν (10), ἐκδιδάσκει· εἶτα διερμηνεύων καὶ (11) ὅπως συμφέρει, Ἐὰν γὰρ ἐγὼ, φησὶ, μὴ ἀπέλθω, ὁ Παράκλητος οὐκ ἐλεύσεται πρὸς ὑμᾶς. Αἱ δὲ τοιαῦται φωναὶ δηλονότι (12) πρὸς τὸ μεγαλεῖον αὐτοὺς τοῦ Πνεύματος ἀνυψοῦσθαι διανιστῶσιν· ὥσπερ καὶ τὸ, Οὐ δύνασθε (13) βαστάζειν ἄρτι. Ἀλλὰ πότε ; Ὅταν ἔλθῃ τὸ Πνεῦμα τῆς ἀληθείας· ἐκεῖνο (14) γὰρ ὑμᾶς ὁδηγήσει (15) εἰς πᾶσαν τὴν ἀλήθειαν. Ἄλλο πάλιν ἐνταῦθα τοῦ Πνεύματος μέγεθος ἀναφυόμενον θαυμαστὸν καὶ τοῖς μαθηταῖς ἀναπτυσσόμενον καὶ μετεωρίζον αὐτῶν τὴν διάνοιαν εἰς ἄφατον ὕψος, ἐν ᾧ τοῦ Πνεύματος αὐτοῖς καθ' ὑπερβολὴν διέλαμπε τὸ ἀξίωμα.

κε'. Τί οὖν ; Εἰκὸς ἦν αὐτοῖς ὧδέ που περὶ τοῦ Πνεύματος ἀνηγμένοις διαλογίζεσθαι (16). Σὺ δὲ παρὼν, ὦ διδάσκαλε [30], βαστάζειν ἡμᾶς τὸ βάρος οὐκ ἐνίσχυες (17) τῶν ἀπορρήτων. Ὁ δὲ Παράκλητος ἐπελθὼν βελτίους ἡμᾶς καὶ ἰσχυροτέρους εἰς τὸ φέρειν αὐτῶν τὴν γνῶσιν ἀβαρῶς παρασκευάσει. Καὶ σὺ μὲν ἐπὶ (18) μέρους ἡμῖν τὴν ἀλήθειαν ἀνεσεβείας στηλιτεύεται τὸ ἀναιδές. Μετα γαρ τὸ A configitur. Postquam enim dixit : *Vado ad Patrem*, subdit his ipsis verbis : *Sed quia hæc locutus sum vobis*[49]. *tristitia implevit cor vestrum. Sed ego veritatem dico vobis : expedit, ut ego vadam. Si enim non abiero, Paracletus non veniet ad vos*[50]. Et post pauca : *Adhuc multa habeo vobis dicere ; sed non potestis portare modo. Cum autem venerit ille Spiritus veritatis, docebit vos omnem veritatem. Non enim loquetur a semetipso, sed quæcunque audiet, loquetur et quæ ventura sunt annuntiabit vobis. Ille me clarificabit, quia de meo accipiet, et annuntiabit vobis. Omnia quæcunque habet Pater, mea sunt. Propterea dixi, quia de meo accipiet et annuntiabit vobis*[51]. An non sunt hæc sacra et divina oracula ? An non hæc clare intelligendum exhibent mysterium B pietatis ? An non causam manifestant, propter quam ea dicere voluit Servator ? An non doctrinam ab initio traditam illibatam servant ? An non omnem calumniam confundunt omnemque reserant impietatis ansam ? Quoniam enim vidit discipulos in mœstitiam collapsos, quia ipsis præsens declaraverat futuram suam per corpus sejunctionem suamque ad Patrem profectionem, propterea istos intuitus in mœstas cogitationes demersos, erigens illos veraque consolatione reficiens, primo quidem expedire ipsis se abire docet ; deinde explicans quoque, quomodo id expediat, *Si enim ego*, inquit, *non abiero, Paracletus non veniet ad vos*[52]. Hæ siquidem voces ad Spiritus sublimem majestatem ipsos excitant sublevantque, quemadmodum et ista : C *Non potestis portare modo*[53]. Sed quando ? *Quando venerit Spiritus veritatis, ille docebit vos omnem veritatem*[54]. Alia rursus hic miranda Spiritus emergit prærogativa, quæ discipulis explicata mentem illorum in immensam altitudinem elevat, in qua Spiritus dignitas supra modum ipsis enitebat.

25. Quid ergo ? Facile erat ipsis, has ferme cogitationes de Spiritu in animo agitare : tu vero præsens, o magister, vires nobis non suppeditabas portando arcanorum oneri. Paracletus autem superveniens aptiores nos validioresque gestandæ illorum cognitioni absque onere efficiet. Et tu quidem ex parte nobis revelasti ; ille autem in omnem D

[49] Joan. xiv, 28 ; xvi, 5, [50] Joan. xvi, 6, 7. [51] ibid, 12-15. [52] ibid, 17. [53] ibid, 12. [54] ibid, 15.

VARIÆ LECTIONES ET NOTÆ.

(96) Ὅτι deest in cod. Monac.
(97) Col. p. 280 : ῥήμασιν αὐτοῖς.
(97*) Mon. λελάληκα ταῦτα.
(98) Col. ὁ. ἡ λύπη.
(99) Col. ἀναγ. ὑμῖν· ἐκεῖνος ἐμὲ δοξάσει ὅτι ἐκ τοῦ ἐμ. λήψεται κ. ἀναγγελεῖ ὑμῖν.
(1) ὁ σωτὴρ addit Monac. et Col.
(2) Monac. συκοφαντίας.
(3) Col. Ἴδεν.
(4) Mon. ὅτιπερ.
(5) Mon. διὰ τοῦτο.
(6) Col. λογισμούς.
(7) Mon. καταχθέντας.
(8) Mon. ἀνακτωμενοί τε.
(9) Mon. πρῶτα.
(10) αὐτὸν deest in Mon.
(11) καί deest in Mon.
(12) Mon. δῆλον ὅτι.
(13) Mon. δύναμαι.
(14) Col. ἐκεῖνος.
(15) Mon. ὁδηγήσει ὑμᾶς.
(16) Exhinc discipuli loquentes de Christi verbis inducuntur.
(17) Mon. βαστάζεις ἡμᾶς τὸ βάρος οὐκ ἐνισχύοντες (f. ἐνισχύοντας.)
(18) Mon. ἀπό.

Digitized by Google Распознавание текста ABK/FR

nos deducet veritatem. Ac te quidem mysteria docente adhuc egemus et sapientia et virtute et veritate, ille vero adveniens omnia nobis perfruenda uberrime præbebit. Si ergo tu, substantialis sapientia et veritas, hæc doces, non utique ambigere nos decet, majorem quoque honorem ac gloriam a nobis Spiritui esse tribuendam.

26. Quoniam igitur sublimia hæc de Spiritu discipulis exponit Salvator, mœstitiam ab illis amovens, simulque veram de Spiritu doctrinam tradens; humanum autem erat cogitationibus non plane puris discipulorum agitari mentes (facile enim anima mœrore correpta vim judicandi caligine perturbans quod salutare est in noxium potest detorquere); propterea, ne Spiritum Filio majorem arbitrarentur utpote majora præbentem, neve illis ulla cogitatio oboriretur consubstantialitatem lædens æqualitatemque ipsorum in inæqualitatem distrahens, ut optimus et corporum et animarum medicus, salutare præparat medicamentum.

27. Quod si apostolos ejusmodi cogitationes nec tenebant nec agitabant nec turbabant (fortasse enim sanctius est fateri, sacrum illum cœtum non fuisse hujusmodi confusioni ac conturbationi obnoxium) attamen malitiæ inventor et artifex bonum mali specie circumvestiendi peritissimus multos potuisset suæ fraudis prædam efficere opinionemque hæreticam animabus hominum inserere; quam una cum ipsa fraude fraudisque artifice confundens ac dissipans Salvator acute admodum et divine adjecit, quod, *Non loquetur a semelipso, sed quæcunque audierit, loquetur*[55]. Nam et de seipso antea dixerat: *Omnia quæcunque audivi a Patre meo, nota feci vobis*[56]. Ac si diceret: Uterque nostrum ex Patre habet docere et illuminare mentes vestras. Ideo et quia in progressu sermonis dixit de Patre suo: *Ego te clarificavi super terram*[57]: imo et Pater Filium clarificat. Nam *et clarificavi*, inquit, *et iterum clarificabo*[58]; nunc vero et Spiritum clarificat Filius per prædictas sublimes divinasque voces: ideo paulo post subdit: *Ille me clarificabit*, ubique consubstantialitatem naturæque identitatem ac dignitatis æqualitatem inviolata servans. Ac si quis dicat: Commune est supersubstantiali ac su-

ἐκάλυψας (19)· ἐκεῖνος δὲ ὁδηγήσει ἡμᾶς (20) εἰς πᾶσαν τὴν ἀλήθειαν· καὶ σοῦ μὲν μυσταγωγοῦντος ἔτι δεόμεθα καὶ σοφίας καὶ δυνάμεως καὶ ἀληθείας· ἐκεῖνος δὲ παραγεγονὼς πάντων ἡμῖν τὴν ἀπόλαυσιν ἄφθονον παράσχοι. Εἰ τοίνυν σὺ ταῦτα, ἡ ἐνυπόστατος σοφία καὶ ἀλήθεια, διδάσκεις, οὐκ ἐπιδιστάζειν ἡμᾶς προσῆκε καὶ τῆς πρὸς τὸ μεῖζον ἐξαλλαττούσης τιμῆς τε καὶ δόξης τὸ Πνεῦμα παρ' ἡμῶν ἀξιοῦσθαι (21).

κζ'. Ἐπειδὴ οὖν τὰ ὑψηλὰ περὶ τοῦ Πνεύματος εἰσηγεῖται (22) μὲν τοῖς μαθηταῖς ὁ Σωτὴρ, ἀποσκευαζόμενός τε αὐτῶν τὸ ἀθυμοῦν, ἅμα δὲ καὶ τὸ Πνεῦμα ἐν ἀληθείᾳ θεολογῶν, λογισμοῖς δ' ἀνθρώπινον ἦν (23) οὐκ εὐαγέσιν ἀνακυμαίνεσθαι τὸν νοῦν τῶν μαθητῶν· δεινὸν γὰρ ἡ ψυχὴ λύπῃ (24-25) κάτοχος γενομένη καὶ τὸ κριστήριον ἀχλύϊ συναναθολώσασα (26) τῆς μεταβολῆς τὸ σωτήριον ἀντεμεθέλκειν εἰς τὸ βλαβερόν· διὰ τοῦτο ὡς ἂν μὴ τὸ Πνεῦμα μεῖζον παραδέξωνται τοῦ Υἱοῦ, ἅτε δὴ τὰ μείζω παρεχόμενον, καὶ λογισμὸς αὐτοῖς ἐπέλθοι τὴν ὁμοφυᾶν ὑβρίζων καὶ τὸ ἰσότιμον αὐτῶν εἰς ἀνισότητα διασπῶν, ὡς ἄριστος καὶ (27) τῶν σωμάτων καὶ τῶν ψυχῶν ἰατρὸς τὸ σωτήριον προκαταβάλλεται φάρμακον.

[31] κζ'. Εἰ δέ γε τοὺς μαθητὰς μὴ συνεῖχον, μηδ' ἀνεσόβουν (28), μηδὲ συνετάραττον (29) τοιοῦτοι λογισμοὶ (κρεῖττω γὰρ τῆς τοιαύτης συγχύσεως καὶ ταραχῆς τὸν ἱερὸν ἐκεῖνον χόρὸν εὐλαβέστερον ἴσως (30) ὁμολογεῖν), ἀλλ' οὖν ὁ τῆς κακίας εὑρετὴς καὶ τεχνίτης τὸ βέλτιον τῇ τοῦ χείρονος φαντασίᾳ περιβαλεῖν, πολλοὺς ἂν ἔσχε (31) τῆς οἰκείας ποιήσασθαι θήραμα μηχανῆς καὶ δόξαν αἱρετίζουσαν κατασπεῖραι (32) ταῖς τῶν ἀνθρώπων ψυχαῖς· ἣν αὐτῇ καταβολῇ καὶ αὐτῷ τεχνίτῃ καταισχύνων τε καὶ διασκεδάζων ὁ Σωτὴρ ὀξέως καὶ θεοπρεπῶς ἐπιφέρει λέγων, ὡς Οὐ λαλήσει ἀφ' ἑαυτοῦ, ἀλλ' ὅσα ἂν ἀκούσῃ, λαλήσει· καὶ γὰρ καὶ (33) περὶ αὐτοῦ ἦν προειρηκώς, ὅτι Πάντα ἃ ἤκουσα παρὰ τοῦ Πατρός, μου, ἐγνώρισα ὑμῖν, οἷον· Ἀμφοῖν ἡμῖν ἐκ τοῦ Πατρός ἐστι τὸ διδάσκειν καὶ φωτίζειν τὰς διανοίας ἡμῶν. Διὸ καὶ διότι προϊὼν ἔφησε περὶ τοῦ Πατρὸς, ὅτι Ἐγώ σε ἐδόξασα ἐπὶ τῆς γῆς· ἀλλὰ καὶ ὁ Πατὴρ δοξάζει τὸν Υἱόν· καὶ ἐδόξασα γὰρ, ἔφη, καὶ δοξάσω· νυνὶ δὲ καὶ τὸ Πνεῦμα δοξάζει ὁ Υἱὸς διὰ τῶν προειρημένων ὑψηλῶν τε καὶ θεοπρεπῶν φωνῶν· διὰ τοῦτο μετ' ὀλίγον ἐπιφέρει, ὅτι Ἐκεῖνος ἐμὲ δοξάσει, πανταχοῦ τὸ ὁμοούσιον καὶ ὁμοφυὲς καὶ τὸ τῆς ὁμοτιμίας ἀξίωμα ἀκήρα-

[55] Joan. xv, 15. [56] ibid. [57] Joan. xvii, 4. [58] Joan. xii, 28.

VARIÆ LECTIONES ET NOTÆ.

(19) Col. p. 281 : ἀπεκάλυψας.
(20) Mon. ὑμᾶς.
(21) Hucusque ratiocinatio apostolis attributa, qua Photius propius ad intentum suum accedit.
(22) Mon. ἀφηγεῖται.
(23) Mon. λογισμ. δὲ ἀνθρώποις (ἀνοις) ἦν οὐκ εὐαγ.
(24-25) Col. δεινὸν γὰρ εἰ ψ. λ. λύπῃ deest in Mon.
(26) Mon. συνθολώσασα.
(27) καί deest in Mon.
(28) Sic Monac. f. 455 b; Vat. f. 199 b : μηδ' ἂν ἐσύνουν.
(29) Mon. συνεταράττοντο.
(30) Mon. ἴσος.
(31) Mon. περιβαλὼν, πολλοὺς ἔσχε.
(32) Mon. κατασπείρειν.
(33) Alterum καί deest in Mon.

Digitized by Google Распознавание текста ABK/FR

τον συντηρῶν· ὡς ἄν τις εἴποι (34)· Κοινόν ἐστι τῆς ὑπερουσίου καὶ ὑπερδεδοξασμένης (35) [32] Τριάδος τὸ παρ' ἀλλήλων ἀῤῥήτῳ λόγῳ δοξάζεσθαι (36). Δοξάζει τὸν Πατέρα ὁ Υἱὸς, ἀλλὰ καὶ ὁ Πατὴρ τὸν Υἱὸν, δοξάζει (37) καὶ τὸ Πνεῦμα· καὶ γὰρ ἐκεῖθεν αὐτῷ τῶν χαρισμάτων ὁ πλοῦτος πηγάζει· ἀλλὰ καὶ τὸ Πνεῦμα τὸν Πατέρα, ὅτι ἐρευνᾷ, μᾶλλον δὲ οἶδε τὰ βάθη τοῦ Θεοῦ (38) καὶ ἀποκαλύπτει αὐτὰ, καθόσον (39) ἐστὶν ἀνθρωπίνῃ φύσει ληπτὸν, τοῖς παρασκευακόσι ἑαυτοὺς ἐπιτηδείους δέξασθαι τὴν ἐκ τῆς (40) θεογνωσίας αὐγήν. Δοξάζει δὲ, ὥσπερ εἴρηται, νῦν ὅ τε Υἱὸς τὸ Πνεῦμα καὶ τὸ Πνεῦμα τὸν Υἱὸν, καὶ ἔστιν αὐτῶν ὥσπερ κοινὸν ἡ βασιλεία καὶ ἡ δύναμις καὶ τὸ κράτος, οὕτω καὶ ἡ δόξα, καὶ οὐ μόνον (41) ἡ παρ' ἡμῶν ἀναφερομένη, ἀλλὰ καὶ ἣν αὐτοὶ δέχονται παρ' ἑαυτῶν (42).

κη'. Ἐκεῖνος ἐμὲ δοξάσει· τουτέστιν, οὔτε διότι δόξαν ἀνῆψα τῷ Παρακλήτῳ, διὰ τοῦτο μείζονα αὐτὸν ἀπεφηνάμην ἐμοῦ, οὔτε πάλιν διότι ἐκεῖνος, ἔφην (43), Δοξάσει ἐμὲ, ἐμαυτὸν ἐκείνου προτίθημι τῇ τιμῇ. Δοξάσει ἐμὲ, τουτέστιν ὅσον ἐκείνου τὸ ὕψος κατανοεῖς, τὴν ἐμὴν δι' αὐτοῦ δόξαν ἔνεστί σοι ἀναθεωρεῖν· καὶ γὰρ ὥσπερ ἐγὼ ἃ ἤκουσα παρὰ τοῦ Πατρὸς, ἐδίδαξα ὑμᾶς, οὕτω κἀκεῖνος λήψεται ἐκ τοῦ ἐμοῦ καὶ φωταγωγήσει (44) ὑμᾶς· ἐπίσης ἡ τῶν χαρισμάτων [33] ἀένναος (45) ἡμῶν βρύει (46) πηγὴ (47), ἐπίσης ἡ ἐξ ἀϊδίου πρόοδος ἐκ τοῦ Πατρὸς (48), ἐπίσης τὸ ὁμοούσιον καὶ ὁμοφυές· πάντα τὴν ἰσοτιμίαν μυσταγωγεῖ. πανταχόθεν τὸ μεῖζον καὶ τὸ ἔλαττον ἀπελαύνεται.

κθ'. Εἶτα εἰπὼν, ὅτι λήψεται, λαμπρῶς ἀνακηρύττει, καὶ ἐφ' ᾧ λήψεται· οὐδὲ γὰρ ἵνα ἐκπορευθῇ, φησὶν, οὐδ' ἵνα ὑποστῇ (πρόσεχε ταῖς Δεσποτικαῖς, ἄνθρωπε, φωναῖς)· ἀλλὰ διὰ τί λήψεται; διὰ τί; Ὥστε (49) τὰ ἐρχόμενα ἀναγγεῖλαι ὑμῖν (50)· καὶ γὰρ τοῦτο προαναφθεγξάμενος ἐπισφραγίζει πάλιν λέγων· Ἐκ τοῦ ἐμοῦ λήψεται καὶ ἀναγγελεῖ ὑμῖν. Σαφέστερον δ' ἀνακαλύπτων, τί ποτέ ἐστιν ὃ λέγει, Ἐκ (51) τοῦ ἐμοῦ λήψεται, συντόμως ἐπάγει· Πάντα ὅσα ἔχει ὁ Πατὴρ, ἐμά ἐστιν, ὥστε τὰ ἐμὰ λαμβάνων καὶ (52) ἐκ τοῦ ἐμοῦ Πατρὸς λαμβάνει. Καὶ οὐδὲ (53) μέχρι τούτου τὴν

A perglorificatæ Trinitati, alteram ab altera persona ineffabili ratione glorificari. Glorificat Patrem Filius, sed et Pater Filium glorificat atque Spiritus; namque inde ei donorum divitiæ affluunt; sed et Spiritus Patrem, quoniam *scrutatur*, imo potius novit, *profunda Dei* [59], eaque revelat, quatenus queunt ab humana natura percipi, iis qui se ipsos ad lucem divinæ cognitionis suscipiendam idoneos dignosque comparaverint. Glorificat vero, ut modo dictum est, et Filius Spiritum et Spiritus Filium, estque ipsis, quemadmodum commune regnum et virtus et potentia, ita et gloria, non ea solum quæ a nobis offertur, sed etiam quam ipsi a ipsis recipiunt.

B

28. *Ille me clarificabit* [60], hoc est: nec quia gloriam tribui Paraclito, ideo majorem me illum declaravi; neque rursus quia dixi: *Ille me clarificabit*, me ipsum ei honore antefero. *Me clarificabit*, hoc est: quantum illius altitudinem intelligis, meam per illum glorificationem potes contemplari. Nam sicut ego quæ audivi a Patre vos docui, ita et ille accipiet de meo et illustrabit vos. Æqualiter perennis nostrorum donorum emanat fons; æqualiter sempiterna e Patre processio, æqualiter consubstantialitas et naturæ identitas; omnia honoris et gradus æqualitatem indicant; undequaque majoris et minoris ratio eliminatur.

C

29. Deinde, cum dixisset, quod *accipiet*, clare etiam prædicat causam cur accipiet; neque enim ut procedeat ait, neque ut subsistat (attende, quæso, Dominicis vocibus): sed cur accipiet, cur? *Ut quæ ventura sunt annuntiet vobis.* Id enim cum prius asseruisset obsignat rursus inquiens: *De meo accipiet, et annuntiabit vobis.* Clarius vero explicans quid sibi velit his verbis: *De meo accipiet*, confestim addit: *Omnia quæcunque habet Pater, mea sunt.* Quare Spiritus mea accipiens et de meo Patre accipit. Nec vero eo usque tantum sententiæ ejusdem explicationem profert, sed adhuc exactius

[59] I Cor. II, 10. [60] Joan. XVI, 14.

VARIÆ LECTIONES ET NOTÆ.

(34) Apud Maium loco mox citando : εἴπῃ.

(35) Mon. δεδοξασμένης sine ὑπέρ.

(36) Verba, διὰ τοῦτο μετ' ὀλ. — δοξάζεσθαι cum inscriptione : Φωτίου πατριάρχου ἐκ τοῦ λόγου περὶ τῆς τοῦ ἁγίου πνεύματος μυσταγωγίας citantur in concilio Constantinopolitano anno 1156 in causa Soterichi celebrato inter alia Patrum et ecclesiasticorum scriptorum testimonia. (Mai *Spicileg. Rom.* X, p. 38, 39).

(37) Δοξάζει deest in Monac.

(38) Mon. τὸν πατέρα ἐρευνᾷ, μᾶλλον δὲ, κ. τ. λ.

(39) Mon. καθ' ὅσον.

(40) Monac. τὴν ἐκεῖθεν τῆς θεογν. αὐγ.

(41) Col. δόξα, οὐ μόνον; deest καί.

(42) Καὶ ἔστιν αὐτῶν — παρ' ἑαυτῶν. Hæc in eadem synodo Byzantina, de qua diximus, eodem modo allegantur. (Apud Maium l. c., p. 39, 40).

D

(43) Monac. ἔφη.

(44) Mon. φωταγωγῆσαι.

(45) ἀενν. deest in Mon.

(46) Mon. βρύη.

(47) Col. χαρ. ἡμῶν ἀέν. βρύει π.

(48) Mon. ἐπίσης ἐξ ἀϊδ. πρόοδος ἡ ἐκ τοῦ π.

(49) Mon. ὥσπερ.

(50) Hugo Etherianus l. II, c. 18, p. 1233 : « Cum dixisset : Quoniam accipiet, manifeste declarat, et ad quid accipiat : non enim ut procedat aut subsistat (attende Dominicas voces, o homo) ; sed quare accipiet? Ut quæ ventura sunt annuntiet vobis. »

(51) C. Vatic. f. 200 a, semel pro ἐκ ponit διά Sic Col.

(52) Καί deest in Monac. et in Col.

(53) Mon. ὁ μέχρι.

Digitized by Google Распознавание текста ABK/FR

illam revelans et confirmans ait: *Propterea dixi quia de meo accipiet*, quoniam in Patre quidem sunt mea, Spiritus autem ex Patre accipit; quæ enim sunt Patris mea sunt; ut ita propemodum clamare videatur: Quando dico *de meo*, ad meum Patrem, non vero ad alium vestras cogitationes vertere et convertere debetis. Nullum enim prætextum reliqui vobis, quem non resciderim, ne ad aliud quidpiam imaginationibus abripiamini, præsertim cum jam ante asseruerim vobis, quod *omnia quæcunque habet Pater, mea sunt*.

30. Quid lucidius his purissimis eloquiis? Quid clarius ad ostendendum verba illa *De meo accipiet* ad Patris personam nos transmittere et ad eam esse revocanda, atque Spiritum a Patre, tanquam a causa donorum operationem accipientem prædicari? Donorum, inquam, illorum, quibus discipulos corroborabit, ut futurorum cognitionem constanti firmoque ferant animo, rerumque arcanarum atque reconditarum citra ullam difficultatem constituantur spectatores ac speculatores, imo et supernaturalium prodigiorum patratores et opifices. An non ergo undequaque tibi quilibet impie sentiendi prætextus resectus est? Adhucne audebis calumnias atque mendacia adversus veritatem comminisci aut dolos adversus salutem tuam consuere?

31. Ego sane ne deinceps quidem tui curam abjiciam, ut si insanabilis sis, arguam et corripiam teque humi jacentem adhuc percutiam, si autem sanari potes, medicinam tibi propinem ex ipso veritatis poculo et lenitivam doloris et morbi purgativam. Si enim (o quonam te quis nomine compellet?) Spiritus e Patre processio est perfecta, perfecta autem quoniam Deus perfectus ex Deo perfecto, quidnam ista e Filio processio contulerit? Si enim quid contulit, illud quoque ostendere oportebit quod contulit; quod si præter divinam Spiritus hypostasin nil aliud potest aut mente concipi

A αὐτὴν διάνοιαν ἀναπτύσσων προάγει, ἀλλ' ἔτι τελειότερον αὐτὴν (54) ἀνακαλύπτων καὶ βεβαιούμενος λέγει· Διὰ τοῦτο εἶπον, ὅτι ἐκ τοῦ ἐμοῦ λαμβάνει· διότι ἐν τῷ Πατρὶ μὲν (55) ἔστι τὰ ἐμά· τὸ δὲ Πνεῦμα ἐκ τοῦ Πατρὸς λαμβάνει· καὶ γὰρ τά τοῦ Πατρὸς ἐμά ἐστιν· ὥστε μόνον οὐχὶ βοᾷ (56). Ὅταν λέγω τοῦ ἐμοῦ (57), πρὸς τὸν ἐμὸν Πατέρα χρὴ τοὺς λογισμοὺς [34] ὑμῶν ἀναφέρειν καὶ μὴ πρὸς ἕτερον ἐπιστρέφεσθαι (58). Οὐδὲ γὰρ (59) οὐδεμίαν πρόφασιν ὑμῖν ὑπελειπόμην, ἣν οὐ περιεῖλον, πρὸς ἕτερόν τι ταῖς φαντασίαις ὑποσύρεσθαι, μάλιστα διότι καὶ προδιειλέχθην (60) ὑμῖν, ὅτι πάντα ὅσα (61) ἔχει ὁ Πατήρ, ἐμά ἐστιν.

λ'. Τί τῶν ἀχράντων τούτων λογίων λαμπρότερον; τί δὲ παραστῆσαι σαφέστερον; ὅτι τὸ (62), Ἐκ τοῦ B ἐμοῦ λήψεται (63), πρὸς τὸ Πατρικὸν παραπέμπει πρόσωπον καὶ ὡς τὴν τῶν χαρισμάτων ἐνέργειαν ὡς αἰτίου παρὰ τοῦ Πατρὸς ἱερολογεῖται τὸ Πνεῦμα λαμβάνειν, τῶν χαρισμάτων ἐκείνων, οἷς ἐνισχύσει τοὺς μαθητὰς τῶν ἐρχομένων μὲν τὴν ἐπίγνωσιν σὺν εὐσταθεῖ καὶ ἀπεριτρέπτῳ (64) φρονήματι φέρειν, καθίστασθαι δὲ καὶ τῶν ἀθεάτων μηδεμιᾶς παρακολουθούσης δυσχερείας θεατὰς καὶ δὴ καὶ τῶν ὑπὲρ λόγον ἔργων (65) δημιουργούς. Ἆρ' οὐ (66) παντα-χόθεν σοι πᾶσά πρόφασις ἀσεβείας περικέκοπται; Ἆρ' ἔτι τολμήσεις συκοφαντίας καὶ ψεύδη (67) κατὰ τῆς ἀληθείας ἐπινοεῖν ἢ κατὰ τῆς ἑαυτοῦ μηχανορ-ραφεῖν σωτηρίας (68);

[35] λα'. [κα'.] Ἔγωγε οὖν (69) οὐδὲ τοῦ λοιποῦ σε φροντίδος ἔξω σταίην, εἰ μὲν ἀνιάτως ἔχεις (70) C καὶ ἐλέγχειν καὶ ἐπιτιμᾷν καὶ κάτω κείμενον ἔτι βάλλειν, εἰ δὲ (71) πρὸς θεραπείαν ὁρᾷς, φάρμακόν σοι προσάγειν ἐκ τοῦ αὐτοῦ κρατῆρος τῆς ἀληθείας ἀκεσώδυνόν τε καὶ καθαρτήριον τῆς νόσου. Εἰ γὰρ (ὦ τί ἄν σέ (72) τις (73) προσείποι;) τοῦ Πνεύματος ἡ ἐκπόρευσις ἡ ἐκ τοῦ Πατρὸς τελεία, τελεία (74) δὲ ὅτι Θεος τέλειος ἐκ Θεοῦ τελείου, τί ποτ' ἄν ἡ ἐκ τοῦ Υἱοῦ συνεισενέγκῃ (75); εἰ μὲν γάρ τι συνεισ-ήνεγκεν, εἰπεῖν δεήσει (76) καὶ ὃ συνήνεγκεν· εἰ δὲ παρὰ τὴν θεϊκὴν τοῦ Πνεύματος ὑπόστασιν οὐδὲν

VARIÆ LECTIONES ET NOTÆ.

(54) Mon. τ. αὐτά.
(55) Μέν deest in Mon. Col. μου.
(56) Mon. μονονουχὶ βοᾷς.
(57) Mon. λέγει τοῦτο τοῦ πρ. Col. p. 283, λέγω ἐκ τοῦ ἐμοῦ.
(58) Hugo Etherianus l. c. : « Planius autem reserans, quid sit illud quod dixit : *De meo accipiet*, continuo subjungit : *Omnia quæ habet Pater, mea sunt*. Quare mea accipiens de meo Patre accipit, et ideo dixit : *Quia de meo accipiet, quia in Patre sunt* mea. Spiritus autem de Patre accipit; nam quæ Patris sunt, mea sunt. Quare cum dicit : *de meo*, ad Patrem oportet intentionem dirigere, et non ad alium divertere. »
(59) Mon. ἀλλ' οὐδὲ γάρ.
(60) Sic Vatic. (a προδιελέχθην). Monac. προελέχθη. Col. προδιηλέχθην.
(61) Mon. ἅ.
(62) Col. omitt. τό.
(63) Col. omitt. πρός.
(64) Monac. ἀτρέπτῳ.
(65) Τὰ ὑπὲρ λόγον ἔργα sunt miracula. Cf. Chrys. hom. 39 in Gen. n. 1. Theodor. Heracl. in Joan. xi, 40, apud Corder. in Catena. — Τὰ ὑπὲρ D φύσιν ea vocat jam Origenes contra Cels. v, 23.
(66) Monac. ἆρ' οὐχί.
(67) Col. Ψεῦδος.
(68) Haud dissimili modo de textu Joan. xvi, 14, disputant Georgius Corcyrensis. Nicolaus Hydruntinus et Theodorus Smyrn. apud Allatium in *Vindiciis synodi Ephesinæ*, cap. 51, p. 293.
(69) Col. ἐγὼ δ' οὖν,
(70) Monac. φροντίδος ἔξω θείην ὡς μὴ ἀνιάτως ἔχοντα.
(71) Monac. hic figit cap. 16. Hic uti sæpe Photius adversarium veluti gravi morbo laborantem exhibet. Cf. c. 2. 60. 94.
(72) Col. ὅτι ἄν σε.
(73) Sic in Vat. et Palat. ; Monac. τις εἴπῃ.
(74) Τελεία altera vice deest in Mon.
(75) Col. συνειστενούγκοι.
(76) Col. δεήσῃ.

Digitized by Google Распознавание текста ABK/FR

ἕτερον ἐστιν οὔτε λαβεῖν οὔτε εἰπεῖν (77), τί καὶ τὸν Υἱὸν ὀβρίζειν ἔγνως τῷ ψεύδει καὶ τὸ Πνεῦμα, καὶ σὺν αὐτοῖς γε καὶ πρὸ αὐτῶν τὸν Πατέρα (78);

λβ'. [κβ] Πάλιν δὲ (79) εἰ ἐν ᾧ τοῦ Πατρὸς ἐκπορεύεται τὸ Πνεῦμα, ἡ ἰδιότης ἐπιγινώσκεται αὐτοῦ, ὡσαύτως δὲ καὶ ἐν ᾧ γεννᾶται ὁ Υἱὸς, ἡ τοῦ Υἱοῦ· ἐκπορεύεται δὲ, ὡς ὁ ἐκείνων λῆρος, καὶ τὸ Πνεῦμα ἐκ τοῦ Υἱοῦ, πλείοσιν ἄρ' ἰδιώμασιν διαστέλλεται (80) τὸ Πνεῦμα τοῦ Πατρὸς, ἥπερ (81) ὁ Υἱός. Ἡ μὲν γὰρ πρόοδος ἡ ἐκ τοῦ (82) Πατρὸς, [36] εἰ καὶ τὸ μὲν πρόεισι γεννητῶς, τὸ δὲ ἐκπορευτῶς, ἀλλ' οὖν ἐπίσης αὐτῶν ἑκάτερον ἀφορίζει τῆς πατρικῆς ὑποστάσεως· ἀποδιαστέλλεται δὲ τὸ Πνεῦμα καὶ δευτέρα διαφορᾷ, ἣν αὐτῷ (83) τὸ διπλοῦν τῆς ἐκπορεύσεως προξενεῖ· εἰ δὲ πλείοσι διαφοραῖς διαστέλλεται (84) τοῦ Πατρὸς τὸ Πνεῦμα ἥπερ (85) ὁ Υἱὸς, ἐγγυτέρω (86) ἂν εἴη τῆς πατρικῆς οὐσίας ὁ Υἱὸς, καὶ διπλῶν (87) ὄντων ἰδιωμάτων τῶν (88) ἀφυριζόντων τὸ Πνεῦμα θατέρῳ τούτων ὑποβεβηκέναι τοῦ Υἱοῦ (89) τῆς ὁμοφυοῦς πρὸς τὸν Πατέρα συγγενείας (90) τὸ ἰσότιμον δυσφημηθήσεται Πνεῦμα, καὶ οὕτως ἡ (91) Μακεδονίου πάλιν κατὰ τοῦ Πνεύματος (92) ἀναδύσεται (93) λύσσα, τῆς ἐκείνου δυσσεβείας δι' ἑαυτῆς ἀνακαλουμένη τὸ ἧττημα (94).

λη'. [κγ'.] Ἀλλὰ καὶ εἰ μόνου (95) Πνεύματός ἐστι τὸ εἰς ἀρχὰς (96) ἀναφέρεσθαι διαφόρους, πως οὐχὶ καὶ μόνου Πνεύματος (97) [37] ἀκόλουθον λέγειν τὸ εἰς (98) πολύαρχον ἀναφέρεσθαι ἀρχήν (99);

λθ'. [κδ'.] Ἔτι δὲ εἰ ἐν οἷς Πατρὶ καὶ Υἱῷ κοινωνίαν οἱ πάντα θρασεῖς ἐκαινούργησαν, τὸ Πνεῦμα τούτοις ἀποτειχίζουσι· Πατὴρ δὲ κατ' οὐσίαν Υἱῷ, ἀλλ' οὐ κατά τι τῶν ἰδιωμάτων εἰς κοινωνίαν συνάπτεται, τῆς κατ' οὐσίαν ἄρα πατρικῆς συγγενείας τὸ ὁμοούσιον Πνεῦμα ὑπερορίζουσι (1).

A aut lingua ostendi, cur, quæso, vis Filium mentiendo lædere atque Spiritum, imo cum ipsis et præ ipsis Patrem?

32. Rursus si in hoc quod a Patre procedat Spiritus proprietas ipsius agnoscitur, similiter et in hoc quod generatur Filius, Filii agnoscitur proprietas; procedit autem juxta illorum delirium etiam Spiritus ex Filio, pluribus ergo proprietatibus distinguitur Spiritus a Patre, quam Filius. Processio enim e Patre, tametsi alter prodeat per generationem, alter vero per processionem, æqualiter tamen horum utrumque distinguit a paterna hypostasi, distinguitur autem Spiritus et alia differentia, quam ei duplicitas processionis creat. Jam vero si pluribus differentis distinguitur B a Patre Spiritus quam Filius, propius, accedet ad paternam substantiam Filius, geminisque exsistentibus proprietatibus, quæ Spiritum distinguunt, per alteram horum evincetur Spiritum esse Filio inferiorem in æqualitate consubstantialis cum Patre affinitatis, sicque Macedonii rursus adversus Spiritum emerget insania, ipsa quoque illius impietate deterior.

33. Quinimo si solius Spiritus est, in diversa referri principia, quomodo non necessario consequetur, et solius esse Spiritus, in multiplex principium referri?

34. Insuper si in quibus Patri ac Filio temeraria novitate audacissimi isti communionem effinxerunt, C iis Spiritum secludunt; Pater autem Filio secundum substantiam, non secundum aliquam proprietatem in communionem conjungitur: ergo a paterna secundum substantiam cognatione consubstantialem Spiritum excludunt.

VARIÆ LECTIONES ET NOTÆ

(77 Mon. οὔτε εἰπεῖν οὔτε λαβεῖν

(78) Cognotum est hoc argumento cum illo, quod cap. 7 prolatum fuit eique accurate respondet Nicolai Methon. syllegismus ibidem descriptus. Similiter Photius ep. encycl. n. 20, p. 53: Εἴπερ ἡ τοῦ πνεύματος ἐκ τοῦ πατρὸς πρόοδος εἰς ὕπαρξιν συντελεῖ, τί συνοίσει τῷ πνεύματι ἡ ἐκ τοῦ υἱοῦ ἐκπόρευσις, τῆς πατρικῆς ἀρχούσης εἰς ὕπαρξιν; οὐ γάρ τις εἰς ἕτερόν τι τῶν περὶ τὴν οὐσίαν συντελεῖν κατατολμήσειε λέγειν, πάσης διπλόης καὶ συνθέσεως.... D ὡς ἀπωτάτω κειμένης. Rursum in ep. ad Aquilei. (ap. Jager p. 456): Εἰ μὲν τελεία ἡ ἐκ τοῦ πατρὸς ἐκπόρευσις, τίς ἡ χρεία τῆς δευτέρας ἐκπορεύσεως, ἤδη τῆς τελειότητος ἐκ τῆς πατρικῆς προόδου καθορωμένης τῷ πνεύματι; εἰ δ' ἀτελὴς, τίς ὑποίσει τὸ ἄτοπον;

(79) In cod. Mon. cap. 17.

(80) Mon. ἄρα διαστέλεται ἰδιώμασι. Col. ἄρα ἰδιώμασιν.

(81) Palat. f. 223 a. εἰπεν. Col. p. 284 εἴπερ.

(82) Mon. ἡ ἐκ πατρός.

(83) Col. ἦν αὐτό.

(84) Col. εἴπερ.

(85) Mon. διαστέλεται.

(86) Mon. ἐγγυτέρων.

(87) Mon. διὰ πολλῶν.

(88) Τῶν deest in Mon.

(89) Mon. τὸν υἱόν.

(90) Col. συγγενείας· τὸ ἰσότ.

(91) Mon. κ. ἡ τοῦ M.

(92) Κατὰ τοῦ πν. deest in Mon.

(93) Col. ἀναδύσει.

(94) Hæc magna ex parte ad verbum occurrunt in ep. encycl. n. 11. p. 51, 52: εἰ γὰρ ἐν ᾧ τοῦ πατρὸς — — τοῦ πατρὸς ἥπερ ὁ υἱός (ut supra)· κοινὸν μὲν γὰρ πατρὶ καὶ υἱῷ ἡ ἐξ αὐτῶν τοῦ πνεύματος πρόοδος, ἰδία δὲ τοῦ πνεύματος ἥ τε ἐκ τοῦ πατρὸς ἐκπόρευσις, καὶ μὴν καὶ ἡ ἐκ τοῦ υἱοῦ· εἰ δὲ πλείοσι διαφοραῖς διαστέλλεται τὸ πνεῦμα ἥπερ ὁ υἱὸς, ἐγγυτέρω ἂν εἴη τῆς πατρικῆς οὐσίας ὁ υἱὸς ἥπερ τὸ πνεῦμα· καὶ οὕτως ἡ Μακεδονίου πάλιν κατὰ τοῦ πνεύματος παρακύψει τόλμα, τὸ ἐκείνων ὑποδυομένη δρᾶμα καὶ τὴν σκηνήν.

(95) Mon. μόνου τοῦ πν.

(96) Mon. mendose χαράς.

(97) Posuimus πνεύματος, licet codd. habeant πατρός. Nam id omnino sensus suadet et præterea in ep. encycl. n. 13, ubi hoc ipsum legitur argumentum, πνεύματος legitur, etiam in cod. Mon. f. 449 a. Facile ποι et πνι a scriptoribus commutantur, Col. πατρός.

(98) Mon. εἰ.

(99) In ep. encycl. πῶς οὐκ ἔστι μόνου πνεύματος, τὸ πολύαρχον ἔχειν ἀρχήν.

(1) Mon. περιορίζουσι. Cf. opusc. contra vet. Romæ asseclas c. 8. Idem argumentum legimus in

Digitized by Google Распознавание текста ABK/FR

35. Spiritus a Filio procedit eademne processione an paternæ contraria? Si enim eadem, quomodo non communes reddantur proprietates, quibus et solis Trinitas trinitas esse et adorari dignoscitur? Si autem processione paternæ contraria, quomodo non Manetes nobis et Marciones rursus uno cum isto verbo sacrilego in medium prodeunt, impiam iterum adversus Patrem et Filium dilatantes garrulitatem.

λε' [κε'.] Τὸ Πνεῦμα τοῦ Υἱοῦ ἐκπορεύεται· πότερον τὴν αὐτὴν ἐκπόρευσιν ἢ τῆς πατρῴας ἀντίθετον (2); εἰ μὲν γὰρ τὴν αὐτὴν, πῶς οὐ κινοῦνται (3) αἱ ἰδιότητες, αἷς καὶ μόναις ἡ Τριὰς τριὰς εἶναι καὶ προσκυνεῖσθαι χαρακτηρίζεται; εἰ δ' ἐκείνης [Col. εἰ δὲ ἐκείνης] ἀντίθετον, πῶς οὐ Μάνεντες (4) ἡμῖν καὶ Μαρκίωνες πάλιν τῷ βλασφήμῳ οὕτω συναναχορεύσουσι (5) ῥήματι, τὴν θεομάχον πάλιν κατὰ τοῦ Πατρὸς καὶ τοῦ Υἱοῦ γλωσσαλγίαν πλατύνοντες (6);

36. Præterea si omne quod non est commune omnipotenti et consubstantiali atque supernaturali Trinitati, unius est solum modo trium personarum; productio autem Spiritus non est communis trium: ergo est tantummodo unius e tribus illis. Utrum igitur ex Patre dicent procedere Spiritum et quomodo non ejurabunt caram ipsis ac novam doctrinam? Si autem ex Filio, cur non statim ab initio sunt ausi totum suum venenum evomere, sed paulatim ac particulatim illud effundunt? Oportebat enim, si quidem impio suo dogmati confidebant, ab initio ipsos profiteri, a se non modo

[38] λς'. [κς'.] Ἐπὶ δὲ τοῖς εἰρημένοις εἰ πᾶν ὃ μή ἐστι κοινὸν τῆς παντοκρατορικῆς] καὶ ὁμοουσίου καὶ ὑπερφυοῦς Τριάδος, ἑνός ἐστι μόνου τῶν τριῶν· οὐκ ἔστι (7) εἰ ἡ ταῦ Πνεύματος προβολὴ κοινὴ τῶν τριῶν (8), ἑνὸς ἄρα καὶ μόνου ἐπὶ τῶν τριῶν (9). Πότερον οὖν ἐκ τοῦ Πατρὸς φήσουσιν ἐκπορεύεσθαι τὸ Πνεῦμα, καὶ πῶς οὐκ ἐξομόσονται τὴν φίλην αὐτοῖς [καὶ] καινὴν (10) μυσταγωγίαν; εἰ δὲ ἐκ τοῦ Υἱοῦ, τί μὴ κατ' ἀρχὰς εὐθὺς ἐθάρρησαν ὅλον αὐτῶν ἐξεμέσαι τὸν ἰὸν, ἀλλὰ κατὰ μέρος ἀναβλύζουσιν (11); ἐχρῆν γὰρ εἴπερ ἦσαν [39] πεποιθότες αὐτῶν (12) τῷ δυσσεβήματι ἐξ ἀρχῆς ἀνομολογεῖν, ὡς οὐ μόνον

VARIÆ LECTIONES ET NOTÆ

ep. encycl. paucis vocibus differentibus: Ἔτι δὲ ἐν οἷς πατρὶ καὶ υἱῷ (Mon. f. 449 b. Πρτρὸς καὶ υἱοῦ) κοινωνίαν ἐκαινούργησαν, τὸ πνεῦμα τούτοις ἀποτειχίζουσιν, πατὴρ δὲ κατ' οὐσίαν υἱῷ, ἀλλ' οὐ κατά τι τῶν ἰδιωμάτων εἰς κοινωνίαν συνάπτεται (Mon. l. c. συνάπτονται)· τῆς κατ' οὐσίαν ἄρα συγγενείας τὸ πν. περιορίζουσιν.

(2) Hæc verbotenus leguntur in eadem encycl. n. 17. p. 53.

(3) Mon. hic, κινοῦνται; encycl. ut supra, al. κοινωνοῦνται.

(4) Mon. hic, μέννοντες.

(5) Mon. h. l. συναναχορεύουσι. Ep. encycl. Πῶς ἡμῖν οὐ Μ. καὶ Μ. τῷ ῥήματι τούτῳ προκύπτουσι. Col. συναναχορεύουσι (ut Mon.) habuit; posterior manus correxit-εύσουσι.

(6) Encycl. γλῶσσαν προτείνοντες. Amplificat hoc dilemma Nicol. Methon. cap. 3: Ἡ τοῦ Πνεύμστος ἐκπόρευσις ἐκ τοῦ πατρός τε καὶ ἐκ τοῦ υἱοῦ ἡ μία καὶ ἡ αὐτή ἐστιν, ἢ ἄλλη καὶ ἄλλη. εἰ μὲν οὖν μία, κοινὸν τοῦτο τῶν δύο, πατρός τε καὶ υἱοῦ, τὸ προάγειν τὸ πνεῦμα ἐξ ἑαυτῶν· οὐκ ἄρα ἴδιον τοῦ πατρός· τὸ γὰρ ἴδιον οὐ κοινὸν οὐδὲ τὸ κοινὸν ἴδιον· ἀλλ' ἦν καὶ ἴδιον τοῦ πατρὸς τὸ ἐξ αὐτοῦ προάγειν τὸ πνεῦμα. δεῖ γὰρ ὁμολογεῖσθαι καὶ τοῦτο, τὸ τὸν πατέρα ᾗ πατέρα τέκειον ἐξ αὐτοῦ γεννᾷν τε τὸν υἱὸν ἅμα καὶ προάγειν τὸ πνεῦμα, καὶ ὅλον τοῦτο αὐτῷ πατρικὸν ἀπονενεμεῖσθαι (*sic*) ἰδίωμα, ὥσπερ τῷ υἱῷ τὸ ἐξ αὐτοῦ γεννᾶσθαι καὶ τῷ πνεύματι τὸ ἐξ αὐτοῦ ἐκπορεύεσθαι· καὶ πῶς κοινοῦται τὸ ἴδιον; εἰ μὴ καὶ πατὴρ καὶ υἱὸς εἰς ἓν συνάγοιντο πρόσωπον, κἀντεῦθεν μέλλοι Σαβέλλιος ἀναζῆν· τὸ γὰρ ἓν καὶ προσωπικὸν ἰδίωμα ἑνὸς ἀνάγκη εἶναι προσώπου. Εἰ δὲ μὴ, μία καὶ ἡ αὐτὴ, ἀλλ' ἄλλη μὲν ἡ παρὰ τοῦ πατρὸς, ἄλλη δὲ ἡ παρὰ τοῦ υἱοῦ τοῦ πνεύματος πρόεσις, ἢ ἁπλῶς αἱ δύο διαφοροι ἢ καὶ ἐναντίαι· ἀλλὰ τὸ μὲν ἐναντίας ταύτας εἰπεῖν τῆς Μαρκίωνος τοῦ Ποντικοῦ καὶ Μάνεντος τοῦ Πέρσου ἐστὶν αἱρέσεως τῶν ἐναντία δύο πρεσβευόντων ἀρχάς· εἰ δὲ ἁπλῶς αἱ προέσεις διάφοροι, τίς ἡ τούτων διαφορά; καὶ πῶς τὸ ἐκ δύο διαφόρων τούτων ὑφεστὸς ἓν καὶ ἁπλοῦν, ἀλλ' οὐχ ἢ δύο ἢ σύνθετον.

(7) Col. οὐκέτ...

(8) Col. κοινὸν τῶν τρ.

(9) Hæc et seqq. rursus ad verbum fere leguntur in encycl. n. 21, p. 54. Εἴ πᾶν ὅπερ — — οὐκ ἔστι δὲ ἡ τοῦ πν. προβολὴ κοινὸν τῶν τριῶν, κ. τ. λ.

(10) Mon. f. 457 a. ἱκανήν. In ep. encycl. f. 449 a, recte καινήν (al. in encycl. καὶ κοινήν). Col. p. 285, καὶ καινὴν ut in textu.

(11) Encycl. l. c. Τί μὴ κατ' ἀρχὰς ἐθάρρησαν αὐτῶν ὅλην ἐκκαλύψαι τὴν θεομαχίαν, ὡς οὐ μόνον τὸν υἱὸν εἰς τὴν τοῦ πνεύματος προβολὴν ἐγκαθιστῶσιν, ἀλλὰ καὶ τοῦ πατρὸς ταύτην ἀφαιροῦνται. Eodem pacto Nicetas apud Hugonem Etherianum l. I, c. 12, p. 1205: « At tamen Nicetas ex adverso instat dicens: Si omnibus quidem qui divina dogmata bene meditantur, inambiguum et indubitabile constat, quoniam omne quod in zoarchica et omni conditrice Trinitate simili modo conspicitur, aui communiter (ed. communicatur) de tribus prædicatur, aut singulariter de una persona dicitur: emissio autem simili modo secundum eamdem processionem in zoarchica Trinitate dicta non est communis, unius utique omnino erit. Si autem hoc ita est, utrum Patris fatebuntur solius, an (et) Filii? Quorsum (Quorum ed.) si Patris? ecce quanquam nolint, domesticam suam opinionem inficiabuntur: si vero Filii, heu quanta impietas! hanc enim Patri auferunt et Filio attribuunt. » — Nicol. Methon. c. 9: Πᾶν ὅπερ ἐπὶ τῆς ὑπερουσίου τριάδος καὶ νοεῖται καὶ λέγεται, ἢ κοινόν ἐστι τῶν τριῶν ἢ ἑνὸς ἴδιον· ὃ δὲ μήτε κοινόν ἐστι τῶν τριῶν, μήθ' ἑνός τινος τούτων ἴδιον, τοῦτ' οὐδ' ὅλως θεωρεῖται ἐν τῇ τριάδι· ἢ γὰρ φυσικόν ἐστι τὸ θεωρούμενον καὶ εἴη ἂν κοινόν· κοινὰ γὰρ πάντα τὰ φυσικά· ἢ οὐ φυσικόν, καὶ οὐδὲ κοινὸν, ἀλλ' ἴδιον καὶ ὑποστατικόν τινος τῶν τριῶν. Ἡ τοίνυν τοῦ πνεύματος προβολὴ, εἰ μὲν κοινὴ τῶν τριῶν εἶναι δοθείη, εἴη ἂν καὶ αὐτοῦ τοῦ πνεύματος, καὶ ἐξ αὐτοῦ ἄρα ἐκπορευθήσεται τὸ πνεῦμα, καὶ ἀρχὴ ἔσται αὐτὸ ἑαυτοῦ, καὶ αἴτιον ἅμα καὶ αἰτιατὸν (ὅπερ οὐδ' οἱ τῶν Ἑλλήνων ἀνεπλάσαντο μῦθοι) καὶ ἅμα οὐδὲ σύνθετον εἶναι διαφεύξεται, εἰ τὸ μὲν αὐτοῦ αἴτιον εἴη, τὸ δὲ αἰτιατόν (cf. supra cap. 4). Εἰ δὲ μὴ κοινὴ, ἀλλ' ἑνὸς ἰδία· εἰ μὲν τοῦ πατρὸς, οἰχήσεται ἡ φίλη τῆς καινοτομίας μυσταγωγία· εἰ δὲ τοῦ υἱοῦ, τί μὴ φανερῶς ἁμολογοῦσι τῆς καινοτομίας οἱ μυσταγωγοί, ὅτι τοῦ πατρὸς τέλειον αὐτὴν ἀφαιροῦνται

(12) Mon. αὐτῷ.

Digitized by Google Распознавание текста ABK/FR

τὸν Υἱὸν προβολέα τοῦ Πνεύματος δογματίζουσιν, ἀλλὰ καὶ τὸν Πατέρα τῆς προβολῆς ἀπελαύνουσιν· οἷς ἀκόλουθον δήπου καὶ τὴν γέννησιν τῇ προβολῇ συμμετατιθέναι καὶ συμμεταφέρειν, καὶ μηδὲ τὸν Υἱὸν ἐκ τοῦ Πατρὸς, ἐκ δὲ τοῦ Υἱοῦ τερατολογεῖν τὸν Πατέρα τὴν γέννησιν ἔχειν, ἵνα μὴ μόνον τοὺς ἠσεβηκότας ἐξ αἰῶνος κρύψωσιν (13), ἀλλὰ καὶ τῶν μεμηνότων ἐλέγχωνται μανικώτεροι (14).

λη'. [κζ'.] Ἔσι δὲ εἰ ἐκ τοῦ Πατρὸς ὁ Υἱὸς γεγέννηται, τὸ δὲ Πνεῦμα ἐκ τοῦ Πατρὸς καὶ τοῦ Υἱοῦ ἐκπορεύεται, τίς ἡ καινοτομία τοῦ Πνεύματος, μὴ (15) καὶ ἕτερόν τι [40] αὐτοῦ ἐκπορεύεσθαι, ὡς συνάγεσθαι κατὰ τὴν θεοβλαβῆ γνώμην μὴ τρεῖς, ἀλλὰ τέσσαρας τὰς ὑποστάσεις, μᾶλλον δὲ ἀπείρους, τῆς δὲ (16) τετάρτης αὐτοῖς ἄλλην πάλιν προβαλλούσης (17), κἀκείνης ἑτέραν, μέχρις ἂν καὶ τῆς Ἑλληνικῆς ὑπερελάσωσι πολυθείας (18).

λη'. [κη'.] (19) Ἀλλὰ κἀκεῖνο κατ' αὐτῶν ἔστιν ἀφεῖναι· ποῖον δή τοῦτο; εἰ πάντα ὅσα πρόσεστι τῷ Υἱῷ, τοῦ Πατρὸς (20) λαμβάνων ἔχει, ἐκεῖθεν ἂν εἴη λαβὼν (21) καὶ τὸ αἴτιον (22) εἶναι τῆς τοῦ Πνεύματος ἐκπορεύσεως· πόθεν οὖν ἡ ἑτεροκλινὴς αὕτη φιλοτιμία, δι' ἧς ὁρᾶται μὲν ὁ Υἱὸς τῆς τοῦ Πνεύματος ἐκπορεύσεως αἴτιος, τὸ δὲ Πνεῦμα, καίτοι τὸ ἰσότιμον ἔχον καὶ ἐκ τῆς αὐτῆς ὁμοταγῶς τε καὶ ὁμοτίμως προεληλυθὸς οὐσίας (23) τῶν ἴσων γερῶν ἀποστέρηται (24);

[41] λ0'. [κθ'.] Πάλιν αἴτιος ὁ Πατὴρ, αἴτιος δὲ καὶ ὁ Υἱός· τίνα γοῦν (25) δικαιώσουσιν οἱ τῶν ἀτολμήτων διαιτηταὶ τὴν αἰτίαν μᾶλλον ἔχειν; Εἰ μὲν γὰρ τὸν Πατέρα, πῶς οὐκ ἐπείσακτον καὶ νόθον καὶ ὕβρις αὐτοῖς καὶ αὐτή γε ἡ συσκευασθεῖσα τιμὴ τοῦ Υἱοῦ, μάλιστα τὸ κῦρος ἔχοντος ἤδη ἄτε

A Filium productorem Spiritus prædicari, sed et Patrem ab ea productione excludi; atque adeo debebant etiam generationem una cum productione transvertere, monstrosa asserendo futilitate, non Filium ex Patre, sed Patrem ex Filio generari, ut non solum omnes a sæculo impios obscurarent, sed et insanis ipsis insaniores deprehenderentur.

37. Item si ex Patre Filius genitus est, Spiritus vero ex Patre Filioque procedit, cur Spiritui negatur, aliquid aliud etiam ex ipso procedere; ita ut colligantur ex impia ista sententia non tres, sed quatuor hypostases, imo infinitæ, dum quarta aliam rursus produceret et illa aliam, donec ethnica deorum multitudo superaretur.

B

38. Sed et illud potest in istos torqueri. Qualenam vero hoc? Si omnia quæcunque adsunt Filio a Patre accepit, inde utique et hoc acceperit, quod causa sit productionis Spiritus. Unde igitur iste in partem alteram propensus favor, per quem cernitur quidem Filius processionis Spiritus causa, Spiritus autem, tametsi omnino æqualis et rex eadem causa æquali ordine et æquali honore profectus juribus æqualibus defraudatur?

39. Rursus causa est Pater, causa vero et Filius. Utrum igitur isti rerum minime audendarum arbitri magis esse causam pronuntiabunt? Si enim Patrem, quomodo non adscititius et spurius et injurius erit honor ab istis Filio vindicatus, præsertim cum robur jam, quippe et potiores partes habeat Pater? Si vero Filium, heu graviorem temeritatem!

C

VARIÆ LECTIONES ET NOTÆ.

(13) Cod. ἐξ αἰώνων ἀποκρ.

(14) Ep. encycl. l. c. Οἷς ἀκόλουθον δήπου καὶ τὴν γέννησιν τῷ προβολῇ συμμετατιθέντας μηδὲ τὸν υἱὸν ἐκ τοῦ πατρὸς, ἀλλὰ τὸν πατέρα τερατολογεῖν ἐκ τοῦ υἱοῦ γεγεννῆσθαι, ἵνα μὴ τῶν δυσσεβούντων μόνον, ἀλλὰ καὶ τῶν μαινομένων ὦσιν πρωτοστάται. Nicol. Methon. l. c. Ἀκολούθως καὶ τὴν γέννησιν τῇ προοολῇ συμμεταθέντες οὐδὲ τὸν υἱὸν ἐκ τοῦ πατρὸς γεγεννῆσθαι, ἀλλ' ἔμπαλιν τὸν πατέρα ἐκ τοῦ υἱοῦ τε τερατολογήσουσιν.

(15) Μὴ deest in Mon.

(16) Mon. τῆς τετάρτης.

(17) Mon. αὐτοῖς ἄλλην προλαβούσης, κἀκ.

(18) Mon. τὴν ἑλληνικὴν πολυθείαν ὑπερελάσωσιν. Verbotenus fere hæc in encycl, n. 19, p. 53 leguntur: Ἔτι δὲ — — ἐκπορεύεσθαι, ὡς συνάγεσθαι κατὰ τὴν ἐκείνων θεομάχον γνώμην μὴ τρεῖς — τῆς τετάρτης αὐτοῖς ἄλλην· προβαλλούσης κακείνης πάλιν ἑτέραν, μέχρις ἂν εἰς τὴν ἑλληνικὴν πολυπληθίαν ἐκπέσωσιν. Nicol. Methon. cap. 8: ἢ εἰ μὴ τὸν υἱὸν, ἀλλ' ἕτερόν τι δοτέον ἐκ τοῦ πνεύματος ἢ γεννᾶσθαι ἢ ἐκπορεύεσθαι, ὡς ἐκ τοῦ Πατρὸς ἐκείνων ἑκάτερον, ἵνα καὶ ἰσότιμα τάχα καὶ ἰσοδύναμα φυλαχθῇ· ὁμοφυὲς ἂν εἴη καὶ ἰσοδύναμον τὸ ἐκ τοῦ Πνεύματος προαγόμενον τῷ προάγοντι καὶ τοῖς ἐξ ὧν τοῦτο προῆκται· οὐκέτι ἄρα τριὰς, ἀλλὰ τετρὰς ἔσται τὸ πρεσβευόμενον· μᾶλλον δὲ εἰς ἄπειρον αἱ ὑποστάσεις οὕτω γε προχωρήσουσιν, ἀεὶ τῆς προαγομένης τῇ προαγούσῃ τῆς αὐτῆς οὔσης φύσεως καὶ δυνάμεως, ἵνα καὶ τὴν ἑλληνικὴν πολυθείαν οἱ τὰ τοιάδε δοξάζοντες παρελάσωσιν.

(19) In Cod. Mon. Cap. κγ'.

(20) Mon. ἐκ τοῦ πατρός; sed ἐκ deest in Vat. et Pal.

(21) Mon. λαμβάνων.

(22) Mon. αἴτιος.

(23) Col αἰτίας.

(24) Mon. ἀποστερεῖται. Fere eodem pacto Nicolaus Methonensis apud Hugonem Ether. l. II, c, 11, p. 1225: « Si omnia, quæcunque habet Filius, a Patre accipiens habet, procul dubio et ex Patre habet Spiritus emissionem. Unde (editio habet: unum) ergo diversiclina (ed. diversiclima) hæc liberalitas, secundum quam Filius quidem ex Patre accepit ut sit et ipse Spiritus causa, Spiritus autem, quanquam ad idem honoris habeat, et ex ejusdem substantiæ causa prodeat, tamen parili honore privatur, cum a Patre nequaquam accipiat ut causa sit Filii aut alterius sui similis, nisi forte injuriæ imputare crimen Patri quis audeat. » Græcus textus (ex Cod. Mon. 66, f. 79 b. cap. 16,): Εἰ πάντα ὅσα πρόσεστι τῷ υἱῷ παρὰ τοῦ πατρὸς λαβὼν ὁ υἱὸς ἔχει, ἐκεῖθεν ἂν ἔχοι λαβὼν καὶ τὴν τοῦ πνεύματος προβολήν. Πόθεν οὖν ἡ ἑτεροκλινὴς αὕτη φιλοτιμία, δι ἧς ὁ μὲν υἱὸς ἔλαβε παρὰ τοῦ πατρὸς τὸ αἴτιον εἶναι τοῦ πνεύματος, τὸ δὲ πνεῦμα, καίτοι τὸ ἰσότιμον ἔχον καὶ τῆς αὐτῆς ὁμοταγῶς προεληλυθὸς αἰτίας, ὅμως τῶν ἴσων γερῶν ἐστέρηται μὴ λαβὸν καὶ αὐτὸ παρὰ τοῦ πατρὸς τὸ εἶναι αἴτιον ἢ τοῦ υἱοῦ ἢ ἑτέρου τινὸς ὁμοφυοῦς, εἰ μὴ καὶ ἀδικίας προσάπτειν ἔγκλημα τῷ πατρὶ τολμητέον;

(25) Monac., qui signat cap. 24, habet: οὖν.

Digitized by Google Распознавание текста ABK/FR

Non enim sibi satis esse censuerunt in suæ impietatis ausu paternam causam dividere partemque illius Filio tribuere, nisi etiam potiorem partem ei adimant et loco Patris Filium causam substituant Spiritui.

40. Quid ais? Accepit a Patre Filius ex ipso per generationem profectus alium quoque ejusdem naturæ producere? Quomodo igitur et ipse Filius producens ejusdem sibi naturæ Spiritum non comunicavit, sicut ipse participaverat, similem virtutem et prerogativam, ut Spiritus itidem gloriam habeat alium consubstantialem producendi? Et tamen par erat, ut Filius, licet non ob aliud quidquam, at saltem ad Patris imitationem per operationes similes similitudinem conservaret.

41. Ego tamen neque hoc absurdum silentio prætermittam. Majorem asserere Patrem Filio, licet non natura (apage! consubstantialis est enim Trinitas), at ratione causæ permittit sacra vocis Dominicæ institutio, indeque derivata sanctorum nostrum Patrum traditio. Filium vero ratione causæ Spiritu majorem nec in divinis eloquiis audivimus, nec quemquam pium hactenus sensisse comperimus; impia tamen lingua non modo Filium ratione causæ Spiritu majorem facit, sed Patri propiorem.

42. Ad hæc: si causa Spiritus est Filius, quomodo non secunda pullulat causa in supremo super-

καὶ τὸ πλέον τοῦ Πατρός; Εἰ δὲ ὁ Υἱὸς, φεῦ τῆς βαρυτέρας τόλμης! Οὐ γὰρ ἐνόμισαν ἀρκέσειν (26) αὐτοῖς εἰς ὅσον ἀσεβεῖν εἵλοντο διατεμεῖν (27) καὶ συμμερίζεσθαι τῷ Υἱῷ τὴν Πατρικὴν αἰτίαν (28) εἰ μὴ καὶ τὸ πλέον ἀφαιρήσουσι (29) καὶ ἀντὶ τοῦ Πατρὸς τῷ Πνεύματι τὸν Υἱὸν ἀντεισάξουσιν αἴτιον.

μ'. [λ'.] Τί λέγεις; Ἔλαβεν παρὰ τοῦ Πατρὸς ὁ Υἱὸς (30) ἐξ αὐτοῦ διὰ γεννήσεως προελθὼν καὶ προάγειν ἕτερον ὁμοφυές; [42] Πῶς οὖν καὶ αὐτὸς ὁ Υἱὸς προάγων (31) ὁμοφυὲς τὸ Πνεῦμα οὐ μετέδωκεν, ὡς μετέλαβεν (32), τῆς ὁμοίας δυνάμεως καὶ τιμῆς, ἵνα κἀκεῖνο πάλιν ὁμοφυοῦς ἔχῃ (33) προόδῳ καὶ ὑποστάσει ἐναγλαΐζεσθαι; Καίτοι γε ἐχρῆν τὸν Υἱὸν, εἰ καὶ μὴ δι' ἕτερόν τι, ἀλλ' οὖν γε πρὸς τὴν τοῦ Πατρὸς ἀναγόμενον μίμησιν ἐφ' ὁμοίαις ἐνεργείαις συνδιασώζειν (34) τὸ ὅμοιον (35).

μα'. [λα'.] Ἐγὼ δὲ οὐδὲ ταύτην δοίην ἂν σιγῇ τὴν ἀτοπίαν (36) μείζονα λέγειν, εἰ καὶ μὴ τῇ φύσει (ἄπαγε· ὁμοούσιος γὰρ ἡ Τριὰς), ἀλλά γε (37) τῷ αἰτίῳ τὸν γεγεννηκότα τοῦ γεννήματος μυσταγωγεῖ μὲν ἡ Δεσποτικὴ φωνή (38)· διδάσκει δὲ μυηθεὶς ἐκεῖθεν καὶ ὁ τῶν ἱερῶν Πατέρων ἡμῶν (39) χορός· μείζονα δὲ τῷ αἰτίῳ τοῦ Πνεύματος τὸν Υἱὸν οὔτε θείων ἔστιν ἀκούειν Λογίων, ἀλλ' οὐδὲ (40) νοῦς εὐσεβὴς μέχρι νῦν ἐάλω διανοηθείς· ἡ δέ γε θεομάχος (41) γλῶσσα οὐ τῷ αἰτίῳ [43] τὸν Υἱὸν μείζονα (42) τοῦ Πνεύματος μόνον, ἀλλὰ καὶ (43) τῆς πατρικῆς ἐγγύτητος πορρώτερω ποιεῖ (44).

μβ'. [λβ'.] Ἔτι δὲ εἰ (45) αἴτιος τοῦ Πνεύματος ὁ Υἱὸς, πῶς οὐκ ἂν εὑρεθείη (46) δεύτερον ὑποφυόμενον

VARIÆ LECTIONES ET NOTÆ.

(26) Mon. f. 457 b. ἀρκέσειεν.
(27) Mon. διατελεῖν. Col. τὸ διατεμεῖν.
(28) Nil adeo solemne Photianis, quam solum Patrem αἰτίαν dicere omnemque αἰτίας rationem a Filio removere. Id sæpius inculcat Marcus Ephes., ut in Confess. ap. Greg. Cpl. cod Mon. 27 fr. 119 b. apud Georg. Scholar. ibid. f. 185 a.
(29) Col. ἀφαιρήσωσι.
(30) Mon. Ὁ Υἱὸς παρὰ τοῦ Πατρός.
(31) In Mon. deest προάγων.
(32) Col. μετέδ. οὐ μετέλ.
(33) Col. ἔχει.
(34) Mon. Ὁμοίαις συνεργίαις διασώζειν.
(35) In Mon. Cod. cap. κέ. Ex Photio ita Nicolaus Methon. cap. 17: Πῶς δὲ καὶ αὐτὸς ὁ υἱὸς λαβὼν παρὰ τοῦ πατρὸς το εἶναι αἴτιος τοῦ ὁμοφυοῦς πνεύματος, τὸ ὁμοφυὲς Πνεῦμα προάγων οὐ μετέδωκεν αὐτῷ τῆς αὐτοῦ δεσποτείας καὶ τιμῆς, ἵνα καὶ τοῦτο πάλιν ὁμοφυοῦς ὑποστάσεως προόδῳ ἐναγλαΐζηται ἡ γὰρ δυνάμενος οὐ βεβούληται, καίτοι γε ὀφείλων τὸν πατέρα μιμεῖσθαι καὶ φθονερὸς ὁ τοιουτος· (ἀλλ' Ἵλεως ἡμῖν ὁ πανάγαθος εἴη, τὴν βλασφημίαν ἐπὶ κεφαλὴν τοῦ αἰτίου ταύτης ἐπάγων!) ἢ συκοφαντεῖται τοιαύτην δύναμιν [μὴ] ἔχειν, τοῦ πατρὸς ὅλον ἐξιδιωσαμένου τὸ πατρικὸν αἴτιον καὶ τῇ καθ' ἑαυτὸν ἀφορίσαντος ὑποστάσει· καὶ πλὴν τῆς κατ' αὐτὸν ἰδιότητος τἄλλα πάντα τὰ φυσικὰ προτερήματα κοινὰ καὶ τοῖς ἐξ αὐτοῦ παρέχοντος εἶναι.
(36) Mon. ταύτην ἂν δοίην τὴν ἀτοπ. σιγῇ.
(37) Mon. ἀλλά γε καὶ τῷ αἰτ.
Ἀλλ' οὕτω πάσης θεοπρεποῦς πανηγύρεως, καὶ τῶν ἐπικοινῶν χαρισμάτων παρεχούσης τὴν ἀπόλαυσιν, καὶ ἰδίαν τινὰ συνεπαυγαζούσης τῆς χάριτος ἔλλαμψιν, παρὰ πολὺ τῶν ἄλλων ἡ παροῦσα πανήγυρις, τῆς Παρθένου καὶ Θεοῦ Μητρὸς φιλοτιμουμένη C τὴν γέννησιν, λαμπρὰ κατὰ πάσης τὰ πρεσβεῖα ἀποφέρεται. Ὥσπερ γὰρ τὴν ῥίζαν κλάδων καὶ στελέχους καὶ καρποῦ καὶ ἄνθους αἰτίαν γινώσκομεν, εἰ καὶ τοῦ καρποῦ χάριν ἡ περὶ τὰ ἄλλα σπουδὴ καὶ ὁ πόνος καταβάλλεται· καὶ οὐδὲν τῶν ἄλλων χωρὶς τῆς ῥίζης ἐκφύεται· οὕτως ἄνευ τῆς παρθενικῆς πανηγύ-

NOTÆ.

(c) Ut schisma excipias, erat ut Photius magnis quoque viris, ac Ecclesiæ magistris accenseri posset; cujus monumentum hoc in sanctam Deiparam, diutius latere nolui, ex quo Photii vena in festivis ejusmodi orationibus velut specimine aliquo sese prodat. Nec enim alia ejus generis illius prodiisse arbitror; nec forte exstant. Seguierano codici præfixus index antiquo manu aliam ei tribuit, in sepulturam Domini, exstatque ibi fere integra excepto exordio: valde illa luculenta, tametsi nolui ita mutilam exscribere, atque hic loci repræsentare. Præcipue imitatus videtur auctor Gregorium Nazianzenum Orat. in sancta lumina, ubi ille tam multis absona gentilium sacra traducit. Nolim ego immorari explicandis fabulis, quas perstingit. Adeat qui volet mythologos.

(d) Ex Eminentissimi cardinalis Mazarini Codice.

Digitized by Google Распознавание текста ABK/FR

ρεως, οὐδεμία τῶν ἐξ αὐτῆς ἀναβλαστησάντων ἐπιφαίνεται· Ἀνάστασις γὰρ, ὅτι θάνατος· θάνατος δὲ, ὅτι σταύρωσις· σταύρωσις δὲ, ὅτι Λάζαρος τεταρταῖος ᾅδου πυλῶν ἀνελήλυθε· καὶ τυφλοὶ βλέπουσι· καὶ κλίνην ἐφ' ἧς ἔκειτο, φέρει τρέχων ὁ παράλυτος· καὶ τῶν παραδοξουμένων ἔργων· οὐ γὰρ ἐπίκαιρον πάντα καταλέγειν· τὰ ἐπίλοιπα, ἃ τὸ Ἰουδαίων ἔθνος δέον δοξάζειν καὶ ἀνυμνεῖν, εἰς φθόνον ἐξέκαυσεν. ἀφ' οὗ τὸν κατὰ τοῦ Σωτῆρος ἐπ' ὀλέθρῳ σφῶν φθόνον [a] ἐπαλαμήσαντο. Ταῦτα δὲ, ὅτι Χριστὸς βαπτισάμενος, καὶ τοὺς ἀνθρώπους τῆς πλάνης ἀπολυσάμενος, ἔργῳ καὶ λόγῳ τὴν θεογνωσίαν ἐδίδασκεν· βάπτισις δὲ, ὅτι γέννησις· Χριστοῦ δὲ γέννησις, συντόμως καὶ καλῶς εἰπεῖν, ὅτι Παρθένου γέννησις· ἐν ᾗ καινιζόμεθα, καὶ ἣν ἑορτάζειν ἠξιώμεθα. Οὕτω ῥίζης, ἢ πηγῆς, ἢ θεμελίων λόγον, ἢ οὐκ οἶδ' ὅτι καὶ οἰκειότερον εἴπω, ἡ παρθενικὴ πληροῦσα πανήγυρις, ἐκείναις τε πάσαις εἰκότως ἀγλαΐζεται, καὶ πολλοῖς καὶ μεγάλοις ἐνδιαπρέπει χαρίσμασι, καὶ παγκοσμίου σωτηρίας ἡμέρα γνωρίζεται.

Σήμερον γὰρ ἡ Παρθένος μήτηρ, ἐκ στείρας μητρὸς ἀποτίκτεται, καὶ τῆς Δεσποτινῆς ἐπιδημίας τὸ παλάτιον εὐτρεπίζεται. Σήμερον δεσμὰ στειρώσεως λύεται, καὶ τῆς παρθενίας τὰ κλεῖθρα σφραγίζεται. Οἷς γὰρ νηδὺς ἄγονος, καὶ λόγους νεκρωθεῖσα τεκνώσεως, καρπὸν παρ' ἐλπίδας ὡραῖον προήνεγκεν· τούτοις καὶ τὸ τῆς παρθενίας μνηστεύεται ἀδιάφθορον, καὶ τὸ θαῦμα τῆς κυοφορίας ἐπιδήλοις ἔργοις προαγγέλλεται. Ὑπερφυὲς μὲν τόκος ἄνανδρος, καὶ παρθενίας φυλακὴ μετὰ γέννησιν· νικᾷ δὲ θεσμοὺς φύσεως καὶ στεῖρα μετὰ γῆρας γεωργουμένη καὶ τίκτουσα, καὶ τῆς Παρθένου τὸν τόκον, δι' ὧν τερατουργεῖται, προοιμιάζεται. Σήμερον τὸν ὀνειδισμὸν τῆς ἀτεκνίας ἡ Ἄννα θερίζεται, καὶ τῆς χαρᾶς τοὺς στάχυς ἡ οἰκουμένη καρπίζεται. Πατὴρ παιδὸς ὁ Ἰωακεὶμ ὀνομάζεται, καὶ τῆς υἱοθεσίας ἡμεῖς ἀῤῥαβωνιζόμεθα τὸ ἀξίωμα. Σήμερον ἡ Παρθένος ἐξ ἀγόνων λαγόνων προέρχεται, καὶ τὰς γονὰς τῆς ἁμαρτίας ἡ στείρωσις διαδέχεται· καὶ τῆς Συναγωγῆς τῶν Ἰουδαίων χηρεύει τὸ πλήρωμα, καὶ τῶν τῆς Ἐκκλησίας κόλπων τὰ τέκνα προκύπτουσι, Χριστῷ τῷ νυμφίῳ θεοπρεπῶς αὐξανόμενά τε καὶ πληθυνόμενα. Ἐξ ἀγόνων λαγόνων ἡ Παρθένος προέρχεται, ὅτε καὶ γονίμων ὄντων ὁ τόκος παράδοξος. Ὦ τοῦ θαύματος! ὅτε τῆς σπορᾶς ὁ χρόνος ἐξέλιπε, τότε τοῦ καρποῦ τῆς φορᾶς ὁ καιρὸς ἐπεδήμησεν ὅτε τὸ πῦρ ἐσβέσθη τῆς ἐπιθυμίας, τότε ἡ λαμπὰς ἀνήφθη τῆς παιδοποΐας. Νεότης ἄνθος οὐκ ἤνεγκε, καὶ βλαστὸν τὸ γῆρας προβάλλεται, γαστρὸς ὄγκος ἀκμαζούσης οὐκ ἐγνώσθη φύσεως, καὶ ὑπεράκμου νηδύος ἀειπάρθενον βρέφος γνωρίζεται κύημα.

Ἀλλ' ἀπορεῖς, ἄνθρωπε, εἰ ἡ στεῖρα τέτοκεν;

A ipsa germinantium, nulla illucescet. Ideo namque resurrectio est, quia mors : mors autem, quia crucifixio : crucifixio, quia Lazarus quadriduanus ab inferni portis reversus est ; ac quia cæci vident, paralyticusque, lectum in quo jacebat portat currens : ac demum quia admiranda alia patrata opera (nec enim per tempus licet percensere omnia) quibus Judæorum populus, cum ad laudem ac cantica provocari debuisset, invidia exarsit ; qua permovente, in suum ipsi interitum Salvatoris necem moliti sunt. Hæc autem eo fuere, quod Christus baptizans, atque ab infidelitatis errore homines liberans, opere pariter atque sermone, Dei scientiam ac fidem doceret : baptismus autem, quia nativitas : Christi autem nativitas, ut summa ac B præclare dicam, quia Virginis nativitas : in qua initiamur, quamque meruimus celebrare. Quamobrem, radicis, fontisve, aut fundamenti, vel nescio quid germanius ac magis proprium dicam, rationem, virginalis festivitas implens, illis pariter universis honestatur, ac splendet, multisque ac magnis præpollet donis, ac mundi universi salutis dies noscitur.

Hodie enim Virgo mater, ex matre sterili nascitur, Dominicique adventus palatium præparatur. Hodie solvuntur sterilitatis vincula, ac virginitatis claustra obsignantur. Quibus enim infecundus uterus, ac cujus prolificæ rationes emortuæ essent, prælarum fructum protulit, cum spes omnis abesset ; iis quoque virginalis incorruptio promittitur, partusC que miraculum perspicuis rebus prænuntiatur. Equidem eximia res, ac tota quid majus natura, partus sine viro, ac servata virginitas ab edita prole ; verum naturæ quoque jura superat, ut sterilis a senio fecunditate augeatur, pariatque ; ac rei prodigium, virginali partui exordio præit. Hodie Anna sterilitatis opprobrium amputat ; gaudiique segetes terrarum orbis metit. Joachim puellæ appellatur pater, nosque adoptionis arrhabonem honoris cumulo accipimus. Hodie Virgo ex infecundis lumbis procedit, peccatique fecundos partus sterilitas excipit, Synagogæ Judæorum cœtus viduus manet, exque Ecclesiæ sinu filii prodeunt, qui Christo sponso divine crescant, ac pleno numero augeantur. Procedit virgo abs sterilibus lumD bis, tum, cum etiam iis fecundis partus mirabilis ac insolitus foret. O rem mirabilem ! cum defecisset sementis tempus, tunc editionis fructus opportunitas advenit : ubi cupiditatis ignis exstinctus esset, tunc fecunditatis fax accensa est. Juventus non protulit florem, germenque senectus edit : vegeti uteri tumor ignotus fuit, effœtique ventris virgo perpetua infans noscitur partus.

Enimvero, dubitas homo, num sterilis pepere-

VARIÆ LECTIONES.

[a] Lege φόνον.

Digitized by Google Распознавание текста ABK/FR

rit ? Quinimo quæris, quibus te quoque mirari oportebat, quibus admiramur ipsi, ut dignam rem miraculo ridiculam facias, spernasque, ac num sterilis pariat, verbis contendis ? Si enim non parit sterilis, nec quæ parit sterilis est ; quomodo arentia ubera in lactis fontes acuuntur ? Siquidem enim senectus sanguinis thesauros nescit recondere, quomodo quod mammæ non acceperunt, in lactis dealbant speciem ? Qui vero etiam vulva emortua, maturam vivamque prolem edit, eamque ipsa continet, et alit ? Hæc tu adversus teipsum, tuamque subtiliter consuis salutem : quis nempe exsistens ? Nec enim unus quis fidelium exsistas, ac eorum, qui miraculo digni sint. Nam neque fidelis producatur, qui iis abroget fidem, per quæ fides astruitur ; sed Judæus. At quomodo, ac ubi tibi excidit Sara ? Nonne enim illa, senectutis ac sterilitatis dispendiis editam prolem, Isaac vidit ? Siquidem Anna animum tibi confundit, ac turbat, potiori jure Sara, quando etiam prior. Quod si hoc dubitationem facit, ille tu, neque persentis, tuam te præscribere ac submovere cognationem, radicesque ex quibus tibi ramo esse accessit, ampulare, atque a Judaicis juribus revinceris excidisse ?

Ut quidem ego naturæ serio partum factum dicens, postea rogarem in meam pedibus manibusque ires sententiam, merito sterilitas senectutem natura, rationum laborem progigneret : cum autem divinæ gratiæ opus doceam, quid gratiam cogis servire naturæ, cujus illa semper dominari comparata est ? Num Adamum admittis e luto formatum, ac absque nativitate productum esse ? Num admittis et Evam absque copula editam, ac lateris, costæque germen esse ? ut plane non hæc dicas rationem naturæ. Quæ enim humana successione accretio ac procreatio est, modum alium processionis servans, non sinit ut illorum processionem naturæ opus existimes : at neque rursum ut contra naturam : siquidem illa naturalis hominum constitutionis principium est. Divini ergo consilii sit, atque potentiæ. Quid vero ? Tum quidem potuisse concedis, in iis quoque quæ majorem admirationem habebant, divinum Numen, nec naturæ ordinem adversus ejus Fictorem instruis ; nunc autem, tanquam potentissimum ac immortalem virtutem gravi senio defectam existimares, isti imbecilliorem pronuntias ? cum prioribus exercitatus, par esset ut aliis quoque potius videreris, indubitatam in ejusmodi præbere fidem. Quocirca ne Judæus quidem dubitaverit, ut quidem Judæus sit ; sed eorum aliquis, qui animum ac mentem habent gentilitio errore tentum.

Non credis ergo tu, subsannasque, ut puella abs sterili prodierit, qui homines putredine ortos confingis ? qui draconis dentes majoribus tuis vulvas, quibus sint suscepti, efficis : adeoque utinam tibi ipse dicenti, eos sepulcra ostendisses, qui lapides jubes concrescere in homines, tuorumque majorum genus digna te serie recenses, in formicarum sanguinem referens. Tu hæc sapiens, quanquam sunt maximum delirium ; nec usquam aliquid, non

μᾶλλον δὲ ζητεῖς, οἷς καὶ σὲ θαυμάζειν ἐχρῆν δι' ὧν θαυμάζομεν, παρὰ φαῦλον θέσθαι τὸ θαυμαζόμενον, καὶ πῶς στεῖρα τέκοι λογομαχεῖς ; Εἰ γὰρ στεῖρα οὐ τίκτει· τίκτουσα δὲ οὐ στεῖρα· πῶς δὲ μαζοὶ ξηρανθέντες εἰς πηγὰς ἀναστομοῦνται γάλακτος ; Εἰ γὰρ θησαυρίζειν αἷμα τὸ γῆρας οὐκ οἶδε, πῶς ὅπερ οὐκ ἔλαβον αἱ θηλαὶ, λευκαίνουσιν εἰς γάλα ; Πῶς δὲ μήτρα νεκρωθεῖσα τελεσιουργεῖ καὶ ζωοποιεῖ, καὶ συνέχει καὶ τρέφει τὸ ἔμβρυον ; Ταῦτα σὺ κατὰ σεαυτοῦ, καὶ τῆς σῆς μηχανορράφεις σωτηρίας· τίς ὢν ; Τῶν πιστῶν γὰρ καὶ ἀξίων τοῦ θαύματος, οὐκ ἄν εἴης· οὐδὲ γὰρ οὐδὲ τοῖς, δι' ὧν ἡ πίστις, ἀπιστεῖν οὐμενοῦν ὁ πιστὸς παρασθήσεται, ἀλλά Ἰουδαῖος· Ἡ Σάῤῥα δὲ, πῶς, ἢ ποῦ σοι διαπέπτωκεν ; Ἆρα γὰρ σὺ γήρως καὶ στειρώσεως εἶδε παῖδα τὸν Ἰσαάκ ; Ἂν ἡ Ἄννα σοι συγχεῖ καὶ ταράσσει τοὺς λογισμοὺς, ἢ Σάῤῥα μᾶλλον ὅτι καὶ πρῶτον. Ἂν τοῦτο ποιῇ τὴν ἀμφιβολίαν, ἐκεῖνος σὺ, καὶ τῆς σῆς οὐκ αἰσθάνῃ παραγράφων συγγενείας, καὶ τέμνων τὰς ῥίζας ἐξ ὧν σοι τὸ εἶναι κλάδῳ, καὶ τῶν Ἰουδαϊκῶν θεσμῶν ἐξελέγχῃ κατενηνεγμένος.

Ἐγὼ δὲ, εἰ μὲν εἱρμῷ φύσεως πεπράχθαι λέγων τὸν τόκον, ἔπειτά σε ὁμονοεῖν παρεκάλουν, καλῶς ἡ στεῖρα τὸ γῆρας· ἡ ἡ φύσις τῶν συλλογισμῶν ἐγέννα τὸν πόνον· εἰ δὲ χάριτος θείας πρεσβεύω τὴν πρᾶξιν, τί τὴν χάριν ἐκβιάζῃ δουλεύειν τῇ φύσει, ἧς ἀεὶ αὕτη πέφυκε κυρία ; Δέχῃ τὸν Ἀδὰμ πηλῷ πλασθέντα, καὶ χωρὶς παραχθεντα γεννήσεως ; Δέχῃ τὴν Εὔαν ἄνευ συναφείας, καὶ πλευρᾶς ὑπάρχουσαν γέννημα· λόγον ταῦτα φύσεως οὐκ ἂν εἰπεῖν ἔχων. Ἡ γὰρ κατὰ διαδοχὴν τῶν ἀνθρώπων αὐξησίς τε καὶ γέννησις, ἄλλην τάξιν τῆς προόδου διασώζουσα, οὐκ ἐᾷ τὴν προβολὴν ἐκείνων φύσεως δοξάζειν ἔργον· ἀλλ' οὐδέ γε παρὰ φύσιν πάλιν· ἀρχὴ γὰρ τῆς κατὰ φύσιν τῶν ἀνθρώπων συστάσεως. Θείας ἄρα βουλῆς, καὶ ἰσχύος. Τί δέ ; Τότε μὲν ἰσχύειν κἂν τοῖς παραδοξοτέροις δίδως τὸ Θεῖον, καὶ τὴν τάξιν τῆς φύσεως κατὰ τοῦ ταύτης οὐχ ὁπλίζεις Πλάστου· νῦν δὲ ὥσπερ γῆρας βαθὺ κατεγνωκὼς τῆς πανσθενεστάτης καὶ ἀκηράτου δυνάμεως, ἀσθενεστέραν τούτοις ἀποφαίνεις ; ἐφ' ὧν τοῖς ἔμπροσθεν ἐγγεγυμνασμένος, δίκαιος ἂν ἦσθα μᾶλλον καὶ τοῖς ἄλλοις ὀφθῆναι τὴν περὶ τούτων πίστιν ἀδίστακτον παρεσχημένος. Οὐκοῦν οὐδὲ Ἰουδαῖος ὁ ἀμφισβητήσων εἴη, ἅνπερ Ἰουδαῖος εἴη· ἀλλά τις τῶν Ἕλληνα νοῦν καὶ γνώμην κεκτημένων.

Ἀπιστεῖς δὲ ἄρα σὺ, καὶ φαυλίζεις ἐκ στείρας παῖδα προεληλυθέναι, ὁ σήψεως τέκνα πλάττων τοὺς ἀνθρώπους ; ὁ δρακοντείους ὀδόντας μήτρας αὐτουργήσας τοῖς σοῖς γε προγόνοις ; ὡς εἴθε τάφους ταῦτα λέγοντί σοι τούτους ἐδείκνυς, ὁ λίθους ἀνθρωπίζεσθαι προστάττων, καὶ τῶν σῶν προπατόρων τὸ γένος ἀξίως γε σαυτοῦ γενεαλογῶν, εἰς τὸ τῶν μυρμήκων ἀναφέρων αἷμα. Σὺ ταῦτα φρονῶν, κἂν μακρὸς ὑπάρχει λῆρος· καὶ οὐδαμῆ, οὐδέν· οὐ χέριν· οὐ νοῦν,

Digitized by Google Распознавание текста ABK/FR

οὐ φύσιν, οὐκ αἴσθησιν, οὐκ ἀλλοτρίαν δόξαν, οὐ τὴν σεαυτοῦ, οὐκ ἄλλο οὐδὲν συνήγορον ἔχων, πλὴν τῆς σῆς ἀναισχυντίας ἢ ἀναισθησίας· ὅμως, περιέπεις καὶ πρεσβεύεις· ἃ δὲ καὶ δόξαι κμροῦσι μαχόμεναι, ταυτὰ περὶ τούτων ὑπὸ τῆς ἀληθείας συνφθέγγεσθαι βιαζόμεναι· καὶ ὧν πρώτη μάρτυς ἡ αὐτοψία καὶ αἴσθησις, καὶ οἷς πολλὰ τῶν ὁμοιοτρόπως πάλαι γεγονότων, καὶ χωρὶς τῶν εἰρημένων τὴν πίστιν παρέχεται· ταῦτα χλευάζειν ἐπιχειρεῖς, καὶ ἐν φαύλῳ τίθεσθαι; καὶ οὐ τοῦτο φαίην ἂν ἔγωγε, ὡς οἷς ἐκεῖνοι τὰ ἀτοπώτατα πεπρεσβεύκασι, τούτοις ἡμᾶς δεήσει σεμνολογεῖν τὰ ἡμέτερα· οὐδὲ πολλοῦ δεῖ, τὸ φῶς τῷ σκότει λαμπρύνεσθαι, ἢ τῷ ψεύδει συνίστασθαι τὴν ἀλήθειαν· ἢ τῇ πλάνῃ τὴν πίστιν στηρίζεσθαι· ἀλλ' ὡς ὅλως οὐκ ἐξῆν ἐκείνοις κατω παντελῶς κατενεχθεῖσι, καὶ ὅσον ἡμεῖς ἄνω τῆς φύσεως, τὰ μὲν παρὰ φύσιν, καὶ ἃ μηδ' ὅστις οὖν τρόπος συγκροτήσειεν, ταῦτα τιμᾶν, καὶ θαυμάζειν· ἃ δὲ πολλῷ κρείσσω καὶ λόγου καὶ φύσεως, καὶ ἀνέσεως [b]· καὶ εἰσέτι μαρτύρων τάφοι, ἔστιν οὗ τῆς χρείας καλούσης, καὶ τῆς Προνοίας οἰκονομούσης, τερατουργοῦντες ἐπιμαρτύρονται, ταῦτα δε λόγῳ καὶ πλάνῃ πειρᾶσθαι παρασαλεύειν.

A gratiam, non mentem, non naturam, non sensum, non alienam opinionem, non tuam ipsius, non aliud quidquam habens quod suffragetur, excepta duntaxat impudentia tua, sive insensibilitate; veneraris tamen, ac honori habes: ea vero quæ et pugnantes confirmant opiniones, cogente veritate ut de his eadem consentienter pronuntient: ac quorum primus testis est ipse aspectus, sensusque, quibus denique, plura olim simili ratione facta, exceptis etiam iis, quæ sunt dicta, fidem conciliant, subsannare contendis, ac floccipendere? Nec sane ego id dixerim, ut quibus illi res absurdissimas honorarunt, iis nos oporteat honestare nostras; neque, quod longe abest, tenebris lumen illustrare; aut veritatem mendacio astruere: vel fidem infi- B delitatis errore confirmare; sed plane nefas eos præsumere, omnino sensu ad ima depressos, quanto nos naturæ superiores sumus, ut quæ sunt contra naturam, quæque nulli comprobaverint mores, ea illi honori habeant, ac admirentur: quæ autem majori et oratione et natura, ac laude, præconio, hactenus quoque martyrum sepulcra, quandoque usu vocante, ac disponente providentia, prodigiis editis clara, attestantur, ea sermone atque errore convellere nitantur.

Ὅρα δὲ κἀκεῖνο. Οὐ πάθος κρατεῖ φύσεως; οὐ νόσος; οὐ γῆρας; οὐκ αὐτὴ δὲ νεότης οὕτω ἠβάσκουσα εἰ καί τι ἄλλο, ἀσθένεια καθεστῶσα τῆς τεκνώσεως; καὶ τὸ παράδοξον, εἰ μὴ τῷ συνήθει τὴν ἔκπληξιν διεκλέπτετο, ὅτι δι' ἧς ἔρχεταί τις εἶναι πατὴρ, αὐτὴ τέως οὐκ ἐᾷ γενέσθαι πατέρα. Τί οὖν; τὰ πάθη νικᾷ τὴν φύσιν, εἰ μή τι ἄλλο πάθος καὶ περίττωμα ταύτης ὄν· ἡ δὲ χάρις ἣν ἔπλασεν οὐ βελτιοῖ φύσιν; τὸ γῆρας ψύχον, τῆς γονῆς ἀναξηραίνει τὰς πηγὰς, καὶ ὁ πλάστης θάλπων οὐκ ἀρδεύει τὸ γεγηρακός; ἐκεῖνα πρὸς ἃ μήπω κατηνέχθη, καὶ τοῦ καιροῦ μήπω παραστάντος, καὶ χειρόνων ὄντων πφὸς ἃ καθέλκεται, φέρει ὅμως εὐμαρῶς· ὁ δὲ πλάστης, ἐν οἷς ἔξ ἀρχῆς ὅροις ἔστησεν, οὐκ ἐπανάγει θέλων εὐχερῶς; ἀπιστεῖς τοῖς εἰρημένοις; καλῶς γε ποιῶν· οὐ γὰρ ἔμοιγε, οὗ πολλοῦ δεῖ τῶν σεμνῶν σου ταῦτα μεταπλάσεων, ἃς ἐγώ σοι ἀριθμήσομαι· μᾶλλον δὲ, σόν ἐστι καταλέγειν ταῦτα, ἵν' ἔχῃς πλέον ἐν τοῖς σοι βιωφελεστάτοις ἀφηγήμασιν ἡμῶν κατεπαίρεσθαι.

Illud quoque vide. Nonne affectio superat naturam? nonne morbus? nonne senium? nonne juventus ipsa, ita vigens ac aliud quodvis, generandæ prolis impotentia exsistens? quodque miraculum C haberet, nisi sensim consuetudine, admirationis ac stuporis sensum auferret, qua quis provehit ut sit pater, ipsa hactenus patrem fieri prohibet. Quid ergo? affectiones naturam vincunt, nisi quid aliud adsit, quod ejus sit affectio ac recrementum; nec gratia, quam finxit ac condidit, naturam in meliorem augebit? Senectus infrigidans genitales fontes exsiccat; nec fictor, conditorque fovens, irriguum faciet quod consenuit? Illa ad quæ hæc necdum devoluta est, ac cum adhuc non adsit tempus, cumque ea ad quæ pertrahunt sint deteriora, facile tamen ferent; fictor autem, ac conditor, in quibus ab initio constituit modis, ut velit non reducet? Non habes dictis fidem? præclare quidem agens, at non mihi, cui hæc longe sint honestis tuis transformationibus, quas tibi sum enumeraturus: quinimo tuum erit percensere, quo magis, humanam vitam juvantibus narrationibus tuis, adversum nos gloriari possis.

Λέγε τὰς ἐξ ἀνθρώπων αἰγείρους· ὧν ἀπορρεῖ τῶν D ὀμμάτων ἡ τοῦ μύθου ἤλεκτρος, ἀφ' οὗ σὺ πλουτεῖς τὴν εὐήθειαν. Ἀρίθμει καὶ τὰς δάφνας, καὶ τοὺς φοίνικας· τὰς ἀηδόνας, καὶ τὰς χελιδόνας· τοὺς ᾠδικούς σου κύκνους, καὶ τὰς ἀλκύονας, καὶ τοὺς φιλανθρώπους σου δελφῖνας. Ὕμνει σου τοὺς ἀνδρογύνους Τειρεσίας, ἵνα θεῶν ἔριν, ἀξίαν τῆς ἐκείνων ἀσελγείας διαλύωσιν· οἱ πλέον τὴν ἡδονὴν ἐπιμετρησάμενοι τῇ θεῷ, εἰς κακὸν τῆς παῤῥησίας ἀπώναν-

Dic factas ex hominibus populos, e quarum oculis fabulosum illud electrum defluit, ex quo tu stultitiæ divitias colligis. Daphnas quoque numera ac phœnices: luscinias ac hirundines: canoros cycnos, ac alcyones, hominumque amantes delphinos. Celebra ac lauda tuos illos ambigui sexus Tiresias, quo deorum litem, eorum dignam luxuria dissolvant: qui nimirum, quod ampliorem voluptatem deæ tribuissent, mala libertatis præmia retulerunt.

VARIÆ LECTIONES.

[b] Lege αἰνέσεως.

Digitized by Google Распознавание текста ABK/FR

Vis abunde in memoriam reducam tauros mare trajicientes, misellæ puellæ amore gubernante; longasque profectiones; ac viarum multos circuitus, morasque quam procul Olympo? Taceo alia. Nec enimvero par est ut fidei unguento, erroris cœnum commisceamus; vel ut pietatis elucentes radios, profunda impietatis caligine probro affi:iamus. Quapropter amplis illis nugis ac fabulis procul valere jussis, eorumque, qui ea admirantur cum amentiam miserantes, tum odio habentes superbiam, ad priorem orationis cursum dirigamur.

Olim itaque humano genere, peccatorum, quibus se primi parentes obstrinxissent, victoria, servituti addicto, neptis proles eorum futurum destructorem subtonans, ac obscuro velut clangore indicans, fore ut illud emergeret a tyrannide, ac a servitute liberaretur, claro signo monstrabat. Quapropter etiam Adam una cum Eva, antiquas illas prævaricationis depurgantes sordes, tristemque a mœstitia vultum deponentes, libera tum voce, tum facie, lætis choreis virginalem coronant festivitatem: quin ejus potius exsistunt auspices. Cum enim peccati senem toti adnatum generi, illud vitiasset, eo radicitus exstirpato, merito potius gaudium ac choros auspicentur, accersantque, ac socios convocent universos ab eis procreatos. Ex quo namque prolapsionis infirmitas, ab iis, qui primi prævaricati essent in omnes transfusa difluxerat, universique similem curationem necessariam habebant; ac mundi totius salutis, hodie Virginis partu ponuntur fundamenta, operæ pretium erat ut communis, ac generis totius constitueretur celebritas; utque populi totius, ac mundanis majora, gratiarum actionis monumento, cantica pangerentur. Mundi enim totius salus, mundanis majores exigit, ac vendicat gratiarum actiones.

Gratiarum actionis cantica submittamus; quod Adam reformetur, ac instauretur Eva; diræque dissolvantur, ac humanum genus, mortuam peccati ac pelliceam exuens personam, in pristinam ac antiquam Dominicæ imaginis restauretur dignitatem. Gratiarum actionis submittamus cantica, ac populi universi choros constituamus, quod Virgo, ab infecundo sinu prodiens, naturæ vulvam infecundam sanctificet, ejusque sterilitatem, ad virtutum uberes fructus exstimulet. Quibus enim universorum Domino ac agricolæ, purissimorum sanguinum rivulos ad masæ totius aridæ irrigationem commodavit; iis merito feracitatis benedictionem recipit. Scala in cœlum subvehens coaptatur terrenaque natura suos ipsa terminos præsiliens, in cœlestes mansiones transfertur. Dominica sedes in terra paratur, terrenaque sanctificantur, ac cœlestium ordines nobiscum congregantur; illiusque nequam, ac qui nos primum decepit, fuitque auctor insidiarum humano positarum generi, dolis ejus ac molitionibus evanescentibus, potentia colliditur.

το. Βούλει σοι προσαναμνήσω τοὺς ποντοπόρους ταύρους, κόρης δυστυχοῦς οἰακιζομένους ἔρωτι· καὶ τὰς μακρὰς ἀποδημίας· καὶ τὰς πολλὰς περιόδους· καὶ τὰς πορρώτατω τοῦ Ὀλύμπου διατριβάς; σιγῶ τ' ἄλλα· οὐδὲ γὰρ οὐδὲ προσεῖχε μύρῳ πίστεως πλάνης συναναχρινᾶσθαι βόρβορον· ἢ τὰς τῆς εὐσεβείας αὐγὰς, τῷ βαθεῖ τῆς ἀσεβείας ζόφῳ καθυβρίζεσθαι. Διὸ τοῖς μακροῖς ὕθλοις καὶ μύθοις μακρὰ χαίρειν εἰπόντες, καὶ τοὺς ἐπτοημένους περὶ ταῦτα τῆς παρανοίας ἐλεοῦντες, καὶ μισοῦντες τῆς ἀλαζονείας, ἐπὶ τὸν ἐξαρχῆς τοῦ λόγου δρόμον καὶ δὴ ἰθυνώμεθα.

Πάλαι τοιγαροῦν τῆς ἀνθρωπίνης φύσεως τῶν προγονικῶν ἁμαρτημάτων τῷ κράτει δεδουλωμένης, ὁ τῆς ἀπογόνου τόκος τὸν καθαιρέτην τούτων ὑποσαλπίζων, ἀνενεγκεῖν τῆς τυραννίδος καὶ ἀπαλλαγῆναι τῆς δουλείας λαμπρὰ παρείχετο τὰ συνθήματα. Διὸ καὶ Ἀδὰμ σὺν τῇ Εὔᾳ τοὺς παλαιοὺς ἐκείνους τῆς παραβάσεως ἀποκαθηράμενοι μολυσμοὺς, καὶ τὸ τῆς κατηφείας ἀποσκευασάμενοι σκυθρωπὸν, ἐλευθέρᾳ καὶ φωνῇ καὶ ὄψει, τὴν παρθενικὴν χοροστατοῦσι πανήγυριν χαίροντες· μᾶλλον δὲ, κορυφαῖοι ταύτης καθεστηκότες. Δι' ὧν γὰρ ἡ τῆς ἁμαρτίας σπορὰ ὅλῳ παραφυεῖσα τῷ γένει, καὶ τοῦτο νοθεύσασα· οὗτοι μᾶλλον ταύτης ἀπορρίζουμένης, κατάρχειν τῆς χαρᾶς, καὶ τῆς χοροστασίας, καὶ μετέρχεσθαι, καὶ συγκαλεῖν τοὺς ἐξ αὐτῶν πεφυκότας, τυγχάνουσι δίκαιοι. Καὶ γὰρ διὰ πάντων μὲν ἀπὸ τῶν πρώτως παραβεβηκότων, τοῦ τῆς παραπτώσεως ἀρρωστήματος μεταρρυέντος· πάντων δὲ τῆς ὁμοίας θεραπείας ἐπιδεομένων· τῆς δὲ παγκοσμίου σωτηρίας σήμερον τῷ τῆς Παρθένου τόκῳ θεμελιουμένης, κοινὴν μὲν καὶ παγγενῆ προσῆκε συστήσασθαι τὴν πανήγυριν· δημοτελεῖς δὲ καὶ ὑπερκοσμίους τὰς εὐχαριστηρίους ᾠδὰς ἀνακρούσασθαι· ὑπερκόσμιον γὰρ ἀπαιτεῖ τὴν εὐχαριστίαν, τὸ τῆς σωτηρίας παγκόσμιον.

Ἀναπέμψωμεν εὐχαριστηρίους ᾠδὰς, ὅτι Ἀδὰμ ἀναπλάττεται, καὶ ἡ Εὔα ἀνακαινίζεται, καὶ ἡ ἀρὰ διαλύεται· καὶ ἡ φύσις ἡμῶν τὸ νεκρὸν τῆς ἁμαρτίας καὶ δερμάτινον ἀποδυσαμένη πρόσωπον, ἐπὶ τὸ ἀρχαῖον τῆς Δεσποτικῆς εἰκόνος ἀναμορφοῦται ἀξίωμα. Ἀναπέμψωμεν εὐχαριστηρίους ᾠδὰς, καὶ χοροὺς πανδήμους συστησώμεθα, ὅτι κόλπων ἀγόνων Παρθένος προκύπτουσα, τὴν ἄγονον μήτραν ἁγιάζει τῆς φύσεως, εἰς ἀρετῶν εὐκαρπίαν τὸ ταύτης ἄκαρπον ἐγκεντρίζουσα. Δι' ὧν γὰρ τῷ Δεσπότῃ πάντων καὶ γεωργῷ, τὰ τῶν ἀχράντων αὐτῆς αἱμάτων ῥεῖθρα εἰς ἀρδείαν ὅλου καταξηρανθέντος ἔχρησε τοῦ φυράματος, τούτοις εἰκότως καὶ τῆς καρποφορίας εὐλογίαν ἀναδέχεται· Ἡ κλίμαξ ἡ πρὸς οὐρανοὺς ἀναφέρουσα καταρτίζεται, καὶ ἡ γεηρὰ φύσις τῶν οἰκείων ὅρων ὑπεραλλομένη, πρὸς τὰς οὐρανίους μονὰς ἐνοικίζεται. Ὁ Δεσποτικὸς θρόνος ἐπὶ γῆς ἑτοιμάζεται, καὶ τὰ ἐπίγεια ἁγιάζεται· καὶ τὰ τῶν οὐρανῶν ἡμῖν συναγελάζεται τάγματα· καὶ ὁ πονηρὸς, καὶ πρώτως ἡμᾶς ἀπατήσας, καὶ τῆς καθ' ἡμῶν ἐπιβουλῆς ἀρχιτέκτων γενόμενος, τῶν δόλων αὐτοῦ καὶ τῶν μηχανημάτων ὑποσαθρουμένων, τὴν ἰσχὺν περιθραύεται.

Digitized by Google Распознавание текста ABK/FR

Τίς ἰσχύσει Θεοῦ θαυμάσια διηγήσασθαι ; Ποῖος δὲ λόγος ἐκφράσει τὰ ὑπὲρ λόγων τὴν δύναμιν ; Πῶς δὲ νοῦς ἅπας οὐ ναρκήσει, τῷ μεγέθει τῶν ἔργων συμπαρατεινόμενος τὴν κατάληψιν ; Ἔπλασε τὸν ἄνθρωπον καταρχὰς ὁ Θεὸς, ἀφάτῳ φιλανθρωπίας πλούτῳ κινούμενος· χειρὸς οἰκείας πλάσμα, καὶ εἰκόνα φέρειν χαριτώσας τοῦ πλάσαντος· ὧν τὸ μὲν τῆς σαρκὸς, τὸ δὲ τοῦ πνεύματος ἐδίδου δηλοῦν τὴν εὐγένειαν· παράδεισος δὲ χρῆμα τερπνὸν καὶ ἐπέραστον, κατὰ Ἀνατολὰς πεφύτευτο, λειμῶνων μὲν ἀμαράντοις καταπνεόμενος ἄνθεσι · φυτῶν δὲ καρποῖς ὡραίοις καὶ παντοδαποῖς ἐνευθηνούμενος· καὶ ποταμοὶ μέσοι ῥέοντες, καὶ καθαρῷ τῷ ῥείθρῳ τὸ πρόσωπον τοῦ πεδίου καταρδεύοντες, ἀμήχανόν τινα τοῦ χωρίου τὴν ὡραιότητα κατεσκεύαζον. Ἐν τούτῳ τῆς Δεσποτικῆς παλάμης ὁ πλάστης ἐγκατοικίζει τὸ φιλοτέχνημα· πάντων μὲν Δεσπότην καταστησάμενος · πᾶσι δὲ τοῖς ἀγαθοῖς ἀφθόνως δείξας περιῤῥεόμενον. Ἔπειτα δὲ σύνοικον ἐκ πλευρᾶς ἀῤῥάστου τόκου μαιευσάμενος ὑπεστήσατο, ἵνα ἐξ οὗπερ ἐλήφθη, κεφαλὴν γινώσκῃ τὸν δανείσαντα, καὶ πρὸς ἐκεῖνον ἀφορῶσα εἴη, συλλογιζομένη τὸ ὑπόχρεον· καὶ τῷ συνδέσμῳ τῆς φύσεως, ὁ τῆς ὁμονοίας αὐτοῖς ἐμπολιτεύοιτο σύνδεσμος.

Ἀλλά γε πάντων τῶν ἐν παραδείσῳ τὴν ἀπόλαυσιν καὶ δεσποτείαν χαρισάμενος, ἐπείπερ ἔδει καὶ ἐντολῇ τινι παιδαγωγηθῆναι, καὶ ἐγγυμνασθῆναι, τὸν τηλικαύτης καὶ τοσαύτης ἐξουσίας καταπιστευθέντα τὸ μέγεθος, εἰσφέρει νόμον αὐτῷ, καθ' ὃν οὔτε χαλεπὸν ἐμπολιτεύσασθαι, οὔτε ῥᾴστον διόλου φυλάξασθαι· δι' ὧν τό γε ἔμμισθον, ἢ τὸ ὑπόδικον ἐβραβεύετο. Φυτὸν γάρ τι τῶν ἀνθούντων ὡραιότητα τῷ λόγῳ τῶν ἄλλων ἀφορισάμενος, τούτου μὴ φαγεῖν μόνου τὴν ἐντολὴν παρεῖχεν ἀποθεσπίζουσαν. Θηρίον δὲ πονηρὸν καὶ ἀρχέκακον, ὃν ἡ πρᾶξις διάβολον ἐπωνόμασεν, ἐξ αὐτῆς πλάσεως ἐπὸφθαλμίσας τὸν ἄνθρωπον, ἄλλῳ θηρίῳ τῶν ἑρπόντων ὀργάνῳ χρησάμενος, καὶ τῇ γυναικὶ προσομιλήσας ἐπαγωγὰ καὶ θελκτήρια, καὶ πολὺ τοῦ νομοθέτου κατασκεδάσας τὸ βλάσφημον, πείθει τὴν γυναῖκα, καὶ δι' αὐτῆς τὸν ὁμόζυγα, τῆς μὲν ἐντολῆς κατολιγωρῆσαι· φαγεῖν δὲ οὗ μὴ φαγεῖν ἐτεθέσπιστο. Οἱ δὲ, ἅμα τε τὸ προσταχθὲν ὑπερέβαινον, καὶ παντων τῶν χαρισμάτων διεξέπιπτον· ὅπερ ἦν τῷ ἐπιβουλεύοντι σπούδασμα. Εἰς τοῦτο γὰρ αὐτῷ σύμπαν κατεσκεύαστο το μηχάνημα. κἀντεῦθεν ἀπὸ τῶν προγόνων εἰς τοὺς ἀπογόνους κατασπειρομένου τοῦ παραπτώματος, ὅλον ἡμῶν τὸ γένος ὁ ἐπιβουλεύσας ὑπὸ χεῖρα εἶχε δουλωσάμενος.

Τί δ' οὖν ὁ πλάστης καὶ κηδεμών ; ἆρα παρεῖδεν εἰς τέλος τὸ πλάσμα ταλαιπωρούμενον, καὶ τοσαύτῃ πλάνῃ βυθιζόμενον, καὶ καθεκάστην τοῖς πάθεσιν ἀνδραποδιζόμενον; Οὐ μὲν οὖν. Πῶς γὰρ ὅπερ φιλοτιμούμενος ἔπλασεν, ἠνέσχετ' ἂν ἡδέως ὁρᾷν συλαγωγούμενον καὶ πλανώμενον ; Διὸ πρὸς ἑαυτὴν μὲν ἡ τῆς Τριάδος ἑνότης, εἰ θέμις εἰπεῖν, ἐκκλησιάσασα. θέμις δὲ τοῦτο λέγειν ἐπὶ τῆς ἀναπλάσεως, ὅτι καὶ τὸ, Ποιήσωμεν ἄνθρωπον κατ' εἰκόνα ἡμετέραν καὶ ὁμοίωσιν, ἐπὶ τῆς πλάσεως εἴρηται· τῷ ἑνιαίῳ

A Quis Dei mirabilia enarrare poterit? Quis autem sermo ea explicet, quæ vim totam sermonum excedunt? Qui vero animus non obtorpeat, ad rerum magnitudinem, comprehensionem contendens? Deus a principio formavit hominem, ineffabilibus impensioris in humanum genus amoris divitiis permotus ; suæmet figmentum manus, ac fictoris largiens ferre imaginem : quorum alterum carnis, alterum spiritus manifestare dabat ingenuitatem. Porro paradisus, res delectabilis ac amoris plena, ad Orientem plantatus erat ; quem pratorum immarcessibiles flores perflarent; pulchrique, ac omnigeni arborum fructus copia ditarent; ac flumina medium decurrentia, limpidisque aquis soli faciem irrigantia, immenso quodam decore augeB rent. In eo fictor, Dominicæ manus arte compositum collocat opus; universorum quidem constituens Dominum ; bonorumque omnium affatim affluentiam tribuens. Tum vero conjugem, ineffabili partu lateris obstetricatus produxit, ut eum, qui id commodasset, ex quo fuisset sumpta, caput sciret, ac debitum reputans in illum aspiceret; naturæque vinculo, concordiæ ipsis, individua vitæ societate, vinculum constaret.

Cæterum, cum omnibus in paradiso positis concessisset frui, ac universorum dominio potiri ; quia etiam præcepto erudiri oportebat, ac exerceri eum, cui talis ac tantæ potestatis magnitudo concredita esset, fert ei legem, e cujus ratione, nec difficile admodum vitæ rationes componere; nec omnino C facile servare ; quibus tum præmium, tum pœnam mercede proponeret. Arborem namque pulchra venustate florentem sermone ab aliis segregans, præceptum ponit, quo una hac vesci prohibeatur. Mala autem bestia, ac mali auctrix : diaboli cognomen actio tribuit : ab ipsa conditione lividis oculis aspiciens hominem, aliaque de reptilium genere bestia organo utens, blandaque ac mulcentia cum muliere collocuta, inque legislatorem multam spargens blasphemiam, mulieri suadet, ac per eam conjugi, ut spernant quidem præceptum, edant vero de arbore de qua ne comederent sancitum erat. Porro illi, mox ut præceptum transgressi essent, dona quoque omnia D amisere; quod utique ponentis insidias consilium erat. In eum namque finem tota molitio comparata erat : indeque a majoribus in nepotes disseminata prævaricatione, universum humanum genus subjectum captivumque insidiator tenebat.

Quid ergo fictor curatorque? Num in finem, in miseriam prolapsum sprevit figmentum, inque tanti erroris profundo demersum, ac quotidie passionibus malisque mancipatum ? Minime gentium. Quomodo enim quod magnifice condidisset, lubens spoliari atque errare videns sustinuisset ? Quamobrem apud seipsam quidem sacræ Triadis Unitas, ut fas sit ita loqui, conventum agens : porro nihil nefas dicere in recreatione, quando etiam in creatione illud dictum est : *Faciamus hominem ad imaginem*

Digitized by Google Распознавание текста ABK/FR

et similitudinem nostram [90] : eodem, ac singulari voluntatis consilio, reformare quod contritum erat, figmentum constituit. Illa autem : valde quippe efferatum ac desolatum erat humanum genus, quod neque minis, neque pœnis, neque legibus, nec monitis prophetarum reduci potuisset; hominem quærebat ejusdem nobiscum consortem naturæ, in quo legis latæ observantiam nulla prævaricatione liceret perspicere; quo humanum idem genus, quibus sui generis hominem vitam instituentem videret, eumdem ipsum imitaretur; utque ipso eo, cui machinarum instructor adversus nos victoriam acceptam referebat, legitima victoria ac certamine profligatus, dominio caderet.

A τῆς γνώμης βούλήματι, τὴν ἀνάπλασιν τοῦ συντριβέντος διετίθετο πλάσματος. Ἡ δὲ (χαλεπῶς γὰρ τὸ ἀνθρώπινον ἐξηγρίωτο καὶ ἐξηρήμωτο, οὔτε ἀπειλαῖς, οὔτε ποιναῖς, οὔτε νόμοις, οὔτε προφήταις ἐπαναγόμενον) ἄνθρωπον ἐζήτει τῆς αὐτῆς ἡμῖν λαχόντα φύσεως, ἐν ᾧ τῆς νομοθεσίας ἐνῆν ἰδεῖν ἀπαράβατον τὴν συντήρησιν· ὡς ἂν ἔχοι νε τὸ ἀνθρώπινον οἷς ὁρᾷ τὸ ὁμογενὲς πολιτευόμενον, ἐκμιμεῖσθαι τὸ ὁμόφυλον· καὶ ἵνα δι', οὗ τὸ καθ' ἡμῶν κράτος, ὁ τὰς μηχανὰς ραψάμενος ἀνεδήσατο, διὰ τούτου καθαιρεθείη τῆς κυρείας, ἐννόμῳ νίκῃ καὶ ἀγωνίσματι.

Ergo unum aliquem e Trinitate oportebat fieri hominem, ut cujus erat formatio, ac opus, ejusdem videretur esse reformatio ac instauratio operis. Illum porro omnino oportebat in terra filium appellari, nec supernam tamen violare dignitatem, qui ab æterno hoc pariter esset, ac laudaretur. Censeri autem inter filios hominum impossibile erat absque incarnatione. Incarnatio enim, via est ad generationem : generatio vero, conceptionis, ac gestati uteri terminus est : cumque illa complectatur matrem, ejus merito præparationem volut fundamento præire petit. Erat itaque fictoris præparanda mater, quo sic refingeretur, quod confractum erat, eamque Virginem esse oportebat, ut sicut primus homo e terra virgine fictus fuerat, sic ex vulva virgine nova iterum fictio ederetur, atque ut nulla prorsus voluptatis insinuatio, vel si ea legitima foret, in Creatoris partu intelligeretur. Quippe erat voluptatis captivus, quem Dominus ut liberaret, nasci voluerat. Enimvero quænam mysterii digna sit esse ministra? Quænam digna effici Dei Mater, ac ei commodare carnem, in cujus universa consentur divitiis? Quænam ergo digna? nisi utique hæc quæ miraculo hodie ex Joachim ac Annæ germinat infecunda radice? cujus lætis gaudiis diem celebramus natalem; ac cujus partus, mysterii maximi, Verbi, inquam, in carne nativitatis, miraculum inchoat : cujus denique gratia, celebris hic totius populi concursu, sacerque indictus est ac coactus conventus.

B Οὐκοῦν ἔδει τινὰ τὸν τῆς Τριάδος εἰς ἀνθρώπους τελέσαι, ἵν' ἥσπερ ἦν τὸ πλαστούργημα, ταύτης ὑπάρχον ὀφθείη καὶ τὸ ἀνάπλασμα. Ἐκεῖνον δὲ πάντως υἱὸν ἔδει κάτω χρηματίσαι, καὶ μὴ καθυβρίσαι τὸ ἄνω ἀξίωμα, τὸν ἐξ ἀϊδίου τοῦτο καὶ ὄντα καὶ δοξαζόμενον. Τελεῖν δὲ εἰς ἀνθρώπων υἱοὺς, οὐκ ἂν ἐγχωροῦν εἴη χωρίς γε σαρκώσεως. Σάρκωσις γὰρ, ὁδὸς ἐπὶ γέννησιν· γέννησις δὲ, κυοφορίας ὑπάρχει συμπέρασμα. Ἡ δὲ, μητέρα συμπεριγράφουσα, τὴν ἑτοιμασίαν ταύτης εἰκότως ἀπαιτεῖ προκαταβάλλεσθαι. Μητέρα ἔδει κάτω διευτρεπισθῆναι τοῦ Πλάστου εἰς τὸ τὸ συντριβὲν ἀναπλάσασθαι· καὶ ταύτην παρθένον, ἵν' ὥσπερ ἐκ παρθένου γῆς ὁ πρῶτος ἄνθρωπος διεπέπλαστο, οὕτω διὰ παρθένου μήτρας, πραγματευθῇ ἡ ἀνάπλασις· καὶ ἵνα μηδεμία μηδ' ἐννόμου πάρ- C οδος ἡδονῆς, μηδ' ἐπινοηθείη τῷ τόκῳ τοῦ κτίσαντος. ἡδονῆς γὰρ ἦν αἰχμάλωτος, ὃν ὁ Δεσπότης ἐλευθερῶσαι τὴν γέννησιν κατεδέξατο. Ἀλλὰ τίς ἀξία χρηματίσαι τοῦ μυστηρίου διάκονος; Τίς ἀξία Μήτηρ γενέσθαι Θεοῦ, καὶ σάρκα δανεῖσαι τῷ πλουτοῦντι τὰ σύμπαντα; Τίς οὖν ἀξία; ἢ δῆλον ὅτι αὕτη ἡ ἐξ Ἰωακεὶμ καὶ Ἄννης τῆς ἀκάρπου ῥίζης παραδόξως βλαστήσασα σήμερον; ἧς ἡμεῖς λαμπρῶς ἑορτάζομεν τὰ γενέθλια, καὶ ἧς ὁ τόκος, τοῦ μεγίστου μυστηρίου, τῆς ἐν σαρκὶ, φημὶ, τοῦ Λόγου γεννήσεως, τὸ θαῦμα προοιμιάζεται· καὶ δι' ἣν ἡ πάνδημος αὕτη καὶ θεία πανήγυρις συγκεκρότηται.

Oportebat enim, plane oportebat ut ea, quæ ab ipsis cunabulis, castum corpus, castam animam; castas denique cogitationes, supra quam sermonis vi exprimi queat, conservasset, Fictoris Mater prædestinaretur. Oportebat ut quæ a puero in templo oblata esset, locaque inaccessa penetrasset, animatum ejus templum qui indiderat animam, conspiceretur. Oportebat ut quæ, nova ac insolita ratione, ab infecundis lumbis nata prodiisset, parentumque probrum abstulisset, avorum quoque ruinam instauraret. Neptis enim majorum babuit reparare casum, generis Salvatorem partu viri nescio edens, ac eum corpus induens. Oportebat ut quæ se

D Ἔδει γὰρ, ἔδει τὴν ἐξ αὐτῶν σπαργάνων ἁγνὸν μὲν τὸ σῶμα, ἁγνὴν δὲ τὴν ψυχὴν, ἁγνοὺς δὲ τοὺς λογισμοὺς, κρεῖττον ἢ λόγῳ, συντηρήσασαν, Μητέρα ταύτην προορισθῆναι τοῦ Πλάσαντος. Ἔδει τὴν ἐκ βρέφους ναῷ προσαχθεῖσαν, καὶ τοῖς ἀβάτοις τόποις ἐμβατεύσασαν, ἔμψυχον ναὸν ὀφθῆναι τοῦ ταύτην ψυχώσαντος. Ἔδει τὴν ἐξ ἀγόνων λαγόνων παραδόξῳ λόγῳ τεχθεῖσαν, καὶ τὸ τῶν τεκόντων περιελομένην ὄνειδος, καὶ τῶν προπατόρων ἀνακαλέσασθαι τὸ ἐλάττωμα. Ἀνασώσασθαι γὰρ ἔσχε τὸ προγονικὸν ἡ ἀπόγονος ἥττημα, τὸν Σωτῆρα τοῦ γένους ἀνάνδρῳ τόκῳ γεννησαμένη, καὶ τοῦτον σωματουργήσασα. Ἔδει τὴν τῷ κάλλει τῆς ψυχῆς ἑαυτὴν ὡραίως ἐμ-

[90] Gen. I, 26.

Digitized by Google Распознавание текста ABK/FR

μορφώσασαν, λογάδα νύμφην ἐμφανισθῆναι τῷ οὐρανίῳ νυμφίῳ ἐμπρέπουσαν. Ἔδει τὴν τῶν ἀρετῶν τοῖς τρόποις ὡς ἄστροις ἑαυτὴν οὐρανώσασαν, τὸν τῆς δικαιοσύνης ἀνίσχουσαν Ἥλιον, πᾶσι τοῖς πιστοῖς ἐπιγνωσθῆναι. Ἔδει τὴν καθάπαξ ἑαυτὴν τῶν παρθενικῶν αἱμάτων τῇ βαφῇ πορφυρώσασαν, εἰς ἁλουργίδα χρηματίσαι τοῦ παμβασιλέως. Ὦ τοῦ θαύματος! ὃν ἡ σύμπασα κτίσις οὐ χωρεῖ, ἡ παρθενικὴ γαστὴρ ἀστενοχωρήτως κυοφορεῖ. Ὃν τὰ Χερουβὶμ ἀτενίζειν οὐ τολμᾷ, πηλίναις χερσὶν ἡ Παρθένος ἀγκαλόφορεῖ. Τὸ ὄρος τὸ ἅγιον, ἐκ τῆς ἐρήμου καὶ ἀγόνου μήτρας προέρχεται, ἐξ οὗ τμηθεὶς ἄνευ χειρῶν λίθος ἔντιμος ἀκρογωνιαῖος Χριστὸς ὁ Θεὸς ἡμῶν, τὰ τῶν δαιμόνων τεμένη, καὶ τὰ τοῦ ᾅδου βασίλεια, αὐτῇ τυραννίδι συνέτριψεν. Ὁ ἔμψυχος καὶ οὐράνιος ἐπὶ γῆς χαλκεύεται κλίβανος, ἐν ᾧ ὁ πλάστης τοῦ ἐμοῦ φυράματος τῷ θεϊκῷ πυρὶ τὴν ἀπαρχὴν ὀπτησάμενος, καὶ τὴν τῶν ζιζανίων ἐπισπορὰν συμφλεξάμενος, ὅλον ἑαυτῷ καθαρὸν ἀρτοποιεῖται τὸ φύραμα.

Ἀλλὰ τί ἄν τις εἴποι; τί δ' οὐκ ἄν τις πάθοι, τῶν τῆς Παρτένου χαρισμάτων καὶ κατορθωμάτων διαπλέων τὸ πέλαγος; Δειλιᾷ καὶ χαίρει· καὶ ἡρεμεῖ καὶ ἐξάλλεται· καὶ πάλιν σιγᾷ καὶ ἀναφθέγγεται· καὶ συστέλλεται καὶ πλατύνεται· τὰ μὲν τῷ φόβῳ, τὰ δὲ τῷ πόθῳ συμμεθελκόμενος. Ἐγὼ δ' ἐμαυτὸν τῷ πόθῳ μᾶλλον ἢ τῷ φόβῳ νυνὶ χαρισάμενος, ἡδέως ἂν, εὖ ἴστε, καὶ πολλῷ ῥέων ὑμῖν ἐπέστην· εἰ καὶ ἀχρήστῳ τοῦ λόγου τῷ ῥεύματι, τῶν παρθενικῶν θαυμάτων ἐλλιμνάζειν ἐμοὶ καὶ πλημμύρειν παρεχομένων· μάλιστά γε καὶ ὑμᾶς ὁρῶν, προθύμως μὲν τὰς ἀκοὰς ἀναπεταννύντας, ὅλον δὲ τὸν νοῦν πρὸς τὴν εὐφημίαν τῆς Ἀειπαρθένου ἀναψαμένους· καὶ ἅμα ἀφοσιούμενος, εἴ τι ἐγὼ τετελεσμένος τοῖς παρθενικοῖς ὀργίοις καθέστηκα. Ἀλλ' ὅμως ὁ καιρὸς ἐπ' ἄλλα παρακαλεῖ· ἐπ' ἄλλην τιμὴν τῆς Παρθένου· τῆς μυστικῆς, φημὶ· καὶ ἀναιμάκτου θυσίας ἀπάρξασθαι (τιμὴ γὰρ Μητρὸς, ἡ τῶν ἐκουσίων τοῦ Υἱοῦ παθημάτων ἀνάμνησις)· ἐφ' ἣν μεθελκόμεθα, καὶ ἣν ἐπικαιρότατον ἱεράσασθαι.

Ἀλλὰ σὺ, ὦ Παρθένε καὶ Μῆτερ τοῦ Λόγου, τὸ ἐμὸν ἱλαστήριον καὶ προσφύγιον· ἡ παραδόξως μὲν ἐκ στείρας γεωργηθεῖσα· παραδοξότερον δὲ τὸν στάχυν τῆς ζωῆς ἡμῖν καρποφορήσασα, πρὸς τὸν σὸν Υἱὸν καὶ Θεὸν ἡμῖν διαπρεσβευομένη καὶ μεσιτεύουσα, τοὺς σοὺς ὑμνητὰς παντὸς ῥύπου καὶ παντὸς ἀποσμηξαμένους μολύσματος, τοῦ οὐρανίου νυμφῶνος ἀξίους ἀνάδειξον, εἰς ἀΐδιον λῆξιν τῷ τῆς ὑπερουσίου Τριάδος τρισσῷ φωτὶ καταυγαζομένους· καὶ ταῖς ταύτης ἐντρυφῶντας ὑπερφυέσι καὶ ἀφθέγκτοις θεάμασιν· ἐν Χριστῷ Ἰησοῦ τῷ Κυρίῳ ἡμῶν, ᾧ ἡ δόξα καὶ τὸ κράτος εἰς τοὺς αἰῶνας τῶν αἰώνων. Ἀμήν.

animi decore pulchre perornasset, sponsa eximia cœlesti congrue sponso proderetur. Oportebat ut quæ se virtutum modis velut stellis cœlum effecisset, justitiæ Solem prætendens fidelibus universis agnosceretur. Oportebat ut quæ virginalium se sanguinum murice omnino imbuisset, in universorum regis trabeam cederet. O miraculum! Quem universa creata non capiunt, eum virginalis uterus nihil angustatum; eo fetus gestas. In quem Cherubim oculorum aciem figere non audent, eum Virgo luteis manibus in ulnis amplexatur. Mons sanctus e deserta sterilique vulva progreditur, ex quo pretiosus ille summangularis lapis Christus Deus noster nulla manuum opera abscissus, dæmonum delubra, ac inferni regiam, una cum tyrannide contrivit. Animatus ac cœlestis in terra fabricatur clibanus, in quo plastes ille ac conditor, meæ massæ primitias divino excoquens igne, ac zizania superseminata comburens, totam sibi mundam massam in panes efformat.

Verum quid quis non dicat, quidve non patiatur, Virginis donorum meritorumque pelagus pernavigans? Metuit ac gaudet; quiescit ac exsilit; rursumque tacet ab loquitur; contrahiturque ac dilatatur, qua timore, qua disiderio secum trahentibus. Porro ego in præsentiarum desiderio, quam timori amplius indulgens, lubens, probe nostis, longe vobis uberius congressus essem, quanquam inutili orationis fluxu, præstantibus miraculis Virginis velut stagnantes ac exundantes aquas: ac maxime, quod et vos tota alacritate videam adaperientes aures, totoque animo in perpetuæ Virginis accensos laudem; simulque persolvam ipse, si quid virginalibus orgiis ac sacris exsisto reus: verum tempus ad alia provocat: ad Virginis aliam laudem: ad mystici, inquam, ac incruenti sacrificii inchoationem (earum enim passionum quæ Filius ultro suscepit, commemoratio, honor est Matris:) ad quod utique trahimur, ac cujus faciendi adest opportunissimum tempus.

Sed tu, o Virgo ac Verbi Parens, propitiatio mea ac refugium; quæ mirabili ratione ab sterili edita es; mirabiliorique, spicam nobis vitæ edidisti, apud Filium tuum ac Deum nostrum intercedens, ac mediatrix accedens, laudatores tuos ab omni sorde, omnique macula depurgatos, cœlesti thalamo dignos effice, ut in requie perpetua, trino, substantia omni majoris Trinitatis lumine, illustrentur, ejusque mirabili ac ineffabili spectaculo delectentur; in Christo Jesu Domino nostro, cui gloria ac potestas in sæcula sæculorum. Amen.

Digitized by Google Распознавание текста ABK/FR

II.

De Symeone Christum in ulnas suscipiente (3)

(COMBEFIS. *Biblioth. Concionat.* t. VI, 230, ipso interprete.

Non erat sacerdos Symeon (3*) : etsi longe virtutum ornamento sacerdotibus præstabat. Idcirco etiam sacerdos quidem, his ministrabat, quæ in puero lex fieri jubebat : at Symeon cum recte factis aliis, tum senis canitie venerabilis, juxta divina responsa votis fruebatur. Agnovit vere evenisse responsa : agnovit eum qui prædicabatur : eum portabat qui verbo omnia portat : visaque generis salute, ac diviniori repletus dulcedine, nullo jam vitæ amore tenebatur. Quin statim præsente salute, carnem deponere, atque his etiam qui erant in inferno faustum salutis ac redemptionis nuntium afferre, totus gestiebat. Atque Deum quidem benedicebat, hoc est, laudibus atque canticis celebrabat ; alioqui vero etiam benedicebat, quod factas sibi promissiones evenisse videret, quod Israelis consolationem oculis aspectare atque manibus gestare meruisset : hincque sacro plenus gaudio, *Nunc*, inquit, *dimittis servum tuum in pace* [91]. Quando promissorum nactus sum finem, finem quoque mortalis vita accipiat : nam hæc mihi verbum tuum olim promittebat. Etenim fore ut non viderem mortem nisi viso Christo Domini, ipse pridem mihi pollicitus eras. Quia vero in meos incurrerunt oculos, quæ cupiebam, quæ quærebam, quorum desiderio æstuabam, *Nunc dimittis servum tuum*, qui nec mortis periculum paveat, nec dubietatis cogitationibus terreatur, sed firma potiatur pace, ac quæ lætitiam plurimam pariat. Etenim vidi salutare omnium populorum.

Ac vide, quæso, divini sacrique senis accuratam diligentiam. Priusquam enim beati illius spectaculi compos efficeretur, exspectabat consolationem Israel : at ubi quod sperabat ac cupiebat obtinuit, non jam consolationem clamat, sed omnium salutem populorum : sic nimirum omni sermone ac cogitatu major ille in puero fulgor virum perstrinxerat. A tantamque affuderat lucem, ut quæ processu temporis, paulatimque revelanda erant, tunc ille statim repenteque cognoverit. Ac ne cui occasionem præbeat opinandi omnes se populos dicere, qui Judæorum gente comprehenderentur, ista subjungit : *Lumen ad revelationem gentium :* quasi dicat, Nemo putet omnem me vocare Judaicum populum : imo totum hac voce significo genus humanum. Etenim quem oculis video, inque ulnis fero, salus erit ac redemptio omnium. Neque hæc dixsse satis habuit ; sed condistinguens contra Israelem omnes gentes, subjungit : *Lumen ad revelationem gentium, et gloriam plebis tuæ Israel* [92] ; quasi dicat : Communis quidem salus est, quem in ulnis gesto, infans cunctis gentibus, ac Israeli : verum gentibus quidem lumen B est, quod ab idololatriæ educat tenebris : Israeli vero gloria, quod data olim illis legalia, quibus ab idolorum cultus emerserunt caligine, in gloriam ac perfectionem conversurus sit. Præterea etiam gloria est natus puer Israelitici populi, tanquam qui ex Abrahami semine homo exstiterit. Eadem fere et Isaias clamans ait : *Ecce posui te in lucem gentium, ut aperias oculos cæcorum* [93] ; hoc est, illis visum præbeas, lucemque a tenebris, atque a mendacio veritatem, ab errore pietatem discernas. Unde et David hanc prædicans salutem, velutque plaudens manibus, ac choros ducens : *Omnes*, inquit, *gentes, plaudite manibus, quoniam Dominus excelsus, terribilis, Rex magnus super omnem terram* [94.99]. Sin autem Christi populus dicitur, estque Israel ut distinguitur C agentibus : distinguitur autem Mosaicis legibus atque moribus, quanquam nondum gratiam consecutus, ejusque compos factus, cum, inquam, qui in Veteri Testamento est ejus populus sit, quomodo non obstruuntur perdita Manichæorum ora, quæ ad aliud eos principium referunt ?

III

Photii patriarchæ Constantinopolitaniæ, novæ sanctæ Dei Genitricis ecclesiæ in palatio a Basilio Macedone exstructæ, descriptio (4).

Φωτίου πατριάρχου Κωνσταντινουπόλεως, ἔκφρασις τῆς ἐν τοῖς βασιλείοις νέας ἐκκλησίας τῆς ὑπεραγίας Θεοτόκου, ὑπὸ Βασιλείου τοῦ Μακεδόνος οἰκοδομηθείσης.

(COMBEFIS., *Manipulus rerum Const*, p. 296.

Lætum video præsentis dici conventum : ac qualem nemo humana solertia atque opera, ac nisi divini afflatu Numinis conflare potuerit. Quam- D

Φαιδρὸν ὁρῶ τῆς παρούσης ἡμέρας τὸν σύλλογον, καὶ οἷον οὐκ ἄν τις ἀνθρωπίνῳ σπουδάσματι καὶ χωρὶς θείας συγκροτῆσαι ῥοπῆς κατισχύσειε,

[91] Luc. II, 29. [92] ibid. 32. [93] Isa. XLIX, 6. [94.99] Psal. XLVI. 2

NOTÆ.

(3) Ex Cat. card. Maz.

(3*) Ita de Symeone Theophanes, Euthymius, etc.

(4) Edidit Græce Lambecius e regia Lupara : libuit mihi et Latine repræsentare. Laudat perinde Constantinus Porphyrogenneta illam Basilii Macedonis, exstruendis seu etiam reficiendis divinis templis, religionem ac magnificentiam : inque eis ipsum hoc templum n. 55 ejus Vitæ multis describit. Quidam tamen vitio dant quod, occupata ejuscemodi ædificiis classe, libera Saracenis atque Barbaris

Digitized by Google Распознавание текста ABK/FR

Διὸ καὶ τερπνὰ τῆς χάριτος ὑποδέχομαι τὰ χαρίσματα, καὶ τῷ Χριστοῦ ποιμνίῳ ἐνευθηνουμένῳ καὶ χαίροντι συναγελαζόμενος ἐπαγάλλομαι· οὐ μέχρις ἡμῶν περιγραφομένην τὴν τερπνότητα καὶ θυμηδίαν τῆς πανηγύρεως ἐπιστάμενος, ἀλλ' εἰς αὐτὸν τὸν κοινὸν Δεσπότην ἀναφερομένην εἰδὼς τὴν σεβασμιότητα. Λαμπρότης γὰρ πανηγύρεως, ὅσον ἡμῶν τῶν πανηγυριζόντων τὸ σεμνολόγημα, τοσοῦτον τῆς Δεσποτικῆς ἀγάπης ἐναργῆ παρέχεται τὰ γνωρίσματα. Ὅταν δὲ μηδὲ τῶν ἐτησίως καὶ συνήθως ἐπιτελουμένων εἴη τὴν ἀνάμνησιν ἑορτάζουσα, ἀλλὰ καινήν τινα καὶ ἀρτιφανῆ τὴν εἰς Θεὸν τιμὴν ἐγκαινίζουσα, πῶς οὐ μᾶλλον ἔτι καὶ τὸν θεῖον ἔρωτα ἀναδειχθείη ἐκπυρεύοντα, καὶ τὴν τῶν ἑορτάζόντων κοσμιότητα καὶ τὸ κλέος ἐπιπλέον ἀναπτύσσουσα; Ἀλλὰ τίς ἡ τοσαύτη τοῦ πλήθους συνδρομὴ καὶ συνέλευσις; Τίς ἡ πανήγυρις; Τί τὸ συγκαλέσαν καὶ συγκινῆσαν ἡμᾶς ἅπαντας; Βούλεσθε εἴπω, ἢ καλὸν ἐκείνῳ παραχωρῆσαι καὶ εἰπεῖν καὶ διδάξαι τῆς πανηγύρεως τὴν ὑπόθεσιν, τῷ χορηγῷ τε ἅμα ταύτης καὶ σοφῷ γε ἀρχιτέκτονι; Ἐκεῖνος καὶ ἱκανὸς λόγοις παραστῆσαι τὸ προκείμενον, ὃς τοὺς τύπους τῶν πραγμάτων ἐν τῇ ψυχῇ προενθέμενος, ἀμίμητον ἔργον ἐπὶ γῆς πανσόφως ὑπεστήσατο.

Λέγε τοιγαροῦν ἡμῖν, ὦ βασιλέων φιλοχριστότατε καὶ θεοφιλέστατε, καὶ πάντας τοὺς ἔμπροσθεν νικῶν τε ἅμα καὶ λαμπρῶς φαιδρύνων τῇ κοινωνίᾳ τοῦ ἀξιώματος. Λέγε προθύμους, ὡς ὁρᾷς, τοὺς ἀκουσομένους ἔχων, ἐφ' ὅπερ ἡμᾶς συνεκάλεσας. Δεῖξον τοῖς

A obrem etiam jucunda gratiæ suscipio munera, unaque cum vegeto, ac pingui, lætoque Christi grege conventum agente, lætitia exsulto; qui nempe, non ad nos duntaxat solemnitatis lætitiam ac jucunditatem finiri intelligam, sed ad ipsum communem Dominum ejus venerationem spectare non nesciam. Solemnitatis namque splendor, quanta nobis celebrantibus gloriatio est, tantum ejus, qua Dominum prosequimur, dilectionis manifesta præbet indicia. Quando vero, ne eorum quidem quæ annuo ex more ritu peraguntur, memoriam celebrat, sed novi cujusdam recentisque in Deum honoris encænia habet, quomodo non etiam magis divini flammam amoris accenderit, magisque etiam eorum qui celebrant morum honestatem gloriam-

B que in lucem protulerit? At, quinam tantus hic plebis concursus atque conventus? quæ panegyris? quis nos omnes pariter vocavit ac traxit? Vultis dicam? an præstet ei propensius dicendi atque docendi partes cedamus, qui solemnitatis occasio ac causa sit; qui ejus et auctor, et sapiens architectus exsistit? Ille enim etiam merito subjectum argumentum sermonibus repræsentaverit, qui ante animo conceptis rerum formis, omni majus imitatione in terra opus condidit.

Dicas igitur nobis, o imperator Christi amantissime ac religiosissime, cunctosque superiores ipse pariter vincens, ac dignitatis consortio præclare exhilarans. Dicas, cui, ut vides, omni alacritate præsto auditores sint, qua ex causa invitave-

NOTÆ.

incursandi ditionem Romanam facultas esset, captis etiam Syracusis a Carthaginensibus. Sic Joan. Sylit. et alii. Idemque in sequentibus quibusdam imperatoribus mordet ac carpit Michael Psellus, ostenditque quantum ea pietas (quæ nec jam pietas est, si deest prudentia) Reip. obsit. Exstruenda templa sic magnifice, cum communis rei non admodum interest: alias præstat magis necessaria curare.

Atque ut paulo amplius in tanti operis nova Basilica Ecclesia immorer (sic enim vocatam ait Constantinus Porphyrogenneta n. 55), fuit illa dicato, non uni sanctæ Mariæ, ut Photiani hujus Tractatus titulus præfert: at nec forte primo, principaliusque: satisque indicare videtur idem Constantinus, dum ita divos tutelares ejus Ecclesiæ percenset. Ac primum numero jam citato, ne ulla quidem mentione sanctæ Mariæ: Κατὰ δὲ τὸν [αὐτὸν] καιρὸν, καὶ ὁ περικαλλὴς οὗτος ναὸς καὶ περίοπτος ᾠκοδομεῖτο, ὃν Νέαν Βασιλικὴν Ἐκκλησίαν λέγειν εἰώθαμεν, ὃς ἐπ' ὀνόματι Σωτῆρος ἡμῶν Ἰησοῦ Χριστοῦ, καὶ Μιχαὴλ τοῦ πρώτου τῶν ἀγγέλων, καὶ Ἡλιοῦ τοῦ Θεσβίτου ἠγείρετο· *Eo ipso tempore pulcherrimum et celeberrimum templum exstruebatur, quod Novam Ecclesiam Basilicam appellamus, in honorem Salvatoris nostri Jesu Christi, et angelorum principis Michaelis, et Eliæ Thesbitæ.* Pauloque distinctius fusiusque numero item 55 superius citato, nisi quod Michaelis loco est Gabriel, reclamantibus aliis, ipsoque sibi adversante Constantino, in ejus antiquario: Ἀμειβόμενος γὰρ ὥσπερ τῆς περὶ αὐτὸν εὐμενείας τὸν Δεσπότην Χριστὸν καὶ τὸν πρῶτον τῶν ἀγγελικῶν δυνάμεων Γαβριὴλ, καὶ τὸν Θεσβίτην Ἠλίαν τὸν Ζηλωτὴν, ὃς καὶ τῇ αὐτοῦ μητρὶ τῆς πρὸς βασιλείαν τοῦ υἱοῦ ἀνυψώσεως ἐχρημάτισεν ἄγγελος· εἰς ὄνομα τούτων καὶ μνήμην ἀΐδιον· ἔτι δὲ καὶ τῆς Θεοτόκου,

C καὶ Νικολάου τοῦ ἐν ἱεράρχαις πρωτεύοντος, θεῖον καὶ περικαλλῆ ναὸν ἐδομήσατο, εἰς ὃν συνῆλθε τέχνη καὶ πλοῦτος, καὶ ζέουσα πίστις καὶ ἀφθονωτάτη προαίρεσις· καὶ τὰ παντάχοθεν συνέδραμε κάλλιστα, ἃ τοῖς ὁρῶσι μᾶλλον ἢ τοῖς ἀκούουσιν οἷδε τυγχάνειν πιστά. *Velut enim Christi Domini in ipsum benevolentiæ vicem redditurus, ac primi inter angelicas potestates Gabrielis, necnon Eliæ Thesbitæ Zelotis illius, qui et ejus matris nuntius fuit sublimandi ad imperii arcem filii; in horum nomen et memoriam sempiternam; necnon et Deiparæ, et Nicolai, inter hierarchas primas obtinentis, divinum pulcherrimumque templum exstruxit; in quo convenere ars et divitiæ, et fervens fides, et liberalissima munificentissimaque voluntas; et omnia undecunque concurrerunt pulcherrima, quæ convisentibus potius, quam audientibus solent esse credibilia.* Vergentibus annis ac imperio Basilii exstructum templum idem satis

D indicat: proinde dicta hæc Photio, ejus secundo sacerdotio; ac postquam humanis erepto Ignatio, Basilii favore, quam male prius invaserat, aliqua æquitatis specie ac οἰκονομίᾳ, sedem receperat. Itaque quem ad calcem laudat Cæsarem, ac Cæsarum gloriam appellat, imperii socium Basilio adlectum, qui θείᾳ ψήφῳ, ἀλλὰ μὴ σπουδαρχήσας, μηδ' ἀνθρωπίναις περιδρομαῖς, imperium arripiat, *divino suffragio, non appetitu regnandi humanoque ambitu*, Leo est, posteaquam procerum supplicatione liberatus fuerat, depulsa calumnia affectatæ tyrannidis, cujus ipse Photius cum Santabareno illi auctor exstiterat; ut passim Theophanis continuatores, et quis vitas τῶν νέων βασιλέων scripserunt: in quibus mihi non magnus aut præcipuus, qui ex regio cod. typis Luparensibus prodiit cum Theophane, Leo grammaticus.

Digitized by Google Распознавание текста ABK/FR

ris? Ostendas verbis, quæ prius ipsis rebus ostendisti. Num enim rursus adversus Barbaros victos, tropæa erexisti? Quibus multis continuisque liberaliter accepisti, his congregasti, ut pari gaudio fruamur, communemque ac populi universi conventu, victoriæ largitori gratiarum actionem promamus; aut, qui hostes data fide deditionisque acceperis, sublimemque, et superbum alienigenarum animum sensumque depresseris, velut qui pio religiosoque animi sensu cuncta tibi præclare gesta, in potentem Dei manum referas; aut qui imperio subjicias urbes, alias quidem, cum pridem cives alerent, melioribus ipse institutis composueris, alias etiam a fundamentis erexeris, aliasque instauraveris, ac imperii fines crebris oppidis præsidiisque communieris; aut qui dives ipse subditos beatos efficias; doce nos, in quem orbis terrarum communem oculum toti aspiciamus; cujus tandem horum gratia invitasti? Aut siles ipse, imperante modestia, et quod tua ipse nolis narrare facinora, quibus necesse laudem contexamus: mihi vero præbes, ut tuarum ipse afflatu rerum, præsentis conventus causam omnium auribus ex oratoris munere inferam.

A λόγοις, ἃ τοῖς ἔργοις προϋπέδειξας. Ἆρα γὰρ πάλιν κατὰ Βαρβάρων νίκας ἀναστήσας καὶ τρόπαια, οἷς πολλάκις ἔργοις ἐπ' ἄλλοις ἡμᾶς ἐδεξιώσω φιλοφρονούμενος, ἐπὶ τούτοις συνήγειρας, εὐφρᾶναί τε ἅμα καὶ τῷ δεδωκότι κοινὴν καὶ πάνδημον ἀναπέμψαι τὴν εὐχαριστίαν; Ἢ λαβὼν ὑποσπόνδους ἄλλους, καὶ ταπεινώσας ὑψηλὸν καὶ γαῦρον καὶ ἀλλόφυλον φρόνημα, ὡς ἐπὶ τὴν κραταιὰν χεῖρα τοῦ Θεοῦ εὐσεβοφρόνως ἀναφέρων πάντα τά σοι καθορθούμενα· ἢ πόλεις ὑπηκόους, τὰς μὲν πάλαι κάτω κειμένας ἀνορθώσας, τὰς δὲ καὶ ἐκ βάθρων αὐτῶν ἀνεγείρας, καὶ ἄλλων ἀνοικισμοὺς ἐργασάμενος, καὶ τῆς πολιτείας πυκνώσας τὰ ὅρια, ἢ πλουτῶν, καὶ ποιῶν εὐδαίμονας τὸ ὑπήκοον. Δίδαξον ἡμᾶς, πρὸς σὲ τὸν κοινὸν τῆς οἰκουμένης ἀφορῶντας ὀφθαλμὸν, ἐπὶ τίνι τούτων ἡμᾶς συνεκάB λεσας; Ἢ σιγᾷς μὲν αὐτὸς ἐπιεικείας τρόπῳ, καὶ τῷ μὴ βούλεσθαί σε τὰ σὰ ἡμῖν διηγεῖσθαι κατορθώματα, οἷς ἀνάγκη τοὺς ἐπαίνους συνυφαίνεσθαι· ἐμὲ δὲ παρέχεις ὑπηχῆσαι τῷ λόγῳ τοῖς σοῖς ἔργοις ἐμπνεόμενον, τοῦ παρόντος συλλόγου τὸ αἴτιον.

Alia igitur, amici, celebritas, aliudque hodierna die mysterium. Virginalis in terra templi encænia hodie peraguntur, Deique Matris, si quod aliud in mundo, dignum habitaculum consecratur. Virginale in terra templum hodie dedicatur, regalis magnificentiæ opus reipsa multis laudum canticis celebrandum. Templum in medio ipso palatio, divinum aliud venerandumque palatium excitatur; ejusmodi scilicet, ut, si cum aliis conferas, ac eorum rationem habeas, regia ipsa palatia, privatæ ædes aperte arguantur, quinimo quod sua qua pollet claritate ac venustate, illa quoque illustret ac reddat clariora, priorem illis mundum atque ornatum adaugeat. Dicas, oculos in ipsum conjiciens, non humanæ artis opus esse, sed divinam quamdam nobisque superiorem virtutem pulchritudinem illi indidisse. Templi aditus ac vestibulum, egregio ornatu ac decore compositum: candidi enim marmoris tabulæ splendidum quid gratiosumque effulgent, ejus modi scilicet ut totum conspectum complectentes, ipsarum inter se situm, extremorumque junctura, leni, plana, subtilique admodum commissura obtegant: adeo ut lapis unus lineis rectis velut inscriptus (res miraculo nova!) videatur, suavissimeque intuentium oculos capiant: indeque devincientes, ac in se convertentes, spectantem vetant, ne ad ea transire velit, quæ intus radiant: sed in ipso templi vestibulo, mox adiens præclaro exsuscitatus spectaculo, visisque figens oculum, velut radicibus fixus admiratione hæret. Orphæo Thraci fabulæ lyram assignant, ea pulsandi vi, ut res ipsas inanimes sonis moveat. Quod si etiam nobis in fabulas veritatem efferre, atque figmento tremendam reddere fas esset, dicat aliquis, qui sacræ ædis vestibulum adeant, in plantarum arborumque naturam, miraculo defigente transire. Sic qui semel conjecit oculos ægre avellitur, ac spectaculo tenetur.

Ἄλλη τοιγαροῦν, ὦ φίλοι, τελετὴ, καὶ ἄλλο μυστήριον σήμερον. Ναὸς παρθενικὸς ἐπὶ γῆς ἐγκαινίζεται σήμερον, καὶ τῆς Θεομήτορος, εἴπερ ἄλλο τι, τῶν ἐγκοσμίων ἐπάξιον οἰκητήριον. Ναὸς παρθενικὸς ἐπὶ γῆς ἐγκαινίζεται σήμερον, βασιλικῆς μεγαλοπρεπείας ἔργον ὡς ἀληθῶς πολυύμνητον. Ναὸς ἐν μέσοις αὐC τοῖς ἀνακτόροις, ἀνάκτορον ἄλλο θεῖον καὶ σεβάσμιον ἀνιστάμενος, καὶ τῇ πρὸς αὐτὸ παραβολῇ καὶ συγκρίσει, ἰδιωτικὰς οἰκίας ἀποφαίνων τὰ ἀνάκτορα· μᾶλλον δὲ καὶ τῇ ἐνούσῃ λαμπρότητι καὶ ταῦτα περιαστράπτων καὶ φαιδρύνων, καὶ πολὺ παρασκευάζων τοῦ προτέρου κόσμου σεμνότερα. Εἴποις ἂν εἰς αὐτὸν ἰδὼν, οὐκ ἀνθρωπίνης χειρὸς ἔργον, ἄλλα θείαν τινὰ καὶ ὑπὲρ ἡμᾶς δύναμιν τὸ κάλλος αὐτῷ ἐπιμορφώσασθαι. Προπύλαια μὲν γὰρ τῷ ναῷ περικαλλῆ διεσκεύασται· καὶ γὰρ μαρμάρων διαλεύκων πλάκες λαμπρόν τι καὶ χάριεν ἀποστίλβουσαι, ὅλην ἐναποD λαβοῦσαι τὴν πρόσοψιν, καὶ τὴν πρὸς ἀλλήλας θέσιν, καὶ τὴν τῶν περάτων συνάφειαν τῷ ὁμαλῷ καὶ λείῳ, καὶ τῷ προσηρμόσθαι λίαν ἀποκρύψασαι, εἰς ἑνὸς λίθου συνέχειαν γραμμαῖς εὐθείαις ὥσπερ ἐπιγεγραμμένου, θαῦμα καινὸν ὁραθῆναι καὶ ἥδιστον, τὴν τῶν ὁρώντων φαντασίαν ὑπάγουσιν. Ἐξ οὗπερ τὰς ὄψεις συνέχουσαι, καὶ πρὸς ἑαυτὰς ἐπιστρέφουσαι, οὐκ ἐθέλειν ποιοῦσι τὸν θεατὴν μεταχωρῆσαι πρὸς τὰ ἐνδότερα· ἀλλ' ἐν αὐτῷ τῷ προτεμενίσματι τοῦ καλοῦ θεάματος ὁ προσιὼν ἐμπιπλάμενος. καὶ τοῖς ὁρωμένοις ἐρείδων τὰ ὄμματα, ὥσπερ τις ἐρριζωμένος τῷ θαύματι ἕστηκεν. Ὀρφεῖ μὲν οἱ μῦθοι τῷ Θρᾳκὶ κιθάραν κροτοῦσι, κινοῦσαν τοῖς φθόγγοις τὰ ἄψυχα. Εἰ δὲ καὶ ἡμῖν ἐξῆν ἐς μύθους ἐπαίρειν καὶ φοβερὰν ποιεῖν τὴν ἀλήθειαν, εἶπεν ἄν τις, τοὺς προσιόντας τῷ προτεμενίσματι, εἰς φυτῶν ἀποδενδρουμένους φύσιν τῷ θαύματι μεταβάλλεσθαι· οὕτως ἅπαξ τις ἰδὼν δυσαποσπάστως κατέχεται.

Digitized by Google Распознавание текста ABK/FR

Ἐπειδὰν δὲ τις ἐκεῖθεν μόλις ἀποσπασθεὶς εἰς αὐτὸ παρακύψῃ τὸ τέμενος, ἡλίκης καὶ ὅσης οὗτος χαρᾶς τε ἅμα καὶ ταραχῆς καὶ θαύματος ἐμπίπλαται! Ὡς εἰς αὐτὸν γὰρ τὸν οὐρανὸν ἐπιπροσθοῦντος μηδαμόθεν ἐπιδεδηκὼς, καὶ τοῖς πολυμόρφοις καὶ πανταχόθεν ὑποφαινομένοις κάλλεσιν, ὡς ἄστροις, περιλαμπόμενος, ὅλος ἐκπεπληγμένος γίνεται. Δοκεῖ δὲ λοιπὸν τά τε ἄλλα ἐν ἐκστάσει εἶναι, καὶ αὐτὸ περιδονεῖσθαι τὸ τέμενος. Ταῖς γὰρ οἰκείαις καὶ παντοδαπαῖς περιστροφαῖς, καὶ συνεχέσι κινήσεσιν· ἃ πάντως παθεῖν τὸν θεατὴν ἡ πανταχόθεν ποικιλία βιάζεται τοῦ θεάματος, εἰς αὐτὸ τὸ ὁρώμενον τὸ οἰκεῖον φαντάζεται πάθημα.

Ubi autem quis vix inde avulsus in ipsum delubrum prospexerit, quanto qualique gaudio simul, et turbatione et admiratione impletur! Tanquam enim in ipsum cœlum nullo usquam obstante conscenderit, multiformibusque ac undequaque lucidis pulchritudinibus astrorum in morem collustratus, in stuporem totus agitur: videturque jam inde emotæ mentis; ipsumque illi delubrum circumgyrare putatur. Quod enim spectator suis ipse, omnimodisque agitationibus ac continuis motibus circumversetur; quod ut illi omnino necessarioque accidat, miraculi undique incurrens varietas facit; in re ipsa quam oculis usurpat, suam ipse affectionem cogitat.

Ἀλλὰ γὰρ χρυσός τε καὶ ἄργυρος τὰ πλεῖστα τοῦ ναοῦ διειλήφασιν· ὁ μὲν ψηφῖσιν ὑπαλειφόμενος· ὁ δὲ εἰς πλάκας ἀποξεόμενος καὶ τυπούμενος, ἄλλος ἄλλοις ἐπιπλασσόμενος μέρεσιν. Ἐνταῦθα ἐπικοσμούμενα κιόνόκρανα. Ἐνταῦθα δὲ διὰ χρυσῶν περιζώματα· ἀλλαχόθι δὲ ταῖς ἀλύσεσιν ἐπιπλεκόμενος χρυσὸς, ἢ χρυσοῦ τι θαυμασιώτερον, ἡ θεία τράπεζα, σύνθημα (5). Ἄργυρος δὲ παρὰ τὰς πυλίδας καὶ πυλίδας τοῦ θυσιαστηρίου, σὺν τοῖς περιστῴοις· καὶ αὐτὸς ὁ κωνοειδὴς καὶ τῇ θείᾳ τραπέζῃ ἐπικείμενος σὺν τοῖς ὑπερείδουσι στυλίσκοις καὶ ὑπωρόφοις ὄροφος, καὶ μαρμάρων δὲ πολυχρώμων ὅσα μὴ χρυσὸς ἐπέδραμεν, ἢ ἄργυρος περιέλαβεν, ἀμήχανόν τε καὶ τερπνὸν φιλοτέχνημα, τὰ λοιπὰ τοῦ ναοῦ διεκόσμησεν. Ἡ δὲ τοῦ ἐδάφους θέα, εἰς ζώων μορφὰς καὶ σχημάτων ἄλλας ἰδέας ταῖς πολυμόρφοις ψηφῖσι διαμορφωθεῖσα, θαυμαστήν τινα τοῦ τεχνίτου τὴν σοφίαν παρεστήσατο. Παῖδας ὡς ἀληθῶς καὶ πλασμάτων πλάστας τοὺς Φειδίας ἐκείνους καὶ Παρασίους καὶ Πραξιτέλεις καὶ Ζεύξιδας ἐν τῇ τέχνῃ ἐπελέγξασα. Δημόκριτος εἶπεν ἄν, οἶμαι, τὴν τοῦ ἐδάφους λεπτουργίαν ἐνιδὼν, καὶ ταύτῃ τεκμηρίῳ χρώμενος, μὴ ἂν πόρρω εἶναι τὸ μὴ οὐχὶ καὶ τὰς ἀτόμους αὐτοῦ καὶ ὑπ' ὄψιν πιπτούσας ἀνευρῆσθαι· οὕτω πάντα πεπλήρωται θαύ-

Cæterum aurum argentumque pleraque sibi templi loca vindicant. Alterum, tessellati operis lapillis oblitum, alterum in tabulas laminasque deductum formatumque: atque aliud aliudque aliis partibus adhibitum. Hic columnarum capitella ornata, illic fasciæ ac subligacula aurea: alibi aurum catenis implexum, aut quod auro majus ad admirationem (sacra nimirum mensa) compositum exsistat. Loci altaris portulæ et columellæ argenteæ cum peristyliis, ipsumque coni figura divinæque mensæ impositum tectum, cum fulcientibus illi subjectis columellis cameraque. Varii coloris marmora, quæcunque vel auro non obtecta, vel non intercepta argento, artis opus stupendum, mireque oblectans, reliquis templi partibus ornatum præstant. Pavimenti conspectus, in animalium formas, aliarumque figurarum species, multiformi tessellati operis concinnatione efformatus, admirabilem quamdam artificis sapientiam exhibet; tantam nimirum, ut vere pueros figmentorumque artifices, Phidias illos, Parasioseque, et Praxiteles, et Zeuxidas arte iis subtiliore coarguat. Democritus, puto, subtili pavimenti opere conspecto, atque hinc conjecturam ducens, haud procul abesse dixisset, quin suas

NOTÆ.

(5) Ἢ χρυσοῦ τι θαυμασιώτερον σύνθημα· Innuit forte simile aliquid factitatum in mensa altaris novæ ecclesiæ, ac factum fuerat in Sancta Sophia a Justiniano; pluribus scilicet liquatis speciebus, sive etiam contusis, ex quibus una altaris mensa conflaretur; cujus tamen rei Constantinus non meminit; Photium tamen tueri recentior forsitan memoria possit. Proclive certe Justinianæ munificentiæ fere æmulum ædificiorum superbia, hoc quoque æmulari ipsum voluisse, ac rem tentasse. Constantinus ita: Τὰ ἄδυτα τοῦ ναοῦ, καὶ χρυσῷ, καὶ ἀργύρῳ καὶ λίθοις τιμίοις, καὶ μαργάροις κατα-πεποίκιλται· tumque aliis percensitis, quæ in sanctuario erant, καὶ αὐτὰ, inquit, αἱ ἱεραὶ τράπεζαι ἐξ ἀργύρου πάντα περικεχυμένον ἔχοντα τὸν χρυσὸν, καὶ λίθοις τιμίοις ἐκ μαργαριτῶν ἡμφιεσμένοις πολυτελῶν τὴν σύμπηξιν καὶ σύστασιν ἔχουσι. *Ipsæ etiam sacræ mensæ, omnia ex argento cui superfusum fuerat aurum, et lapidibus pretiosis, margaritis superpositis amplissimi pretii, compacta ac fabricata erant.* At num hæ mensæ, ipsa κατ' ἐξοχὴν τοῦ θυσιαστηρίου τράπεζα; in Sanctæ Sophiæ sacrario etiam alias mensas describit auctor anonymus, nihil habentes cum * ipsa altaris mensa in fabrica aliisque commune; quid, si etiam in novæ ecclesiæ sacrario erant; nec Constantinus de ipsa altaris mensa locutus est, quam potius peculiarius voluerit notare?

Quod editum titulo ἔκφασις, mutavi ἔκφρασις· nec enim aliud est quam oscitantia exscribentis, dum quæ duplex pingi littera solet, simplici reddit. In quo non semel illi erratum; quodque omnem scrupulum adimit, sæpius in voce εὐφαίνεσθαι, pro εὐφραίνεσθαι· τῷ ἔκφασις, nihil satis congruit: ἐκφρασις. Descriptio est, Hermolao auctore, et quidem culta, verborumque lenocinio pœne affectata, cujusmodi illa Sanctæ Euphemiæ, auctore Asterio, in VII synodo laudata, mihique emendatior in Asterio edita, semelque et iterum Lugdunensibus et Parisiensibus typothetis ex mea illa editione, quidquid ingrate taceant, recusa. Est ejusdem etiam descriptio Oculi, *Orat. de cæco nato*, mihi perinde post Photiana excerpta, primum ex P. Jac. Sirmundi et Seguier. codd. edita. τὸ ἐνευθυνούμενον, emend. ἐνευθηνούμενον.

Digitized by Google Распознавание текста ABK/FR

ob oculos versantes atomos invenisset : sic cuncta plena miraculo. Unum vero duntaxat mihi peccasse videtur delubri architectus, quod in unum eumdemque locum pulcbris omnibus congestis, videntem clare spectaculo frui non sinit, aliis subinde alio trahentibus, vicissimque avellentibus, nec sinentibus quantum quis velit, ejus quod videt aspectu satiari.

Quod me vero præteriit, primumque dicendum fuit. Verum ne inter orandum quidem, templi miraculum suas orantem clare partes exsequi sinit : ac sane modo dicturus sum. In ipsa namque superiori fornice, virilis imago Christi formam præferens lapillorum vario flore depicta enitescit. Dixeris terram inspectare, ejusque ornatum ac gubernationem mente agitare : sic accurate pictor, gestu ex habitu, coloribusque Creatoris erga nos providentiam curamque, numine propensius afflante, effinxit. Hemisphærii circa tholum insectis circulis, angelorum communem stipantium Dominum depicta multitudo : quæ vero ab altaris loco apsis assurgit, Virginis forma splendescit, nostri causa expansis intemeratis manibus, ac quæ salutem imperatori præstet, roburque ad bella fortiter gerenda illi conciliet. Apostolorum chorus atque martyrum ; sane etiam prophetarum ac patriarcharum, egregium templo ornatum, quod pictis imaginibus impleant, afferunt : horum unus quis, tametsi silet, quibus olim locutus est, clamat : *Quam dilecta tabernacula tua, Domine virtutum! concupiscit et deficit anima mea in atria Domini* [1]. Alter vero : *Quam mirabilis est locus iste! non est hoc, nisi domus Dei* [2]. Succinit autem forte alius, qui nec ipse ex nostris, aut probatis sit, invitusque nostra deprædicat : *Quam pulchræ domus tuæ, Jacob ; tabernacula tua, Israel! Tanquam paradisi super flumina, et sicut tabernacula quæ fixit Deus, et non homo* [3].

Olim quidem Dei conspectori Mosi, Dei ipsius imperio tabernaculum excitatum est, ad hostias Deo immolandas, ac populi delicta expianda. Sed et Salomoni regi, templum deinde Hierosolymis conditum est ; opus scilicet aspectu delectabile, ac ejusmodi, ut quidquid ejus generis unquam exstiterat, pulchritudine, magnitudine, sumptuositate longe obscuraret. Enimvero quantum fortasse umbra et figura a veritate rebusque ipsis decedit, tantum illa a templo, quod nunc fidelis magnusque imperator noster exstruxit : non eo duntaxat nomine, quod istud gratiæ ac spiritus est, illa legis atque litteræ ; sed quod etiam pulchritudine ac reliqua artis concinnitate elegantiaque præ illis merito primas obtinet.

Ecquis vero brevi adeo tempore celeberrimi templi miracula tentet oratione percurrere ; cum nec ipsum visum, diu multumque legendo, quanquam sensus reliquos celeriori motu longe exsu-

ματος. Ἑνὶ δέ μοι δοκεῖ μόνον ὁ τοῦ τεμένους ἀρχιτέκτων διημαρτηκέναι, ὅτιπερ εἰς ἕνα καὶ τὸν αὐτὸν χῶρον ἅμα πάντα συλλέξας τὰ κάλλη, οὐκ ἐᾷ τὸν θεατὴν καθαρῶς ἐντρυφῆσαι τοῦ θεάματος, ἄλλων ἀπ' ἄλλων ἀφελκόντων τε καὶ μετασπώντων· καὶ μὴ παραχωρούντων ὅσον τις ἐθέλει τοῦ ὁρωμένου κορένυσθαι.

Ὃ δέ με παρέδραμε, καὶ πρῶτον ῥηθῆναι ἔδει. Ἀλλὰ γὰρ οὐδ' ἐν τοῖς λόγοις τοῦ τεμένους τὸ θαῦμα παρέχει τῷ λέγοντι καθαρῶς, τὸ ἴδιον τελεῖν ἔργον· καὶ δὴ νῦν εἰρήσεται, ἐπ' αὐτῆς γὰρ τῆς ὀροφῆς, ἀνδρείκελος εἰκὼν μορφὴν φέρουσα τοῦ Χριστοῦ πολυανθέσι ψηφῖσιν ἐγγέγραπται. Εἴποις ἄν αὐτὸν τὴν γῆν ἐφορᾷν, καὶ τὴν περὶ ταύτης διανοεῖσθαι διακόσμησίν τε καὶ κυβέρνησιν· οὕτως ἀκριβῶς ὁ γραφεὺς καὶ τοῖς σχήμασι τὴν τοῦ Δημιουργοῦ περὶ ἡμᾶς κηδεμονίαν ἐπίπνους γέγονεν ἐντυπώσασθαι. Τοῖς δὲ περὶ αὐτῇ ὀροφῇ τοῦ ἡμισφαιρίου τμήμασιν ἐγκύκλοις, πληθὺς ἀγγέλων τῷ κοινῷ Δεσπότῃ δορυφοροῦντες διαμεμόρφωνται. Ἡ δὲ ἀπὸ τοῦ θυσιαστηρίου ἀνεγειρομένη ἀψὶς, τῇ μορφῇ τῆς Παρθένου περιαστράπτεται, τὰς ἀχράντους χεῖρας ὑπὲρ ἡμῶν ἐξαπλούσης, καὶ πραττομένης τῷ βασέλεῖ τὴν σωτηρίαν, καὶ κατ' ἐχθρῶν ἀνδραγαθήματα. Χορὸς δὲ ἀποστόλων καὶ μαρτύρων· ναὶ δὴ καὶ προφητῶν καὶ πατριαρχῶν, ὅλον πληροῦντες ταῖς εἰκόσι τὸ τέμενος ἐξωραΐζουσιν· ὧν ὁ μὲν καὶ σιγῶν· δι' ὧν πάλαι ἀνεφθέγξατο, βοᾷ· Ὡς ἀγαπητὰ τὰ σκηνώματά σου, Κύριε τῶν δυνάμεων ! ἐπιποθεῖ καὶ ἐκλείπει ἡ ψυχή μου εἰς τὰς αὐλὰς τοῦ Κυρίου. Ὁ δέ· Ὡς θαυμαστὸς ὁ τόπος οὗτος ! οὐκ ἔστι τοῦτο, ἀλλ' ἢ οἶκος Θεοῦ· Ἐπιφωνεῖ δέ τις ἴσως καὶ τῶν οὐχ ἡμετέρων οὐδ' ἐγγεγραμμένων, καὶ ἄκων ἐπιθειάζων τὰ ἡμέτερα· Ὡς καλοί σου οἱ οἶκοι, Ἰακὼβ, αἱ σκηναί σου, Ἰσραήλ ! ὡσεὶ παράδεισοι ἐπὶ ποταμοὺς, καὶ ὡς αἱ σκηναὶ ἃς ἔπηξεν ὁ Κύριος, καὶ οὐκ ἄνθρωπος.

Πάλαι μὲν οὖν τῷ θεόπτῃ Μωσῇ θείῳ προστάγματι σκηνὴ κατεσκεύαστο· θυσίαν τε θῦσαι Θεῷ ἁμαρτίας ἐξιλάσασθαι. Καὶ τῷ Σολομῶντι δὲ βασιλεῖ ὁ ἐν Ἱεροσολύμοις ναὸς ὕστερον τερπνόν τι χρῆμα, καὶ πάντας τοὺς ἔμπροσθεν τῷ κάλλει καὶ μεγέθει, καὶ τῇ πολυτελείᾳ ἀποκρυψάμενος. Ἀλλ' ὅσον σκιὰ καὶ τύπος ἀληθείας καὶ πραγμάτων αὐτῶν ὑποβέβηκε, τοσοῦτον ἐκεῖνα τοῦ νῦν ἐξοικοδομηθέντος ναοῦ τῷ πιστῷ καὶ μεγάλῳ βασιλεῖ ἡμῶν· οὐχ ὅτι ὁ μὲν τῆς χάριτος καὶ τοῦ πνεύματος, τὰ δὲ τοῦ νόμου καὶ τοῦ γράμματος, ἀλλ' ὅτι καὶ τῷ κάλλει, καὶ τῇ ἄλλῃ τεχνουργίᾳ καὶ δεξιότητι, τὰ δεύτερα φέρουσι.

Καὶ τί ἄν τις ἐν οὕτω βραχεῖ τὰ τοῦ περιωνύμου τεμένους λόγῳ πειρᾶται περιέρχεσθαι θαύματα ; ὅπου γε οὐδ' αὐτὴ ἡ ὄψις οὐδ' ἐπὶ συχνὸν χρόνον, καίτοι τὰς ἄλλας αἰσθήσεις τῷ τάχει κατόπιν ἄγου-

[1] Psal. LXXXIII, 2. [2] Gen. XXVIII, 17. [3] Num. XXIV, 5.

Digitized by Google Распознавание текста ABK/FR

σα, ἀντιλαβέσθαι τούτων οὐδαμῶς ἐλέγχεται κατισχύουσα. Χαίρω γοῦν ἔγω γε οὐδὲν ἧττον, εἰ καὶ τὸ ἔλαττον ὁ λόγος ἀπηνέγκατο, ἢ εἰ καὶ πρὸς αὐτὸ τὸ μέτρον τῆς ἱκανῶς ἐχούσης ἀφίκετο διηγήσεως. Οὐ γὰρ τῆς ἐν λόγῳ δυνάμεως ἐπίδειξιν, ἀλλὰ τὸ κάλλιστόν τε εἶναι τὸν ναὸν καὶ ὡραιότατον, καὶ νικῶντα νόμους ἐκφράσεως, παραστῆσαι προῄρημαι.

Ἀλλά μοι πρὸς σὲ ὁ τοῦ λόγου ὁρόμος, τὸν τοῦ συλλόγου αἴτιον, ἐπιστρεφόμενος ἰθυνέσθω. Χαῖρε τοιγαροῦν, ὦ βασιλεῦ θεωχαρίτωτε καὶ θεοφιλέστατε, καὶ ἀνακαινίζου τὴν κατά τε σῶμα καὶ ψυχὴν ἐπ' ἔργοις ἀγαθοῖς ἀκμάζων νεότητα· τοῦ τε περιωνύμου ναοῦ, καὶ τῆς σῆς σοφίας ἔργων καὶ χειρὸς ἑορτάζων τὰ ἐγκαίνια. Ἔντεινε, καὶ κατευοδοῦ, καὶ βασίλευε, ἕνεκεν ἀληθείας καὶ πραότητος καὶ δικαιοσύνης. Ὁδηγεῖ γὰρ, ὡς ἔνεστιν ἰδεῖν ἐναργῶς, καὶ ὁδηγήσει σε ἡ τοῦ Ὑψίστου δεξιὰ τοῦ κτίσαντός σε, καὶ ἐξ αὐτῶν σπαργάνων εἰς βασιλέα τοῦ οἰκείου καὶ περιουσίου λαοῦ χρίσαντος. Συνευφραίνου καὶ συνανακαινίζου καὶ αὐτὸς, τῶν ὅσους ἥλιος ἐπεῖδε Καισάρων τὸ ἐγκαλλώπισμα, σοφίᾳ τε καὶ συνέσει τοὺς ἔμπροσθεν παρευδοκιμῶν· καὶ τῷ θείᾳ σε ψήφῳ, ἀλλὰ μὴ σπουδαρχήσαντα, μηδ' ἀνθρωπίναις περιδρομαῖς τὴν τηλικαύτην ἀρχὴν ἀναδέξασθαι. Συνευφραίνου τοίνυν καὶ συνανακαινίζου τῷ μέτοχόν σε προσειληφότι καὶ κοινωνὸν τῆς βασιλείας ἐπὶ κοινῇ τε σωτηρίᾳ τῶν ἀρχομένων, καὶ ἀξίως τῆς εἰς αὐτὸν εὐνοίας καὶ ἀψευδεστάτης ἀγαπήσεως. Διὰ γὰρ τῆς ὑμετέρας δυάδος ἡ Τριὰς εὐσεβῶς λατρευομένη τε καὶ προσκυνουμένη, τὴν ἑαυτῆς πρόνοιαν εἰς πάντας ἐξαπλοῦσά τε καὶ διαπορθμεύουσα, σοφῶς πηδαλιουχεῖ καὶ διακυβερνᾷ τὸ ὑπήκοον.

Χαίρετε καὶ ὑμεῖς, ὦ τῆς βουλῆς Πατέρες, πολιὰ σεμνὴ καὶ αἰδέσιμος, πιστῷ καὶ μεγάλῳ βασιλεῖ καὶ σεβαστῷ, συνανακαινιζόμενοι Καίσαρι, τοῦ περιωνύμου ναοῦ συνεορτάζοντι τὰ ἐγκαινίσματα. Χαίρει δὲ καὶ συνευφραίνεται καὶ ὅσον ἱεροφαντικόν τε καὶ ἀρχιερέων πλήρωμα, οἰκεῖον κλέος καὶ καύχημα τὴν τοῦ ναοῦ ποιούμενοι καθιέρωσιν· χαίρετε δὲ καὶ συγχορεύετε καὶ ὑμεῖς, ὦ ὑπόλοιπον καὶ φιλόθεον ἄθροισμα, ἄλλον οὐρανὸν ὁρῶντες ἐπὶ γῆς τὸν τῆς Παρθένου ναὸν ἐγκαινιζόμενον σήμερον· ἧς ταῖς πρεσβείαις τύχοιμεν ἅπαντες καὶ τῆς μακαρίας ἐκείνης καὶ ἀτελευτήτου χάριτος καὶ ἀγαλλιάσεως, ἐν Χριστῷ Ἰησοῦ τῷ Κυρίῳ ἡμῶν, ᾧ ἡ δόξα καὶ τὸ κράτος, νῦν καὶ ἀεὶ, καὶ εἰς τοὺς αἰῶνας. Ἀμήν.

A perat, hæc satis percipere posse ac comprehendere prorsus liqueat. Nihil itaque minore gaudio afficior, quanquam victa oratio est, quam si illa ad justæ modum narrationis, rem satis exsecuta esset. Non enim hoc animo constitutum, ut dicendi vim ostentarem, sed ut templum pulcherrimum esse ac venustissimum, longeque descriptionis leges vincere comprobarem.

Ad te enimvero, qui conventus auctor exsistis, sese orationis cursus verso tramite dirigat. Gaude itaque, imperator Deo gratissime ac religiosissime, et renovare vegeta, tum corpore[4] tum operibus bonis, juventute, qui celeberrimi templi tuæque sapientiæ ac manus, operum encænia agis. *Intende, prospere procede et regna; propter veritatem* B *et mansuetudinem et justitiam*[5]. Deducit enim, ut palam videre licet; delucetque te Altissimi dextera qui creavit te, exque ipsis cunabulis in proprii sui ac peculiaris populi regem inunxit. Collætare ac pariter innovare et ipse, nempe omnium quos unquam sol aspexit, gloria Cæsarum; quippe sapientiæ laude ac prudentiæ majoribus longe præcellens; quoque adeo divino suffragio, at non ipse imperii invidus, neque humanis studiis atque ambitu, tanti arcem imperii invadas. Collætare igitur unaque innovare cum eo, qui te socium, atque imperii consortem ad subditorum communem utilitatem, ac pro eo ac tuam in eum benevolentiam, sincerissimamque dilectionem decebat, assumpsit. Per vestram enim duorum societatem Trinitas pie culta C ac adorata, suam in omnes providentiam explicans atque transmittens, sapienter subditos regit atque gubernat.

Vos quoque gaudete, Patres conscripti, gravis senectus, fidelique ac magno imperatori Augustoque venerabilis, unaque cum Cæsare, pari gaudio clarissimi templi encænia celebranti, renovamini. Gaudet vero et collætatur sanctorum doctorum ac episcoporum cœtus omnis, qui proprium decus atque gloriam templi consecrationem ducit. Gaudete vero etiam, ac una choros ducite, vos quoque reliqua ac religiosa turba, quæ cœlum aliud in terra, quod hodie dedicatur Virginis templum, conspicitis: cujus intercessionibus utinam omnes etiam beatæ D illius ac immortalis gratiæ ac exsultationis compotes efficiamur; in Christo Jesu Domino nostro, cui gloria et imperium, nunc, et semper, et in sæcula. Amen.

[4] Psal. CII, 5. [5] Psal. XLIV, 5.

Digitized by Google Распознавание текста ABK/FR

IV.

SANCTI ATHANASII ENCOMIUM.

Photius archiepiscopus Constantinopolitanus, ad fratrem suum Tarasium, de sermonibus magni inter sanctos Athanasii Alexandriæ archiepiscopi (6).

Φωτίου ἀρχιεπισκόπου Κωνσταντινουπόλεως, πρὸς τὸν ἴδιον ἀδελφὸν Ταράσιον, περὶ τῶν λόγων τοῦ ἐν ἁγίοις μεγάλου Ἀθανασίου ἀρχιεπισκόπου Ἀλεξανδρείας.

Hic, inquit, et in sermonibus ubique locutione clarus est, brevis et simplex : acutus tamen et altus, et argumentationibus omnino vehemens, et in his tanta ubertas, ut admirabilis sit. Logicis autem methodis nihil tenuiter, nihil juveniliter, ut pueri et rudes, sed philosophice, sed magnifice utitur. Scripturarum testimoniis ac demonstrationibus ad confirmationem communitus est, et in primis sermo ille contra gentiles et qui de humanitate Verbi Dei habitus est, quinque in Arium libri, qui revera sunt omnis hæreseos tropæum, sed Arianæ potissimum. Et si quis theologum Gregorium, et divinum Basilium diceret ex hoc libro tanquam fonte quodam haurientes, orationis suæ pulchros ac perlucidos contra errorem fundere fluvios, non erit, ut arbitror, procul a verisimilitudine. Scripta sunt autem ab eo, et in Ecclesiastem commentaria, et in Cantino canticorum, sic et in Psalterium, et in alia multa. Gratia tamen et ornatu vere excellunt sermones contra Apollinarium, et epistolæ, quotquot ejus excusationem continent.

Ἐν οἷς, φησὶν, ὅτι σαφὴς μέν ἐστι τὴν φράσιν. ὥσπερ ἁπανταχοῦ τῶν λόγων αὐτοῦ, καὶ ἀπέριττος καὶ ἀφελής· δριμὺς δὲ καὶ βαθὺς, καὶ λίαν τοῖς ἐπιχειρήμασιν εὔτονος· καὶ τὸ γόνιμον δὲ αὐτοῦ ἐν τούτοις ἡλίκον ὅσον, φησὶ, θαυμάσιον. Λογικαῖς τε [*sic ms. interpres videtur legisse* δὲ] μεθόδοις, οὗ τι γυμνῶς καὶ μειρακιωδῶς, ὥσπερ οἱ παῖδες καὶ ἀρτιμαθεῖς, ἀλλὰ φιλοσόφως τε καὶ μεγαλοπρεπῶς ἀποκέχρηται. Γραφικαῖς τε μαρτυρίαις καὶ ἀποδείξεσιν εἰς τὸ καρτερὸν κατωχύρωται· καὶ μάλιστά γε ὁ κατὰ Ἑλλήνων, ὅ τε περὶ τῆς ἐνσωματώσεως τοῦ Θεοῦ Λόγου εἰρημένος, καὶ ἡ κατὰ Ἀρείου πεντάβιβλος, τρόπαιον οὖσα κατὰ πάσης μὲν αἱρέσεως, ἐξαιρέτως δὲ τῆς Ἀρειανῆς. Καὶ εἴ τις τὸν θεολόγον Γρηγόριον, καὶ τὸν θεῖον Βασίλειον, ἐκ ταύτης ὥσπερ ἀπὸ πηγῆς ἀρυσαμένους φαίη τῆς βίβλου τοὺς καλοὺς ἐκείνους καὶ διαυγεῖς τῶν οἰκείων λόγων κατὰ τῆς πλάνην ῥεῦσαι ποταμοὺς, οὐκ ἂν, οἶμαι, σφαλείη τοῦ παραδείγματος· πεποίηται δὲ αὐτῷ, φησὶ, καὶ εἰς τὸν Ἐκκλησιαστὴν, καὶ εἰς τὸ Ἆσμα τῶν ᾀσμάτων ὑπομνήματα, ὥσπερ καὶ εἰς τὸν Ψαλτῆρα, καὶ ἐν ἑτέροις πολλοῖς. Εἰς μὲν τὴν χάριν καὶ τὸ κάλλος, ἀτεχνῶς διαφέρουσιν οἱ κατὰ Ἀπολιναρίου λόγοι καὶ τῶν ἐπιστολῶν, ὅσαι τὴν ἀπολογίαν αὐτῷ τῆς φυγῆς περιέχουσιν.

NOTÆ.

(7) Photius in *Bibliotheca* sua cujus hoc fragmentum optimo illo vetustissimoque Athanasiano codice, qui est Academiæ Basileensis, præfixum est totidem verbis : illudque jam olim a Petro Nannio, qui eodem codice usus est, sic Latine redditum est. — Cf. cod. 140.

CARMINA

I.

STICHERON

IN SANCTUM METHODIUM CONSTANTINOPOLITANUM.

(Bolland. *Acta Sanctor.*, Junii t. II, p. 960.)

Ad Vesperas inter alia ponitur ex *Octoecho Sticheron* seu *Versiculus*, ad modulos tertii toni canendus, tanquam *poema Photii patriarchæ*.

Festive hodie ornatur Dei Ecclesia, et exsultans clamat : Illustrata est pulchritudo mea super omnem civitatem : ecce enim archipræsulum gemma præclara, gloriosus Methodius, iter ad cœlos tenuit, Agite ergo festi hujus amatores, cœtus orthodoxo-

Εὐφροσύνως σήμερον ἡ Ἐκκλησία τοῦ Θεοῦ στολίζεται, ἀγαλλομένη κραυγάζουσα· Ἐλαμπρύνθη μου τὸ κάλλος ὑπὲρ πᾶσαν πόλιν· ἰδοὺ γὰρ τῶν ἀρχιερέων τὸ μέγα κειμήλιον, ὁ ἔνδοξος Μεθόδιος, τὴν πορείαν πρὸς οὐρανὸν ἐποιήσατο. Δεῦτε οὖν, φιλέορτοι, τῶν

Digitized by Google Распознавание текста ABK/FR

ὀρθοδόξων τὸ σύστημα, χοροστατήσαντες ἅμα τὴν θείαν λάρνακα, ἰαμάτων πλημμύραν λαβόντες παρ' αὐτῆς, ἱκετεύωμεν αἰτήσασθαι Χριστὸν τὸν Θεὸν τοῦ ῥυσθῆναι τὴν οἰκουμένην ἀπὸ πάσης αἱρέσεως.

A rum, chorosque simul ducite circum arcam, curationum gratiam inde exundantem suscipientes: precemur autem ut exoret Christum Deum nostrum, quatenus universum liberet ab omni hæresi.

—

MONITUM

IN TRES ODAS SEQUENTES

(Ang. Mai *Scriptor. vet.* tom. I, p. XXIII.)

—

Photii odæ tres suavi carmine scriptæ, mediocris prolixitatis, exstant in vetere codice Barberiniorum 246, itemque in ejus recenti apographo, inter aliorum auctorum bene multos multæque elegantiæ Græcos hymnos, quorum ii saltem qui morum honestati non obsunt, haud diutius in tenebris continendi videntur, neque sinendum ut Photii quoque musa cum his invita sileat. Imo vero odas Photii novem mss. collegii apud Gallos Claromontani exstitisse ait Labbeus *Nov. Biblioth. mss.* p. 139. Photii tres illæ odæ sub codicis Barberiniani fine leguntur; quarum prima est ἐκ προσώπου Βασιλείου δεσπότου ad Deum; in ea scilicet loquitur ipse Basilius. Altera ἐκ προσώπου τῆς Ἐκκλησίας εἰς Βασίλειον φιλόχριστον βασιλέα; Ecclesia nimirum alloquitur imperatorem. Tertia ode ἐγκωμιαστικὴ εἰς Βασίλειον τὸν φιλόχριστον δεσπότην. Notissimum est, Photium gratia apud Basilium imperatorem floruisse, cui etiam regiam coronam sumenti sacras preces præivit; mox ab eodem in exsilium actum fuisse. Utramque rem narrat etiam Hamartolus in Vaticano codice ineditus: pag. 202 b: Ὁ Βασίλειος ἐκ τῆς ἑαυτοῦ κεφαλῆς τὸ στέμμα ἀράμενος δέδωκε Φωτίῳ τῷ πατριάρχῃ. καὶ εἰσαγαγὼν αὐτὸν ἐν τῇ ἁγίᾳ τραπέζῃ, ἐποίησεν εὐχὴν ἐπ' αὐτῷ. — Ὁ δὲ πατριάρχης τὸ στέμμα ἐξενεγκὼν τῷ βασιλεῖ ἐπιδέδωκε· καὶ τῶν σκήπτρων πεσόντων, ὡς ἔθος, ἔστεψεν ὁ Μιχαὴλ τὸν Βασίλειον. Patrata deinde Michaelis imperatoris cæde, pergit dicere Hamartolus p. 294 b: Τοῦ Βασιλείου ἐν τῇ ἐκκλησίᾳ ἐλθόντος, καὶ τῆς ἀχράντου θυσίας μεταλαβεῖν βουληθέντος, ὁ πατριάρχης Φώτιος τῆς θείας αὐτὸν ἀπεῖργε μεταλήψεως, ἀνδροφόνον ἀποκαλῶν καὶ ληστὴν καὶ τῶν ἀχράντων μυστηρίων ἀνάξιον· ἐφ' οἷς θυμωθεὶς ὁ Βασίλειος, ἐκ Ῥώμης ἐπισκόπους ἐλθεῖν παρεσκευασε, τόμον ἐπιφερομένους τοῦ πάπα, καὶ τοῦ πατριαρχικοῦ θρόνου τοῦτον ἐξώθησεν, Ἰγνάτιον δὲ τὸν ἐν ἁγίοις πατριάρχην προεχειρίσατο τὸ δεύτερον. Utroque Hamartoli loco utitur Zonaras XVI, 7, 8: et secundo quidem prope ad litteram. Hac vero super re legenda est Photii epistola 97 (nunc libri I, 16), quæ est gravis adversus Basilium expostulatio ab exsilio missa. Denique moneo, alium esse Photium monachum melodum, cujus exigua στιχηρὰ sunt in codice Vaticano 216, p. 6, et in Palatino 138, p. 6-8. Porro ille πάνυ nunquam fuit monachus: etsi juvenem se a monastica vita non fuisse alienum, sed curis sæcularibus præpeditum, narrat Photius in epistola ad syncellum Antiochenum, quam et Græce editam scio, et ego in vetere codice lego (7).

Olim in præfatione tomi primi Scriptorum vet., ubi de ineditis Photii scriptis disserui, odas ejusdem tres commemoravi, a me in Barberiniano codice observatas; quarum in priore Deum alloquitur Basilius Macedo imperator; in altera Basilium ipsum imp. alloquitur Ecclesia; in tertia demum imperfecta idem Basilius imp. laudatur. En autem has demum odas a cl. viro P. Matranga exscriptas exhibeo.

II.

Φωτίου πατριάρχου ὕμνος ἐκ προσώπου Βασιλείου δεσπότου. — Ἦχος α'.

(Ang. Mai *Spicil. Rom.* IX, 739.)

Ἀπὸ χειλέων ὕμνον
Προσφέρω σοι τῷ Κτίστῃ,
Ἀπὸ καρδίας βάθους
Σοὶ δόξαν ἀναπέμπω.

Βάθος σου τῆς σοφίας,
Κριμάτων τὰς ἀβύσσους
Τίς λόγος ἐξυμνήσει,
Δέσποτα τῶν ἁπάντων;

Photii patriarchæ hymnus in persona Basilii imperatoris. — Ode I.

Hymnum e labiis ad te dirigo Creatorem, e cordis penetralibus tibi laudem emitto.
Sapientiæ tuæ profundum judiciorum abyssos quis sermo prædicabit, universorum Domine?

NOTÆ.

(7) Conf. ad Amphiloch. 160.

Digitized by Google Распознавание текста ABK/FR

Γλῶσσα δὲ πῶς ἐξείποι
Τὸ σὸν, Ὕψιστε, κράτος;
Ὦ βάθος, ὦ σοφία,
Νικῶσα πάντα λόγον!
Δυνάμει ἀσυγκρίτῳ
Θαυμάσια ἐργάζει,
Οὐδὲν δέ σου τῇ θείᾳ
Ἀνθίσταται βουλήσει.
Ἐξίσταμαι, καὶ θάμβους
Πληρούμαι τὴν καρδίαν,
Ὅταν σῆς δυναστείας
Τὰ ἔργα ἐννοήσω.
Ζητεῖν οὐκ ἐξαρκεῖ μοι
Διάνοια τὸ θαῦμα,
Τὸ ὕψος τοῦ ἐλέους,
Χαρίτων σου τὸν πλοῦτον.
Ἤγειράς με ἐκ λάκκου,
Κύριε, κατωτάτου,
Δύναστῶν δὲ ἐν μέσῳ,
Ἔθηκας τοῦ λαοῦ σου,
Θεὲ, Δέσποτα πάντων,
Κύριε τοῦ ἐλέους,
Τίς λόγος ἐξαρκέσει
Πρὸς σὴν δοξολογίαν;
Ἰδὼν ὁ βλέπων πάντα
Ταπείνωσιν καὶ πόνον
Ἐμῆς καρδίας, λύεις
Κακώσεων τὰ βάρη.
Καθάπερ μόνος οἶδας
Πνοῆς ὁ πάσης κτίστης
Ὁ ἐκ μητρὸς κοιλίας
Ὑπάρχων σκεπαστής μου,
Λίθῳ τὴν κεφαλήν μου
Ἐκόσμησας τιμίῳ,
Ἔδειξας βασιλέα
Καὶ ἄρχοντα λαοῦ σου.

A

Μεγαλύνω σου, Σῶτερ,
Τὴν θείαν δυναστείαν,
Ὅτι ὡς δυνατός μοι
Εἰργάσω μεγαλεῖα.
Νεώτερος ὑπῆρχον
Ἐν τέκνοις τοῦ πατρός μου,
Ἀλλ', ὦ σου τῶν θαυμάτων,
Ἀνέδειξας δεσπότην.
Ξενίζει πᾶσαν ὄντως
Διάνοιαν τὸ θαῦμα·
Καὶ ξένον γὰρ ὑπάρχει
Ὡς ἔργον δεξιᾶς σου.
Ὁ πρὶν γενέσθαι πάντα
Ὥσπερ παρόντα βλέπων,
Ὁ πάντων βασιλεύων,
Ἐπάκουσον φωνῆς μου.
Πορεύεσθαι εὐθεῖαν
Τῶν ἐντολῶν σου τρίβον
Εὐδόκησον ὁ πρίν με
Γενέσθαι ἀφορίσας.
Ῥομφαίᾳ καθοπλίσας
Τῆς σῆς δυνάμεώς με,
Ἐχθροὺς τοὺς ἀοράτους
Ἐνίσχυσον τροποῦσθαι.
Σοφία, θεῖε Λόγε
Πατρὸς, ὃν ἠρετίσω
Δουλεύειν σοι, φύλαξον
Ἐπώνυμον λαόν σου.
Τὰ βέλη τοῦ λαοῦ σου
Ἠκονημένα δεῖξον
Πηγνύμενα καρδίᾳ
Ἐχθρῶν σου βασιλείας.
Ὑπὲρ ἧς τὸ σὸν αἷμα
Ἐκένωσας, Σωτήρ μου,
Ἁγίαν Ἐκκλησίαν
Ἀκίνητον συντήρει.

B

C

Lingua autem quomodo dicat tuam, Altissime, potestatem? O profundum! o sapientia omnem sermonem superans!

Virtute incomprehensibili mirabilia operaris, nihilque tuæ divinæ resistit voluntati.

Stupeo, et terror pectus occupat, cum tuæ potentiæ opera considero.

Quærere impar est mea mens admirabilem misericordiæ magnitudinem, gratiarum tuarum divitias.

Eduxisti me, Domine, e lacu pessimo, et in medio populi tui principum collocasti me.

Deus, qui universa dominaris, Deus misericordiæ, quis sermo par erit ad te glorificandum?

Videns et aspiciens omnem humilitatem et laborem cordis mei, pondus solvis ærumnarum.

Tanquam solus me nosti, animæ omnis Creator, e ventre matris meæ factus susceptor meus,

Inclyto lapide caput meum ornasti, ostendisti regem et principem tui populi.

Magnifico tuam, Salvator, divinam potestatem, quia fecit mihi magna qui potens est.

Minimus eram e patris mei filiis, sed, o mirabile tuum opus! imperatorem ostendisti.

Cogitationem reipsa omnem confundit hoc mirabile, etenim inauditum est opus dexteræ tuæ.

Qui, antequan sint omnia ut præsentia conspicis, qui universa regis, exaudi meam vocem.

Rectam ingredi mandatorum tuorum viam largire, qui me antequam fierem elegisti.

Gladio tuæ virtutis me instruens, inimicos invisibiles da mihi in fugam vertere.

Sapientia, divinum Verbum Patris, quem assumpsisti ut tibi serviret, custodia te nominatum populum tuum.

Tela populi tui acuta ostende hærentia cordi inimicorum tui imperii.

Propter quam tuum sanguinem fudisti, Salvator, sanctam Ecclesiam immotam conserva.

Digitized by Google Распознавание текста ABK/FR

Φιλάνθρωπε οἰκτίρμον,
Ἣν ἔδωκας εἰρήνην
Τοῖς θείοις ἀποστόλοις,
Παράσχου τῷ λαῷ σου.
Χάριν, ἣν ἐπηγγείλω
Τοῦ Πνεύματος παρέξειν,
Κατάπεμψον, ὦ Πλάστης
Ἁπάντων καὶ Δεσπότης:
Ψυχῇ ὦ ἂν μιᾷ σε
Καὶ γνώσει καὶ καρδίᾳ

A

Ἀπαύστως εὐλογοῦμεν
Τὴν θείαν βασιλείαν.
Ὁ πάντων βασιλεύων
Τῶν ἄνω καὶ τῶν κάτω,
Εἰς σὲ πᾶσαν ἐλπίδα
Οἴδας ὡς ἀνεθέμην.
Σὺ οὖν ὡς Κτίστης πάντων
Θεὸς καὶ Βασιλεύς μου
Ὃν ἔδωκας λαόν μοι
Τῇ δεξιᾷ σου ἄγοις.

Qui homines amas et misereris, quam dedisti pacem divinis apostolis, populo tuo præsta.
Gratiam, quam pollicitus es Spiritus te præstiturum, emitte, o Creator omnium et Dominator.
Anima ut una, et cognitione et corde perpetuo te laudemus, divinum concede regnum.
Qui universa regis, quæ sursum et deorsum sunt, in te spem nosti omnem ut posuerim.
Tu ergo, ut omnium Creator, Deus et Rex meus, quem dedisti mihi populum dextera tua dirigas.

Τοῦ αὐτοῦ ὕμνος ἐκ προσώπου τῆς Ἐκκλησίας εἰς Βασίλειον τὸν φιλόχριστον βασιλέα. — Ἦχος α'.

Ἀκουτισθῶμεν πάντες
Τῆς βασιλίδος νύμφης,
Χριστοῦ τῆς Ἐκκλησίας,
Μυστικῶς ὑπαρχούσης.
Βουλὴν Ὑψίστου μένειν
Εἰς τὸν αἰῶνα γνῶτε,
Βουλὰς δὲ τῶν ἀνθρώπων
Τὸ βέβαιον οὐκ ἔχειν.
Γενεὰ ἐπαινέσει
Τὴν σὴν μεγαλωσύνην,
Καὶ γενεὰ λαλήσει
Σῶν ἔργων τὰς δυνάμεις.
Διδοὺς συντετρεμμένοις
Βραχίονα καὶ κράτος,
Καὶ κατασπῶν ἐδάφει
Ὀφρὺν τὴν ἐπηρμένην.
Ἐξάρχου τῆς χορείας
Δαβίδ · τίς ἐξαγγέλλει
Τὰς δυναστείας, ᾄδων
Τὴν αἴνεσιν Κυρίου ;
Ζήτησον μελῳδούς σου
Συνκρούειν τὴν κινύραν ·
Ἡμέρα ἑορτῆς γὰρ
Ὑπάρχει τοῦ Δεσπότου.
Ἡ πρὶν ἀλγυνομένη
Τῷ σπαραγμῷ τῶν τέκνων,

B

Τὴν ἕνωσιν τὴν τούτων
Φαιδρῶς πανηγυρίζω.
Θυγατέρες παρθένοι,
Νεάνιδες, ἐν οἴκῳ
Ζητήσατε ἀδούσας
Τοῦ πάντων βασιλέως.
Ἰδού με ὥσπερ ἄλλον
Οὐρανὸν ἐξαστράπτειν,
Τοῖς ἀστράσι τοῖς τέκνοις
Καλλύνων ὁ Δεσπότης.
Κατάπαυσον τὸν κόπον,
Ἡνίοχε ἡμέρας ·
Ἀνέτειλεν γὰρ ἄλλος
Ἥλιος εἰς τὸν κόσμον.
Λύχνον τὸν θεῖον πᾶσιν

C

Ἐν μέσῳ τῆς λυχνίας
Ὁρῶντες δᾳδουχοῦντα,
Λαὸς Θεοῦ εὐφραίνου.
Μεγαλύνωμεν ἅμα,
Αἰνέσωμεν βοῶντες,
Ἡ ἀλλοίωσις αὕτη,
Δεξιὰ τοῦ Ὑψίστου.
Ναὶ δή, καὶ βασιλέως
Κεφαλῇ τῇ ἁγίᾳ
Τοῦ λόγου ἐξ ἀνθέων
Διάδημα πλεκέσθω.

Ejusdem hymnus in persona Ecclesiæ in Basilium Christi amicum imperatorem. — Ode I.

Audiamus omnes regiam sponsam, Christi Ecclesiam, mystice exsistentem.
Consilium Altissimi in æternum manere scitote, consilia autem hominum firmitatem non habere.
Generatio laudabit tuam magnitudinem, et generatio loquetur operum tuorum virtutes.
Dedisti his qui contriti sunt brachium et potentiam, et ad solum dejecisti qui frontem extollebant.
Principium es Davidis cantici ; quis prædicabit potentias, canens Domini laudem ?
Quære musicos tibi cinyram pulsantes, dies enim festus Dominatoris agitur.
Quæ antea rupta erat turbatione filiorum, eorum nunc concordiam lætanter concelebro.
Puellæ virgines, juvenes, in domo quærite quæ canant universorum Regem.
Ecce me, ut alium cœlum splendidam, filiis ut astris decorat imperator.
Quiesce a labore, auriga diei, ortus est enim sol alius in mundum.
Lucem divinam omnibus lampadis in medio illucentem cernentes, Dei populi, gaudete.
Magnificemus simul, laudemus acclamantes : Hæc mutatio est dexteræ Excelsi.
Ita quidem, et imperatoris sancto capiti e sermonum floribus diadema contexatur.

Digitized by Google Распознавание текста ABK/FR

Ξενίζει με, ὦ ἄναξ,
Ἡ σύνεσις ἐκείνη,
Τὰ ἔργα σου τά θεῖα
Τῶν σοφῶν βουλευμάτων.
Οὐκ ἔτι στασιάζει
Τῶν τέκνων ὁ χορός μοι·
Βαθεῖα γὰρ εἰρήνη
Τῆς σῆς βλύζει σοφίας.
Παστάδα νῦν τὴν θείαν
Ὁμοῦ χοροστατοῦντες,
Κύκλῳ μου τῆς τραπέζης
Παρέστηκε τὰ τέκνα.
Ῥωμαίων μέγα γένος;
Ἔντεινε καὶ εὐφραίνου,
Ἰσχύϊ καὶ συνέσει
Τοῦ σοφοῦ βασιλέως.
Συστέλλου καὶ μὴ μέγα
Ἐπαίρου τῇ σοφίᾳ,
Τὸν ἡμέτερον βλέπων,
Σωλομὼν, βασιλέα.
Τὸ συμπαθὲς καὶ πρᾶον
Ὁρῶν τοῦ βασιλέως,

A

Τὸ ὕψος τῆς ἀγάπης
Δαβὶδ συνευφραινέσθω.
Ὑπέκστητε, οἱ ἄλλοι
Βασιλεῖς τοῦ Ἰούδα,
Οὐ δύνασθε ἡλίῳ
Ἐρίζειν οἱ σπινθῆρες.
Φοβερὸς πολεμίων
Ὁ μέγας Κωνσταντῖνος,
Ἀλλ' ὅρα βασιλέως
Τὸ πλῆθος τῶν τροπαίων.
Χῶρον τίς καθορῶν δὲ
Βλαστὸν τῶν θεοφύτων
Τὴν τερπνὴν βασιλίδα,
Εἰς ἄμιλλαν προέλθοι;
Ψυχῇ; δὲ τῷ ὡραίῳ
Ἐρίζειν τίς τολμήσει,
Τῶν ὅσους βασιλέων
Ὁ ἡλιος ἐπεῖδεν;
Ὦ ἄγαλμα σοφίας,
Καλλώπισμα εἰρήνης,
Ἀγλάϊσμα τῶν σκήπτρων,
Ἔντεινε καὶ εὐφραίνου.

B

Confundunt me, o princeps, ista prudentia, opera tua, et divina consiliorum sapientia.
Non jam mihi turbatur filiorum cœtus, profunda enim pax e tua sapientia manat.
Divinum nunc thalamum simul circumaguntur, et in circuitu mensæ meæ filii disponuntur.
Romanorum magnum genus, extolle et gratulare robur et prodentiam sapientis imperatoris.
Abscondaris, nec multum de sapientia superbias, Salomon, imperatorem nostrum aspiciens.
Misericordiam et mansuetudinem videns nostri imperatoris, summa de charitate David congaudeat.
Subjicimini, alii Juda reges, non potestis soli scintillæ æquiparari.
Hostibus formidabilis fuit magnus Constantinus, sed imperatoris cerne tropæorum multitudinem.
Agrum qui conspexerit Dei plantis luxuriantem, jucundam hanc regiam, ad æmulationis certamen accedat.
Animæ vero pulchritudini quis conferre se audebit regum quos sol illustrat?
O sapientiæ effigies! pacis ornamentum, sceptrorum decus, applaude et lætare.

Τοῦ αὐτοῦ ἐγκωμιαστικὸς εἰς Βασίλειον τὸν φιλόχριστον δεσπότην. — Ἦχος πλ. β'.

Ἀπὸ λογικῶν λειμώνων
Σοφίας λάβωμεν ἄνθη,
Ἵνα τοῦ σοφοῦ δεσπότου
Τιμίαν στέψωμεν κάραν.
Βασιλεῦ κράτιστε, χαίροις
Οἰκουμένης ὄμμα θεῖον,
Τῶν ἀνάκτων ἡ δόξα,
Τῶν βασιλέων τὸ θαῦμα.
Γένος τὸ μέγα Ῥωμαίων,
Ἡ Χριστοῦ κληρονομία

C

Ἐδόθη νῦν, βασιλεῦ, σοι
Κατὰ τὴν θείαν καρδίαν.
Διὸ κροτεῖτε τὰς χεῖρας,
Τὸν στεφοδότην ὑμνεῖτε,
Καὶ δεσπότην στεφάνοις
Ἐπαίνων κατακοσμεῖτε.
Ἔαρι τῆς σῆς σοφίας
Τὸ ποίμνιον περιθαλπων,
Ἐπὶ νομὰς τούτους ἄγων
Τὰς ζωηφόρους ἰθύνῃς.

Ejusdem panegyricus in Basilium Christi amicum imperatorem. — Ode II.

Ex hortis rationabilibus sapientiæ carpamus flores, ut sapientis imperatoris nobile coronemus caput.
Rex potentissime, salve, orbis divinum lumen, principum gloria, regum prodigium.
Genus magnum Romanorum, Christi hæreditas, tibi datum est, o rex, propter tuum divinum cor.
Itaque manibus plaudite, coronarum datorem cantate, et imperatorem coronis laudum adornate.
Tuæ sapientiæ vere ovile confovens, ad pascua illos agens vivifica dirigas.

Digitized by Google Распознавание текста ABK/FR

OPERUM PARS QUARTA

OPERA HISTORICA.

PHOTII

PATRIARCHÆ CONSTANTINOPOLITANI

EPISTOLARUM LIBRI TRES

NOVO ORDINE DISPOSITI.

LIBER PRIMUS.

CONTINET EPISTOLAS AD ROMANOS PONTIFICES, AD PATRIARCHAS, AD EPISCOPOS, AD IMPERATORES ET AD PRINCIPES.

ΕΠΙΣΤΟΛΗ ΠΡΩΤΗ.

Τῷ τὰ πάντα ἁγιωτάτῳ, ἱερωτάτῳ ἀδελφῷ, καὶ συλλειτουργῷ Νικολάῳ πάπᾳ τῆς πρεσβυτέρας Ῥώμης, Φώτιος ἐπίσκοπος Κωνσταντινουπόλεως νέας Ῥώμης.

EPISTOLA PRIMA.

In omnibus sanctissimo, sacratissimo reverendissimo comministro Nicolao papæ senioris Romæ Photius episcopus Constantinopoleos novæ Romæ.

(JAGER, *Histoire de Photius*, 433. — Lat. Baronius ad ann. 869.)

Ὅτε τῆς ἱεραρχίας κατὰ νοῦν τὸ μέγεθος ἀναλήψομαι, καὶ πολλῷ τὴν ἀνθρωπίνην εὐτέλειαν τῆς ἐκείνῃ προσούσης ἀπολείπουσαν τελειότητος, καὶ τῆς ἐμῆς δυνάμεως ἀναμετρεῖν ἐπελεύσομαι τὴν ἀσθένειαν, καὶ οἷος ἐμοὶ λογισμὸς πρὸς τὸ τῆς τοιαύτης ἀξίας ὕψος ἀεὶ ἐνετέθραπτό, θαυμάζειν καὶ ὑπερεκπλήττεσθαι παρασκευάζων τοὺς ὅσοι ποτὲ τῆς καθ' ἡμᾶς γενεᾶς, ἵνα μὴ λέγω τοὺς πρὸ ἡμῶν, τὸν φρικτὸν τῆς ἀρχιερωσύνης ζυγὸν ἀνεδέξαντο, ἄνθρωποι τελοῦντες, καὶ σαρκὶ συνδεδεμένοι, καὶ αἵματι, καὶ τὰ τῶν ἀσωμάτων Χερουβὶμ ἔργα διαπράττειν παρακινδυνεύοντες, ὅτε ταῦτα βασανίζων, καὶ πολυπραγμονῶν, ἐφ' οἷς ἑτέρους ὁρῶν ἐθορυβούμην, τοῖς αὐτοῖς γε νῦν ἐμαυτὸν ἁλωκότα καθορῶν, οὐκ ἔστιν εἰπεῖν οἵοις ἀλγήμασι βάλλομαι, καὶ οἵαις ἀθυμίαις διακαρτερῶ συνεχόμενος. Εἰ γάρ μοι καὶ φροντὶς ἦν ἐκ παιδὸς συναυξομένη τε, καὶ συμπαραθέουσα βιωτικῶν πραγμάτων καὶ θορύβων ἀπηλλαγμένον ἡ εὐχὴ, καὶ τὰ καθ' ἑαυτὸν ἐπισκοποῦντα διατελεῖν (δεῖ γὰρ πρὸς τὴν ὑμετέραν ὁσιότητα γράφειν ἀπαρξάμενον, τάληθὲς εἰπεῖν), εἰ καὶ βασιλικῶν ἀξιωμάτων τὴν ὁρμὴν καθέλκουσαν ἐφ' ἑτέρας μετατρέπειν ἐγχειρήσεις κατηνάγκαζον ἀλλ' οὖν οὐδέποτε θάρσος ἐπῆει φορητὸν ἐμοὶ τὸ τῆς ἀρχιερωσύνης ὑπεισελθεῖν ἐργαζόμενον ἄξιωμα. Ἦν γὰρ, ἦν ἐμοὶ διὰ παντὸς αἰδέσιμόν τε καὶ φοβερὸν, μάλιστά γε τοῦ κορυφαίου τῶν ἀποστόλων διαμνημονεύοντι Πέτρου, ὅς γε πολλὰ τεκμήρια τῆς εἰς τὸν Κύριον Ἰησοῦν Χριστὸν τὸν

Cum mihi pontificatus magnitudo in mentem venit, cumque cogito longe hominis vilitate ab ea quæ illi inest, perfectione abesse, ac mearum virium imbecillitatem metior, subitque animum sublimitatis talis dignitatis mecum enutrita consideratio, quæ faciebat, ut eos admirarer, et obstupescerem quotquot unquam sæculi nostri, ne dicam superiorum ætatum, tremendum pontificatus jugum susceperunt, cum homines essent, carnique et sanguini devincti, periculose aggrederentur incorporeorum Cherubim opera peragere. Cum hæc ex animo et curiosius perscrutor, et quo in statu alios videns perturbabar, eodem me nunc captum intueor; dici non potest, quibus doloribus incessar, quoque mœrore detineri perseverem. Quamvis enim hæc mihi cogitatio et cura fuerit, a puero simul augescens et comitans, liberum ab hujus vitæ negotiis ac tumultibus quiete, acres meas contuentem perserverare (nam oportet me, qui ad sanctitatem vestram scribere incepi, verum dicere) regiarum dignitatum administrationes deorsum trahentes voluntatem, ad alia convertere cogebant. Verum me nunquam incessit fiducia, quæ faceret, ut mihi esset tolerabile pontificatus honorem subire. Erat enim mihi perpetuo venerabilis et tremendus, præsertim recordanti principis apostolorum Petri, qui quidem cum multa argumenta in Dominum nostrum Jesum Christum verum Deum nostrum

Digitized by Google Распознавание текста ABK/FR

ostendisset, ac multum undique specimen dilectionis in eum dedisset: quasi coronidem rerum præclare ab eo gestarum et peractarum pascendi ministerium dignatione magistri suscepit. Et vero servo scio concredi talentum, eumque propter meum Dominicæ severitatis occultantem, nec unde sibi quod creditum erat, excidens diriperetur, ac propterea talentum et qui dederat multiplicatum non reddidit, rationem ab eo reposci, eumque ignis ac gehennæ condemnationem subire.

A ἀληθινὸν Θεὸν ἡμῶν ἐπιδεδειγμένος πίστεως, καὶ πολλὴν πανταχόθεν τὴν πεῖραν τῆς εἰς αὐτὸν ἀγάπης δεδῶκὼς, ὥσπερ τινὰ κορωνίδα τῶν πρόσθεν αὐτῷ καλῶς πεπραγμένων τε καὶ διηνυσμένων, τὴν ποιμαντικὴν πρὸς τοῦ διδασκάλου ἠξιοῦτο λειτουργίαν ἀναδέξασθαι. Ἀλλὰ μὴν καὶ δοῦλον οἶδα καταπιστευόμενον τάλαντον, καὶ δι' εὐλάβειαν τῆς Δεσποτικῆς αὐστηρίας κατακρύπτοντα, ἵνα μήποθεν αὐτῷ τὸ ἐμπιστευθὲν διαπεσὸν ἀνάρπαστον γένηται, καὶ ὅτι μὴ τὸ τάλαντον τῷ δεδωκότι πλειστηριάσας ἀπέδωκεν εὐθύνας εἰσπραττόμενον, καὶ πῦρ καὶ γέενναν τὴν καταδίκην ὑφιστάμενον.

Verum cur hæc a me scribuntur, et gliscit dolor, et molestia intenditur, et turbatio investigatur? Nam memoria rerum anxiarum malum acrius efficit, ac sublevari non sinit mœrorem. At enim hanc ob causam eorum quæ acciderunt tragœdia quasi in scena acta est, ut vestris orationibus, nescio quomodo creditum nobis gregem pulchre, videntes agi et gubernari officientem nobis difficultatis nubem discutiamus, et inertiæ caliginem effugiamus. Novit enim, novit gubernatori secundo vento navis currens, ac egregie gubernaculis recta lætitiam afferre, et Ecclesiæ cœtus pietate, virtutibusque exuberans præfectum et pastorem afficere voluptate, et efficere, ut incertæ mentis, inopiæque consilii nebulam abstergat.

B Ἀλλὰ τί ταῦτά μοι γράφεται, καὶ τὸ ἄλγημα αὔξεται, καὶ τὸ λυπηρὸν ἐπιτείνεται, καὶ τὸ διοχλοῦν ἀνιχνεύεται; μνήμη γὰρ τῶν ἀνιαρῶν ὀξύτερον τὸ πάθος ἀπεργάζεται, καὶ κουφίζεσθαι τὴν ῥᾳθυμίαν οὐκ ἐνδίδωσιν. Ἀλλὰ γὰρ ταύτης ἕνεκα τῆς αἰτίας τῶν συμβεβηκότων ἡ τραγῳδία διεσκηνοποίηται, ὡς ἂν ταῖς ὑμετέραις εὐχαῖς τὸ, οὐκ οἶδ' ὅπως εἰπεῖν, ἐμπιστευθὲν ἡμῖν ποίμνιον καλῶς ὁρῶντες ποδηγούμενόν τε καὶ κυβερνώμενον, τὸ ἐπιπροσθοῦν ἡμῖν τῆς ἀμηχανίας νέφος ἀποσκευασώμεθα, καὶ τὴν ἀχλὺν τῆς ῥᾳθυμίας ὑπεκφύγοιμεν. Οἶδε γὰρ, οἶδε καὶ κυβερνήτη καλῶς τὸ σκάφος οὐριοδρομοῦν τε καὶ πηδαλιουχούμενον εὐθυμίας καθίστασθαι πρόξενον, καὶ τὸ τῆς Ἐκκλησίας πλήρωμα εὐσεβείᾳ καὶ ἀρεταῖς εὐθηνούμενον τὸν ἐφεστηκότα καὶ κριθέντα ποιμαίνειν, εὐφραίνειν τε, καὶ τὸ τῆς ἀμηχάνίας ὁμιχλῶδες παρασκευάζειν ἀποτρίψασθαι.

Nuper itaque cum is, cui ante nos sacerdotio fungi obtigerat, eo honore abiisset: nescio quomodo impulsi magna me vi aggrediuntur, et qui censebantur in clero, et episcoporum metropolitanorum conventus, et ante hos, cumque iis pietate præstans Christumque diligens imperator, in omnes quidem benignus et æquus et humanus (quid enim? verum dicendum non est?) nec quemquam eorum qui ante ipsum imperarunt æquitate parem habens; mihi vero tum inhumanus quidem visus ac violentus, admodumque formidandus. Is enim una cum commemorato sacerdotum cœtu nihil remittebat de vi et impressione mihi facienda, sed quamobrem me dimissurus non esset, excusatione utebatur consentientis sacerdotum voluntatis et studii; seque etiam si vellet, non posse postulatum meum perficere. Ad sacerdotes autem ac cæterum clerum (magnus enim numerus convenerat) ne obsecrationis quidem meæ verba clare perveniebant: si quibus vero ea incidebant, non recipiebant; cum hoc unum et meditati essent, et dicere instituissent, me omnino vel nolentem hoc præfecturæ onus suscipere oportere.

C Ἄρτι τοιγαροῦν τοῦ πρὸ ἡμῶν ἱερατεύειν λαχόντος, τῆς τοιαύτης ὑπεξελθόντος ἀξίας, οὐκ οἶδ' ὅπως ὁρμηθέντες ἐπιτίθενταί μοι κραταιῶς, ὅσοι τε κλήρῳ κατειλεγμένοι ἐτύγχανον, καὶ τῶν ἐπισκόπων τε καὶ μητροπολιτῶν τὸ ἄθροισμα, καὶ πρό γε τούτων καὶ σὺν αὐτοῖς ὁ φιλευσεβὴς καὶ φιλόχριστος βασιλεὺς πᾶσι μὲν χρηστὸς ὢν καὶ ἐπιεικὴς, καὶ φιλάνθρωπος, καὶ (τί γάρ οὐ χρὴ λέγειν ταληθές;) οὐδ' ἔχων ἄλλων τῶν πρὸ αὐτοῦ βεβασιλευκότων τῇ ἐπιεικείᾳ ἐξισούμενον, ἐμοὶ δ' ἀφιλάνθρωπός τις ἐδόκει τότε, βίαιός τε, καὶ λίαν φοβερός. Οὐδὲ γὰρ, οὐδὲ μικρὸν ἦν ἐνδιδοὺς τῆς ἅμα παντὶ τῷ προειρημένῳ τῶν ἱερέων πληρώματι ἐπιθέσεως. Ἀλλ' ὁ μὲν πρόφασιν τοῦ μὴ μεθήσειν ἐποιεῖτο τὴν ὁμόψηφον τῶν ἱερέων ὁρμὴν καὶ σπουδὴν, καὶ ὡς οὐκ ἂν δύναιτο καὶ βουλόμενος ἐκτελέσαι τὴν αἴτησιν. Τοῖς δ' ἐπεὶ πολὺ πλῆθος συνείλεκτο, οὐδ' οἱ τῆς παρακλήσεως ἡμῶν λόγοι καθαρῶς αὐτοῖς προσεφέροντο. Οἷς δ' ἂν καὶ προσέπιπτον; οὐ προσίεντο. Ἐν δὴ τοῦτο καὶ μελετήσασι, καὶ λέγειν ἐξασκήσασιν, τὸ δεῖν ἐμὲ πάντως καὶ μὴ βουλόμενον τὸ φορτίον τῆς ἐπισκασίας αὐτῶν ἀναδέξασθαι. Ἐπεὶ δέ μοι πανταχόθεν αἱ ὁδοὶ τῶν ἐν τοῖς λόγοις παρακλήσεων ἀπεφράττοντο, προεπήδα τά δάκρυα πληρώσασα τῆς συγχύσεως, καὶ μέχρις αὐτῶν γε

Postquam vero omnes mihi viæ precum verbis faciendarum obstructæ sunt; prosiliebant lacrymæ, ac desperationis caligo cum omnia interiora confusione implesset, et in ipso usque oculos irrupisset, in rivum mutabatur. Nam cogitatio (desperata

κρυα, καὶ ἡ τῆς ἀπορίας ἀχλὺς τὰ ἔνδοθεν πάντα τῶν ὀμμάτων προσαράξασα εἰς ῥεῖθρον μετεσκευάζετο.

Καὶ γὰρ ἐφάπαξ ὁ λογισμὸς τῆς ἐκ λόγων ἀπειρηκὼς σωτηρίας εἰς ἱκετηρίαν τὴν φύσιν αὐτὴν, καὶ τὰ δάκρυα προὐβάλλετο, βοηθείας τινὸς καὶ ἐπικουρίας δι' αὐτῶν ἐλπίσας τυχεῖν, εἰ καὶ διεψεύσθη τοῦ βουλήματος. Οὐδ' οὕτω γὰρ ἀνῆκαν οἱ βιαζόμενοι, μέ-

Digitized by Google Распознавание текста ABK/FR

χρις ἂν ὅπερ ἐμοὶ μὲν ἀβούλητον, ἐκείνοις δὲ ὅπερ ἦν εὐχῆς ἔργον διεπέπρακτο. Καὶ οὕτω λοιπὸν εἰς μέσους τοὺς θορύβους, οἷς ὁ πάντα εἰδὼς κρίμασιν ἐπίσταται, διακαρτερῶ καθιστάμενος, ἀλλὰ, Δρυὸς μὲν ἄλις, εὔκαιρον εἰπεῖν τὴν παροιμίαν.

A semel salute verbis consequenda) naturam ipsam ad supplicationem et lacrymas excitabat, his sperans auxilium et opem nancisci se posse, quamvis voluntate ac proposito suo deciderit. Nec enim sic remiserunt se, quin vim faciebant ; quoad contra voluntatem meam, illorum vero ex sententia res perfecta est. Sic in mediis de cætero tumultibus, iis judiciis, quæ scit qui novit omnia, toleranter dego, sed satis quærens tempestivum est dicere proverbium.

Ἐπεὶ δὲ πασῶν ἀρίστη κοινωνία ἡ κοινωνία τῆς πίστεως καὶ τῆς ἀληθοῦς ἀγάπης, τοῦτο δή τὸ αἰτιώτατον, ὡς ἂν τὸν πρὸς τὴν ὑμετέραν ὁσιότητα καθαρόν τε καὶ ἀδιάσπαστον δεσμὸν ἐργασώμεθα, χρῆναι καὶ τὰ τῆς ἡμῶν καὶ ὑμῶν πίστεως ὡς ἐν βραχέσι στηλογραφῆσαι διεγνώκαμεν, ἐντεῦθεν τάς τε ὑμετέρας εὐχὰς θερμότερον ἐπισπώμενοι, καὶ τὴν ἡμετέραν πρὸς ὑμᾶς διάθεσιν ἀναπτύσσοντες.

Quoniam vero omnium optima est fidei communio, maximaque omnium causa veræ dilectionis: ut id cum vestra sanctitate purum et insolubile vinculum faciamus : censuimus nostram, vestramque fidem breviter tanquam in columna scribendam. Inde orationes vestras fervidius, promptiusque attrahentes, nostrumque in vos affectum explicantes.

B

Πιστεύω τοιγαροῦν εἰς ἕνα Θεὸν, τέλειον, τελειοποιὸν Πατέρα, Υἱὸν, καὶ Πνεῦμα ἅγιον, οὐ κατατέμνων τῇ τῶν ὑποστάσεων ἑτερότητι, καὶ τὴν φύσιν (ἐκτεμνέσθω γὰρ ἡ Ἀρείου κατατομὴ), ἀλλὰ τῇ ταυτότητι τῆς φύσεως τὴν τῶν ὑποστάσεων διαφορὰν δοξάζω. Συναναιρείσθω γὰρ παραπλησίως καὶ ἡ τοῦ Σαβελλίου συναίρεσις. Τριάδα παναγίαν, παντουργὸν, παντοδύναμον, συνάναρχον μὲν αὐτὴν ἑαυτῇ, ὡς χρονικῆς ἁπάσης ἀρχῆς ὑπεράναρχον, ἀρχῆς δὲ καὶ αἰτίου λόγον ἐν αὐτῇ τοῦ Πατρὸς ἀναπληροῦντος. Οὕτω γὰρ καὶ τῆς χρονικῆς ἐννοίας ὁμοτίμως ἡ Τριὰς ὑπεριδρυθήσεται, καὶ τῆς αὐτῆς οὐσίας τῷ Πατρὶ, ἐξ οὗπερ ὁ μὲν ἀῤῥεύστως καὶ ἀῤῥήτως γεγέννηται, τὸ δὲ ἐκπεπόρευται, θεολογικῶς ὑμνολογηθήσεται. Τριάδα παναγίαν, ὑπερούσιον οὐσίαν, τὸ μὲν, ὅτι πάσης οὐσίας θεοπρεπῶς ὑπεραναβέβηκε, τὸ δὲ, ὅτι πᾶσι τοῖς οὖσιν αὐτόθεν ἡ μετοχὴ τοῦ εἶναι. Ὑπεράγαθον ἀγαθότητα, τὸ μὲν, ὅτι πηγὴ ἀγαθότητος, τὸ δὲ, ὅτι τοῖς ἀγαθοῖς ἐκεῖθεν τὸ ἀγαθύνεσθαι, τοῦτο ἡμῖν ὡς ἐν βραχέσιν ἡ τῆς καθ' ἡμᾶς θεολογίας ἀδιάβλητος μυσταγωγία.

Credo igitur in unum Deum, perfectum, et perfectionis efficientem Patrem, et Filium, et Spiritum sanctum, non dividens personarum distinctione etiam naturam (dividat enim Arrii divisio) sed in identitate naturæ personarum differentiam credo. Tollatur enim pariter et Sabellii contractio. Trinitatem sanctissimam omnium opificem, omnipotentem; ipsam sibimet simul exsistentem sine principio, ut omne temporale principium excedentem, et initio carentem, principii autem et causæ rationem in Patre implente : sic enim et super temporalem cogitationem pari honore Trinitas stabilitur ; et ejusdem substantiæ cum Patre, ex quo hic quidem sine fluxione et ineffabiliter genitus est, hic vero procedit theologice, hymnis celebrabitur. Trinitatem sanctissimam, supersubstantialem substantiam, hoc quidem, quod omnem substantiam Deo decente supergreditur ; hoc vero quod inde omnibus entibus participatio est essendi super omne bonum bonitatem, hoc quidem quod fons bonitatis, hoc vero quod bonis illinc est, quod bona sunt, hoc nobis est (ut in brevibus) theologiæ nostræ inculpabilis disciplina.

C

Τὸν δὲ Υἱὸν καὶ Λόγον τοῦ Θεοῦ καὶ Πατρὸς ἐπ' ἐσχάτων τῶν ἡμερῶν ἐκ τῆς Ἀειπαρθένου καὶ ὑπερενδόξου Δεσποίνης ἡμῶν Θεοτόκου προελθεῖν μετὰ σαρκὸς ἐμψυχωμένης ψυχῇ νοερᾷ τε καὶ λογικῇ, τουτέστι τέλειον ἄνθρωπον ἀνειληφέναι, καὶ ἀληθείᾳ, ἀλλὰ μὴ κατὰ φαντασίαν, οὐ προσωπικῶς, οὐδέ τινα τῶν καθ' ἕκαστα ἰδικῷ καὶ ἀφωρισμένῳ χαρακτῆρι περιοριζόμενον, ἀλλ' ὅλον τὸν ἄνθρωπον, ὃν καὶ ἐν τῇ αὐτοῦ ἀτομώσαντα τε ὑποστάσει, καὶ ὑποστήσαντα σῶσαι τὸ ἀνθρώπινον γένος, σεσωσμένας τε ἐπὶ τοῦ αὐτοῦ καὶ ἑνὸς Χριστοῦ τὰς φύσεις θεότητος, καὶ ἀνθρωπότητος, ἡνωμένας μὲν τῇ καθ' ὑπόστασιν ἑνώσει, ἀλλ' οὐ πεφυρμένας τῇ κατ' οὐσίαν ἀλλοιώσει. Μίαν μὲν ὑπόστασιν Χριστοῦ, δύο δὲ φύσεις, καὶ ἑκατέρᾳ αὐτῶν τὸ ἴδιον ἀπονέμω θέλημα. Δύο γὰρ θελήματα ἐπὶ Χριστοῦ ἀμείωτα, ὅτι καὶ δύο ἐνέργειαι. Τὸν αὐτὸν παθητὸν καὶ ἀπαθῆ, φθαρτὸν καὶ ἄφθαρτον, γραπτόν τε καὶ ἄγραπτον, τὰ μὲν οἰκειούμενος τῇ θεότητι, τὰ δὲ προσάπτων τῇ ἀνθρωπότητι. Σταυρωθέντα ἑκουσίως ὑπὲρ ἡμῶν, καὶ πρόξενον ἡμῖν τῆς τοῦ θανάτου καταλύσεως τὸν τίμιον σταυρὸν καὶ προσκυνητὸν

Filium vero et Verbum Dei et Patris in ultimis diebus ex semper Virgine et supergloriosa Domina nostra Deipara processisse cum carne animata anima intelligenti et rationali, id est, perfectum hominem assumpsisse veritate, non phantasia : non personaliter, neque aliquem in singulis proprio ac determinato charactere circumfinitum, sed totum hominem, quem in sua hypostasi individuum subsistere fecit, ut genus humanum salvaret. Servatas etiam in eodem et uno Christo naturas divinitatis et humanitatis, unitas quidem unione secundum hypostasim, sed non confusas substantias alterificatione ; unam quidem hypostasin, duas vero naturas ; et utrique earum propriam tribuo voluntatem. Duas enim voluntates in Christo non minutas, quia et duæ operationes : eumdem passibilem et impassibilem ; corruptibilem et incorruptibilem ; circumscriptibilem et incircumscriptibilem ; alia approprians divinitati, alia humanitati attribuens ; crucifixum voluntate pro nobis. Et qui nobis præbuit honorabilem et venerandam Crucem, destructionis mortis causam : sepultum eumdem ac in mortuis

D

Digitized by Google Распознавание текста ABK/FR

connumeratum. Qui tertia die juxta ipsius deiloquam vocem a mortuis resurrexit : quique visus est discipulis, et cum illis edendo ac bibendo, omnem ambiguitatem ac phantasiæ opinionem ab eis submovit. Deinde et ascendit una cum assumpta, sive cum animata anima intelligenti et rationali ipsius propria carne. Et iterum pariter venturus est ad judicandum vivos et mortuos. Sic enim dicit divina Scriptura : « Veniet quemadmodum vidistis eum euntem in cœlum. »

A παρασχόμενον. Ταφέντα τε τὸν αὐτὸν καὶ νεκροῖς συναριθμηθέντα, καὶ τριήμερον κατὰ τὴν αὐτοῦ θεόφθεγκτον φωνὴν ἐκ τῶν νεκρων ἀναστάντα, καὶ τοῖς μαθηταῖς ὀφθέντα, καὶ τῷ συμφαγεῖν αὐτοῖς καὶ συμπιεῖν πᾶσαν ἀμφιβολίαν καὶ φαντασίας ὑπόληψιν τέλεον αὐτῶν ἀπεσκευακότα. Εἶτα καὶ ἀναληφθέντα μετὰ τοῦ προσλήμματος, ἤγουν μετὰ τῆς ἐμψυχωμένης ψυχῇ νοερᾷ τε καὶ λογικῇ οἰκείας αὐτοῦ σαρκὸς, καὶ πάλιν ὡσαύτως ἐρχόμενον εἰς τὸ κρῖναι ζῶντας καὶ νεκρούς. « Οὕτως γὰρ, φησὶ τὸ ἱερὸν Λόγιον, ἐλεύσεται, ὃν τρόπον ἐθεάσασθε αὐτὸν πορευόμενον εἰς τὸν οὐρανόν. »

Sic sentiens et confitens incommutabiliter eam fidem, quæ in catholica et apostolica Ecclesia stabilitur et prædicatur, sanctas et œcumenicas septem synodos recipio. Primam quidem, utpote quæ B Arium, et eos qui cum eo sentiebant, una cum eorum abominanda creaturæ adoratione disrupit ac evertit. Secundum vero, quæ læsæ mentis Macedonium ab ecclesiastica communione exterminavit, et abscidit, qui pari atque Arius insania laborabat. In creaturis enim hic quoque sanctissimum, et omnium opificem ponens Spiritum, creaturam adorare non erubescebat. Verumenimvero et tertiam, quæ deposuit impium Nestorium, ac evertit innovatam ab eo Deo exosam superstitionem : hic enim indivise, et secundum hypostasin unitum Deo Verbo totalem hominem audacter et dementer a divina Verbi abstrahens hypostasi, in propria eum hypostasi esse, monstrose dicebat et imaginabatur. Ac idcirco nudum hominem eum qui carne apparuerat, Filium C et Verbum Dei somnians, consequenter hic infelix appellare sanctissimam Dei Genitricem Deiparam proprie abnegavit. Quartam autem, ut quæ Eutychen, dystichen, id est, infelicem ac scelestum Dioscorum elisit, atque anathematizavit una cum eorum imaginativa dementia, eorumque omni caterva. Domini enim carnem non esse nobis consubstantialem, delire asserebant, sed ex duabus quidem naturis unionem factam esse, in unam vero naturam post unitionem consumptam fuisse neutrius conservantem proprietates, nec divinæ, nec vero humanæ. Quintam etiam, quæ excidit ac penitus exstinxit ea quæ in perniciem auctorum suorum suscitabantur, scelerata dogmata, et partus impii Nestorii, qui regiæ urbis sine Deo pontifex fuerat, D et Theodori, qui Mopsuestiæ, magis etiam sine Deo, episcopatum gesserat ; tum eos, tum omnes, qui eadem qua illi vana sententia ægrotabant ; quin etiam et quæ dilaceravit et demessuit Origenem, Didymum, Evagrium, qui ratione cum gentilibus congruente ac insipiente sententia in ultimum profundum Deo adversariæ persuasionis inciderunt. Cum enim gradus et inferiores sedes Deitatis confinxissent, et animarum præexsistentias, ac effluxus et decidentias respectionis earum ad Deum in seipsis constituentes, easque in diversa et multiformia corpora transvasantes, et transmutantes ; et finem suppliciorum, ac dæmonum restitutionem, e ventre (sicut dicitur) eructantes, libero et aperto,

Οὕτω φρονῶν, καὶ διομολογῶν ἀπαρατρέπτως τὴν ἐν τῇ καθολικῇ τε καὶ ἀποστολικῇ Ἐκκλησίᾳ ἐφιδρυμένην τε καὶ κηρυσσομένην πίστιν, τὰς ἁγίας καὶ οἰκουμενικὰς ἑπτὰ συνόδους ἀποδέχομαι· τὴν μὲν πρώτην, ἅτε δὴ Ἄρειον καὶ τοὺς ὁμοφρονοῦντας αὐτῷ ἅμα τῆς βδελυκτῆς αὐτῶν κτισματολατρείας διαῤῥήξασάν τε καὶ καθελοῦσαν· τὴν δὲ δευτέραν, ὡς τὸν φρενοβλαβῆ Μακεδόνιον τῆς ἐκκλησιαστικῆς χοροστασίας ἐξοστρακίσασάν τε καὶ ἐκτεμοῦσαν Ἀρείῳ παραπλησίαν τὴν μανίαν ἐκμεμηνότα. Ἐν κτίσμασι γὰρ καὶ οὗτος τὸ πανάγιον καὶ παντουργὸν τιθεὶς Πνεῦμα, κτισματολατρεῖν οὐκ ἠσχύνετο. Ἀλλὰ γε δὴ καὶ τὴν τρίτην καθαίρεσιν οὖσαν τοῦ δυσσεβοῦς Νεστορίου, καὶ τῆς αὐτῷ καινοποιηθείσης θεοστυγοῦς δεισιδαιμονίας. Οὗτος γὰρ τὸν ἀδιαιρέτως καὶ καθ' ὑπόστασιν ἑνωθέντα τῷ Θεῷ Λόγῳ ὁλικὸν ἄνθρωπον τολμηρῶς καὶ ἀῤῥόνως τῆς θεϊκῆς τοῦ Λόγου διασπῶν ὑποστάσεως, ἰδιοϋπόστατον αὐτὸν ἑτερατολόγει τε καὶ ἐφαντάζετο. Διὸ καὶ ψιλὸν ἄνθρωπον τὸν σαρκὶ ἐπιφανέντα Υἱὸν καὶ Λόγον τοῦ Θεοῦ ὀνειρώξας, ἀκολούθως ὁ τρισάθλιος καλεῖν τὴν παναγίαν Θεοτόκον, Θεοτόκον κυρίως, ἀπηρνήσατο. Τὴν δὲ τετάρτην, ὡς τὸν δυστυχῆ Εὐτυχῆ, καὶ Διόσκορον τὸν ἀλάστορα καταράξασαν καὶ ἀναθεματίσασαν μετὰ τῆς φαντασιώδους αὐτῶν φρενοβλαβείας, καὶ πάσης αὐτῶν τῆς συμμορίας. Τὴν γὰρ τοῦ Κυρίου σάρκα μὴ εἶναι ἡμῖν ὁμοούσιον ἐληρῴδουν, ἀλλ' ἐκ δύο μὲν φύσεων τὴν ἕνωσιν γενέσθαι, εἰς μίαν δὲ μετὰ τὴν ἕνωσιν συνανακλωθῆναι φύσιν, μηδετάρας ἀποσώζουσαν τὰ ἰδιώματα, μήτε τῆς θεϊκῆς, μήτε μὴν τῆς ἀνθρωπίνης. Καὶ τὴν πέμπτην δὲ, ὡς ἐκτεμοῦσάν τε καὶ ἀποτεφρώσασαν τέλεον τὰ ἐπ' ὀλέθρῳ τῶν γεγεννηκότων ἀναῤῥιπιζόμενα μιαρὰ δόγματά τε καὶ κυήματα τοῦ δυσσεβοῦς Νεστορίου τοῦ τῆς βασιλίδος ἀθέως ἱεραρχήσαντος, καὶ Θεοδώρου τοῦ Μομψουεστίας ἀθεώτερον ἐπισκοπήσαντος, αὐτούς τε, καὶ πάντας τοὺς τὴν αὐτὴν αὐτοῖς ματαιοφροσύνην ἐκνοσήσαντας. Οὐ μὴν ἀλλά γε δὴ καὶ ὡς διασπάσασάν τε καὶ ἐκθερίσασαν Ὠριγένην, Δίδυμον, Εὐάγριον Ἑλληνόφρονι λογισμῷ καὶ ἀσυνέτῳ γνώμῃ εἰς ἔσχατον βυθὸν ἀθεότητος ἐμπεπτωκότας. Βαθμοὺς γὰρ καὶ ὑποβάσεις θεότητος ἀναπλάσαντες. καὶ ψυχων προϋπάρξεις, καὶ τῆς πρὸς τὸ θεῖον αὐτων νεύσεως ἀποῤῥοίας τε καὶ ἀποπτώσεις ἐν ἑαυτοῖς ὑποστήσαντες, εἰς διάφορά τε καὶ πολυειδῆ σώματα μεταγγίζοντες ταύτας, καὶ μεταβάλλοντες, καὶ τέλος κολάσεων, καὶ δαιμόνων ἀποκατάστασιν, τὸ δὴ λεγόμενον ἀπὸ κοιλίας ἐρευγόμενοι ἀθυροστό-

Digitized by Google Распознавание текста ABK/FR

μως ἐμυθολόγησαν καὶ ἐῤῥαψῴδησαν· ἀλλὰ καὶ τὴν ἕκτην ὡς ἀποῤῥίψασάν τε καὶ κατασπάσασαν τοὺς ἀμφὶ Ὀνώριον, καὶ Σέργιον, καὶ Μακάριον, τοὺς τερατολόγους καὶ παράφρονας ἅμα αὐτοῖς, καὶ τοὺς τὴν αὐτῶν δυσσέβειαν ἀκρατῶς ἐναπομαξαμένους μετὰ τῆς ἐκφύλου καὶ ἀλλοκότου αὐτῶν πλασματολογίας· ἓν γὰρ θέλημα, καὶ μίαν ἐνέργειαν τῷ ἐκ δύο ἀπαρατρέπτων φύσεων πεφυκότι Χριστῷ τῷ Θεῷ ἡμῶν κακῶς οἱ δείλαιοι ἐπεγράφοντο· ἔτι δὲ καὶ τὴν ἐν Νικαίᾳ τὸ δεύτερον ἱερὰν καὶ μεγάλην σύνοδον τοὺς Εἰκονομάχους καὶ διὰ τοῦτο Χριστομάχους καὶ ἁγιοκατηγόρους ἀποσκυβαλίσασάν τε καὶ καταβαλοῦσαν, σὺν αὐτοῖς δὲ καὶ τὴν βδελυκτὴν καὶ Μανιχαϊκὴν αὐτῶν αἵρεσιν· τὸ γὰρ τοῦ Κυρίου ἡμῶν Ἰησοῦ Χριστοῦ ὁμοούσιον ἡμῖν ἅγιον σῶμα γράφειν εἰκονικῶς ἐμυσάττοντο, τὸ ἄγραπτον καὶ περίγραπτον αὐτοῦ καταβακχεύοντες, καὶ διὰ τοῦτο μὴ εἶναι ἡμῖν ὁμοούσιον μανικῶς συμπεραίνοντες. Ταῦτας οὖν τὰς ἁγίας καὶ οἰκουμενικὰς ἑπτὰ συνόδους ἀποδέχομαι, ἀναθεματίζων μὲν, οὓς ἀνεθεμάτισαν, κατασπαζόμενος δὲ καὶ μεγαλύνων, οὓς ἐπευφήμησαν.

A nullis claustris, ore fabulati sunt, et commenta sua consuerunt. Sed et sextam, ut quæ abjecit ac demolita est, Honorium (2) et Sergium, et Macarium, monstruosi homines sermonis ac dementes, unaque cum ipsi eos qui eadem impietatem ad se duxerunt et expresserunt, cumque alienis eorum et absurdis commentis : unam enim voluntatem, et unam operationem Christo Deo nostro, qui ex duabus inconversis naturis est, mali miseri ascribebant. Præterea et eam, quæ Nicææ iterum facta est, sacram et magnam synodum, quæ iconomachos, id est, imaginum oppugnatores, ac propterea Christomachos, id est, Christum oppugnantes, et sanctorum obtrectatores, ut purgamenta eliminavit ac dejecit. Cum iis autem et detestandam æque Manichaicam B eorum hæresim : Domini enim nostri Jesu Christi consubstantiale nobis sanctum corpus pingere in imagine abominabantur : pingi non posse, et incircumscriptum esse debacchando asseverantes, ac ideo nobis consubstantiale non esse, insano more concludentes. Has igitur sanctas et œcumenicas synodos recipio, anathematizans quos anathematizaverunt, et amplectens et magnificans, quos laudibus celebrarunt.

Αὕτη μου ἡ τῆς πίστεως, καὶ τῶν εἰς ταύτην ἀνηκόντων καὶ περὶ αὐτὴν ὑφισταμένων ὁμολογία, καὶ ἐν ταύτῃ ἡ ἐλπὶς, οὐκ ἐμοὶ δὲ μόνον, ἀλλὰ καὶ πᾶσιν ὅσοις εὐσεβεῖν μεμελέτηται, καὶ τῆς καθαρᾶς καὶ ἀκιβδήλου δόξης τῶν Χριστιανῶν θεῖος ἔρως, προσπέφυκεν ἔχεσθαι. Ταύτην οὖν ἡμῶν τὴν ἔγγραφον τῆς πίστεως ὁμολογίαν ὑποστήσαντες, καὶ τῇ ἡμῶν πανιέρῳ ἱερότητι τὰ καθ' ἡμᾶς ὡς ἐν πίνακι διαχαράττοντες τοῖς λόγοις ἀνιστορήσαντες, ὅπερ δὴ πολλάκις ᾐτησάμεθα, τῶν ὑμετέρων ἐπιδεόμεθα προσευχῶν, Θεὸν μὲν ἵλεων καὶ εὐμενῆ ἐφ' οἷς τε πράττομεν, καὶ διεπραξάμεθα, ἡμᾶς ἐφευρεῖν, πᾶσαν δὲ σκανδάλων ῥίζαν, καὶ πέτραν προσκόμματος, ἐκ ποδῶν γεγενημένα τῆς ἐκκλησιαστικῆς εὐταξίας καθαρᾷν· ποιμαίνεσθαί τε καλῶς τὸ ὑπήκοον, μὴ τῷ πλήθει τῶν ἡμετέρων ἁμαρτημάτων τὴν ἐκείνων ἐπ' ἀγαθῷ προκοπὴν ἀνακόπτεσθαι, ὡς ἐντεῦθεν ἡμῖν πολλαπλάσιον τὸ ἁμάρτημα καταγράφεσθαι. Ἀλλ' εἴην μὲν αὐτοῖς ἔγωγε καὶ ποιῶν καὶ λέγων ἐν διδασκαλίᾳ τὰ δέοντα, εἴησαν δὲ καὶ αὐτοὶ εὐπειθῶς τε καὶ εὐηνίως πρὸς τὴν ἑαυτῶν σωτηρίαν ἀναγόμενοι, καὶ Χριστῷ τῇ πάντων κεφαλῇ προσφυῶς συναρμολογούμενοι, τῇ αὐτοῦ φιλανθρωπίᾳ καὶ χρηστότητι. Ὧ ἡ δόξα, καὶ τὸ κράτος ἅμα τῷ Πατρὶ, καὶ τῷ ἁγίῳ Πνεύματι, τῇ ζωαρχικῇ καὶ ὁμοουσίῳ Τριάδι νῦν, καὶ ἀεὶ, καὶ εἰς τοὺς αἰῶνας τῶν αἰώνων. Ἀμήν.

Hæc est fidei meæ, eorum quæ ad ipsam pertinent, et circa eam subsistunt, confessio, et in ea spes ; nec mihi vero soli, sed et omnibus quibus meditatum est pie vivere, quibusque divinus amor innatus est, puram et sinceram Christianorum sententiam retinendi. Hanc igitur in scriptis fidei C confessionem statuentes, et vestræ sacratissimæ sanctitati res nostras ut in tabula exprimentes, et sermone commemorantes ; quod sæpe petivimus, indigemus orationibus vestris, ut Deum propitium ac benignum in his quæ gerimus, inveniamus : omnem vero scandalorum radicem, et petram offensionis ex ecclesiastico ordine sublatam intueamur, ac bene pasci subditos, nec multitudine nostrorum delictorum, illorum in bono profectum ita retardari, ut inde nobis multiplex peccatum ascribatur ; sed ego quidem ipsis faciam et dicam in doctrina quæ oportet; ii vero obedienter et tractabiliter ad suum ipsorum salutem ducantur, et Christo omnium capiti inhærenter coagmententur, ejus humanitate et benignitate, cui gloria et imperium cum Patre, et sancto D Spiritu, vitæ principi et consubstantiali Trinitati, nunc et semper, et in sæcula sæculorum. Amen.

EPIST. II. — ΕΠΙΣΤ. Β'

Ἡ ἀπολογητικὴ ἐπιστολὴ τοῦ Φωτίου πρὸς τὸν πάπαν Νικόλαον, ἐν οἷς ἐμέμψατο αὐτῷ διὰ τὴν πρὸς τὸν θρόνον Κωνσταντινουπόλεως ἀναβίβασιν.

Τῷ τὰ πάντα ἁγιωτάτῳ, ἱερωτάτῳ ἀδελφῷ, καὶ συλλειτουργῷ Νικολάῳ πάπᾳ τῆς πρεσβυτέρας Ῥώμης, Φώτιος ἐπίσκοπος Κωνσταντινουπόλεως νέας Ῥώμης.

In omnibus sanctissimo sacratissimo fratri et comministro Nicolao Papæ senioris Romæ Photius episcopus Constantinopoleos novæ Romæ.

Jaeger, l. c. 439. — Baronius ad ann. 861.

Ἀγάπης μὲν ὡς ἀληθῶς οὐδὲν κτῆμα σεμνότερον οὐδὲ τιμιώτερον καὶ ταῖς κοιναῖς ἐννοίαις ἀνωμολό-

Charitate vere nihil venerabilius esse, nec pretiosius, et communibus sententiis confessum

NOTÆ.

(2) Falso accusans Honorium ; nec sine dolo potuit prætermisisse Pyrrhum et Paulum Constantinopolitanos patriarchas hæresis auctores et propugnatores. De Honorio vide tom. VIII *Annal.*

Digitized by Google Распознавание текста ABK/FR

est, et sacris eloquiis testatum. Per eam enim separata conjunguntur, et pacificantur pugnantia [1]; et juncta, domesticaque magis consociantur, seditionibus, contentionibusque aditum non præbentia. Ipsa enim non cogitat malum, sed omnia suffert, omnia sperat, omnia sustinet, nec unquam (juxta bonum Paulum) excidit. Ipsa et famulos qui offenderunt, dominis reconciliat, naturæ eumdem honorem ad defensionem lapsus opponens. Ipsa et dominorum sævientem furorem leniter ferre ministros edocet, fortunæ imparilitatem consolans ex eorum qui eadem patiuntur similitudine. Et patrum in filios iracundiam mitigat atque exhilarat; et mussitationem filiorum in parentes, sine dolore accipere hortatur, naturalem habitum et affectum mutuum armans contra eam disjunctionem quæ a natura abhorret : et amicis rixam incidentem facile repellit, ut communes sales æque ac naturam revereantur adhortans : et eos qui in eadem de Deo, rebusque divinis sententia sunt, quamvis sint locorum intervallo disjuncti, et oculis inter se nunquam viderint, conjungit et sententiis conglutinat, et veros facit amicos; ac si forte alteruter ad incusationes inconsiderantius venerit, casui illi medetur, omniaque redintegrat, firmum conjunctionis vinculum conservans.

Hæc et nostræ mediocritati persuasit, non graviter objurgationes ferre, quæ a vestra paterna sanctitate jaculorum instar emissæ sunt; ac fecit, ut arbitrarer, perturbati animi hos fetus non esse, nec mentis offensionum et inimicitiarum cupidæ verba; sed potius affectus veri ac nihil fingentis, et ecclesiasticum ordinem subtiliter examinantis, atque ad summum accurata diligentia ducere nitentis. Nam si propter summam benignitatem non concedit malum ut malum cogitare : quomodo sinet, malum esse, pronuntiare? ea enim ratio benignitatem esse novit, quæ eousque progreditur, ut eos etiam qui dolorem dant beneficio afficiat. Quoniam vero nihil prohibet, quominus et fratres cum fratribus, et cum Patribus filii in vero dicendo libertatem obtineant (nihil enim amicius veritate) licet et nobis libero sermone uti ac scribere non contradicendi studio, sed defendendi voluntate. Oportuisse nempe vestram in virtute perfectionem, ante alia omnia considerantem invitos nos ad hoc jugum tractos esse, non increpare, sed misereri; nec despicere, sed condolere. Misericordia enim et humanitas iis quibus affertur vis, debetur, non objurgatio aut contemptus. Vim enim sublimus; quantam autem, Deus cui omnia etiam occulta aperta sunt, ipse simul scit, inviti detenti sumus; in custodia æque ac sontes habiti, custodiis observabamur; suffragium de nobis, nobis renuentibus, latum : creati sumus flentes, querentes, ipsi nosmetipsos ferientes, et afflictantes. Sciunt hæc omnes : non enim in angulo facta sunt; at impressionis et, ut ita dicam, obtrectationis magnitudo historiam ad omnes pertulit.

[1] I Cor. XIII, 7, 8.

γηται, καὶ τοῖς θείοις Λογίοις ἐπιμαρτύρεται. Δι' αὐτῆς γὰρ τὰ διεστῶτα συνάπτεται, καὶ εἰρηνοποιεῖται τὰ μαχόμενα, καὶ τὰ οἰκεῖα μᾶλλον συσφίγγεται, ταῖς στάσεσι, καὶ ταῖς φιλονεικίαις, πάροδον οὐ παρεχόμενα· αὕτη γὰρ οὐ λογίζεται τὸ κακὸν, ἀλλὰ πάντα στέργει, πάντα ὑπομένει, καὶ οὐδέποτε, κατὰ τὸν μακάριον Παῦλον, ἐκπίπτει· αὕτη καὶ θεράποντα ἐξημαρτηκότα δεσπόταις καταλλάσσει τὴν ὁμοτιμίαν τῆς φύσεως εἰς ἀπολογίαν προβαλλομένη τοῦ ὀλισθήματος· αὕτη καὶ δεσποτῶν ἀγριαίνοντα θυμὸν πράως φέρειν τοὺς ὑπηρετουμένους παιδεύει, τὴν τῆς τύχης ἀνισότητα παραμυθουμένη ἀπὸ τῆς τῶν τὰ αὐτὰ πασχόντων ὁμοιότητος. Καὶ πατρὸς ἐπὶ τέκνοις παροργισμὸν ἱλαρύνει, καὶ γογγυσμὸν τέκνων τοῖς πατράσιν ἀλύπως παρακαλεῖ καταδέχεσθαι, τὴν φυσικὴν σχέσιν κατὰ τῆς παρὰ φύσιν λύσσης ὀπλίζουσα· καὶ φίλοις ἔριν ἐμπεσοῦσαν ῥᾳδίως ἀπώσατο, τοὺς κοινοὺς ἅλας ἴσα φύσεως δυσωπεῖσθαι παραινέσασα. Καὶ τοὺς τὴν αὐτὴν πάλιν περὶ τὸ Θεῖον δόξαν κρατύνοντας, κἂν ὡς πορρωτάτω παροικοῦντες ὦσιν, κἂν ὀφθαλμοῖς ἀλλήλων οὔπω ὡράθησαν, εἰς ἕνωσιν ἄγει, καὶ γνώμαις συνάπτει, καὶ φίλους ἀληθεῖς ἀπεργάζεται. Κἄν που τύχοι θάτερον εἰς ἀπερισκέπτους μέμψεις θατέρου κατολισθῆσαι, τὸν μὲν μὴ λογίσασθαι, τὸν δὲ μεταμελεῖσθαι παρασκευάσασα, ῥᾷστα τὸ συμβὰν ἀνεσώσατο, τὸν τῆς ἑνώσεως δεσμὸν ἀῤῥαγῆ συντηρήσασα.

Αὕτη καὶ τὴν ἡμετέραν μετριότητα ἀνεπαχθῶς οἴσειν τὰς ἐπιτιμήσεις, αἳ παρὰ τῆς ὑμῶν πατρικῆς ὁσιότητος βολίδων δίκην ἠφέθησαν, ἔπεισεν. Οὐ γὰρ ἐμπαθείας ταῦτα κινήματα, οὐδὲ γνώμης φιλαπεχθήμονος ῥήματα, ἄπλαστον δὲ μᾶλλον διαθέσεως, καὶ τὴν ἐκκλησιαστικὴν τάξιν εἰς ἄκρον ἀκριβολογούσης λογίζεσθαι παρεσκεύασεν. Εἰ γὰρ οὐδὲ τὸ κακὸν δι' ὑπερβολὴν χρηστότητος ὡς κακὸν λογίζεσθαι δίδωσιν, ὅπερ οὐδ' ἀπὸ κακίας ἴσως προάγεται, εἰ καὶ λυπεῖ, καὶ πλήττει, καὶ ἀνιᾷ, πῶς ἐάσει κακὸν ἀποφαίνεσθαι; ἐκείνην γὰρ ὁ λόγος οἶδε χρηστότητα, ἥτις κἂν ταῖς τῶν λυπούντων εὐεργεσίαις ὑπερεκτείνεται. Ἐπεὶ δὲ οὐδὲν κωλύει καὶ ἀδελφοῖς ἀδελφοὺς, καὶ πατράσι τέκνα ἐν τῷ ἀληθεύειν παῤῥησιάζεσθαι (οὐδὲν γὰρ τῆς ἀληθείας φιλαίτερον), ἔξεστι καὶ ἡμῖν παῤῥησιασαμένους εἰπεῖν οὐκ ἀντιλογίαν γράφοντας, ἀλλ' ἀπολογίαν προίσχοντας, ὡς ἐχρῆν τὴν ὑμετέραν ἐπ' ἀρετῇ τελειότητα, πρὸ τῶν ἄλλων μὲν ἁπάντων, τὸ ἄκοντας ἡμᾶς εἰς τὸν ζυγὸν τοῦτον ἑλκυσθῆναι διασκοποῦσαν μὴ ἐπιτιμᾷν, ἀλλ' ἐλεεῖν, μηδ' ὑπερορᾷν, ἀλλὰ συναλγεῖν· ἔλεος γὰρ καὶ φιλανθρωπία τοῖς βίαν παθοῦσιν, ἀλλ' οὐκ ἐπιτίμησις ἢ παρόρασις ἐποφείλεται· βίαν γὰρ ὑπέστημεν, καὶ ἡλίκην, Θεὸς, ᾧ πάντα καὶ τὰ κρύφια πεφανέρωται, αὐτὸς συνεπίσταται. Συνεσχέθημεν ἄκοντες, κακούργοις ἴσα καθειρχθημεν, ἐτηρούμεθα φυλασσόμενοι, ἐψηφίσθημεν ἀνανεύοντες, ἐχειροτονήθημεν κλαίοντες ὀδυρόμενοι, κοπτόμενοι, ἴσασι ταῦτα πάντες· οὐδὲ γὰρ ἐν γωνίᾳ ἐγένετο, καὶ τὸ μέγεθος τῆς ἐπηρείας τὴν ἱστορίαν εἰς πάντα ἐξήνεγκεν.

Digitized by Google Распознавание текста ABK/FR

Εἶτα τί δεῖ τοῖς πολλὰ καὶ δεινὰ πεπονθόσιν ἐπεμβαίνειν, ἐπιπλήττειν, διαλοιδορεῖν, ἢ οἰκτείρειν, καὶ παραμυθεῖσθαι ὅση δύναμις; Ἐξέπεσον εἰρηνικῆς ζωῆς, ἐξέπεσον γαλήνης γλυκείας, ἐξέπεσον δὲ καὶ δόξης (εἴπερ τισὶ καὶ κοσμικῆς δόξης ἔφεσις), ἐξέπεσον τῆς φίλης ἡσυχίας, τῆς καθαρᾶς ἐκείνης καὶ ἡδίστης μετὰ τῶν πλησίον συνουσίας, τῆς ἀλύπου, καὶ ἀδόλου, καὶ ἀνεπιπλήκτου συναναστροφῆς. Οὐδεὶς ἦν ὁ δίκην ἐγκαλῶν ἐμοί. Οὐκ ἐνεγραψάμην ἄλλον ἐγὼ, οὐ τῶν ἐπηλύδων, οὐ τῶν ἐγχωρίων, οὐδὲ τῶν ἀσυνήθων, μή τί γε τῶν φίλων· οὐχ οὕτως ἐλύπησα πώποτέ τινα, ὡς ὕβριν εἰς ἡμᾶς ἐκπτύσαι, πλὴν εἰ μήπω τοὺς ὑπὲρ εὐσεβείας κινδύνους ἐθελήσει τις ἐπισκοπεῖν· οὐδ' οὕτως ἥμαρτεν ἄλλος ἐμοὶ, ὡς καὶ μέχρι τῆς εἰς αὐτὸν ὕβρεως τὴν γλῶσσαν ἐξολισθῆσαι. Οὕτως ἦσαν ἡμῖν ἅπαντες χρηστοὶ, τὸ δὲ ἡμέτερον αὐτοὶ, κἂν μὴ λέγω, κεκράγασιν· ἠγαπώμην τοῖς φίλοις ὑπὲρ τοὺς συγγενεῖς, ἄμφω δὲ τοῖς συγγενέσιν ἐλογιζόμην, καὶ τῶν συγγενῶν ὁ φιλτατος, καὶ τῶν μάλιστα φιλούντων ὁ συγγενής.

A Quid igitur oportet in eos, qui multa gravia et acerba passi sunt, invehi, objurgare, conviciis appetere potius quam misereri, et pro viribus consolari? Decidi e vita pacem habente; decidi a tranquillitate dulci et placida; decidi de gloria (si tamen quibusdam mundanæ gloriæ amor est (excidi e chara quiete, e pura illa et jucundissima cum iis qui mihi proximi erant, consuetudine, et conversatione doloris experte et doli et reprehensionis. Nemo erat qui me incusaret, nec alium quemquam ergo accusavi vel advenarum vel indigenarum, nec vero hominum minus familiarium, nedum amicorum. Non ego sic unquam dedi alicui dolorem, ut contumeliam in nos exspueret: nisi forte velit quis suscepta pro pietate pericula intueri: nec quisB quam in me ita peccavit, ut usque ad contumeliam in ipsum lingua laberetur. Adeo erant omnes erga nos benigni: nostra vero ratio, quæ fuerit, illi, quamvis taceam, clamant. Me amici magis diligebant quam consanguineos suos: at vero cognatis meis existimabar et cognatorum charissimus et cognatos omnium amantissimus.

Ἡ δὲ περὶ ἐμὲ τῶν πλησίον φήμη τῆς σπουδῆς, καὶ τοὺς ἀγνῶτας εἵλκεν εἰς ἔρωθα θεῖον καὶ φιλίας δεσμὸν, ἴσως δ' ἂν ἐκεῖνοι καὶ ἀμεταμέλητον εὐφημήσωμεν. Ἀλλὰ πῶς οἷόν τέ ἐστιν ἀδακρυτὶ ταῦτα παρελθεῖν; οἴκοι μὲν γὰρ μένοντι ἡ χαρίεσσα τῶν ἡδονῶν περιεπλέκετο τέρψις τῶν μανθανόντων ὑπῶντι τὸν πόνον, τὴν σπουδὴν τῶν ἐπερωτώντων, τὴν τριβὴν τῶν προσδιαλεγομένων, δι' ὧν ἡ πρὸς τὸ ῥᾷστα παράγεσθαι καταρτίζεται γνώμη, τῶν ταῖς μαθηματικαῖς σχολαῖς λεπτυνομένων τὴν διάνοιαν, τῶν ταῖς λογικαῖς μεθόδοις ἰχνευόντων τὸ ἀληθὲς, τῶν τοῖς θείοις Λογίοις ἰθυνομένων τὸν νοῦν πρὸς εὐσέβειαν, ὅ τῶν ἄλλων ἁπάντων ὑπάρχει πόνων ὁ καρπός, Τοιοῦτος γὰρ χορὸς τῆς ἐμῆς οἰκίας ἦν ὁ χορός.

C Fama vero studii erga me proximorum meorum, ignotos quoque ad divinum amorem trahebat, et ad amicitiæ vinculum: nec eos fortasse laudum de me habitarum unquam pœnitebit. At hæc quomodo sine lacrymis commemorari possunt? Nam domi manentem grata voluptatum complectebatur oblectatio, cum discentium laborem intuerer, studium interrogantium, alloquentium exercitationem; quibus rebus informatur sententia, ne facillime possit decipi: eorum præterea, quorum mens scholis mathematicis exacuebatur, vel qui logicis methodis verum investigabant, vel quorum sensus divinis Eloquiis ad pietatem dirigebatur: qui aliorum omnium laborum est fructus: talis enim chorus, domus meæ chorus erat.

Ἐξιόντι δὲ πάλιν πρὸς τὴν βασίλειον πολλάκις αὐλὴν αἱ προπεμπτήριοι τῶν εὐχῶν, καὶ τοῦ μὴ βραδύνειν ἡ προτροπή. Ἦν γάρ μοι καὶ τοῦτο γέρας ἀφωσιωμένον ἐξαίρετον, τὸ μέτρον ἔχειν τὴν βούλησιν τῆς ἐν τοῖς βασιλείοις διατριβῆς. Ἐπανιόντι δὲ πάλιν πρὸ πυλῶν ἱστάμενος ὁ σοφὸς ἐκεῖνος ὑπήντα χορός. Ἐξ ὧν οἱ μὲν ἐνεκάλουν τὴν βραδυτῆτα, οἷς καὶ θαῤῥεῖν τι τῶν ἄλλων πλέον δι' ὑπερβολὴν ἀρετῆς ἐκεχάριστο· τισὶ δὲ καὶ προσειπεῖν ἤρκει, ἄλλοις δὲ καὶ τὸ δεῖξαι μόνον ὅτι μεμενήκασι· καὶ τοῦτο κύκλῳ ἐγένετο οὐκ ἐπιβουλαῖς λυόμενον, οὐ φθόνῳ κοπτόμενον, οὐκ ὀλιγωρίᾳ μαραινόμενον.

D Ad regiam rursus aulam sæpe adeunti præsto erant posequentium vota, hortatione morarer: nam præterea qui satisfacere animo meo omnes vellent, hic honor mihi habebatur eximius, ut voluntatem haberem, modum in Regia commorandi. Redeunti rursus ante portas stans chorus ille sapiens occurrebat: quibus propter virtutis præstantiam major quam cæteris fiducia concessa erat; alii contenti erant salutem dixisse; alii ostendisse tantum exspectationem suam. Atque hoc in orbem fiebat, nec occultis consiliis prohibitum, nec invidia intermissum.

Καὶ τίς ἂν τοιούτου βίου παθὼν ἐπανάστασιν ἐκὼν τὴν μεταβολὴν καὶ θρήνων ἐκτὸς ὑπενέγκοι; Τούτων ἁπάντων ἐξέπεσον, ὑπὲρ τούτων ὠδυρόμην, τούτων ἀποσπωμένῳ πηγαὶ δακρύων ἀνεστομοῦντο, καὶ λύπης ἀχλὺς περιεκέχυτο. Ἤδειν γὰρ καὶ πρὸ τῆς πείρας τὸ πολυτάραχον καὶ πολυμέριμνον τῆς καθέδρας ταύτης· ἤδειν τὸ δυσάρεστον καὶ δυσήνιον τοῦ μιγάδος ὄχλου, τὴν πρὸς ἀλλήλους ἔριν, τὸν φθόνον, τὰς στάσεις, τὰς ἐπαναστάσεις, τὴν κατὰ τῶν παρεστηκότων ὕβριν, καὶ τὸν γογγυσμὸν, ὅταν μὴ

Ecquisnam tali vita submotus libens mutationem, ac sine lamentis ferat? His omnibus excidi super his ingemiscebam. Hæc cum abstraherentur, fontes lacrymarum profluebant, ac doloris caligo circumfundebatur. Sciebam enim cum nondum essem expertus, multiplicem hujus sedis turbationem et sollicitudinem, sciebam fastidium et contumaciam promiscuæ turbæ, lites inter ipsos, invidiam seditiones, mutuos impetus, contumeliam in præfectos, et mussitationem si quando

Digitized by Google Распознавание текста ABK/FR

quibus egent, qui petunt, non adipiscuntur, et quando ad horum voluntatem illi se non conformant, nec accommodant : despicientiam rursus et contemptum cum ad postulatum adduxerint, et detraxerint ad voluntatem suam ; non enim in voluntaria gratia, sed in violento jussu deputant optati sui eventum. Ac vulgus potestatem nactum imperii in eum qui rerum potitur, tum sibi, tum rectori perniciem creat. Navis etenim facile mergetur, cum nautæ gubernatore depulso, simul omnes gubernant. Et exercitus funditus interibit, cum eorum quisque nulli duci obtemperans, sibi adversus alterum officium ducis arrogat. Cur autem quis singula prosequatur ? Nam sæpe necesse est præfectum colorem oris sui in tristitiam mutare, cum non ita afficiatur animus : ac rursus interdum, animo dolente lætum præbere os : et irasci nonnunquam cum iratus non sit : et subridere dum angitur : talis enim scena eorum est, qui multitudinis præfecturam suscipere adjudicati sunt. Antea vero qualis est ? amicus amicis non gravis : qualis affectio est, talis species.

Nunc autem est, ubi acerbe necesse est increpare amicos, et propter mandatum cognatos spernere ; et peccantibus apparere gravem. Invidia undique, licentia diuturnitate temporis confirmata. Quid me oportet cætera commemorare ? qualia perpetior insectans Simonem ? Quales quotidie tentationes sustineo, mundanam licentiam sermonis a sacro conventu prohibens, et contemptum potiorum rerum, et diligentiam vanarum ? Hæc providebam, et animus mordebatur : nec vero meæ est opis, hæc convellere. Fugiebam suffragium, deprecabar orationem, præfecturam ingemiscebam ; verum declinari non potuit quod erat præfinitum.

Sed cur hæc scribo et scripsi prius ? ac siquidem credita sunt ; nunc injuriam accipio, a misericordia desertus. Sin iis non est creditum, rursum afficior injuria, qui vera scribam nec fidem faciam : sic undique miser sum. A quibus sperabam doloris nacturum me sublevationem, inde increpor : a quibus exhortationem et consolationem, inde ad dolorem dolor adjungitur. Te non oportebat, inquiunt, affici injuria, hoc dicito iis qui intulerunt. Non oportuit tibi afferri vim. Egregia sane lex, sed qui objurgandi ? nonne qui vim fecerunt ? Misericordia quinam digni ? Nonne ii qui vim subierunt ? At si quis eos sinit, a quibus est illata vis ; increpat autem eum qui vim passus est : sperabam tuæ justitiæ posse me in eum judicium implorare. At canones, inquit, violati sunt, quod ad pontificatus fastigium e laicorum ordine ascendisti. Sed quis violavit ? Is qui vim irrogavit, an qui per vim et invitus attractus est ? sed resistere oportuit. Quousque ? restiti enim, et plus quam oportuit. Quod si sic non providissem infestorum ventorum procellas sæviores fore, restitissem etiam usque ad ipsam mortem. Quales autem canones hi, quorum asseritur prævaricatio ? quos ad hunc usque diem Con-

τύχωσιν ὅσων δέονται, καὶ ὅταν μὴ τυπῶνται καὶ σχηματίζωνται, καθ' ὃν τρόπον οὗτοι βούλονται· τὴν ὑπεροψίαν πάλιν καὶ καταφρόνησιν, ἐπειδὰν ἑλκύσωσι πρὸς τὴν αἴτησιν, καὶ συγκατασπάσωσι τῷ σφετέρῳ βουλήματι· οὐ γὰρ ἑκουσίου χάριτος, ἀλλὰ βιαίου προστάγματος τοῦ θελήματος αὐτῶν ἐκλογίζονται τὴν τελείωσιν. Καὶ κράτος λαβὼν ὄχλος ἄρχειν τοῦ κρατοῦντος ἑαυτῷ τε καὶ τῷ διέποντι ὀλέθριος γίνεται. Καὶ ναῦς γὰρ δύσει ῥᾳδίως, ὅταν οἱ ναῦται τὸν κυβερνήτην παρωσάμενοι πάντες ἅμα κυβερνήσωσι· καὶ στρατὸς ἄρδην ὀλεῖται, ἐπειδὰν ἕκαστος αὐτῶν ἀστρατήγητος ὑπάρχων καταστρατηγεῖν τοῦ πλησίον ἀλαζονεύοιτο. Καὶ τί ἄν τις κατὰ μέρος διεξίοι ; ἀνάγκη γὰρ τὸν ἐφεστηκότα πολλάκις καὶ ὑπαλλάσσειν τὸ χρῶμα τῆς ὄψεως εἰς τὸ σκυθρωπὸν τῆς ψυχῆς οὐχ οὕτω διακειμένης, καὶ πάλιν ἔσθ' ὅτε ταύτης ἀλγυνομένης τὸ πρόσωπον παρέχειν φαιδρὸν, ὀργίζεσθαι δ' αὖ πάλιν μὴ ὀργιζόμενον, καὶ μειδιᾷν ἀνιώμενον. Τοιαύτη γὰρ ἡ σκηνὴ τῶν πλήθους προστασίαν ἀναδέξασθαι καταδικασθέντων. Τὰ δὲ πρὶν, ποῖα ; φίλος τοῖς φίλοις ἀνεπαχθὴς, ἐχθρὸς δὲ οὐδενός· οἷος τὴν διάθεσιν, τοιοῦτος καὶ τὸ φαινόμενον.

Νῦν δὲ ἔσθ' ὅτε καὶ πικρῶς ἐπιτιμᾷν ἀνάγκη τοῖς φίλοις, καὶ τοὺς συγγενεῖς ὑπὲρ ἐντολῆς παρορᾷν, καὶ τοῖς ἁμαρτάνουσι φαίνεσθαι βαρὺς, φθόνος πανταχόθεν, ἀταξία χρόνῳ κρατυνθεῖσα. Τί με χρὴ τὰ λοιπὰ καταριθμεῖν οἷα πάσχω διώκων τὸν Σίμωνα ; οἵους καθ' ἑκάστην ὑφίσταμαι πειρασμοὺς τὰς κοσμικὰς παῤῥησίας τοῦ ἱεροῦ περικόπτων συλλόγου, τὴν ὀλιγωρίαν τὴν περὶ τὰ κρείττονα, τὴν ἐπιμέλειαν τὴν περὶ τὰ μάταια, ἃ βλέπων καὶ πρὶν, καὶ δακνόμενος τὴν ψυχὴν, καὶ μὴ τῆς ἐμῆς ἰσχύος εἶναι τὸ ταῦτα περιελεῖν. Ἔφευγον τὴν ψῆφον, παρῃτούμην ἣν χειροτονίαν, ὠδυρόμην τὴν ἐπιστασίαν. Οὐκ ἦν δὲ ἄρα φυγεῖν τὸ προορισθέν.

Ἀλλὰ τί γράφω ταῦτα ; ἐγράφη καὶ πρότερον, καὶ εἰ μὲν ἐπιστεύθησαν, ἀδικοῦμαι μὴ ἐλεούμενος· οἱ δὲ μὴ ἐπιστεύσησαν, ἀδικοῦμαι πάλιν ἀληθῆ γράφων, καὶ ἀπιστούμενος. Οὕτως ἐγὼ πανταχόθεν δυστυχὴς, ἀφ' ὧν ἐλπίζω τῆς λύπης εὑρεῖν παραψυχὴν, ἐκεῖθεν ἐκπλήττομαι· ἀφ' ὧν παράκλησιν καὶ παραμυθίαν, ἐκεῖθεν ἐπὶ τῷ ἀλγήματι προστίθεται ἄλγημα. Οὐκ ἔδει σε, φησὶν, ἀδικηθῆναι. Πρὸς τοὺς ἀδικοῦντας τοῦτο εἰπέ. Οὐκ ἔδει βιασθῆναι. Καλή γε ἡ νομοθεσία, ἀλλὰ τίσιν ἡ ἐπιτίμησις ; οὐχὶ τοῖς βιασαμένοις ; τὸ ἔλεος δὲ τίσιν ; οὐχὶ τοῖς βίαν ὑποστᾶσιν ; ἂν δέ τις τοὺς βιασαμένους μὲν ἐᾷ, τὸν δὲ βιασθέντα ἐπιτιμᾷ, τὴν σὴν ἤλπιζεν ἐπ' αὐτὸν δικαιοσύνην καλέσαι κριτήν. Ἀλλὰ κανόνες, φησὶ, παρεβάθησαν, ὅτι πρὸς τὸ τῆς ἀρχιερωσύνης ὕψος, ἀπὸ λαϊκοῦ προῆλθες τοῦ σχήματος. Καὶ τίς ὁ παραβάς, ὁ βιασάμενος, ἢ ὁ βίᾳ καὶ ἄκων ἀνελκυσθείς ; Ἀλλ' ἐχρῆν ἀντισχεῖν. Μέχρι τίνος ; ἀντέσχον δὲ καὶ πέρα τοῦ δέοντος. Εἰ δ' οὕτω μοι προῄδειν τὸ κλυδώνιον τῶν πονηρῶν πνευμάτων μέλλειν ἐπιτραχύνεσθαι, ἀντέσχον ἂν καὶ μέχρις αὐτοῦ θανάτου. Ποῖοι δὲ κανόνες ὧν ἡ παράβασις, οὓς μέχρι καὶ τήμερον ἐν Κωνσταντινουπολιτων ἐκκλησίᾳ οὐ παρείληφεν ; ἐκείνων λέγεται παράβασις, ὧν ἡ φυλακὴ παραδέδοται. Ἃ δὲ μὴ παραδέδοται,

Digitized by Google Распознавание текста ABK/FR

οὐδὲ μὴ φυλασσόμενα παραβάσεως φέρει ἔγκλημα. A
Ἀλλ' ἐμοὶ μὲν καὶ τὰ ῥηθέντα ἀποχρώντως ἂν εἶχεν, ὡς τοῦ προσήκοντος εἰρημένα πλέον. Οὐ γὰρ δικαιολογίας ἑαυτοῦ συνιστᾷν προήχθην· πῶς γάρ; ὅς γε εὐχῆς ἔργον ποιοῦμαι πολυτρόπως τῆς ζάλης ταύτης ἀπαλλαγῆναι, καὶ τὸ φορτίον ἐλαφρυνθῆναι· οὕτως ἐγὼ τοῦ θρόνου ἐφίεμαι, καὶ οὕτως σφόδρα ἀντέχομαι. Οὐ γὰρ ἀρχομένῳ μὲν βάρος ἦν ὁ θρόνος, προϊόντι δὲ δι' ἐπιθυμίας ἐγίνετο· ἀλλ' ὥσπερ ἄκων εἰσῆλθον, οὕτως ἄκων καθέζομαι, καὶ τοῦ βιασθῆναι πρὸς τὴν εἴσοδον μετὰ τῶν ἄλλων ἐναργὴς ἀπόδειξις, τὸ μέχρι τοῦ νῦν ἀπ' ἀρχῆς, τῆς ἀρχῆς ταύτης ἐθέλειν ἐξίστασθαι. Καὶ εἰ χαριέντως ἔγραφεν ἐμοί, οὐκ ὤφειλε γράφειν, τὰ μὲν ἄλλα πάντα χρηστὰ, καὶ ἐπαινετὰ, καὶ δεχόμεθα καὶ τερπόμεθα, καὶ χατιστηρίους ἕδομεν Θεῷ τῷ πανσόφως οὕτω τὴν ἐκκλησίαν ἰθύναντι. Τὸ δὲ ἀπὸ λαϊκῶν, οὐκ ἐπαινετόν. Διὸ τέως ἐν ἀμφιβόλῳ καθιστάμεθα, τὴν τελεωτάτην συναίνεσιν εἰς τὴν τῶν ἀποκρισιαρίων ἡμῶν ὑποστροφὴν ἀναθέμενοι. Ἀλλ' ἔδει γράφειν, οὐ συναινοῦμεν ὅλως, οὐ καταδεχόμεθα· οὐδὲ μὴ εἰς τὸν αἰῶνα καταδεξαίμεθα τὸν προσδραμόντα, τὸν ἐμπορευσάμενον τὴν ἀρχὴν, τὸν ἀψήθιστον, τὸν τὰ πάντα κακόν. Ἔξιθι τοῦ θρόνου, ὑποχώρησον τοῦ ποιμαίνειν, οὕτως ἂν ὁ γφάφων ἔγραφεν ἐμοὶ προσφιλῆ, εἰ καὶ τὰ πλείω ψευδῆ. Ἔδει γὰρ, ὡς ἔοικε, τὸν ἀδικηθέντα τὴν εἴσοδον ἀδικηθῆναι πάλιν τὴν ἔξοδον, καὶ τὸν ἀποτόμως ὠθισθέντα, καὶ ἄκοντα ἀποτομώτερόν τε καὶ νεανικώτερον ἀπωσθῆναι; Τῷ δ' οὕτως ἔχοντι καὶ λογιζομένῳ οὐ πολλὴ φροντὶς τὰς διαβολὰς ἀποτρίψασθαι, ὧν τὸ κῦρος τοῦ θρόνου ἀφαίρεσις. Καὶ ἤρκει μὲν, ὡς εἴρηται, τὰ ῥηθέντα.

stantinopolitanorum Ecclesia non accepit. Illorum dicitur transgressio, quorum tradita est custodia: quæ vero tradita non sunt, ea non custodia, transgressionis non inferunt crimen.

Satis erant quæ jam exposui, ac multo etiam plura quam conveniebat. Nec enim ad hæc adductus sum ut me juxta defensione commendarem. Quomodo enim aliter esse posset, cum optabile mihi esset omnimodis hac procella liberari, et hoc levari onere? Sic ergo sedis appetens sum, sic vehementer eam retineo. Non enim a principio quidem oneri thronus fuit, progressu vero temporis expetitus est: sed quemadmodum ingressus sum invitus, sic invitus sedeo. Quod autem initio mihi vis facta sit, cum ex aliis, tum ex hoc demonstratur, B quod a principio usque adhuc velim cedere hac sede. At si mihi grata scribenda erunt; non oportuit benigna, cæteroqui et laudabilia scribi: Accepimus, lætamur, et gratia agimus sapientissimo Deo, qui Ecclesiam gubernat. Hoc vero ex laicorum ordine, laudabile non est: idcirco ambigui adhuc sumus, et perfectum assensum in apocrisiariorum nostrorum reditum distulimus. Verum scribi debuit, omnino non assentimur, non probamus, non accipimus, nec vero unquam accipiemus; qui accurrit, qui præsulatum nundinatus est, qui non est justis suffragiis factus: in omnibus improbum. Abi hac sede, et de pastoris munere. Qui ita scripsisset, mihi scripsisset jucunda, quamvis falsa pleraque. An vero oportebat, qui in in- C gressu affectus erat injuria, in egressu itidem injuriam accipere? et qui aliena protervia invitus ad expelli? Qui sic affectus est, quique hæc cogitat, hæc inciderat; magis etiam præcise ac proter ve non valde curat, nec laborat de calumniis propulsandis, quarum hæc potestas sola est, ut ei thronus adimatur. Satis ergo, ut dixi, hæc fuerant.

Ἐπεὶ δὲ δι' ἡμᾶς σὺν ἡμῖν καὶ οἱ πρὸ ἡμῶν ἅγιοι καὶ μακάριοι Πατέρες συνδιαβεβλῆσθαι κινδυνεύουσιν, ὡς Νεκηφόρος καὶ Ταράσιος (ἐκ λαϊκοῦ γὰρ καὶ οὗτοι τοῦ σχήματος εἰς τὸ τῆς ἀρχιερωσύνης ἄκρον προέβησαν, οἳ τῆς καθ' ἡμᾶς γενεᾶς ἀειφανεῖς λαμπτῆρες, καὶ τῆς εὐσεβείας διαπρύσιοι γεγόνασι κήρυκες, βίῳ καὶ λόγῳ κρατύναντες τὴν ἀλήθειαν), τὰ λείποντα τῷ λόγῳ προσθεῖναι χρεών ἡγησάμην πάσης αἰτίας κρείττους, καὶ πάσης διαβολῆς ἀνωτέρους τοὺς μακαρίους ἐκείνους ἄνδρας ἐπιδεικνύς. Εἰ δ' οὐδ' ἄλλοι D τινὲς τούτους ὑπαιτίους τολμῶσι φάναι, τὸ ἐκ λαϊκῶν δὲ πρὸς ἱερωσύνην ἐλθεῖν κρατύνουσι πρόσκομμα, μέμφονται μὲν οἷς οὐ μέμφονται. Ἐκ λαϊκῶν γὰρ καὶ οὗτοι προήχθησαν. Οὓς δὲ πάλιν τιμῶσι, καὶ τεθήπασι, τὸ ψέγειν οὐ φεύγουσιν. Ἀλλ' οὗτοι (Ταράσιος ἦν καὶ Νικηφόρος) ἓν κοσμικῷ βίῳ ἀστέρων δίκην διαλάμποντες, καὶ πρὸς ἱερατικὴν ἀρχὴν γεγονότες ἀπόλεκτοι παρὰ κανόνα καὶ τύπον τὸν ἐκκλησιαστικὸν τῆς Ἐκκλησίας προέστησαν. Μή μοι γένοιτο τοιαύτην ἀφεῖναι φωνὴν, μηδ' ἄλλου λέγοντος ἀκοῦσαι· οὗτοι γὰρ τῶν κανόνων ἀκριβεῖς φύλακες, τῆς εὐσεβείας ὑπέρμαχοι, τῆς δυσσεβείας κατήγοροι, φωστῆρες ἐν κόσμῳ κατὰ τὸ θεῖον λόγιον, λόγον ζωῆς ἐπέχοντες. Εἰ δ' ὅτι κανόνας οὓς οὐκ ἤδεισαν

At quoniam propter nos nobiscum qui ante nos fuere, sancti ac beati Patres periclitantur in calumniam et crimen venire, ut Nicephorus et Tarasius (nam hi quoque ex ordine laico ad pontificatus fastigium pervenerint, qui memoriæ nostræ clarissima lumina, pietatisque egregii præcones, veritatem et vita et verbis confirmarunt): existimavi quæ restant, orationi oportere adjungi; dum ostendo beatos illos viros crimen omne vincere, et D calumniam omnem superare. Quod si ne alii quidem hos in crimen vocare audent, quod autem e laicis ad pontificatum ascenderint, in offensione et scandalo ponunt; reprehendunt sane quos nec reprehendunt: nam hi quoque laici sunt producti, quos rursum in honore habent et admiratione, eorum non fugiunt vituperationem. At hi, Tarasius et Nicephorus, in sæculi vita astrorum instar collucentes, in sacerdotum ordinem allecti contra regulam et formam ecclesiasticam Ecclesiæ præfuerunt. Absit a me, ut hanc emittam vocem, aut alium hæc dicentem audiam. Hi enim regularum accurati fuere custodes, propugnatores pietatis, impietatis accusatores, orbis terræ lumina, ex divinis eloquiis verbum obtinentes vitæ. Quod vero

Digitized by Google Распознавание текста ABK/FR

regulas, quas non norunt non servarunt: nemo eos jure reprehendere potest. Sed quod eorum quæ accepere, custodes fuerunt, idcirco a Deo glorificati sunt. Nam ea quæ tradita sunt, conservare, stabilis est mentis, ac novitatis studium repudiantis. At de iis quæ non acceperis, legem, usu non hortante, ferre, aut custodiam inducere præproperum studium est animi res novas molientis, atque errabundi. Propria enim quisque mensura ac regula continetur et dirigitur. Multi canones aliis traditi sunt, aliis ne noti quidem sunt. Qui accipit et violat, dignus qui in judicium indicatur: qui vero non novit, nec recipit, quomodo obnoxius est? Multæ quoque leges ab iis quibus impositæ erant, custoditæ sunt, ac demonstrarunt Dei famulos eos esse qui custodierunt: qui vero non acceperunt, ideoque animum ad ea non adverterunt, nihilominus Deo amabiles esse cogniti sunt.

Atque in manibus sunt exempla. Abraham circumcisus, incircumcisus Melchisedech, qui ad similitudinem Filii Dei, et principium ortus sui et finem habuit incognitum. Enimvero Abrahæ custodiam circumcisionis probans Deus; nusquam apparet ipsi Melchisedech transgressionis inferens exprobrationem. Nec vero quisquam hunc legis violatæ unquam accusabit, aut illum, quod facinus circumcisionis ausus sit. Qui eos insimulare velit, redarguetur. Atque prognatis ex Abraham, qui eam legem in sinum acceperat suum, mortis pœna proposita erat, si quis transgressus esset, quæ non ab hominibus modo inferebatur, sed etiam vehementi ipsorum angelorum interminatione. Et cum in eo Abraham et Melchisedech dissiderent, gratam in communem Dominum mentem ac pietatem et consimilem inter se cultum servabant. Ex quibus neutri ab altero vituperatio impingebatur; sed in potissimis rebus constantissima inter eos, et in rerum novarum studio aliena societas non sinebat cæterarum rerum discrimen curiosius intueri. Nam revera communia omnibus sunt, quæ omnes custodire necesse est, et ante alia quæ de fide habemus, ubi vel paulum declinare, est mortifero se piaculo obstringere. Quædam proprie alios consequuntur, quorum prætermissio eis multam affert quibus illa tenenda sunt: qui vero non acceperunt, hi propterea quod non observaverunt, minime condemnantur. Et quæ œcumenicis et communibus præcepta sunt suffragiis convenit ab omnibus custodiri: quæ vero Patrum aliquis exposuit, auctoralis definivit synodus, eorum qui servant, non efficis superstitiosam mentem: qui autem non acceperunt, ea præterire sine periculo possunt. Sic tonderi aliis patrium est, aliis synodica etiam definitione abjiciendum.

Bonis enim verbis hæc dici oportebat, ut et nos diximus. Quod si eum canonem, qui in (3) Sida

A οὐκ ἐφύλαξαν, οὐδεὶς ἂν δίκαια ποιῶν ἐπιμέμψοιτο· ἀλλ' ὅτι φύλακες ὧν παρέβαλον ἐχρημάτισαν, ἐν τούτῳ παρὰ Θεοῦ ἐδοξάσθησαν. Τὸ μὲν γὰρ τὰ δοθέντα συντηρεῖν γνώμης ἐστὶ σταθερᾶς, καὶ τὴν καινοποιὸν ἀποπεμπούσης προαίρεσιν, τὸ δ' ἂν μὴ παρείληφε, χρείας μὴ καλούσης νομοθετεῖν, ἢ φυλάττειν ἐπιχειρεῖν, νεωτεροποιοῦ διανοίας καὶ βεμβομένης ἐστὶ περισσεύματα. Μέτρῳ γὰρ ἕκαστος οἰκείῳ, καὶ κανόνι συνέχεται τε καὶ κατευθύνεται. Πολλοὶ κανόνες ἄλλοις μὲν παραδέδονται, ἑτέροις δὲ οὐδὲ γνώριμοι. Ὁ παραλαβὼν καὶ ἀθετῶν, δίκης ἄξιος. ὁ δὲ μηδ' ἐγνωκὼς, ἢ μὴ παραδεξάμενος, πῶς ὑπεύθυνος; Πολλαὶ δὲ καὶ νομοθεσίαι, οἷς μὲν ἐτέθησαν ἐφυλάχθησαν, καὶ Θεοῦ θεράποντας τοὺς φύλακας ἐπεδείξαντο. Οἱ δὲ μὴ παρειληφότες, καὶ διὰ τοῦτο B μηδὲ τὸν νοῦν πρὸς αὐτὰ ἐπιστρέψαντες, οὐδὲν ἧττον θεοφιλεῖς ἐγνωρίσθησαν, καὶ κατὰ χεῖρας τὰ παραδείγματα.

Ἵνα δὲ τὰ ἄλλα ἐάσω, ὁ μὲν Ἀβραὰμ ἐμπερίτομος, τὴν περιτομὴν ἐξ ἐντολῆς θείας εἰς νομοθεσίαν δεξάμενος, ἀπερίτμητος δὲ ὁ Μελχισεδὲκ, ὃς εἰς ἀφομοίωσιν τοῦ Υἱοῦ τοῦ Θεοῦ, καὶ τὴν ἀρχὴν τῆς γενέσεως, καὶ τὸ τέλος ἔσχεν ἄγνωστον. Ἀλλὰ τὴν τοῦ Ἀβραὰμ τῆς περιτομῆς φυλακὴν ἀποδεχόμενος ὁ Θεὸς, οὐδαμοῦ φαίνεται τῷ Μελχισεδὲκ παραβάσεως ἐπιφέρων ὀνειδισμὸν, ἀλλὰ κἂν πού τιν αὐτὸν παρανομίας γράψοιτο γραφὴν, αὐτὸν μᾶλλον, ἢ ἐκεῖνον (ὅτι τοῦτο τολμῶ) ἐξελεγχθήσεται γεγραφώς. Καίτοι γε τοῖς ἐξ Ἀβραὰμ γεγεννημένοις, καὶ τουτονὶ τὸν νόμον ἐγκολπωσαμένοις, θάνατος ἦν ἡ ζημία τῷ C παραβάντι, οὐκ ἐξ ἀνθρώπων μόνον ἐπαγόμενος, ἀλλὰ καὶ παρ' αὐτῶν ἀγγέλων σφοδρῶς ἀπειλούμενος. Ἀλλ' ἔν γε τούτῳ Ἀβραάμ τε καὶ Μελχισεδὲκ διαφερόμενοι, τὴν εἰς τὸν κοινὸν Δεσπότην εὐγνωμοσύνην τε καὶ λατρείαν παραπλησίως ἀλλήλοις διέσωζον, ἐξ ὧν οὐδετέρῳ παρὰ θατέρου μῶμος προσῆπτετο. Ἀλλ' ἦγε ἐν τοῖς καιριωτάτοις σφοδρά τε καὶ ἀκαινοτόμητος κοινωνία, τὴν ἐν τοῖς λοιποῖς οὐκ εἶα σκοπεῖν τε καὶ πολυπραγμονεῖν ἑτερότητα. Καὶ γάρ ἐστιν ὄντως κοινὰ πᾶσιν, ἅπαντα φυλάττειν ἐπάναγκες, καὶ πρό γε τῶν ἄλλων τὰ περὶ πίστεως, ἔνθα καὶ τὸ παρεγκλῖναι μικρὸν, ἁμαρτεῖν ἐστιν ἁμαρτίαν τὴν πρὸς θάνατον. Ἔστι καὶ ἰδιαζόντως τισὶ παρεπόμενα, ὧν ἡ παράβασις, οἷς μὲν ἐδόθη D κατέχεσθαι, ἐπιζήμιος· οἷς δ' οὐ παρείληπται, καὶ τὸ μὴ συντηρεῖν, ἀκατάκριτον. Καὶ τὰ μὲν οἰκουμενικαῖς καὶ κοιναῖς τῦπωθέντα ψήφοις, πᾶσι προσήκει φυλάττεσθαι. Ἃ δέ τις τῶν Πατέρων ἰδίως ἐξέθετο, ἢ τοπικὴ διωρίσατο σύνοδος, τῶν μὲν φυλαττόντων τὴν γνώμην οὐ παρίστησι δεισιδαίμονα. οὐ μὴν τοῖς γε μὴ παραδεξαμένοις τὸ παρορᾶν ἐπικίνδυνον. Οὕτων ξυρᾶσθαι μὲν ἄλλοις πάτριον, ἑτέροις δὲ καὶ συνοδικοῖς ὅροις ἀπόβλητον.

Εὐφήμως δὲ τὸν λόγον εἰπεῖν ἔδει, καὶ εἴπομεν· εἰ δὲ καὶ τὸν ἐν Σίδῃ κανόνα προσέθεμεν, βαρεῖς ἂν

NOTÆ.

(3) Videtur obscure orare, ut misericordi indulgentia et dispensatione sedis apostolicæ episcopi nomen obtineat et dignitatem, cum suspicaretur Ignatium restitutum iri. Sic concilium Ephesinum de

καὶ λίαν φορτικοὶ κατεφάνημεν. Οὕτω πλὴν τοῦ ἑνὸς τὰ ἄλλα Σάββατα συντηρεῖν ἡμῖν ἐπιλήψιμον, ἑτέροις δὲ καὶ τοῦ ἑνὸς πλείω νηστεύεται. Καὶ φεύγειν τὴν μέμψιν ἡ παράδοσις οἴεται τῷ ἔθει κατακρατεῖν τοῦ κανόνος ἐκνικήσασα. Καὶ νομίμῳ γάμῳ γυναικὶ συναφθέντα οὐκ ἔστιν εὑρεῖν ἐν Ῥώμῃ πρεσβύτερον, ἡμεῖς δὲ καὶ τοὺς μονογαμίᾳ τὸν βίον ῥυθμίζοντας εἰς πρεσβυτέρου φέρειν βαθμὸν ἐδιδάχθημεν, καὶ τούς γε διακρινομένους ἐξ αὐτῶν λαβεῖν τοῦ Κυριακοῦ σώματος τὴν μετάληψιν πανταχόθεν ἀποκλείομεν ἐξ ἴσου, τούς τε πορνείαν νομοθετοῦντας, καὶ τοὺς γάμου νόμον ἀναιροῦντας λογιζόμενοι. Πάλιν ἄν τις παρ' ἡμῖν τὴν τοῦ πρεσβυτέρου παρελθὼν χειροτονίαν τὴν τοῦ ἐπισκόπου τῷ διακόνῳ περιθείη, ὡς εἰς τὰ καίρια ἐξημαρτηκὼς κατακρίνεται. Τισὶ δὲ παραπλήσιον ἀπὸ πρεσβυτέρου προάγειν ἐπίσκοπον, καὶ ἀπὸ διακόνου τὴν μέσην τάξιν ὑπεραλλόμενον εἰς τὸ τῆς ἐπισκοπῆς ἀναρπάζειν ἀξίωμα, καίτοι γε ἡλίκον καὶ ὅσον τὸ μέσον ἐν τούτοις; Ἄλλαι μὲν γὰρ καθ' ἑκάστην τάξιν καὶ βαθμὸν εὐχαὶ, ἄλλαι δὲ τελεταὶ, καὶ ὑπουργίαι πάλιν ἕτεραι, ἄλλαι δὲ καιρῶν παραφυλακαὶ, καὶ δοκιμασίαι τρόπων ἕτεραι. Ἀλλ' ὅπερ τις νομοθεσίαν οὐ παρεδέξατο τοῦ μὴ συντηρεῖν ἀπολογίαν τὸ μηδὲ παρειληφέναι προβαλλόμενος, οὐκ ἂν εὐθύνας ἀπαιτηθήσεται· εἰ δέ τις παρ' ἡμῖν τοῦτο δεδρακὼς ἐξελήλεγκτο, οὐδεὶς ἂν αὐτῷ συγγνώμης οὐδὲ ῥανίδα ἐπέσταξε. Τῶν γὰρ ἐλαττόνων νόμων ἡ παράβασις, ἀτιμώρητος πρὸς τὴν τῶν μειζόνων ἐπιτρίβει καταφρόνησιν. Ἄλλοις ἅπαξ μονάσασιν ἡ κρεοφαγία οὔτί γε βδελυσσομένοις, ἀλλ' ἀσκουμένοις μέχρι τέλους ἀπρόσιτος, ἑτέροις δὲ ἐπὶ πολὺ παρατηρήσιμος. Ἐγὼ δὲ καὶ λόγον παρὰ ἀνδρῶν πρὸ πολλοῦ τιμώντων ἤκουσα τὴν ἀλήθειαν, ὡς τὸν τὴν Ἀλεξανδρέων Ἐκκλησίαν ἐφορᾷν μέλλοντα, καὶ λόγον ὑποσχεῖν ἐκδιάζονται, ἀπό τινος ἐπιχωρίου περιπετείας τούτου κρατήσαντος, μὴ ἄν ποτε τῆς κρεοφαγίας ἀφίστασθαι· καὶ σχῆμα μὲν τοῦ μονάσαντος οὐκ ἄν τις παρ' ἡμῖν εἰς κληρικοῦ μετασχηματίσειεν, ἔνιοι δὲ ἐπειδὰν πρὸς ἐπισκοπῆς ὕψος τὸν μοναστὴν ὑφοῦν ἐθελήσωσι, τοῦτον περίτροχα κείροντες, τὸ πρότερον μεταμείβουσι σχῆμα. Οὕτως ἐν οἷς οὐκ ἔστι πίστις τὸ ἀθετούμενον, οὐδὲ κοινοῦ τε καὶ καθολικοῦ ψηφίσματος ἔκπτωσις. Ἄλλων παρ' ἄλλοις ἐθῶν τε καὶ νομίμων φυλαττομένων, οὔτε τοὺς φύλακας ἀδικεῖν, οὔτε τοὺς μὴ παραδεξαμένους παρανομεῖν, ὀρθῶς ἄν τις κρίνειν εἰδὼς διορίσαιτο.

Καίτοι γε τὸ νομισθὲν ἡμῖν εἰς ἐπίκλημα πρὸς ἔνια τῶν κατηριθμημένων οὐδ' ἐν συγκρίσει τὸ ἀνεύθυνον ἀποφέρεται, ἀλλὰ τὰ μὲν εἰς τὴν τῶν ἐκθέσμων καὶ βδελυκτῶν ἀπελαύνειν χώραν, αὐτὸ δὲ τῆς τῶν ἐπαινετῶν καὶ καλλίστων μερίδος ἐξήρτηται. Καὶ τὸ μὲν καὶ πεπρᾶχθαι, καὶ διαπράττεσθαι, μέχρι νῦν πεπαῤῥησιασμένῃ καὶ φωνῇ, καὶ γνώμῃ, καὶ προσώπῳ κηρύσσεται. Πῶς γὰρ οὐκ ἂν σεμνολογηθείη

A proposuissemus; graves atque importuni fuissemus. Ita præter unum, alia Sabbata observare, nobis reprehensione non caret, aliis vero plura uno jejunantur, ac traditio putat se effugere vituperationem, quæ consuetudine canonem pervicit, eoque potior fuit. Legitimis nuptiis presbyter Romæ uxori conjunctus non invenitur : nos vero eos qui unico conjugio vitæ suæ moderati sunt, edocti sumus in presbyteri gradum efferre, eosque qui hoc in discrimine ponunt, ac se secernunt, ne ab his Domini corporis participationem capiant, undique excludimus, eodem loco ducentes eos qui legem aut fornicationis sanciunt, aut nuptiarum tollunt. Item si quis apud nos presbyterii consecrationem præteriens, episcopi honore diaconum effecerit, utpote B qui maxime deliquerit condemnatur : quibusdam vero pari ducitur loco, e presbytero provehere episcopum, et e diacono, medium transilientibus ordinem, ad episcopi abripere dignitatem. Et quidem inter hæc quantum interest? Aliæ enim in unoquoque ordine et gradu orationes, aliæ cæremoniæ, alia item ministeria, aliæ et observationes temporum et morum probationes. Verum quod quis in legis loco non accepit, ejus non observati defensionem hanc objiciens, quod non receperit : ab eo ratio nulla poscetur. Sin quis apud nos convinceretur hoc fecisse, nemo ei ullam veniæ guttam instillaverit : minorum enim legum inulta violatio, tritiores homines ad majorum contemptum facit. Aliis semel factis monachis esus carnium non exsecrantibus, C sed se exercentibus usque interdicitur : ab aliis vero non diu hoc observatur. Ego et hominum audivi sermonem veritatem magno in honore habentium, cum nempe occasione ejus qui Alexandrinorum Ecclesiæ præsul futurus erat, hanc rationem subire cogi ; quod ex aliquo iis in locis casu constitutum est : se nunquam ab esu carnium abstinere. At apud nos monachi habitum nemo unquam in clerici commutarit : nonnulli autem, cum voluerint monachum ad episcopi fastigium attollere, eum orbiculariter tondentes, priorem habitum immutant. Ita, ubi nulla est prævaricatio fidei, nec communis et catholici decreti eversio ; cum aliis apud alios mores et leges custodiantur ; nec custodes injuste agere, nec eos qui non acceperunt, contra legem D facere, is qui recte judicare norit, definiat.

Et vero quod a nobis in crimine ponitur, si cum nonnullis quæ admemorata sunt, conferatur, recti et veri existimationem habebit : et alia quidem nefariorum et exsecrabilium loco ducuntur, hoc vero laudi est, et putatur esse pulcherrimum, hoc usque adhuc et factum esse, et fieri, libera voce et sententia, et vultu prædicatur. Quomodo enim non summis laudibus quis efferatur, quod nondum sa-

Eustachio ad sacram quæ est in Pamphylia synodum Sidæ collectam. Sidæ quidem Pamphyliæ est Metropolis, vel (quod non minus verisimile est) ex eo orat, ne restitueretur Ignatius, sed tantum sit con-

tentus nomine episcopi frui dum viveret, sic astutus homo, quod maxime velit, haud admodum se curare demonstrat.

Digitized by Google Распознавание текста ABK/FR

cerdotum ordinem assecutus, ita vitam suam immoderatus est, ut et aliis, quibus sacerdotium obtigit, et ab omni reliquo cœtu ad pontificatum aliis præferatur? Quædam vero ne ab iis quidem qui delinquunt (quod quidem sciam) quod fiunt, laudantur ob summam fortasse absurditatem, aut nescio quid dicam, iis qui fecerunt, inficiationem veritati anteponentibus. Quis enim sabbatizare, qui in Christianis censeatur, etiamsi millies his succumbat, non ejuret? Quis se conjugium, exsecrari legitimum, nisi quis impiorum ac sine Deo hominum sententiam opifici proponat, et ei hypostasi, quæ inde per bonitatem exstitit? Quis autem Dominicorum et paternorum, et synodalium decretorum (ne sigillatim dicam) non revereatur confiteri, se moliri contemptum? Ex laicis sane eum qui sacrum vitæ genus susceperit, ad pontificatum promoveri, valde consequens esse divinis Patribus, non verbis pronuntiatum, sed re ipsa gestum, magnæ utilitatis sponsæ Christi Ecclesiæ causa, in pluribus demonstratum est.

Ad hæc, aspice, si vis, et ministeriorum varietates quæ in orationibus, quæ in invocationibus, in ordine et consequentia, in temporis diuturnitate et brevitate, in multitudine et paucitate. Et quidem in iis (o miraculum) communis panis in corpus Christi mutatur, et commune vinum sanguis ejus sit, qui eum in redemptionem nobis de proprio latere cum aqua effudit; et horum discrimen ac varietas uniformem, Deificamque Spiritus gratiam multipliciter, et invariabiliter suscipi ab iis propter quæ hæc geruntur, non prohibuit. Quin etiam testes apud nos et regulis nostris ad tres numeramus: qui si cæteroqui vitio careant, satis sunt ad fidem veritati faciendam, quamvis in episcopi crimen ascisscantur: apud alios vero nisi testium numerus superet septuaginta quasi populum, qui accusatur, quantumvis in re ipsa fuerit deprehensus, omni crimine liber absolvitur. Satis quæ dicta sunt esse duco hominibus æquis, quique non malint, quam intelligere, redargui. Quid autem figura capillorum, ac temporis prorogatio ad sacerdotium suscipiendum potest? Mores enim hominem ante sacerdotii figuram dignum ostendunt, tametsi nondum quis ei manum imponat, nondum didicit preces. Multi vero, quos mores fugiunt, habitu venerandi, in habitu consistunt; etenim capillorum resecatio signum est conversationis a mortuis operibus puræ. Et qui ita est, quamvis signi tuba nondum insonet, vitam ejus prædicans puram, hic in nihilo mihi eo inferior virtute est, qui signum gerit.

Atque hæc dicemus non nos ipsos commendantes. Absit! æque enim nos a moribus atque ab habitu abfuimus, tantumque abest, ut hæc de meipso dicam, ut verius, si qui nos velint risu ac dicteriis incessere, possint magis ex moribus sacerdotio di-

A τις, ὅτι μήπω λήξεως ἱερωμένων τυχὼν, οὕτως τὴν ἑαυτοῦ πολιτείαν ἐρύθμισεν, ὥστε καὶ ὑπ' αὐτῶν τῶν κεκληρωμένων τὴν ἱερωσύνην, καὶ παντὸς τοῦ ἄλλου πληρώματος εἰς ἀρχιερέα προκρίνεσθαι; Τὰ δὲ οὐδ' ὅτι πράττεται, ὅσα ἐμὲ γινώσκειν, συνωμολόγηται τοῖς ἁμαρτάνουσι τῇ ὑπερβολῇ τοῦ ἀτοπήματος ἴσως ἢ οὐκ οἶδ' ὅ τι καὶ εἴπω, τῶν δεδρακότων ἀλλασσομένων μᾶλλον τῆς ἀληθείας τὴν ἄρνησιν. Τίς γὰρ σαββατίζειν ἐν Χριστιανοῖς τελῶν, κἂν μυριάκις ὑπενεχθείη τούτοις οὐκ ἂν ἐξομόσαιτο; Τίς δὲ γάμον βδελύττεσθαι ἔνθεσμον, εἰ μὴ τὰ τῶν δυσσεβῶν καὶ ἀθέων ἐπιπροσθείη καὶ τοῦ Δημιουργοῦ, καὶ τῆς ἐκεῖθεν ἀγαθοειδῶς οὐσιωθείσης ὑποστάσεως; Τίς δὲ τῶν Δεσποτικῶν καὶ Πατρικῶν καὶ
B συνοδικῶν δογμάτων (ἵνα μὴ καθ' ἕκαστον λέγω), οὐκ ἂν αἰσχυνθείη καὶ πράττων ὁμολογῆσαι τὴν ἐξουδένωσιν; Ἐκ μέντοι λαϊκῶν ἱερὰν πολιτείαν ἐπανῃρημένον εἰς ἀρχιερέα προάγεσθαι, ἀκόλουθον ἄγαν, καὶ Πατράσι θείοις οὐ λόγοις καθωμιλημένον, ἀλλ' ἔργοις αὐτοῖς διαπεπραγμένον, ἐπὶ μεγάλῳ κέρδει τῆς νύμφης Χριστοῦ Ἐκκλησίας κατὰ διαφόρους καιροὺς ἐπιδέδεικται.

Ὅρα δὲ, εἰ βούλει, πρὸς τοῖς εἰρημένοις καὶ τὰς τῶν λειτουργικῶν ἑτερότητας τὰς ἐν ταῖς εὐχαῖς, τὰς ἐν ταῖς ἐπικλήσεσι, τὰς ἐν τάξει καὶ ἀκολουθίᾳ, τὰς ἐν τῷ τοῦ χρόνου μήκει, καὶ τῇ βραχύτητι, τὰς ἐν πλήθει καὶ ὀλιγότητι, καίτοι δι' αὐτῶν, ὦ τοῦ θαύματος! ὁ κοινὸς ἄρτος εἰς σῶμα Χριστοῦ μεταβάλλεται, καὶ ὁ κοινὸς οἶνος αἷμα χρηματίζει τοῦ λύτρου ἡμῖν ἐξ οἰκείας πλευρᾶς τοῦτο σὺν ὕδατι βλύσαντος. Καὶ ἡ τῶν
C εἰρημένων ἑτερότης τε καὶ παραλλαγὴ τὴν ἑνοειδῆ καὶ θεοποιὸν χάριν τοῦ Πνεύματος ἀπληθύντως τε καὶ ἀπαραλλάκτως ὑποδέξασθαι τὰ ἐφ' οἷς ταῦτα τελεῖται οὐ διεκώλυσεν, ἀλλὰ καὶ μάρτυρες μὲν παρ' ἡμῖν καὶ τοῖς παρ' ἡμῖν κανόσι μέχρι τριῶν ἀριθμούμενοι ἂν ἄλλως ἀδιάβλητοι τύχωσιν, ἱκανοὶ πιστώσασθαι τὴν ἀλήθειαν, κἂν εἰς ἐπισκόπου ληφθῶσιν ἐπίκλημα· παρ' ἄλλοις δὲ ἂν μὴ τὸν ἑβδομήκοντα δῆμον τὸ τῶν μαρτύρων ὑπερεκπέσῃ πλῆθος, ἀνέγκλητος ὁ καθηγούμενος, κἂν ἐπ' αὐτοφώρῳ ληφθῇ ἀπολύεται. Ἐπιλείψει με ἡ ἡμέρα τὰς τοιαύτας διαφορὰς ἐπιλέγοντα, ἀρκεῖν δ' ἡγοῦμαι καὶ τὰς εἰρημένας τοῖς εὐγνώμοσι, καὶ οἷς μὴ μᾶλλον ἐράσμιον τοῦ συνιέναι τὸ διελέγχεσθαι. Τί δέ καὶ σχῆμα τριχῶν, καὶ χρόνου παράτασις εἰς
D ἱερωσύνης ἀντίληψιν δύναται; ὁ μὲν γὰρ τρόπος τὸν ἄνδρα καὶ πρὸ τοῦ σχήματος τῆς ἱερωσύνης δείκνυσιν ἄξιον, κἂν μή πώ τις αὐτῷ τὴν χεῖρα ἐπιτιθῇ, κἂν μὴ ἐπιλέγῃ τὴν εὐχήν. Πολλοὺς δὲ φυγὼν ὁ τρόπος ἐπὶ σχήματος μένειν τοὺς σχήματι σεμνυνομένους ἐγκατέλιπεν. Ἡ μὲν γὰρ τῶν τριχῶν περικοπὴ, σημεῖόν ἐστι πολιτείας καθαρευούσης ἔργων νεκρῶν. Ὁ δὲ τὸν ἑαυτοῦ βίον ἀκηλίδωτον οὕπω ἠχήσῃ τὸν βίον αὐτοῦ κηρύττουσα καθαρὸν,

ὅση δύναμις συντηρῶν, κἂν ἡ τοῦ σημείου σάλπιγξ οὔτος οὐδὲν ἐμοὶ τοῦ φέροντος τὸ σημεῖον ἐνδεέστερος εἰς ἀρετήν.

Καὶ ταῦτά φαμεν οὐχ ἑαυτοὺς ἀποσεμνύνοντες, μή τι γένηται. Ἐπίσης γὰρ ἡμεῖς τῶν τε τρόπων, καὶ τοῦ σχήματος ἀπελιπόμεθα, καὶ τοσοῦτον δέω ταῦτα λέγειν περὶ ἐμαυτοῦ, ὥστε καὶ εὐλογώτερον εἶναί φημι τοῖς βουλομένοις ἐπισκώπτειν ἡμᾶς ἐκ

Digitized by Google Распознавание текста ABK/FR

τῶν τρόπων μᾶλλον τῶν τῆς ἱερωσύνης ἀξίων, ἢ ἀπό γε τοῦ ϕχήματος ἐπανίστασθαι. Οὐκ ὑπὲρ ἡμῶν οὖν ταῦτα, ἀλλ' ὑπὲρ ὧν καὶ πρόσθεν ἔϕημεν γράϕεται. Πατέρων γὰρ κακῶς ἀκουόντων δέδοικα τὸ μὴ ὑπεραγωνίζεσθαι. Τί γὰρ, σιγᾷν παρὸν, ὑπεραγωνίζεσθαι, καὶ τὸ τῆς κωμῳδίας ἀπάρχεσθαι οὐ κατὰ πολὺ τὸ διάϕορον; τὸ δὲ πατραλοίας ὑπέχειν γραϕὴν καὶ ἡ ϕύσις μυσαττεται. Οὔκουν Ταράσιος, ἢ Νικηϕόρος ὑπαίτιοι, οἳ τὸν βίον τοῦ θρόνου καὶ πρὸ τοῦ σχήματος ἐπεδείξαντο ἄξιον. Οὐδ' Ἀμβρόσιος κακῶς ἀκούσει, καὶ δυσωπήσει, εὖ οἶδ' ὅτι καὶ Λατίνων εἴ μήτις ἄλλος, Ἀμβρόσιος Λατινίδος ὑπάρχων καλλώπισμα, καὶ Λατίνων γλώσσῃ πολλὰ καὶ ψυχωϕελῆ συγγραψάμενος. Οὐδὲ μὴν Νεκτάριος ὑπὸ μῶμον πεσεῖται. Σύνοδον γὰρ ἔσχεν οἰκουμενικὴν κυροῦσαν αὐτῷ τῆς ἐπισκοπῆς τὸ ἀξίωμα, ὃν εἴ τις ἐνδιασῦραι πειράσοιτο, οὐκ αὐτὸν, ἀλλὰ τὴν γε σύνοδον ὑπὸ δίκην μᾶλλον ποιεῖ, καίτοι τούτων ἑκάτερος οὐκ ἐκ λαϊκοῦ μόνον ἐπὶ τὴν τῆς ἀρχιερωσύνης προῆλθε τελείωσιν, ἀλλὰ κἀν τοῖς ἀμυήτοις ἐξεταζόμενοι ὁμοῦ τε τῆς δωρεᾶς τοῦ βαπτίσματος, καὶ τῆς ἀρχιερατικῆς ἠξιώθησαν χάριτος. Εἰ δὲ τούτων οὐδέτερον, οὐδεὶς ἂν ἐν εὐθύναις λογίζεσθαι τολμᾷ, οὐδ' εἰ πάντα θρασὺς εἴη, οὐδὲ Ταράσιον τὸν ἡμέτερον πατρόθειον, οὐ δέ γε Νικηϕόρον τὸν καὶ τοῦ γένους καὶ τοῦ θρόνου, καὶ τῶν τρόπων ἀξίως διάδοχον. Ἐῶ δὲ τανῦν τὸν τοῦ Θεολόγου Γρηγόριον, καὶ τὸν Καισαρείας Θαλάσσιον, καὶ τῶν λοιπῶν ἀρχιερέων τὸν θίασον, οἳ κατὰ τὴν ὁμοίαν τάξιν τε καὶ ἀκολουθίαν τὰς τῶν Ἐκκλησιῶν προστασίας ἀναδεξάμενοι παντὸς ψογου καὶ διαβολῆς ἀπάσης κρείττους ἐγένοντο.

A gnis, quam ex figura in nos insurgere. Non igitur pro nobis hæc, sed pro iis quos ante diximus, scribuntur. Patribus enim male audientibus pro iis non decertare metuo : nam tacere cum defendendi potestas sit, et comœdiis incessere non multum distat : a parricidii vero crimine ipsa quoque natura abhorret. Non igitur Tarasius aut Nicephorus in crimen adducendi, qui vitam throno etiam ante habitum præbuerant dignam. Neque Ambrosius male audiat, quinimo Latinis (sat scio) incutiet pudorem ; nisi forte alius exoriretur Ambrosius, Latinitatis, decus quique Latino sermone multa, eaque utilissima scripsit. Nec vero Nectarius in reprehensionem incidet, cui synodus universalis confirmavit episcopi dignitatem ; cuique si quis obtrectare conatur, non eum, B sed synodum potius in jus vocat. Et quidem eorum uterque non e laico solum ad episcopatus progressus est consummationem, sed cum nondum essent initiati, simul et baptismatis munus ad pontificalem gratiam meruerunt. Quod si horum neutrum quisquam ad reddendam rationem accersere audet, etiam valde confidens, non Tarasium quidem nostrum proavunculum, nec Nicephorum illius et generis et sedis et morum dignum successorem. Prætermitto in præsens et Theologi parentem Gregorium, et Cæsareæ Thalassium, et pontificum vitam reliquorum, qui consimili ordine et ritu suscepto præsulatu Ecclesiarum, omni vituperatione et calumnia caruerunt.

Ἀλλὰ ταῦτα μὲν ὑπὲρ ὧν προσῆκον ἦν ῥηθῆναι καὶ εἴρηται. Ὑπὲρ ἡμῶν δὲ ἓν εἴρηται, καὶ εἰρήσεται, ὡς ἄκοντες καὶ εἰσήχθημεν, καὶ μέχρι τοῦ νῦν ὡς κατεχόμενοι καθεζόμεθα. Ἐν πᾶσι δὲ τὸ πειθήνιον τῇ πατρικῇ ὑμῶν ἐπιδεικνύντες ἀγάπῃ, ἔτι δὲ σαϕῶς παριστῶντες μὴ ϕιλονεικίας χάριν τὰ ῥηθέντα, τῆς δὲ τῶν μακαρίων Πατέρων ἡμῶν ἀθωώσεως εἰρῆσθαι συνοδικῶς ἐκϕωνηθῆναι συνευδοκήσαμεν, μηκέτι τοῦ λοιποῦ πρὸς τὸ τῆς ἐπισκοπῆς ὕψος ἀθρόως ἀνάγεσθαι τοὺς ἐκ λαϊκῶν, ἢ μοναχῶν ψηϕιζομένους, εἰ μὴ διὰ τῶν ἐϕεξῆς ἱερατικῶν βαθμῶν διοδεύσωσιν. Ἐν οἷς γὰρ σκανδάλου νόσος τοῖς ἀδελϕοῖς ἐπιϕύεται, ἂν μὴ μέγα βλάπτῃ τὸ ἰάσασθαι, ἐπεὶ καὶ ἄϕετε αὐτοὺς, ἐδιδάχθημεν σκανδαλίζεσθαι. Ὅταν τινὲς ἐκόντες τῷ ϕθόνῳ τυϕλώττωσιν, ἕτοιμοι λύειν ἡμεῖς τοῦ σκανδάλου τὴν πρόϕασιν, καὶ ῥᾴστην παρέχειν τῇ ἀϕαιρέσει τοῦ συνταράσσοντος, τὴν θεραπείαν τοῦ ἀῤῥωστήματος. Τὸ μὲν οὖν ἐπὶ τῶν προγεγενημένων ἀποδέχεσθαι τὴν συλλουλὴν, καὶ τὸν παρ' ὑμῖν κανόνα κρατεῖν ἀξιοῦν, κατὰ Πατέρων ἦν τὴν ὕβριν ἀναμετρεῖν, καὶ τοὺς μηδὲν ἠδικηκότας δίκην ἀπαιτεῖν · τὸ δ' εἰς τοὺς ἔπειτα γεννησομένους συγχωρεῖν καὶ παραπέμπειν κρίσει πολλῶν, οὔτε Πατράσιν ὕβριν ἐμποιεῖ, οὔτε ποινὴν ἄδικον, ἀλλ' οὐδὲ ζημίαν ἐπάγει τισί. Δεῖ γὰρ τὰ τεθέντας ϕυλάσσειν, καὶ πατράσι τέκνα δίκαιόν τε καὶ ὅσιον πειθαρχεῖν.

C Atque hæc pro quibus dici conveniebat, dicta sint. De nobis autem unum dictum est, ac dicetur. Inviti huc adducti sumus : usque adhuc retinentur, et sedemus. Demonstrantes autem nos obtemperare paternæ vestræ charitati, aperteque ostendentes, non contentionis causa hæc dicta esse, sed beatorum nostrorum Patrum purgationis : assensi sumus ut synodice (4) promulgaretur, ne posthac ad episcopatus sublimitatem confestim extollerentur, qui e laicis vel monachis crearentur, nisi per sacros deinceps gradus procederent. Nam ubi offensionis morbus Patribus exoritur, nisi forte medicina lædat (quandoquidem nonnullos vitio suo offendi sumus edocti, cum sponte propter invidiam cæcutiunt parati sumus occasionem tollere offensionis et scan- D dali, facillimamque præbere, sublato eo quod turbabat, ægritudinis curam. Quamobrem de rebus præteritis consilium accipere, et postulare ut ea quæ apud vos est, regula teneat, Patribus erat contumeliam admetiri, et ab iis qui nihil deliquissent, pœnas expetere. In posterum vero id concedere, et permittere multorum judicio nec Patribus contumeliam affert, nec cuiquam pœnam injustam, ac ne damnum quidem irrogat. Quæ enim constituta sunt, custodire oportet ; et patribus filios jus fasque est obedire.

NOTÆ.

(4) Can. 17, repetitus in octava synodo Photiana inferius sub Joan. pap. octavo habita.

Digitized by Google Распознавание текста ABK/FR

Idcirco alterum quidem non accepimus, sed repulimus, et aliis ut repellerent, suasimus, atque suadebimus ; alterum vero et ascivimus, et synodaliter egimus. Atque utinam pridem Constantinopolitana Ecclesia regulam hanc servasset ! Sic enim fortasse intolerabilis violentiæ, et influentium in me opprimentiumque incommodorum turbam effugissem. Verum aliis quidem ob salutem et curarum liberationem regula ea scripta est : mihi vero crebri faborum, ægritudinumque influxus quæ liberatio, quæve ratio et via inveniri poterit ? Quod instabiles stabilire oporteat, ignaros edocere, ineruditos erudire, et ratione ac sermone eos aggredi, qui ægre convertuntur, et flagris protervos reprimere, ignavos excitare, avaris persuadere pecuniarum despicientiam, atque pauperum amorem ; refrenare ambitiosos, itaque assuefacere, ut honorem expetant qui honorabiliorem, divinioremque animam efficiat; superbos deorsum trahere, eosque ad modestiam hortari, et ad modice de se sentiendum ; impuros ac libidinosos et fornicarios comprimere, et ad temperantiam conformare ; prohibere injurias, hominesque ad juste agendum adducere ; lenire et mansuefacere iracundos, pusillanimes consolari ; ac ne cætera sigillatim enumerem, consuetis passionibus et improbitate et nequitia quæ tum animas in servitutem redigunt, tum corpora sordidant, studere vel invitos eos liberare qui iis tenentur, eosque Christo veros famulos offerre. Et qua ratione quisquam cui tot tantarumque rerum cura sit imposita, non ademptionem magis quam administrationem hujus principatus requirat ?

In circuitu rursus impii : alii imaginem Christi conspuentes et ipsi Christo in ea obtrectantes ; alii naturas in eo confundentes, aut abnegantes, et alii novæ naturæ inductione priores exterminantes, et quartam synodum innumerabilibus maledictis incessantes, adversum quos nobis bellum excitatum et multo tempore gestum, multos in obedientiam Christi captivavit. Ecquis mihi det, ut omnes captivos videam ? Vulpes rursus ex latibulis suis prodeunt, eosque qui multis simpliciores sunt et prave faciles, per fraudem ut pullos devorant. Schismaticas dico vulpes, quarum abscondita est malitia, multo iis infestior, qui aperte insidiantur. Nam ingredientes in domos, juxta divinum Apostolum decipiunt [2] mulierculas oneratas peccatis, quæstum sibi esse ducentes ingluviei et vanæ gloriæ, et cæteræ omnis voluptatis atque impuræ libidinis, artificiosam in sanctam Ecclesiam insurrectionem.

Solent enim, ut plurimum, vulgi mores propter infirmitatem et instabilitatem mentis, novitatibus, novisque factionibus magis studere, quam bonis institutis niti. Quorum omnium quamvis audaciæ et contumeliæ flamma exstincta sit (5), synodico decre-

A Διὸ τὸ μὲν οὐ προσηκάμεθα, ἀλλ' ἀπεδοκιμάσαμεν, καὶ τοῖς ἄλλοις ἀποδοκιμάζειν συνεβουλεύσαμέν τε ταὶ συμβουλεύσομεν. Τὸ δὲ καὶ προσφκειωσάμεθα, καὶ συνοδικῶς διεπραξάμεθα, καὶ εἴθε πάλαι ἡ Κωνσταντινουπολιτῶν Ἐκκλησία τὸν κανόνα τοῦτον φυλάττουσα κατεφαίνετο. Οὕτω γὰρ ἂν ἴσως ἐγὼ τῆς ἀφορήτου βίας, καὶ τῶν ἐπιῤῥεόντων μοι καὶ συμπνιγόντων πειρατηρίων τὸν ὄχλον ἐξέφυγον. Ἀλλ' ἑτέροις μὲν ἐπὶ σωτηρίᾳ καὶ ἀπαλλαγῇ φροντίδων ὁ κανὼν ἀναγέγραπται, ἐμοὶ δὲ τῆς ἀλλεπαλλήλου τῶν πόνων τε καὶ καμάτων ἐπιῤῥοῆς τίς μηχανὴ τῆς ἀπαλλαγῆς εὑρεθήσεται ; τοὺς ἀστηρίκτους στηρίξαι, τοὺς ἀμαθεῖς ἐκδιδάξαι, τοὺς ἀπαιδεύτους παιδεῦσαι, καὶ τῷ λόγῳ πειρᾶσθαι, οἳ μόλις ἐπιστρέφονται καὶ ταῖς μάστιξι · τοὺς θρασεῖς ἑλκῦσαι, τοὺς B βλακώδεις ἀνδρῶσαι, τοὺς φιλαργύρους πεῖσαι χρημάτων ὑπερφρονεῖν, καὶ φιλοπτώχους εἶναι, τοὺς φιλοτίμους χαλιναγωγῆσαι, καὶ τιμῆς ἐρᾷν ἐθίσαι, ἥτις τιμιωτέραν καὶ θειοτέραν ψυχὴν ἀπεργάζεται · τοὺς ὑπερηφάνους κατασπᾶσαι, καὶ μετριοφρονεῖν παρορμῆσαι · τοὺς ἐκπορνεύοντας ἀνακόψαι, καὶ σωφρονεῖν καταρτίσαι · τοὺς ἀδικοῦντας κωλῦσαι, καὶ δικαιοπραγεῖν παρασκευάσαι · τοὺς ὀργίλους ἡμερῶσαι, τοὺς ὀλιγοψύχους παραμυθήσασθαι, καὶ τί δεῖ τὰ κατὰ μέρος ἀριθμεῖν ; τῶν ἐθίμων παθῶν τε καὶ κακιῶν, ἃ ψυχὰς ἐδούλωσε, καὶ σώματα κατερῤῥύπωσε, καὶ ἀκόντων τῶν κατεχομένων σπεύδειν ἀπαλλάξαι, καὶ Χριστῷ παραστῆσαι γνησίους θεράποντας. Καὶ πῶς ἄν τις τηλικούτων τε καὶ τοσούτων C πραγμάτων φροντίζειν τεθεὶς οὐ τὴν ἀφαίρεσιν μᾶλλον, ἢ τὴν ἐγχείρησιν τῆς ἀρχῆς ἐπιζητήσειε ;

Κύκλῳ πάλιν οἱ ἀσεβεῖς, οἱ μὲν τὴν εἰκόνα Χριστοῦ διαπτύοντες, καὶ Χριστὸν αὐτὸν ἐν ταύτῃ διασύροντες, οἱ δὲ τὰς ἑαυτῶν φύσεις συγχέοντες, ἢ ἀπαρνούμενοι, ἄλλης φύσεως καινοτέρας ἐπεισαγωγηταὶ προτέρας ἐξορίζοντες, καὶ τὴν τετάρτην σύνοδον μυρίαις ταῖς βλασφημίαις καθυποβάλλοντες, πρὸς οὓς ἡμῖν ὁ πόλεμος ἀναῤῥιπτισθεὶς, καὶ χρόνῳ συχνῷ συγκροτηθεὶς, εἰς τὴν ὑπακοὴν τῶῦ Χριστοῦ πολλοὺς ᾐχμαλώτευσε. Τίς δέ μοι δοίη καὶ τὸ πᾶν ἰδεῖν αἰχμαλωτιζόμενον ; Αἱ ἀλώπικες πάλιν τῶν φωλεῶν ὑπεκδύνουσαι, καὶ τοὺς τῶν πολλῶν ἀφελεστέρους, ἢ εὐηθεστέρους, ὀρνιθίοις ἴσα δι' ἀπάτης κατεσθίουσαι, τὰς σχισματικὰς ἀλώπεκας λέγω, ὧν D ἐν κρυπτῷ ἡ κακία, καὶ ἡ βλάβη πολὺ τῶν προφανῶς ἐπιβουλευόντων χαλεπωτέρα. Καὶ γὰρ εἰσιόντες εἰς τὰς οἰκίας κατὰ τὸν θεῖον. Ἀπόστολον ἐξαπατῶσι γυναικάρια σεσωρευμένα ἁμαρτίαις, πορισμὸν αὐτοῖς γαστριμαργίας, καὶ κενοδοξίας, καὶ τῆς ἄλλης ἀπάσης ἡδυπαθείας, καὶ ἀκαθαρσίας, τὴν κατὰ τῆς Ἐκκλησίας ἐπιτεχνώμενοι ἐπανάστασιν.

Φιλεῖ γὰρ ὡς τὰ πολλὰ τῶν ἀγελαίων ὁ τρόπος διὰ τὸ τῆς γνώμης ἠῤῥωστηκὸς καὶ ἀστήρικτον ταῖς καινοτομίαις τε καὶ ταῖς νεωτεροποιίαις προσκεχηνέναι μᾶλλον, ἢ τοῖς καθεστηκόσι καὶ καλῶς κειμένοις προσεπερείδεσθαι, ὧν ἁπάντων εἰ καὶ τὸ πῦρ

[2] II Tim. III, 6.

NOTÆ.

(5) Can. 151 oct. synod. sub Phot.

Digitized by Google Распознавание текста ABK/FR

σθαι, ἢ πρὸς κακίαν ὑποσύρεσθαι· διὸ δεῖ καὶ τὴν ὑμετέραν πολυέραστον μακαριότητα τῆς ἐκκλησιαστικῆς εὐταξίας ἐν πᾶσι φροντίζουσαν, καὶ τῆς κανονικῆς ἀντεχομένην εὐθύτητος, τοὺς ἄνευ συστατικῶν γραμμάτων πρὸς τὴν τῶν Ῥωμαίων Ἐκκλησίαν ἐντεῦθεν ἀπαίροντας, μὴ ὡς ἔτυχεν ὑποδέχεσθαι· μηδὲ φιλοξενίας προσχήματι, μισαδελφίας παραχωρεῖν καταβάλλεσθαι σπέρματα· τὸ μὲν γὰρ καθ' ἑκάστην πρὸς τὴν ὑμῶν πατρικὴν ὁσιότητα τοὺς βουλομένους παραγίνεσθαι, καὶ τῶν τιμίων αὐτῆς ἀπολαύειν ἴχνῶν, τοῦτο λίαν ἐμοὶ προσφιλὲς, καὶ πρὸ πολλῶν ἄλλων τιμώμενον· τὸ δὲ χωρὶς τῆς ἡμετέρας εἰδήσεως, καὶ συστατικῶν γραμμάτων ἄνευ, ἀποδημίας ἀτάκτους ποιεῖσθαι, οὔτε ἡμῖν οὔτε τοῖς κανόσιν, ἀλλ' οὐδὲ τῇ ὑμῶν ἀδεκάστῳ κρίσει εὐπαράδεκτον· ἐῶμεν γὰρ τ' ἄλλα ἃ συμβαίνειν εἴωθε, μὴ κατὰ τὸν κανόνα τὰς ἀποδημίας ποιουμένων, τῶν ἀποδημούντων τὰς μάχας, τὰς στάσεις, τὰς ἔριδας, τὰς φιλονεικίας, τὰς διαβολὰς, τὰς ἐπιβουλὰς, τὰς ἐπαναστάσεις, ἀλλὰ τό γε νῦν ὁρώμενόν τε καὶ πραττόμενον ἐρῶ· ἐπειδὰν γὰρ ἐνταῦθά τινες διὰ τῆς παθοποιοῦ ῥᾳστώνης τὸν βίον καταῤῥυπώσωσι, τῶν δὲ πλημμελημάτων εὐθύνας ἀπαιτεῖσθαι ὥσι προσδόκιμοι, μετὰ σεμνῆς τῆς ἐπωνυμίας φυγάδες γίγνονται, προσευχῆς ὄνομα τῇ φυγῇ περιθέμενοι, καὶ πρᾶξιν αἰσχρὰν ὀνομασίᾳ χρηστῇ συγκαλυψάντες· ὧν οἱ μὲν ἀλλοτρίους γάμους διώρυξαν, οἱ δὲ κλοπαῖς ἐκλώκεσαν, ἢ ταῖς μέθαις προεπόθησαν, ἢ ταῖς ἀκολασίαις ἐδουλώθησαν· ἄλλοι δὲ καὶ τῶν ταπεινοτέρων αὐτόχειρες ἐφωράθησαν, καὶ ἄλλοι ἄλλοις πάθεσιν ἀκαθαρσίας συνεσχέθησαν· οἳ ἐπειδὰν κατ' αὐτῶν τὴν δίκην ἀφιεμένην, ὥσπερ ἔφημεν, συναίσθωνται, ὁμοῦ πάντα κυκήσαντές τε καὶ συνταράξαντες, δρασμῷ τὰς ἐπὶ τοῖς αἰσχρουργηθεῖσι καὶ τολμηθεῖσι διακρούονται κολάσεις· μήτε ταῖς ἐπιτιμήσεσι σωφρονιζόμενοι, μήτε ταῖς τιμωρίαις θεραπευόμενοι, μήτε τοῦ πτώματος ἀνορθούμενοι, ἀλλ' αὐτοῖς τε καὶ τοῖς ἄλλοις διατελοῦντες ὀλέθριοι· ἐξ ὧν τῷ βουλομένῳ πάθεσι τρυφᾶν ἡ πύλη πλατεῖα τῆς ἀπωλείας ὑπανοίγνυται· ἔχουσι γὰρ τῆς δίκης ἀποφυγεῖν τὴν ἐπὶ προφάσει προσευχῆς ἐπὶ Ῥώμην κάθοδον· ὧν τὴν κακότεχνον μηχανὴν ἡ ὑμετέρα παθοκτόνος καὶ θεοχαρίτωτος ἀνασκοποῦσα κεφαλὴ, ἄχρηστον αὐτοῖς καὶ ἀτελεσφόρητον τὸν δόλον καὶ τὴν μηχανορράφον ἀποφαινέτω προαίρεσιν· τοὺς ἄνευ συστατικῶν παραγινομένους γραμμάτων, μετ' ἐπιμελείας ἐκεῖσε πάλιν ἐπαναστρέφουσα, ὅθεν κακῶς καὶ ἀτάκτως ἐξέφυγον· οὕτω γὰρ ἂν αὐτῶν τε ἐκείνων ἡ σωτηρία πραγματεύοιτο, κοινή τε ἡ φροντὶς πᾶσιν ἐπ' ὠφελείᾳ ψυχῆς τε καὶ σώματος πρυτανεύοιτο.]

A sciplinam ac modestiam in omnibus curæ habens, et canonicam tenens rectitudinem, eos qui sine commendatitiis litteris ad Romanam Ecclesiam hinc proficiscuntur, non temere ac fortuito recipere, nec sinere hospitalitatis specie odii fraterni jaci semina. Nam quotidie ad vestram paternam sanctitatem eos, qui velint, adire, et pretiosis ejus frui vestigiis, hoc mihi valde amabile est, ac multis aliis rebus anteponendum : at sine nostra scientia, et absque commendatitiis litteris peregrinationes nullo ordine suscipi : id nec nobis, nec canonibus, nec vero vestro integerrimo judicio est acceptabile. Omitto enim alia quæ evenire solent iis qui hinc discedunt, iter ac peregrinationes non juxta canonem habentibus pugnas, seditiones, rixas, contentiones, B calumnias, insidias, insurrectiones. Sed quod nunc videtur, ac fit, dicam ; cum enim hic nonnulli per impuram nequitiam vitam contaminarint ac sordidarint : sit vero exspectatio, de iis criminum pœnas expetitum iri : speciosa nuncupatione fugitivi fiunt, orationis ac voti nomen fugæ suæ indentes, ac turpe flagitium appellatione proba contegentes. Quorum alii aliena conjugia perfoderunt, alii furti damnati sunt, aut vinolentiæ se propinarunt, aut lasciviæ, libidini et intemperantiæ servierunt ; alii vero tenuiorum hominum percussores et homicidæ deprehensi sunt ; alii aliis passionibus immunditiæ se immerserunt. Qui cum in seipsos jus emitti, ut diximus, persentiscunt, simul omnia miscentes et conturbantes, flagitiorum ac facinorum suorum C pœnas fuga amoliuntur, nec objurgationibus castigati, nec suppliciis curati, nec se a lapsu erigentes, sed sibi atque aliis usque perniciosi. Ex quibus ei qui velit passionibus delicias facere, lata exitii porta subaperitur. Habent enim pœnæ effugium. Romam sub orationis obtentu proficisci. Quorum male artificiosa molimina considerans, vestrum passiones interficiens et Deo gratissimum caput, inutilem iis, et vanum et sine effectu ostendat dolum, et voluntatem multa nequiter machinantem, et varie consuentem, eos qui sine commendatitiis litteris adveniunt, diligenter illuc redigens, unde male, ac nullo ordine effugerunt. Sic enim et illorum salus procurabitur, et regularis modestia et ordo custodietur, et firmabitur amor fraternus, et D communis sollicitudo omnibus ad salutem animæ et corporis impendetur.

EPISTOLA III.

Ad Orientales Patriarchas et OEconomum Ecclesiæ Antiochenæ (8).

ΕΠΙΣΤ. Δ'. EPIST. IV.

Βάρδᾳ, Μαγίστρῳ, Πατρικίῳ καὶ Κουροπαλάτῃ. *Bardæ, Magistro, Patritio et Curopalatæ.*

Edita a Montacutio (ep. 3, p. 65.)

Ἐπὶ τὸ ἄλγος τῶν τραυμάτων μου προστίθεσθαι ἄλγημα, τῆς μὲν ἐμῆς ἴσως ἀθλιότητος ἄξιον, τῆς

Dolorem dolori meorum vulnerum superaddere, dignum fortassis mea miseria fuit; indignum autem

NOTÆ.

(8) Exstat in opere cui titulus Τόμος χαρᾶς, editum *Bucharest* an. 1705. Hoc frustra huc usque quæsivimus

Digitized by Google Распознавание текста ABK/FR

cturæ pondus facit. Quod si, qui mea cum charitate accepit, ei gratiam habeo, et qui propria quærit, quomodo non dabit quis lætus si modo nemo impediat? tanto præsertim Patri, quique hoc per tales, et per Deo amabiles optimosque viros postulavit. Hi enim reveva vestræ paternæ perfectionis vicarii prudentia et virtute et multa rerum experientia fulgent, nec propria conversatione minus quam Christi discipuli eum qui misit honorant. Quibus complura eorum quæ dici ac scribi debuerant, exposuimus, cum persuasum nobis esset, et dicere eos posse quam vera essent, ac multo magis quam alios dignos esse quibus fides haberetur.

προξενεῖ· ἐλαφρότερον γάρ μοι τὸ φορτίον τῆς ἐπιστασίας ἀποτελεῖ. Εἰ δ' ὁ τὰ ἐμὰ λαμβάνων σὺν ἀγάπῃ καὶ προσκαταβάλλειν χάριν ἀνωμολόγηταί μοι τῷ τὰ οἰκεῖα ζητοῦντι, πῶς ἄν τις οὐ δώσει χαίρων μηδενὸς ὑπάρχοντος ἐμποδὼν, μάλιστά γε τηλικούτῳ Πατρὶ, καὶ διὰ τοιούτων θεοφιλῶν καὶ σπουδαίων ἀνδρῶν ποιησαμένῳ τὴν αἴτησιν; ἄνδρες γὰρ ὡς ἀληθῶς οἱ τῆς ὑμῶν πατρικῆς τελειότητος τοποτηρηταὶ, συνέσει τε, καὶ ἀρετῇ, καὶ πολυπειρίᾳ διαπρέποντες, καὶ οὐδὲν ἧττον διὰ τῆς οἰκείας πολιτείας, ἢ οἱ Χριστοῦ μαθηταὶ τιμῶντες τὸν ἀποστείλαντα, οἷς τὰ πλείω τῶν ὀφειλόντων καὶ ῥηθῆναι, καὶ γραφῆναι προσανεθέμεθα, ἅτε δὴ πεπεισμένοι καὶ λέγειν αὐτοὺς τάληθῆ δυνατοὺς, καὶ πολὺ πλέον τῶν ἄλλων ἀξίους πιστεύεσθαι.

Ac volueram quidem nihil de nobis scribere, cum præsertim paterna vestra religiositas non per litteras, sed per proprios vicarios se certiorem fieri oportere decrevisset. Atne principio, nihil velle scribere, negligentia existimaretur: ideo per excursum res nostras exposuimus; cum multa sint, ac multum otium requirentia, quæ prætermissa sunt. Cum autem Dei cultores vicarii complura ipsi viderint atque audierint, possunt aperte docere, si prudentia vestra, magno prædita ingenio, velit percontari.

Καὶ ἐβουλόμην μὲν ὅλως μηδὲν γράψαι περὶ ἡμῶν, μάλιστά γε τῆς ὑμῶν πατρικῆς ὁσιότητος οὐ διὰ γραμμάτων, διὰ δὲ τῶν οἰκείων τοποτηρητῶν πληροφορηθῆναι κρινάσης, ἀλλ' ἵνα μὴ τὸ μηδὲν τὴν ἀρχὴν ἐθέλειν γράφειν παρορᾶσεως αἴτιον νομισθῇ τούτου χάριν ἐν ἐπιδρομῇ τὰ καθ' ἡμᾶς διεξήλθομεν, πολλῶν ὄντων, καὶ σχολῆς πολλῆς δεομένων τῶν παραλελειμμένων. Αὐτόπται δὲ καὶ ἐπήκοοι οἱ θεοσεβέστατοι τοποτηρηταὶ τῶν πλειόνων γεγονότες δύναιντ' ἂν ἅπαντα σαφῶς ἀναδιδάξαι, τῆς ὑμῶν μεγαλοφυεστάτης συνέσεως διαπυνθάνεσθαι βουλομένης.

Quod autem dici oportet, ac pene me effugit, hoc cum addidero, finem faciam, Canonum custodia a quovis bono debetur, magis vero ab iis qui divinæ Providentiæ dignatione alios regunt, omnium sane maxime quibus in horum numero primitus obtigit: quanto enim aliis præstant, tanto diligentiores legum custodes debent esse; nam celerius illorum delictum utpote in sublimitate positorum omnibus nuntiatur, atque inde alios oportebit ad virtutem reduci, vel ad vitia retrahi ac pessumdari. Quare vestra debet amabilis beatitudo ecclesiasticam di-

Ὃ δὲ ῥηθῆναι δέον μικροῦ με παρέδραμε, τοῦτο δὴ καὶ προσθεὶς καταπαύσω τὸν λόγον, τῆς ἐπιστολῆς εὐλαβούμενος τὸ μῆκος. Ἡ τῶν ἀληθῶν κανόνων φυλακὴ, σπουδαίῳ μὲν ἐποφείλεται παντὶ, πολὺ δὲ πλέον τοῖς ἀπευθύνειν [(7) τὰ τῶν ἄλλων ὑπὸ τῆς προνοίας ἠξιωμένοις· καὶ τούτων ἔτι μάλιστα, τοῖς ἐν αὐτοῖς τούτοις πρωτεύειν λαχοῦσιν· ὅσῳ γὰρ ὑπερέχουσι, τοσούτῳ νομοφυλακεῖν ὀφείλουσι· θᾶττόν τε γὰρ τὸ ἐκείνων ἐλάττωμα, οἷα δὴ κειμένων ἐν ὕψει, εἰς πάντας περιαγγέλλεται, κἀκεῖθεν τοὺς ἄλλους δεήσει πρὸς ἀρετὴν ἐπανάγε-

NOTÆ.

(7) Uncis inclusa supplevit Ang. Maius *Bibl. nov.* IV, p. 50: — « Utrum, inquit, schismaticorum item fraudi tribuendum sit, necne, quod adhuc sum dicturus, æqui lectores judicabunt. Photii longam epistolam ad Nicolaum papam ob impetrandam sui in patriarchatu confirmationem, edidit Latine tantum, Petro Morino interprete, card. Baronius ad an. 861, n. 54: sed ea Græce demum vulgata fuit ab Anthimo schismatico Remnicii episcopo in Valachia an. 1706, quem rursus textum prelo nuper in Gallia subjecit vir cl. Jagerus in sua præclara de Photio Græci schismatis auctore historia, p. 439. Ego vero Græcum ibi textum legens, statim agnovi (p. 452) fine esse mutilatum, id quod illic tum hiulca sententia, et vocabula corrupta satis suadent, tum integra atque continua apud Baronium interpretatio plane demonstrat. Jam vero in Græca ante hanc diem parte inedita, Photius disertis verbis fatetur Romani pontificis primatum, dum ait illum inter Christianorum rectores πρωτεύειν λαχόντα et ὑπερέχειν, principem supremumque locum tenere. Fatetur item Photius vigentem consuetudinem Christianorum confugiendi appellandique undique ad Rom. sedem, ut pontificalium pedum fruerentur osculo, ut ad apostolorum limina orarent, et peccatorum veniam consequerentur. Tantum postulat, ne id sine commendatitiis patriarchæ epistolis fieret: quo astu Photius Romana peregrinatione et appellatione iis volebat interdicere, qui ne cum obtruso patriarcha, id est secum, communicarent, Romam confugiebant, ubi etiam Photii crimina revelabant; ideoque callide iis maledicit. Jam vero tota hæc Photianæ epistolæ pars Græce excidit, ut in Valachorum atque etiam in Jageri editione videre est, qui sane vir doctus editionis defectum agnovit, neque tamen potuit Græce supplere. Displicuisse autem editori Anthimo hunc epistolæ Photii tractum, in quo papam Rom. ceu sibi superiorem adhuc reveretur, et de appellationibus ad apostolicam sedem loquitur, nil mirum est; nam totus ille Anthimi tomus schismaticis opusculis, Romanæ præsertim auctoritati adversantibus, scatet. Tum vero Valachos, calogeris suis auscultantes, alieno plerumque animo a Romanis partibus exstitisse, disco ex historia nupera quam de illa regione edidit Berolini vir doctus Mich. Kogalnitchanus tom. I, pag. 237. Haud ergo temeraria fortasse suspicio est, partem illam epistolæ dedita opera typis fuisse seclusam. Quod si quis mitius judicare velit, et Anthimi editionem Valachicam culpa potius codicis, fortasse mutili, mancam existimare; adhuc quærendum superest quis lacunam in illo codice fecerit, casusne aliquis, an schismatici hominis priscus dolus? Sed utcunque se ista habent, en demum hæc epistola a nobis ope duorum codicum Vaticanorum Græce completur. »

Digitized by Google Распознавание текста ABK/FR

ταλιμπανοντες τὸν ὑπ' αὐτὸν [a] ἀναιρούμενον, ἡμιθανῆ καὶ ἡμίτομον, ἢ οἱ ἀθρόως ἀναιροῦντες· ἑκάτερος μὲν γὰρ αὐτὸν ἀναιρεῖ, ἀλλ' ὁ μὲν τῆς ὀδύνης οὐ παρατείνων τὴν αἴσθησιν, ὁ δὲ ζημίαν ὥσπερ ἡγούμενος, εἰ θανάτῳ μόνῳ παραπέμψει τὸν ἄνθρωπον, μὴ πολλὰ πρότερον στρεβλώσας τε καὶ μελίσας, καὶ πολλαπλοῦν αὐτῷ τῇ δριμύτητι τῶν ἀπὸ τῆς κολάσεως ἀλγηδόνων κατασκευάσοι τὸν θάνατον. Τοιοῦτον ἔστιν ὁρᾷν καὶ τὸ ἡμέτερον. Τιμωρούμεθα καθ' ἑκάστην, καὶ πληττόμεθα, νυνὶ δὲ καὶ ἡμίτομοι γεγόναμεν· καὶ ὡς ἔοικεν, ὅτι τὸ ὅλον ἂν ἀποθέσθαι ἠτησάμεθα, τούτου χάριν τὸ ἥμισυ ἀφῃρήμεθα· καὶ εἰ τὴν διαίρεσιν τῆς ἀρχῆς ἐζητήσαμεν, εἰς τὸ ὅλον ἂν εἰσηκούσθημεν. Ἀλλ' οὔτε τὸν ἡμίτομον ζῆν ἐστι δυνατόν· οὔτε ἡμᾶς ἐνταῦθα μένειν, οὕτω διαιρεθέντας· αἰσχύνη καὶ ὄνειδος, οὐ τοῖς πρὸ ἡμῶν γεγενημένοις, ἀλλά γε καὶ τοῖς μεθ' ἡμᾶς, εἴπερ ἄρα καὶ εἶεν ὅλως τινὲς ἡμῶν ἀθλιώτεροι, οἳ μεθ' ἡμᾶς ἀνθ' ἡμῶν τουτονὶ τὸν ζυγὸν ὑπελεύσονται. Ἐξερχόμεθα τοῦ τόπου· παυέτω φθόνος· εἰ δὲ μή, λυποῦμέν τινας· μᾶλλον δὲ εἰ μή, κἂν τούτῳ γραφόμεθα. Καὶ τὸν πονηρὸν ἐκτινάσσοντες, ἀποτιθέμεθα τὸν θρόνον· ἀποτιθέσθωσαν τὸν καθ' ἡμῶν δόλον, τὰς ἐπιτηρήσεις, τὰς ἐνέδρας, τὰς ἐπιβουλάς. Ὦ δίκη, καὶ νόμοι, καὶ Θεοῦ κριτήρια! ὅτι μὴ πατοῦμεν ὑμᾶς, ἀδικοῦμεν· καὶ ὅτι στέργομεν, οὐ φιλούμεθα· καὶ ὅτι ὑπὲρ ὑμῶν ἱστάμεθα, διχαζόμεθα· καὶ πλάττονται λόγοι, καὶ ὁ καθ' ἡμῶν τι καινότερον ἐπινοῶν, οὗτος ὁ νουνεχὴς καὶ δραστήριος· ὁ δὲ συλλυπούμενος, ἐχρὸς καὶ παραβάτης νόμων εἰσάγεται, κἂν ἀδελφὸς ᾖ, καὶ τὴν φύσιν ἔχῃ κινοῦσαν πρὸς ἔλεον. Ποιόν τις ὑπενέγκει [d] ῥᾳδίως, ὅτι κριτὰς ἔχομεν τοῦ βίου, τοὺς πρὶν ἐπαινέτας, καὶ οἳ χάριν ὡμολόγουν, εἰ μὴ παρ' ἡμῶν κατεκρίνοντο· ὅτι τῶν φίλων χωριζόμεθα, ὅτι τῶν ἀδελφῶν ἀποσπώμεθα· πρὸς ποῖα τούτων τίς ὑποστήσεται;

A reliquerunt, quoque tardius incedant ad eorum ablationem, eo mihi sunt molestiores; quemadmodum qui relinquunt semimortuum et semisectum reum quem volebant occidere, potiusquam qui penitus privarunt vita; hominem hic uterque interficit, sed alter cruciatum non per moras extendit, alter forte ratus detrimento se affici, si mera morte hominem hinc amandet, multis eum imprimis excarnificatum tormentis et dissectum membratim, non simplici morte affectum, per horrores et cruciatus dolorificos e vita trahit. Nec abludentem videre est nostram conditionem. Quotidie plectimur et afficimur plagis, in præsenti semisecti constituimur; videtur autem per partes tolli a nobis illud, quod simul et semel ut deponamus flagitant: quod B si principatum partiri voluissemus, exauditi fuissemus in toto. Verum cum semisectum vivere possibile non sit, nec nos hic subsistere ita diminuto principatu: dedecori enim et exprobrationi facti fuissemus, non quidem prædecessoribus nostris, sed successoribus post futuris, si tamen futuri aliqui aliquando sint, nobis miseriores, qui post nos pro nobis jugum istud subire velint. Loco quin cedimus; cesset invidia. Quod si non facimus, quosdam afficimus mœrore, potius et ob hoc ipsum in jus rapiemur: excusso pulvere, sedem deserimus, quocirca dolos deinceps in nos construere et meditari desistant, ne observent, insidientur, impressiones faciant. Heu justitia, leges Dei, tribunal! Quod nequaquam C vos conculcamus, iujuria afficimus; propterea quod diligimus, non amamur; eo quod pro vobis stamus, a nobis fit dissidium. Comminiscuntur mendacia, et qui contra nos maximam proditionem finxerit, prudens habetur et actuosus; qui vicem nostram dolet, ut hostis et legum violator accusatur, frater licet fuerit, et natura ipsa moveatur ad compassionem. Quomodo quis, quæso, tolerare posset, quod de vita judices et censores habemus eos, quos prius laudatores, et qui bene secum agi putassent si nostro judicio non condemnarentur; quod ab amicis divellamur, a germanis abstrahamur? Ecquis est qui horum aliquid possit?

Ἀλλ' ἐρεῖ τις, μὴ δεῖν ἀθυμεῖν. Χριστοῦ πάθη, καὶ Χριστὸν αὐτὸν εἰς μέσον ἄγων, καὶ τοὺς ὑπὲρ αὐτοῦ μάρτυρας· ἄν μοι καὶ τὸν προδότην δείξῃ, καὶ τὴν κουστωδίαν, καὶ τοὺς τυράννους, πολλὴν οὗτος τὴν εὐθυμίαν χαρίσεται· μέχρι δ' ἂν μὴ φανῶσιν οὗτοι, λόγῳ πλάττων τὴν ὁμοιότητα, ἀσθενῆ τὴν D παραμυθίαν παρέξεται. Εἰ μὲν οὖν πλειόνων ξεσμάτων ἔτι καὶ χωνευτηρίων ὁ ἡμέτερος ἀνδριὰς πρὸς κάθαρσιν δεῖται, καὶ ξυέσθω καὶ τηκέσθω καὶ χωνευέσθω. Χριστοῦ διδόντος ὑπομονὴν, καὶ τῇ ἀσθενείᾳ τῆς φύσεως τὴν βάσανον συμμετροῦντος. Εἰ δ' ἡ ὑπερβολὴ τῶν κολάσεων φθάνει δαπανῶσα τὴν δύναμιν (οὐκ ἐμὸν γὰρ εἰπεῖν εἰ κεκάθαρται) ὁ πλάστης ῥυέτω τὸ πλάσμα τῆς βασάνου, καὶ μηδεὶς ἡμῶν ἕνεκα ὀφθήτω μήτε προδότης, μήτε κουστωδία, μήτε τύραννος· εἴησαν δὲ πάντες ἐκλεκτοὶ Θεοῦ καὶ τῆς ἄνω δόξης ἐπάξιοι.

Sed dicetur, despondendum non esse animum; Christi mihi passiones, Christi exemplum repræsentabit, et martyrium qui propter illum tolerarunt. Certe si mihi proditorem hic exhibeat, si custodiam, si tyrannos, multam ille largietur consolationem. At quandiu nusquam apparent isti, qui similitudinem sermone suo affingit infirmum solatium exhibebit. Quod si autem nostra ista statua plurifariam adhuc radenda fuerit, aut, ut purior fiat, liquefacienda sit; radant, liquefaciant, conflent, si velint, dummodo Christus suppeditet patientiam, et secundum proportionem naturalis nostræ infirmitatis tentationem admensuret. Quod si pœnarum excessus patientiam anticipet et absumat (in me haud est situm affirmare quod purgatur), fictor figmentum de tormentis liberet, neque quisquam optarim mea causa exsistat proditor, custodia nulla, nullus tyrannus; sint autem omnes a Deo electi, et digni qui supernam assequantur gloriam.

VARIÆ LECTIONES.

[a] Ἰσ. αὐτῶν. [d] l. ὑπήνεγκοι.

Digitized by Google Распознавание текста ABK/FR

plana commiseratione vestra, et affectu illo quo in me animari debeas. Quod si quis sibi persuaserit contra vestram obvenire nobis ista voluntatem, is cum videat ista nos pati, te potestatem et vim pulsandi possidente, mutet omnino sententiam suam. Decepti sumus, affecti contumeliis, dedecore et injuriis, insuper et in nos conspirabatur; sed tamen plagas, aiunt, non accepimus : imo autem accepimus, et quod gravius est, haud in corpore : illud enim in oculos incurret omnium, et lacessentem redarguet, et in intuentium et commiserantium condolentia, quamdam habet consolationem ; sed in anima plagas tulimus, per animam morbis affligitur corpus : hic qui affligit, veluti nihil faciens injuriæ, non pudefit ; is autem qui vapulat pœnæ quoddam additamentum habet, quod cum doleat, ejus non miserentur alii, quod pati eum ignorant. Enimvero plerosque latet istiusmodi punitionis species, qua et magis oblectatur qui plagam infert, et in id adducitur, ut ne pœniteat facti ; afflictum vero magis atterit, utcunque majorem ei retributionis mercedem procurat.

A δ' ὑμετέρας συμπαθείας, καὶ περὶ ἡμᾶς διαθέσεως, ἀνάξιον. Καὶ εἴ τις πεισθείη μὴ κατὰ γνώμην ὑμῶν ταῦτα συμπεσεῖν ἡμῖν· ἀλλά γε τὸ ὑμῶν ἐξουσιαζόντων καὶ ἰσχυόντων, ταῦτα πάσχειν ἡμᾶς, ἐπεὶ τοῦτο βλέπει, οὐδ' ἂν μεταπεισθείη. Παρελογίσθημεν, ἐξυβρίσθημεν, ἠτιμώθημεν, ἐπηρεαζόμεθα, ἐπιβουλευόμεθα· ἀλλὰ πληγὰς οὐκ ἐλάβομεν· ἐλάβομεν· καὶ τὸ χαλεπώτερον, οὐκ ἐπὶ σώματος, ὃ καὶ πᾶσι φαίνεται, καὶ τὸν ἀδικοῦντα ἐλέγχει, καὶ πολλὴν παραμυθίαν, τὴν ἀπὸ τῶν ὁρώντων καὶ οἰκτειρόντων εἰσάγει συμπάθειαν· ἐλάβομεν πληγὰς ἐπὶ ψυχὴν αὐτὴν, δι' ἣν καὶ τὸ σῶμα νόσῳ μαστίζεται· καὶ ὁ τύπτων, ὡς μὴ ἀδικῶν, οὐκ αἰσχύνεται· καὶ ὁ τυπτόμενος προσθήκην δέχεται τιμωρίας, ἐπὶ τῇ τῶν πληγῶν ὀδύνῃ, τὴν ἀπὸ τοῦ λανθάνειν ἀσπλαγχνίαν. B Λανθάνει γὰρ τοὺς πολλοὺς τὸ τοιοῦτον εἶδος τῆς κολάσεως, ὃ καὶ τὸν κολάζοντα πλέον εὐθυμεῖ, καὶ ἀμετανόητον ἀποτελεῖ· καὶ τὸν κολαζόμενον μᾶλλον δαπανᾷ, εἰ καὶ τὸν μισθὸν μείζω προξενεῖ.

Cæterum et ista nos propter Christum et divinas leges toleravimus antea ; et gracias Deo agimus, qui, cum angimur, quod celantur ærumnæ, et sic inglorie patimur, mercedem majorem accumulavit. Intelligebam probe, ab inito primum certamine me hæc passurum ; exspectabam quoque ante perpessionem et certamen (si vera non loquar, patiar ego adhuc iis quæ perpessus sum graviora), exspectabam quidem, prout dixi, ea quæ passus sum, angor nihilominus animi quod sub talibus patior : Finis mihi a Deo destinatus est, et lubens ebibo quodcunque mihi propinatur poculum. Nec propter illa quæ patior, succenseo ; imo etiam et illa desidero quæ me adhuc pati oportet utcunque sine sensu dolorifico pati ista nequeam ; homines enim ita comparati ut sine doloris sensu pati nequeant : et ita me animo affectum debere esse intelligo erga illa quæ me jampridem invaserunt, et deinceps sunt invasura. Te autem potius optarim ego ultorem eorum qui me injuriis afficiunt, quam causam et initium dedisse injuriarum : sed ea quæ me pati debere statutum est, effugere nequeo ; qui nec cæterorum optionem vel judicium contra voluntatem ipsorum mutare possum.

Ἀλλὰ ταῦτα μὲν ὑπὲρ Χριστοῦ, καὶ θείων νόμων ὑπέστημεν ἔμπροσθεν· καὶ γε χάρις Θεῷ, τῷ πλέον αὔξοντι τὸν μισθὸν, ἐν τῇ τοῦ λανθάνειν ἀθυμίᾳ, καὶ τῇ τῶν παθῶν ἀδοξίᾳ. Καὶ ᾔδειν μὲν ἐμαυτὸν ταῦτα παθεῖν, εὐθὺς ἀρχομένου τοῦ ἀγῶνος, ἤλπιζον δὲ καὶ πρὸ τοῦ πάθους, καὶ πρὸ τοῦ ἀγῶνος (εἰ δὲ μὴ τάλη θῇ λέγω, πάθοιμι παρ' αὐτῶν ὧνπερ ἔπαθον, χείρονα, ἤλπιζον μὲν, ὡς ἔφην, ἅπερ ἔπαθον, λυποῦμαι δὲ πάσχων ὑπὸ τοιούτων· τὸ μὲν γὰρ C ἐμὸν τέλος Θεῷ ὥρισται· καὶ δέχομαι χαίρων ὁποῖον ἂν ᾖ τὸ ποτήριον· καὶ οὐχ ὑπὲρ ὧν πάσχω ἀγαναχτῶν, ἀλλ' ὧν με δεῖ παθεῖν καὶ τὰ λείποντα ἐπιζητῶ, εἰ καὶ χωρὶς ἀλγηδόνος ταῦτα φέρειν ἀδυνασῶ· ἀνθρωπίνη γὰρ φύσις ἀναλγήτως πάσχειν οὐ πέφυκε· καὶ περὶ μὲν τῶν ἐπισκηψάντων, ἢ καὶ ἐπισκηψόντων ἔτι ἐμοὶ, οὕτω με δεῖ φρονεῖν, καὶ λογίζομαι. Τιμωροὺς δὲ τῶν ἀδικούντων, ἀλλ' οὐκ ἀρχηγοὺς τῶν ἀδικημάτων, ὑμᾶς εὐχόμην εὑρεῖν. Ἀλλ' οὔτε ἐμὲ φυγεῖν ἔστιν, ἃ με δεῖ παθεῖν· οὔσε τὴν ἑτέρων εὐχὴν, ἑτέρων γνώμην μεταβαλεῖν.

Atque prius quidem tot et tanta patiebamur; sed tanquam non satis ingestum nobis malorum esset, excogitatur modus alius injuria afficiendi me, ut mea causa etiam alii malis afficiantur : Fame clerus strangulatur, et qui mihi subsunt, illustriores quique, in eum finem, ut cum loquuntur et recordantur se meam ob causam hac calamitate pressos in meum demum caput et exprobrationes et exsecrationes ejaculentur. Mitto illud dicere, quod mihimetipsi portio exhibetur ad dimensum, quod dimidia parte privor jurisdictionis meæ : certe præclara ratio inita est per auferentes, qui sic artificiosam in me persecutionem concitarunt. Quod si, ut meum expleant mihi desiderium (hoc est, ut isto jugo atque onere expediar), hæc perpetrarunt (utcunque mecum ludere visum in istis est), gratias certe de ablatis sum habiturus : et grave mihi est quod residui quidquam

D Καὶ τοσαῦτα μὲν πεπόνθαμεν ἔμπροσθεν· ὥσπερ δὲ λείποντος τοῦ κακοῦ, προσεπινοεῖται καὶ τρόπος ἄλλος κακώσεως, καὶ κακοῦνται δι' ἡμᾶς ἕτεροι, καὶ λιμαγχονεῖται κλῆρος, καὶ τῶν ὑπὸ χεῖρα τὸ ἐπισημότερον· ἵν' ἐφ' ἡμῶν ὑποστῇναι τὴν συμφορὰν καὶ λέγοντες καὶ μνημονεύοντες, τὸν ὀνειδισμὸν καὶ τὴν ἀρὰν ἐπὶ κεφαλὴν ἡμῶν ἀναφέρωσιν. Ἐῶ γὰρ εἰπεῖν, ὅτι καὶ ἡμῖν ἡ μᾶξα μέτρῳ προσρίπτεται, καὶ ἀφαιρεῖται ἀφ' ἡμῶν τὸ ἥμισυ τῆς ἀρχῆς· καλῶς γε ποιούντων τῶν ἀφαιρούντων, καὶ τέχνῃ τὸν καθ' ἡμῶν διωγμὸν ἐπινοούντων. Ἀλλ' εἰ τὴν ἡμετέραν πληροῦντες αἴτησιν (λέγω δὴ τὸ ἐλευθερωθῆναι ἡμᾶς τοῦ ζυγοῦ καὶ τοῦ φορτίου τούτου) ταῦτα πεποιήκασιν (ἴσως γὰρ καὶ τοῦτο παίζουσι καθ' ἡμῶν), χάρις μὲν αὐτοῖς ὑπὲρ ὧν ἀφεῖλον· λυποῦσι δὲ ὑπὲρ ὧν κατέλιπον, καὶ βραδύνοντες πρὸς τὴν ἀφαίρεσιν τοῦ λοιποῦ, πλέον ἀνιῶσιν· ὥσπερ οἱ κα-

Digitized by Google Распознавание текста ABK/FR

τον, ἀπετμήθη τὴν γλῶσσαν, καὶ ταῦτα ἱερωσύνην φορῶν, ὑπὲρ οὗ πολλάκις ἐπρέσβευσα, ὑπὲρ οὗ πολλάκις ἐδυσώπησα, ὑπὲρ οὗ ὁ μάταιος ἐγὼ καὶ ῥήματα ἀπαθείας ἔλαβον, καὶ οἱ ἰδόντες ἐπίστανται. Εἰ δὲ καὶ ἐπελάθοντο οὗτοι, τὸ Θεῖον οὐκ ἐπελάθετο. Ποία λοιπὸν ἐλπὶς πρὸς τὰ ἄδηλα, ὅτε περὶ τῶν φανερῶν καὶ ὑπ' ὄψιν κειμένων οὕτως ἀποτυγχάνω καὶ διαπαίζομαι ; πῶς ὑπὲρ ἁμαρτιῶν, καὶ ὑμῶν, καὶ τοῦ λαοῦ, πρεσβεύσας ἐξιλάσομαι, ὅτε πρὸς ὑμᾶς ὑπὲρ ἑνὸς πρεσβεύσας οὕτως ἐξέπεσα, οὕτω παρεκρούσθην ; Ταῦτα δακρύων αἵματι ἔγραψα· ἐν σοὶ δὲ ἔστι τὸ λοιπὸν, ἢ πρώτην, ἢ τελευταίαν, τήνδε τὴν ἐπιστολὴν δέξασθαι. Ἐγὼ γὰρ κατ' ἐνώπιον Κυρίου λέγω, ὡς εἰ οὕτως ἐστὶν ὑμῖν σκοπὸς ἐν ταῖς εὐλόγοις ἡμῶν ἱκεσίαις καὶ παρακλήσεσιν παρακρούεσθαι ἡμᾶς καὶ ἀποπέμπεσθαι· καὶ εἰ μή τις γένηται τῷ ἀθλίῳ ἐκείνῳ τὸν δυνατὸν τρόπον παραψυχὴ καὶ παράκλησις, οὔτε γράψω, οὔτε ἄλλως πως ἐνοχλήσω, ἀλλ' ἡσυχάσω, ἐμαυτὸν ἐπισκοπῶν, καὶ τὰ ἐμαυτοῦ ὀδυρόμενος. Εἰ γὰρ μετὰ τῶν καθημερινῶν, τῶν ἔξωθεν ἡμῖν ἀναφυσωμένων πειρασμῶν καὶ περιστάσεων, καὶ τὴν ἀθλίαν μου προσαπολέσω ψυχὴν, ἀθλιώτερος ἂν εἴην πάντων ἀνθρωπων.

A tione digna habeantur) multas simul aggestas miserias pertulit : venditus, et verberibus cæsus est, in carcerem demum conjectus, et, quod nullum solatium admittit, lingua illi exscindebatur, quodque magis est indignum, cum sacerdos esset ; pro illo sæpius intercessi, sæpius adhibui preces, in cujus causa verba tantum accepi ego vanus sine condolentiæ sensu, quod videntes intelligebant. Qui si horum obliti sint, at non divinum Numen oblivisceturi. Cum in rebus tam perspicuis et sub oculos positis ita spe dejiciar, et risui exponar, quæ relicta erit spes mihi de incertis? Quomodo pro peccatis et vestris et populi intercedam, et illa expiabo, cum pro vel uno apud te intercedens, adeo exciderim exspectatione, adeo fuerim deceptus? Ista B quidem lacrymans cum sanguine exaravi. Penes te est deinceps ut hanc vel primam vel postremam epistolam a me habeas. Domino etenim teste denuntio, quod si id tibi propositum sit ut deceptos nos ableges et contemptos, ubi tam rationabiles offerimus supplicando admonitiones, ita ut, cum possit fieri non difficulter, miser ille nullam invenerit consolationem aut refocillamentum nequaquam deinceps scripturum, aut molestiam tibi creaturum, sed rebus meis consulens, et meam vicem deplorans, obmutescam. Si enim post quotidianas illas quæ a foris quotidie in me concitantur tentationes et exigentias, miseras quoque animam meam in eo sim ut disperdam, ultra omnes mortales deploratissimus essem.

ΕΠΙΣΤ. Ζ'.

Βάρδᾳ Καίσαρι.

EPIST. VII.

Bardæ Cæsari.

Edita a Montacutio (l. c. ep 8, p. 71).

Χαίρομεν ἐπηρεαζόμενοι· ἀλγοῦμεν δὲ, ὅτι τοὺς C ἐπηρεάζοντας ὑμᾶς ἔχομεν, παρ' ὧν ἡμῖν καὶ προστασίας ἐλπίδες, ἄλλων ἴσως ἐπιτιθεμένων, ἐκρέμαντο, καὶ τὸ βαρύτατον, ὅσι ἄδικα πάσχοντες, ἀδικεῖν ἐγκαλούμεθα· καὶ δόλους ῥάπτειν γραφόμεθα ὑφ' ὧν αὐτοὶ πολλοὺς καθ' ἑκάστην ὑπομένομεν. Χάρις οὖν πάντων ἕνεκα, τῷ Σωτῆρι ἡμῶν Θεῷ. Καὶ εἰ μὴ τὸν παρόντα βίον πειρατήριον ᾠδειμεν, σφόδρα ἂν ἐπὶ τοῖς συμβεβηκόσιν ἀπωλοφυράμεθα. Σὺ δὲ, εἰ μή τι ἄλλο τῶν παλαιῶν παραδειγμάτων ἐπὶ νοῦν ἀναλαβεῖν ἐθέλοις, ἀλλὰ τόν γε Ἡρώδου οἶκον, καὶ τοὺς Ἀντιπάτρου τρόπους ἐπισκοπεῖν διανάστηθι. Ὅπως, ὁ μὲν πολλαῖς μηχαναῖς τὸν ἄνδρα, καίτοι γε καὶ ἀγχίνουν ὄντα, κατὰ τῶν φιλτάτων, περιῆλθεν· ὁ δὲ τοῖς ἔξωθεν πᾶσι περιῤῥεόμενος ἀγαθοῖς, καὶ D εὐτυχέστατος εἶναι νομισθεὶς, δυστυχέστατός τε καὶ ἀθλιώτατος γέγονεν· ὅτι φθόνῳ καὶ διαβολαῖς ἀναπετάσας τὰ ὦτα, γένους ἅμα καὶ φίλων, καὶ αὐτῆς γονῆς, τὸν οἶκον ἔρημον ἔδειξεν. Εἴ τι οὖν σοι καὶ ἡμεῖς ἐν φίλων καὶ οἰκείων τάξει λελογίσμεθα, ὅρα μήποτε τοῖς συκοφάνταις ἑαυτὸν χειροήθη παραστησάμενος, τὸν σὸν οἶκον φίλων καὶ οἰκειοτάτων ἐξερημώσεις. Εἰ δέ τίς ἐστι καὶ δίκης ὀφθαλμὸς ἐνταῦθα, μὴ νόμισε τοῦτον διαπαντὸς καθευδήσειν. ἡμᾶς δὲ πάσχειν ἀδίκως καὶ τὰ ἔσχατα παρεσκευασμένους, οὐ νῦν, ἀλλά γε καὶ πάλαι, τοῖς θείοις ἐντραφέντας, ἴσθι, προστάγμασι· καὶ χάριν ὁμολογεῖν εἰδέναι, εἴ τις ἡμῖν ἐπιτομωτέραν πρὸς τὴν ἐκεῖθεν πολιτείαν τὴν πορείαν συσκευάσοιτο.

Contumeliis affecti gaudemus ; ægre tantum ferimus quod tu scis qui sic afficis, spes erat ut, si quis alius nos aggrederetur, tute te patronum interponeres. Adhuc magis ægre est quod, cum injuste patimur, injuriam tamen dicimur inferre ; dolos consuere ; et illi hoc scribunt, qui nos multifariam quotidie dolis petunt. De cunctis Servatori Deo gratias agimus. Quod si autem hanc vitam non profiteremur tentatorium, certe quæ nobis accidunt vehementer doleremus. Tu autem, si e vetusta memoria nullum aliud exemplum recolere volueris, tamem excita temet ut recolas Herodis domum, et Antipatri mores : Quomodo Antipater, virum, utcunque solertem, contra amicissimos concitavit, multis circumventum machinamentis. Herodes cum externis bonis omnibus difflueret, et beatissimus habebatur, infelicissimus, exstitit et miserrimus ; invidiæ siquidem et calumnlis patefactis auribus, domum progenie, amicis, liberis vacuarit. Quod si nos in aliquo amicorum ac familiarium ordine annumeras, vide, quæso, ne te committas circumducendum sycophantis, atque ita tuas ædes quoque spoliatas amicis et familiaribus reddas. Quod si oculus rebus nostris intersit justitiæ, nolito putare perpetuo illum somno sopitum : ea nos autem, non nunc primum, sed jam pridem injuste vel extrema pati paratos, utpote divinis innutritos præceptis, cognoscas. Certe gratias illi habituri sumus qui viam nobis maxime compendiariam, licet præcipitantem, ad cœlestem monstraverit conversationem.

Digitized by Google Распознавание текста ABK/FR

EPIST. V.

Eidem, Deprecatio pro Christodulo a secretis qui periclitabatur.

Edita a Montacutio (l. c, ep . 4, p. 68).

Utcunque molestus esse videor, et ultra mensuram frustra misericors, non tamen quod potero præstare diffugiam, fortassis acrem lacessens et frustra laborans : nam hoc me facit cogitare, quod spe dejectus aliquoties exciderim ; in quantum vero potuerim, debitum persolvam. Pauper quidem jocans, antiquum suum obtinuit ; jocatus est, et comico more, licet non in quos, aut qualiter oportuit. Erat ebrietas primipilus : hac autem abrepti homines plurimum solent delinquendo labi. Dedit autem pœnas de lasciviente lingua, acerbiore multatus punitione, corpore vehementius cæsus et mutilatus. Ulterius ne progrediatur. Sacrum et sanctum est Dei templum, a nullo Christiano violandum ; ad hoc confugit iste : intercedit pro illo Antistes templi ; intercedit et culpæ tenuitas ; et si adhuc pateris illud : *Dimittite, et dimittetur vobis*[3] ; vel : *Qua mensura mensi estis, eadem vobis metietur*[4].

EPIST. VI.

Bardæ Magistro Patritio et Curopalatæ pro clerico Blasii in periculis constituto.

Edita a Montacutio (l. c. ep. 6, p. 69).

Noveram ego quidem, nondum expertus, indignum me fuisse cum gradu et dignitate archiepiscopali, tum pastoralis cujuscunque functionis, atque eam ob causam actus et attractus moleste eam rem ferebam ; atque utinam me prius mors invaserit antequam hac violenta, intolerabili potius, electione arriperer ! Nequaquam tot et tantorum malorum fluctus animam meam quotidie abluissent, quorum spes et exspectatio (est enim natura hominum apprime comparata ad futuras difficultates prævidendas, præsertim ubi propriæ ipsius causa agitur) concussum me et conturbatum tunc temporis habuit : istis ego exagitatus et acerbe vexatus ploravi, deprecabar, nihil non potius id me admisissem quam ut in suffragia eorum irem, qui me compellebant ; ut poculum illud multarum et multiplicium curarum a me transferatur atque tantationum, intercedebam. Nunc siquidem res ipsæ me docent, et meam satis redarguunt dignitatem ; nec ulterius me metus exspectando, sed dolor accepti lethalis vulneris torquet, singultus, suspiria et desperatio tenuere. Cum afflictos intuear universos et singulos sacerdotes ob unicum admissum, verberibus, vinculis male tractatos, etiam excisis linguis (ignosce peccatis, quæso, nostris, Domine), cur non beatos prædicem defunctos, potius quam meipsum ? cur non hoc onus mihi impositum reputem in meorum peccatorum redargutionem ? indigens homo et sine patrono, sed nec mente sana præditus (quæ sunt ejus generis ut misericordia potius quam indigna-

[3] Luc. VI, 37. [4] Matth. VII, 2.

ΕΠΙΣΤ. Ε'.

Τῷ αὐτῷ, Πρεσβεία ὑπὲρ Χριστοδούλου ἀσηκρήτις κινδυνεύσαντος.

Εἰ καὶ νῦν ὀχληρὸς εἶναι δόξω, καὶ περιττὸς τὸ φιλάνθρωπον, ἀλλὰ τόγε ἐμαυτοῦ ποιεῖν οὐκ ἀφέξομαι, ἴσως μὲν εἰς ἀέρα δέρων, καὶ μάτην πονῶν. Ταῦτα γάρ με λογίζεσθαι, τὸ πολλάκις διαμαρτεῖν τῆς ἐλπίδος, παρεσκεύασεν· ὅσον δι' εἰς ἐμὴν ἰσχὺν ἦκε, τὸ χρέος πληρῶν. Ἄνθρωπος πένης παίζων, ἔπραξε τὰ συνήθη αὐτῷ· ἔπαιξε γάρ, εἰ καὶ μὴ πρὸς οὓς ἔδει, μηδ' οἷα, κωμικευσάμενος. Μέθη κορυφαῖος ἦν, ᾧ τὰ πολλὰ περιπίπτοντες ἄνθρωποι, σφάλλονται. Ἔδωκε τῆς ἀκολάστου γλώσσης δίκας, κόλασιν πικρὰν ὑποστάς, τοὺς ἐν τῷ σώματι σφοδροὺς αἰκισμούς. Στήτω μέχρι τούτου τὰ τῆς τιμωρίας. Ὁ τοῦ Θεοῦ ναός, ἱερὸς, καὶ πᾶσι τοῖς εὐσεβέσιν ἄσυλος, πρὸς ὃν οὗτος κατέφυγε· πρεσβεύει ὑπὲρ αὐτοῦ ὁ τοῦ ναοῦ ἱερεύς, τὸ τοῦ πταίσματος εὐτελὲς, εἰ βούλει δὲ καὶ τὸ, Ἄφετε καὶ ἀφεθήσεται ὑμῖν· καὶ τὸ, Ἐν ᾧ μέτρῳ μετρεῖτε, μετρηθήσεται ὑμῖν.

ΕΠΙΣΤ. Ϛ'.

Βάρδᾳ Μαγίστρῳ Πατρικίῳ καὶ Κουροπαλάτῃ, περὶ κληρικοῦ τοῦ Βλασίου κινδυνεύσαντος.

Ἤδειν ἐγὼ, καὶ πρὸ πείρας, ἀνάξιον ἐαυτὸν e-f, καὶ τοῦ ἀρχιερατικοῦ βαθμοῦ, καὶ τῆς ποιμαντικῆς ἐγχειρήσεως· διὰ τοῦτο γὰρ ἀγόμενος καὶ ἑλκόμενος, ἀπεδυσπέτουν πρὸς ταῦτα· ὡς εἴθε θανατός με τῆς τότε προβολῆς, μᾶλλον δὲ τῆς ἀφορήτου βίας, προανήρπασεν. Οὐ γὰρ ἂν τοσούτων καὶ τηλικούτων κακῶν κύματα τὴν ἐμὴν, καθ' ἑκάστην, ἐβάπτιζον, ἐπικλύζοντα τάλαιναν ψυχήν· ὧν ἡ ἐλπὶς καὶ ἡ προσδοκία (δεινὴ γὰρ ἡ τῶν ἀνθρώπων φύσις τὰ μέλλοντα συνιδεῖν δυσχερῆ, ἂν ἐπ' αὐτὴν ἡ χαλεπότης μάλιστα φέρηται) συνετάρασσέ με τότε καὶ συνέσχεν· ὑφ' ὧν βαλλόμενος καὶ πικρῶς ἀλγυνόμενος, ἔκλαιον, ἐδυσώπουν, πάντα μᾶλλον ἐποίουν, ἢ τοῖς ψηφιζομένοις καὶ βιαζομένοις συγκατένευον, παρενεχθῆναι τὸ ποτήριον ἀπ' ἐμοῦ, τῶν πολλῶν καὶ πολυτρόπων φροντίδων καὶ πειρασμῶν ποτνιώμενος· νῦν δὲ αὐτὰ μεταδιδάσκει τὰ πράγματα, καὶ τὴν [ἐμὴν] ἐλέγχει ἀναξιότητα· καὶ οὐκέτι φόβος προσδοκίας, ἀλλ' ὀδύνη στεριζομένη περὶ τὰ καίρια, καὶ στεναγμὸς, καὶ ἀμηχανία, ἐπὶ τοῖς ἤδη καταλαβοῦσιν. Ὅτε γὰρ ἱερεῖς, ὁποῖοι ἂν καὶ εἶεν, ὁμοῦ πάντας ἐπὶ ἑνὶ πταίσματι πάσχοντας ὁρῶ, τυπτομένους, ὀζημευομένους, φαυλιζομένους, τὴν γλῶσσαν ἐκτεμνομένους (φεῖσαι, Κύριε, τῶν ἁμαρτῶν ἡμῶν), πῶς οὐ μακαρίσω τοὺς τετελευτηκότας ὑπὲρ ἐμέ ; πῶς οὐ το φορτίον τὸ ἐπιτεθέν μοι, οὐκ εἰς ἔλεγχον τῶν ἐμῶν ἁμαρτημάτων λογίσομαι ; ἄνθρωπος ἄπορος, ἀπροστάτευτος, οὐδὲ τὸν νοῦν ἔχων ἀπαθῆ (οἷς ἔλεος μᾶλλον, οὐκ ἀγανάκτησις ἕπεται) ἔπαθεν ἅμα τοσαῦτα κακά· ἐπράθη, ἐτύφθη, ἐφυλακίσθη· τὸ ἀπαραμύθη-

VARIÆ LECTIONES.

e-f ἴσ. ἐμαυτόν.

Digitized by Google Распознавание текста ABK/FR

ψυχὴν εὑρηκότες ἀξίαν (ἐρᾷν γάρ σε ἀρετῆς καὶ εὐσεβείας πεπείσμεθα), τῷ φιλουμένῳ δώρῳ καὶ μεγαλοπρεπεῖ δεξιούμεθα. Ἐν ᾧ, τῆς ἀχράντου καὶ καθαρᾶς ἡμῶν πίστεως τὸ ἱερὸν καὶ θεόσοφον ἐντάξαντες μάθημα, τὰς ἁγίας καὶ οἰκουμενικὰς ἑπτὰ συνόδους, οἱονεὶ χάρακάς τινας καὶ περιβόλους οὔσας τοῦ θείου τούτου καὶ ὀρθοδόξου μαθήματος, σαφεῖ τε καὶ συντόμῳ λόγῳ συμπαρατιθέμεθα· οὐδ' ὅσα βίον ἰθύνει, καὶ μαρτυρεῖ τῆς πίστεως τὴν ὀρθότητα, παντελῶς ἀποσιγήσαντες. Ὥσπερ γὰρ τὸ πάντα, καταρχὰς πειρᾶσθαι λέγειν, ἀπειρόκαλον· οὕτω καὶ τό μηδὲν εἰπεῖν, ἀφιλόκαλον.

A cendentem divinitatem, quatenus illam homines, assequi poterimus, tanquam in speculo contuemur. Istiusmodi ergo gratia atque dono dignum et capacem prudentem tuum animum agnoscentes (virtutem te siquidem ac pietatem amare persuasum habemus) munis ad te tibi gratum futurum, in se magnificum, afferimus. Cui quidem fidei nostræ incontaminatæ et defæcatæ, et divinam et a Deo edoctam inserentes disciplinam, sacris septem universalibus synodis, non aliter quam vallo quodam et sepimento, doctrinam hanc cœlestem et orthodoxam, communivimus, quas perspicua et brevi oratione, una cognoscendas, adjunximus. Nec interea, quæ ad vitam recte instituendam pertinent, fideique rectitudini testimonium perhibent, prorsus silentio præteribimus. Certe sicut omnia sigillatim ab initio velle dicere, ineptum est ; ita nihil omnino dicere, turpe et inhonestum est.

γ'. Δεῖ δὲ τὰς ἀρετὰς τῇ πίστει παραπεπηγέναι, καὶ δι' ἀμφοῖν τὸν σπουδαῖον καταρτίζεσθαι (9). Καὶ γὰρ δογμάτων μὲν εὐθύτης πολιτείας προβάλλεται κοσμιότητα, πράξεων δὲ καθαρότης τῆς πίστεως ἀπαγγέλλει θειότητα· ὧν ἑκάτερον χωρὶς τοῦ ἑτέρου ῥᾷον εἴωθεν ὑποῤῥεῖν καὶ παρασύρεσθαι, μὴ ἀνεχόμενον καταμόνας ψυχαῖς ἀνθρώπων ἐγκατοικίζεσθαι. Ἀλλὰ περὶ μὲν τούτων καὶ ὕστερον. Νῦν δέ σοι τὸ ἱερὸν καὶ θεόχρηστον τῆς ἱερᾶς ἡμῶν λατρείας ἀνατιθέμεθα μάθημα.

B 3. Oportet autem virtutes et bona opera a fide non divelli, sed utrinque virum bonum perfici et consummari : fides enim recta mores producit honestos ; et operum puritas fidem esse divinam plane probat : istorum vero alterum sine altero facile diffluere solet et aliorsum rapi : neque enim possunt sejuncta et divulsa in animis hominum sedem figere. Sed de istis videbimus in sequentibus. In præsenti sacram et divino oraculo fusam sacrosanctæ nostræ religionis doctrinam repræsentamus.

δ'. Πιστεύω εἰς ἕνα Θεὸν Πατέρα παντοκράτορα, ποιητὴν οὐρανοῦ καὶ γῆς, ὁρατῶν τε πάντων καὶ ἀοράτων. Καὶ εἰς ἕνα Κύριον Ἰησοῦν Χριστόν, τὸν Υἱὸν τοῦ Θεοῦ τὸν μονογενῆ, τὸν ἐκ τοῦ Πατρὸς γεννηθέντα πρὸ πάντων τῶν αἰώνων. Φῶς ἐκ φωτὸς, Θεὸν ἀληθινὸν ἐκ Θεοῦ ἀληθινοῦ· γεννηθέντα, οὐ ποιηθέντα· ὁμοούσιον τῷ Πατρὶ, δι' οὗ τὰ πάντα ἐγένετο· τὸν δι' ἡμᾶς τοὺς ἀνθρώπους καὶ διὰ τὴν ἡμετέραν σωτηρίαν κατελθόντα ἐξ οὐρανῶν· καὶ σαρκωθέντα ἐκ Πνεύματος ἁγίου καὶ Μαρίας τῆς Παρθένου, καὶ ἐνανθρωπήσαντα, σταυρωθέντα τε ὑπὲρ ἡμῶν ἐπὶ Ποντίου Πιλάτου, καὶ παθόντα, καὶ ταφέντα. καὶ ἀναστάντα τῇ τρίτῃ ἡμέρᾳ κατὰ τὰς Γραφὰς, καὶ ἀνελθόντα εἰς τοὺς οὐρανοὺς, καὶ καθεζόμενον ἐν δεξιᾷ τοῦ Πατρός· καὶ πάλιν ἐρχόμενον μετὰ δόξης κρῖναι ζῶντας καὶ νεκρούς· οὗ τῆς βασιλείας οὐκ ἔσται τέλος. Καὶ εἰς τὸ Πνεῦμα τὸ ἅγιον, τὸ Κύριον καὶ ζωοποιὸν τὸ ἐκ τοῦ Πατρὸς ἐκπορευόμενον, τὸ σὺν Πατρὶ καὶ Υἱῷ προσκυνούμενον καὶ συνδοξαζόμενον, τὸ λαλῆσαν διὰ τῶν προφητῶν. Εἰς μίαν ἁγίαν καθολικὴν καὶ ἀποστολικὴν Ἐκκλησίαν, Ὁμολογῶ ἓν βάπτισμα εἰς ἄφεσιν ἁμαρτιῶν· προσδοκῶ ἀνάστασιν νεκρῶν, καὶ ζωὴν τοῦ μέλλοντος αἰῶνος. Ἀμήν.

C 4. *Credo in unum Deum Patrem omnipotentem, cœli et terræ Creatorem, necnon visibilium omnium ac invisibilium : Et in unum Dominum Jesum Christum, Filium Dei unigenitum, ex Patre natum ante omnia sæcula ; lumen de lumine, Deum verum de Deo vero ; genitum, non factum ; Patri consubstantialem, per quem omnia facta sunt : qui propter nos homines et propter nostram salutem descendit de cœlis; incarnatus ex Spiritu sancto et Maria Virgine; et homo factus est, crucifixusque pro nobis sub Pontio Pilato, passus et sepultus ; et resurrexit tertia die secundum Scripturas ; et ascendit in cœlos ; et sede, a dextris Patris : et iterum venturus est cum gloria, judicaturus vivos atque mortuos ; cujus regni non erit finis : Et in Spiritum sanctum Dominum et auctorem vitæ qui procedit a Patre ; qui cum Patre ac Filio adoratur et glorificatur ; qui locutus est per prophetas : In unam catholicam et apostolicam Ecclesiam. Confiteor unum baptisma, in remissionem peccatorum. Exspecto resurrectionem mortuorum, et vitam venturi sæculi. Amen.*

ε'. Οὕτω τοιγαροῦν φρονῶν καὶ πιστεύων, κατὰ τὴν παράδοσιν τῆς ἁγίας τοῦ Θεοῦ καθολικῆς καὶ ἀποστολικῆς Ἐκκλησίας, ὦ καλὸν ἄγαλμα τῶν ἐμῶν

D 5. Ad hunc ergo modum sentiens ac credens ut secundum traditionem sanctæ catholicæ et apostolicæ Ecclesiæ, o laborum meorum eximium orna-

NOTÆ.

(9) Δι' ἀμφοῖν τὸν σπουδαῖον καταρτίζεσθαι. Ignatius in illa ad Ephes. Ἀρχὴ ζωῆς, πίστις τέλος δὲ, ἀγάπη· τὰ δὲ δύο, ἐν ἑνότητι γενόμενα Θεοῦ ἄνθρωπον ἀποτελεῖ· τὰ δὲ ἄλλα πάντα εἰς καλοκαγαθίαν ἀκόλουθά ἐστιν· οὐδεὶς πίστιν ἐπαγγελλόμενος ὀφείλει ἁμαρτάνειν, οὐδὲ ἀγάπην κεκτημένος μισεῖν τὸν ἀδελφόν. Ubi τέλος non est tam *finis* ut vertunt interpretes, quam τελείωσις *perfectio*. Idem beatus martyr iterum ait : Οἱ ἐπαγγελλόμενοι Χριστοῦ εἶναι, οὐκ ἐξ ὧν λέγουσι μόνον, ἀλλὰ ἐξ ὧν πράττουσι γνωρίζονται· ἐκ γὰρ τοῦ καρποῦ τὸ δένδρον γινώσκεται. Ἀμεινόν ἐστι σιωπᾷν καὶ εἶναι, ἢ λαλεῖν καὶ μὴ εἶναι.

Digitized by Google Распознавание текста ABK/FR

EPIST. VIII.

Photii sanctissimi patriarchæ Constantinopolitani Epistola ad Michaelem Bulgariæ principem; de officio principis (6).

ΕΠΙΣΤ. Η'.

Φωτίου τοῦ ἁγιωτάτου πατριάρχου τῆς Κωνσταντινουπόλεως ἐκ τῆς πρὸς Μιχαὴλ τὸν ἄρχοντα Βουλγαρίας (7) ἐπιστολῆς, Τί ἐστιν ἔργον ἄρχοντος.

Edita ab Henrico Canisio (*Ant. lection.*, t. II, p. II, edit. Basnagii, pag. 382), et a Montacutio (ep. 1, pag. 1).

1. Alia quidem dona, illustrissime ac nobis dilecte fili, exiguam plane eamque non diu adeo duraturam utilitatem iis afferunt in quos conferuntur. Quæcunque vero illa conditione naturali prædita sunt, ut animam nobis reddant meliorem, dum ab errore et pravis affectibus repurgant, luce vero et splendore virtutum ipsiusque veritatis collustrant, hæc jam verissima dona nobis data dicenda sunt; utpote quæ menti, divinæ cuipiam rei et immortali, magna nec unquam emoritura largiuntur emolumenta: divitias autem illismodi ei comparant negotiando, quæ cum sint cœlestes non possunt sacrilege compilari. Primas inter ista et principatum tenet illud quod nos manu velut apprehensos sine ulla aberratione ad Deum perducit et salutem. Hoc ipsum autem imprimis, quin potius sola, præstat fides nostra Christianas, purissima illa ac ideo inculpata, cum mysteria ejus edocti edidicerimus.

α'. Αἱ μὲν ἄλλαι χάριτες, περιφανέστατε καὶ ἠγαπημένε ἡμῶν υἱὲ, μικρὰς καὶ προσκαίρους, οἷς προσάγονται, τὰς ὠφελείας παρέχουσιν· ὅσαι δὲ πεφύκασι ψυχὴν βελτίονα ἀπεργάζεσθαι, πλάνης μὲν καθαίρουσαι καὶ παθῶν, τὴν αἴγλην δὲ καὶ λαμπρότητα τῶν ἀρετῶν καί τῆς ἀληθείας διαυγάζουσαι, αὗται δὲ ἄρα χάριτές εἰσιν, ὡς ἀληθῶς, μεγάλα κέρδη καὶ ἀθάνατα ἀθανάτῳ καὶ θεοειδεῖ πράγματι χορηγοῦσαι, τῇ ψυχῇ, καὶ τὸν ἄσυλον αὐτῇ καὶ οὐράνιον ἐμπορευόμεναι πλοῦτον, ὧν ἡ τιμιωτάτη καὶ τῶν ἄλλων πρωτεύουσα χάρις ἡ πρὸς τὸ θεῖόν ἐστιν ἁπλανὴς καὶ σωτήριος χειραγωγία. Ἥν πρώτη καὶ μόνη χαρίζεται τῆς καθαρᾶς καὶ ἀμωμήτου πίστεως ἡμῶν τῶν Χριστιανῶν, ἡ μάθησις καὶ μυσταγωγία.

2. Hæc enim homines, postquam ab errore multiformi liberatos expediverit, illiusque tenebras omnino dispulerit, facultatem illis præbet in Divini cultus pulchritudinem oculis defixis intuendi. Atque ita per istam, ad essentiam illam quæ superat intellectum, rerum scilicet omnium causam et opificem subvecti, Trinitatis illius uniformem et trans-

β'. Αὕτη γὰρ τῆς πολυμόρφου πλάνης τὸν ἄνθρωπον· (8).... τῷ κάλλει τῆς λατρείας καθαρῶς ἐνατενίζειν παρέχεται· δι' ἧς εἰς τὴν ὑπὲρ νοῦν οὐσίαν καὶ πάντων αἰτίαν καὶ δημιουργὸν ἀναγόμενοι, τὴν ἐνοειδῆ καὶ ὑπέρθεον τῆς Τριάδος θεότητα καθ' ὅσον ἐστὶν ἀνθρώπῳ δυνατὸν, ἐνοπτριζόμεθα. Τῆς τηλικαύτης τοίνυν χάριτος καὶ δωρεᾶς τὴν ἔμφρονά σου

NOTÆ.

(6) *Epistola ad Michaelem Bulgariæ principem, de officio principis.* Hic est titulus a librariis, non opinor, ab auctore præfixus: quanquam ne sic quidem constat inscriptio. Nam in scriptis erat, non ἐπιστολή, sed ἐκ τῆς ἐπιστολῆς. Ut videatur non tam integra epistola, vel liber potius, et quidem satis magnus, quam repræsentamus, quam ex illa excerpta quædam continere, ab aliquo lectore, vel fortassis ipso Photio (qui delectabatur epitomis) in numerum atque ordinem coactus. Est autem, sive erat liber integer, sive epistola νουθετική et διδακτική, per omnia conformata Isocratis illi scripto ad Nicoclem, cujus scopus ad inscriptione exhibetur. Τί ἔργον ἄρχοντος. Itaque inscribit ipse titulum, Πρὸς τὸν ἄρχοντα Βουλγαρίας, *Ad principem gentis Bulgarorum.* Ita enim vocabantur gentis illius, et omnium fere Barbarorum, ductores, sive duces, sive principes; non autem erant reges, ut semper in Baronio, per errorem interpretis sui, nominatur hic ἄρχων. Guillelmus Bibliothecarius ad finem *Vitæ Anastasii* ait, *Dominus Michael, princeps Bulgarorum*, et in excerptis apud ipsum Baronium, e *Menologio*, ex historiis Basilii Cilicis et Theophanis, vel *dux*, vel *princeps* nominatur: sed imprimis Baronii versionem refellit, quod apud illum Bibliothecarium legitur, quod *principes Bulgarorum et litteras eis et dona per Petrum aliosque direxerint.* Neque sane *princeps* absolute, vel solus erat; fortassis erat cæteris eminentior, sed cum aliis, princeps. Ait enim *principes Bulgarorum.* Multos illi principes, ut et aliæ e Septentrione gentes, habuere familiis distinctos, et familiis præfectos; sed plerumque unum, ex illorum numero, de communibus suffragiis electum, cæteris, imprimis bello gerendo, et cœtus convocando, præficiebant: quales apud illos commemorantur Chrunnus, Zocus, Tetricus, qui relicto principatu Constantinopolin abiit, ubi factus Christianus patricius item creatur, ad annum Domini 777. Præsens autem princeps, nomine Michaelis, ab origine prima, inter suos, vel in patria, *Bogaris* non *Michael* dicebatur: verum conversus ad fidem Cristianam, et baptismo illustratus, qui fuit in paganismo Bogaris, ab episcopo baptizante, qui ab eum missus fuerat Constantinopoli baptizandum, de nomine mittentis imperatoris, Michaelis tertii, seu Porphyrogenitæ, Michael et ipse dicebatur: hanc historiam Baronius fusius exsequitur, ad annum 845, e Joanne Curopalata. MONTACUT.

(7) Βουλγαρίας. Erant Bulgari, aut Bulgæ, gens barbara, effera, pagana. Aquilonaris, quæ postrema pene omnium ab Aquilone, unde omne malum in Romanum imperium inundavit, post alias e Scythia proluvies, irruperunt, et Romanum imperium, a Constantino divisum, in partes dissectum, præsidiis destitutum, in ruinam dederunt, quos primus Constantinus Copronymus bello vicit; sed non ita pessumdedit, quin resumptis viribus postea Nicephorum imperatorem profligatum occiderent, et caput ejus abscissum ludibrio exponerent. Cum primum irrumperent, Dardaniam occupabant: sed deinceps Macedoniæ et Illyrici partes possederunt. De illis, ad religionem nostram conversis, deinde certatum est inter Romanam et Constantinopolitanam sedem, cujus subessent jurisdictioni. De quo certamine Photius alicubi in epistolis: qui vehementius ea de re contendebat; unde imprimis odio atque invidia apud Romanos laborabat. Bulgari dicebantur, a Bolga, sive Volga flumine ingenti, etiam hodie notissimo; cujus erant accolæ cum irrumperent in imperium. MONTACUT.

(8) Hiatus erat et defectus in nostro codice post ἄνθρωπον: fortassis supplenda lacuna ad hunc modum, ἐλευθερώσασα, καὶ πᾶσαν ἐκείνης ἀχλὺν ἀποσκεδάσασα, δύναμιν αὐτῷ τῷ κάλλει, etc.

Digitized by Google Распознавание текста ABK/FR

ψυχὴν εὑρηκότες ἀξίαν (ἐρᾷν γάρ σε ἀρετῆς καὶ εὐσεβείας πεπείσμεθα), τῷ φιλουμένῳ δώρῳ καὶ μεγαλοπρεπεῖ δεξιούμεθα. Ἐν ᾧ, τῆς ἀχράντου καὶ καθαρᾶς ἡμῶν πίστεως τὸ ἱερὸν καὶ θεόσοφον ἐντάξαντες μάθημα, τὰς ἁγίας καὶ οἰκουμενικὰς ἑπτὰ συνόδους, οἱονεὶ χάρακάς τινας καὶ περιβόλους οὔσας τοῦ θείου τούτου καὶ ὀρθοδόξου μαθήματος, σαφεῖ τε καὶ συντόμῳ λόγῳ συμπαρατιθέμεθα· οὐδ' ὅσα βίον ἰθύνει, καὶ μαρτυρεῖ τῆς πίστεως τὴν ὀρθότητα, παντελῶς ἀποσιγήσαντες. Ὥσπερ γὰρ τὸ πάντα, καταρχὰς πειρᾶσθαι λέγειν, ἀπειρόκαλον· οὕτω καὶ τὸ μηδὲν εἰπεῖν, ἀφιλόκαλον.

A cendentem divinitatem, quatenus illam homines, assequi poterimus, tanquam in speculo contuemur. Istiusmodi ergo gratia atque dono dignum et capacem prudentem tuum animum agnoscentes (virtutem te siquidem ac pietatem amare persuasum habemus) munis ad te tibi gratum futurum, in se magnificum, afferimus. Cui quidem fidei nostræ incontaminatæ et defæcatæ, et divinam et a Deo edoctam inserentes disciplinam, sacris septem universalibus synodis, non aliter quam vallo quodam et sepimento, doctrinam hanc cœlestem et orthodoxam, communivimus, quas perspicua et brevi oratione, una cognoscendas, adjunximus. Nec interea, quæ ad vitam recte instituendam pertinent, fideique rectitudini testimonium perhibent, prorsus silentio præteribimus. Certe sicut omnia sigillatim ab initio velle dicere, ineptum est ; ita nihil omnino dicere, turpe et inhonestum est.

γ'. Δεῖ δὲ τὰς ἀρετὰς τῇ πίστει παραπεπηγέναι, καὶ δι' ἀμφοῖν τὸν σπουδαῖον καταρτίζεσθαι (9). Καὶ γὰρ δογμάτων μὲν εὐθύτης πολιτείας προβάλλεται κοσμιότητα, πράξεων δὲ καθαρότης τῆς πίστεως ἀπαγγέλλει θειότητα· ὧν ἑκάτερον χωρὶς τοῦ ἑτέρου ῥᾷον εἴωθεν ὑποῤῥεῖν καὶ παρασύρεσθαι, μὴ ἀνεχόμενον καταμόνας ψυχαῖς ἀνθρώπων ἐγκατοικίζεσθαι. Ἀλλὰ περὶ μὲν τούτων καὶ ὕστερον. Νῦν δέ σοι τὸ ἱερὸν καὶ θεόχρηστον τῆς ἱερᾶς ἡμῶν λατρείας ἀνατιθέμεθα μάθημα.

B 3. Oportet autem virtutes et bona opera a fide non divelli, sed utrinque virum bonum perfici et consummari : fides enim recta mores producit honestos ; et operum puritas fidem esse divinam plane probat : istorum vero alterum sine altero facile diffluere solet et aliorsum rapi : neque enim possunt sejuncta et divulsa in animis hominum sedem figere. Sed de istis videbimus in sequentibus. In præsenti sacram et divino oraculo fusam sacrosanctæ nostræ religionis doctrinam repræsentamus.

δ'. Πιστεύω εἰς ἕνα Θεὸν Πατέρα παντοκράτορα, ποιητὴν οὐρανοῦ καὶ γῆς, ὁρατῶν τε πάντων καὶ ἀοράτων. Καὶ εἰς ἕνα Κύριον Ἰησοῦν Χριστὸν, τὸν Υἱὸν τοῦ Θεοῦ τὸν μονογενῆ, τὸν ἐκ τοῦ Πατρὸς γεννηθέντα πρὸ πάντων τῶν αἰώνων. Φῶς ἐκ φωτὸς, Θεὸν ἀληθινὸν ἐκ Θεοῦ ἀληθινοῦ· γεννηθέντα, οὐ ποιηθέντα· ὁμοούσιον τῷ Πατρὶ, δι' οὗ τὰ πάντα ἐγένετο· τὸν δι' ἡμᾶς τοὺς ἀνθρώπους καὶ διὰ τὴν ἡμετέραν σωτηρίαν κατελθόντα ἐξ οὐρανῶν· καὶ σαρκωθέντα ἐκ Πνεύματος ἁγίου καὶ Μαρίας τῆς Παρθένου, καὶ ἐνανθρωπήσαντα, σταυρωθέντα τε ὑπὲρ ἡμῶν ἐπὶ Ποντίου Πιλάτου, καὶ παθόντα, καὶ ταφέντα. καὶ ἀναστάντα τῇ τρίτῃ ἡμέρᾳ κατὰ τὰς Γραφὰς, καὶ ἀνελθόντα εἰς τοὺς οὐρανοὺς, καὶ καθεζόμενον ἐν δεξιᾷ τοῦ Πατρός· καὶ πάλιν ἐρχόμενον μετὰ δόξης κρῖναι ζῶντας καὶ νεκρούς· οὗ τῆς βασιλείας οὐκ ἔσται τέλος. Καὶ εἰς τὸ Πνεῦμα τὸ ἅγιον, τὸ Κύριον καὶ ζωοποιὸν τὸ ἐκ τοῦ Πατρὸς ἐκπορευόμενον, τὸ σὺν Πατρὶ καὶ Υἱῷ προσκυνούμενον καὶ συνδοξαζόμενον, τὸ λαλῆσαν διὰ τῶν προφητῶν. Εἰς μίαν ἁγίαν καθολικὴν καὶ ἀποστολικὴν Ἐκκλησίαν, Ὁμολογῶ ἓν βάπτισμα εἰς ἄφεσιν ἁμαρτιῶν· προσδοκῶ ἀνάστασιν νεκρῶν, καὶ ζωὴν τοῦ μέλλοντος αἰῶνος. Ἀμήν.

C *4. Credo in unum Deum Patrem omnipotentem, cœli et terræ Creatorem, necnon visibilium omnium ac invisibilium : Et in unum Dominum Jesum Christum, Filium Dei unigenitum, ex Patre natum ante omnia sæcula ; lumen de lumine, Deum verum de Deo vero ; genitum, non factum ; Patri consubstantialem, per quem omnia facta sunt : qui propter nos homines et propter nostram salutem descendit de cœlis ; incarnatus ex Spiritu sancto et Maria Virgine ; et homo factus est, crucifixusque pro nobis sub Pontio Pilato, passus et sepultus ; et resurrexit tertia die secundum Scripturas ; et ascendit in cœlos ; et sede, a dextris Patris : et iterum venturus est cum gloria, judicaturus vivos atque mortuos ; cujus regni non erit finis : Et in Spiritum sanctum Dominum et auctorem vitæ qui procedit a Patre ; qui cum Patre ac Filio adoratur et glorificatur ; qui locutus est per prophetas : In unam catholicam et apostolicam Ecclesiam. Confiteor unum baptisma, in remissionem peccatorum. Exspecto resurrectionem mortuorum, et vitam venturi sæculi. Amen.*

ε'. Οὕτω τοιγαροῦν φρονῶν καὶ πιστεύων, κατὰ τὴν παράδοσιν τῆς ἁγίας τοῦ Θεοῦ καθολικῆς καὶ ἀποστολικῆς Ἐκκλησίας, ὦ καλὸν ἄγαλμα τῶν ἐμῶν

D 5. Ad hunc ergo modum sentiens ac credens ut secundum traditionem sanctæ catholicæ et apostolicæ Ecclesiæ, o laborum meorum eximium orna-

NOTÆ.

(9) Δι' ἀμφοῖν τὸν σπουδαῖον καταρτίζεσθαι. Ignatius in illa ad Ephes. Ἀρχὴ ζωῆς, πίστις τέλος δὲ, ἀγάπη· τὰ δὲ δύο, ἐν ἑνότητι γενόμενα Θεοῦ ἄνθρωπον ἀποτελεῖ· τὰ δὲ ἄλλα πάντα εἰς καλοκαγαθίαν ἀκόλουθά ἐστιν· οὐδεὶς πίστιν ἐπαγγελλόμενος ὀφείλει ἁμαρτάνειν, οὐδὲ ἀγάπην κεκτημένος μισεῖν τὸν ἀδελφόν. Ubi τέλος non est tam *finis* ut vertunt interpretes, quam τελείωσις *perfectio*. Idem beatus martyr iterum ait : Οἱ ἐπαγγελλόμενοι Χριστοῦ εἶναι, οὐκ ἐξ ὧν λέγουσι μόνον, ἀλλὰ ἐξ ὧν πράττουσι γνωρίζονται· ἐκ γὰρ τοῦ καρποῦ τὸ δένδρον γινώσκεται. Ἀμεινόν ἐστι σιωπᾷν καὶ εἶναι, ἢ λαλεῖν καὶ μὴ εἶναι.

Digitized by Google Распознавание текста ABK/FR

mentum, sacras et œcumenicas septem synodos, partim tanquam pietatis magistras, partim ut propugnatrices, suscipe et amplectere : Per illas etenim et illarum ope omnis innovatio, hæresis omnis repellitur ; et quod orthodoxum est, puro et ab antiquis tradido intellectu conservatur, atque in piorum mentibus, dubitatione exclusa, collocatur. Harum ego synodorum narrationem aggredior instituere ; locum simul, numerum, multitudinem, præsides porro singularum, una cum actionibus, quo res melius intelligantur, descripturus.

6. Prima ideo synodus universalis apud Nicæam Bithyniæ civitatem coacta fuit. Convenerant eo trecenti decem et octo Dei sacerdotes : de veritate judicium latum. Erant istius cœtus principes, Alexander Constantinopolitanum archiepiscopalem thronum sortitus administrandum (erat ille vir profunda quidem canitie, et consimili prudentia, venerabilis ; plurimam porro possidens apud Deum fiduciam, propter vitæ splendorem, anima sanctimoniam, et accuratam fidei professionem) : sed et insuper Silvester atque Julius insignes illi celeberrimique Romanæ Ecclesiæ præsules, neuter tamen eorum personaliter præsens, aderant : sed uterque sua vice, sui pontificatus tempore, Vitum et Vincentium, communi illi consessui adesse jusserunt, homines virtute præditos, quique ad presbyteratus dignitatem ascenderant : cum quibus et Cordubæ episcopus (Hosius) sociabatur ; qui per Paganorum persecutiones nomen sibi veraciter impositum declaraverat : Hosius enim (i. e. sanctus) nominatus puram et sanctam professionem a cultu idololatrico conservarat.

7. Aderat etiam et Alexandriæ episcopus Alexander, vir rebus sancte et præclare gestis eximius. Adduxit ille secum colluctatorem et Athanasium, qui tunc diaconorum primicerius erat, post paulo

πόνων (10), τὰς ἁγίας καὶ οἰκουμενικὰς ἑπτὰ συνόδους, τὰς μὲν ὡς διδασκάλους, τὰς δὲ ὡς προμάχους τῆς εὐσεβείας ἀποδέχου καὶ περίεπε. Δι' αὐτῶν γὰρ πᾶσα καινοτομία καὶ αἵρεσις ἀπελαύνεται · τὸ δὲ τῆς ὀρθοδοξίας ἀκήρατον καὶ ἀρχαιοπαράδοτον φρόνημα ταῖς εὐσεβούντων ψυχαῖς εἰς ἀδίστακτον σεβασμιότητα καθιδρύνεται. Ὧν ἀπάρχομαι τὴν ἀφήγησιν, καὶ τόπον, καὶ ἀριθμὸν τοῦ πλήθους, καὶ τοὺς ἀρχηγοὺς ἑκάστης, χάριν εὐμαθίας, ταῖς οἰκείαις συνυποτυπούμενος ε πράξεσιν.

ς'. Ἡ τοίνυν πρώτη καὶ οἰκουμενικὴ ἁγία σύνοδος, ἐν τῇ κατὰ Βιθυνίαν Νικαίᾳ συνεκροτήθη · ὀκτὼ καὶ δέκα δὲ τριακόσιοι (11), θείων ἀρχιερέων ὁμήγυρις, τὴν τῆς ἀληθείας κρίσιν ἐνεχειρίζοντο. Ὧν ἦσαν προέχοντες, Ἀλέξανδρός τε, ὁ τὸν Κωνσταντινουπόλεως ἀρχιερατικὸν θρόνον λαχὼν διευθύνειν · ἀνὴρ βαθείᾳ μὲν πολιᾷ, παραπλησίῳ δὲ φρονήματι, σεμνυνόμενος, βίου δὲ λαμπρότητι καὶ ὁσιότητι γνώμης καὶ πίστεως ἀκριβείᾳ τὴν εἰς τὸ θεῖον παῤῥησίαν πολλὴν οἰκειούμενος · καὶ δὴ καὶ Σίλβεστρος, καὶ Ἰούλιος, τῆς Ῥωμαϊκῆς Ἐκκλησίας (12) ἐπίσημοί τε καὶ διαβόητοι πρόεδροι · αὐτῶν μὲν οὐδέτερος παραγεγονώς. Βίτωνα δὲ καὶ Βικέντιον, ἑκάτερος ἀνθ' ἑαυτοῦ, κατὰ τὸν οἰκεῖον τῆς ἀρχιερατείας χρόνον, τῇ κοινῇ παρεῖναι συνελεύσει προβαλλόμενοι, ἀνθρώπους ἀρετὴν τιμῶντας, καὶ εἰς τὸ τοῦ πρεσβυτερίου ἀξίωμα παραγγέλλοντας. Οἷς καὶ ὁ Κορδούβης Ἐπίσκοπος συνετέτακτο · ὃς κατὰ τοὺς Ἑλληνικοὺς διωγμοὺς τὴν κλῆσιν ἐπαληθεύουσαν ἔδειξεν. Ὅσιος γὰρ ὀνομαζόμενος ἀβέβηλον αὐτοῦ τὴν ὁμολογίαν τῆς εἰδωλικῆς λατρείας διετήρησεν.

ζ'. Ὁ μέντοι Ἀλεξανδρείας Ἀλέξανδρος, αὐτός τε παρῆν ἱεροῖς ἐν διαπρεπῶν καθορθώμασιν · ἦγε δὲ συναγωνιστὴν ἑαυτῷ καὶ Ἀθανάσιον, ὃς τότε μὲν τοῦ τάγματος τῶν διακόνων ἡγεῖτο · μετ' οὐ πολὺ δὲ,

VARIÆ LECTIONES.

ε Ἴσ.... νους.

NOTÆ.

(10) Ὦ καλὸν ἄγαλμα τῶν ἐμῶν πόνων. Simile est illud, et plane genuinum, in fine παραινέσεως istius ὦ τῶν ἐμῶν πνευματικῶν ὠδίνων εὐγενὲς καὶ γνήσιον γέννημα. Quasi Photio prædicante Bogaris ille Bulgarorum princeps ad fidem conversus fuisset. Quod non ita, sed illo fortassis procurante modum conversionis. Refert enim Joannes Curopalates apud Baronium (nam penes me liber non est), hoc modo : *Principis soror captiva Contantinopolin adducta, fit Christiana ; et postea domum reversa, fratri Christianorum mysterium commendat, et fidei semen in ejus cor spargit.* Cumque deinceps Bulgari ob ingenti fame premerentur, ad Deum Christianorum per preces princeps confugit, idque genti sibi subditæ, ut facerent, imperat. Impetrato auxilio, fit Christianus, et per episcopum, ob id missum, baptizatur. Quod cum Photii auspiciis, et per ejus auctoritatem fieret, utpote quod esset P. C., illum ita vocat, tum γέννημα, tum ἄγαλμα, tum θρέμμα suum.

(11) Legendum, ὀκτὼ καὶ δέκα καὶ τριακόσιοι. Tot enim, quod notissimum est, episcopi convenerant in concilio Nicæno.

(12) Καὶ δὲ καὶ Σίλβεστρος τῆς Ῥωμαϊκῆς Ἐκκλησίας. Vult concilium Nicænum sub Silvestro et Julio celebratum : quod est falsissimum. Julius enim successit Silvestro : at Silvester concilio supervixit plures annos. Verum non Photius solus hunc errorem erravit, sed et auctor Synopsis synodorum per Hœschelium editus. Et illum errorem altero insigniori auget, qui decimo Constantini anno affirmat concilium celebratum. Hœc enim ait : Καὶ ἡ μὲν πρώτη σύνοδος γέγονεν ἐν Νικαίᾳ τῷ δεκάτῳ ἔτει τῆς βασιλείας Κωνσταντίνου τοῦ μεγάλου βασιλέως, ὃς ἐβασίλευσεν ἔτη λη'. Quod utrumque falsum est, ὑπῆρχον δὲ πατέρες τ'. ι'. η'. Synodo principem locum obtinuisse ibi dicuntur Silvester Romanus, Alexander Constantinopolitanus, Alexander Alexandriæ, Eustathius Antiochiæ, et Macarius Hierosolymitanus, episcopi : Sozomen, lib. I, cap. 16, Julium suggerit. Quod et ipsum falsum est. Ibidem, Βίτωνα καὶ Βικέντιον. Vult Vitum et Vincentium : sed Græci facile errare solent in nominibus Latinis. Apud Sozom. legimus, Ἰούλιος δὲ ὁ Ῥωμαίων ἐπίσκοπος, διὰ γῆρας ἀπελιμπάνετο, παρῆσαν δὲ ἀντ' αὐτοῦ Βιτωτῶ Βικέντιος, τῆς αὐτῆς ἐκκλησίας πρεσβύτεροι. Inepta lectio est Βιτωτῶ ; legendum Βίτωντε.

Digitized by Google Распознавание текста ABK/FR

καὶ τοῦ ἀρχιερατικοῦ θρόνου κατέστη διάδοχος. Ναὶ δὴ καὶ ὁ κλεινὸς Εὐστάθιος συμπαρῆν, τῆς Ἀντιοχέων ἐκκλησίας τὸ ἐγκαλλώπισμα, πίσεως μὲν ἐναστράπτων καθαρότητι, λόγων δὲ καὶ νοημάτων σωφροσύνῃ θαυμαζόμενος. Μεθ' ὧν καὶ ὁ Ἱεροσολύμων Μακάριος, πολλαῖς ἰδέαις ἀρετῶν ἐνευθυνούμενος· ἄλλοι τε πλεῖστοι ἀποστολικοῖς χαρίσμασι καὶ μαρτυρικοῖς παθήμασι διαλάμποντες. Ὧν Παφνούτιος, καὶ Σπυρίδιων, Ἰάκωβός τε, καὶ Μάξιμος, ἀγαθοῦ καὶ θαυμασίου συστήματος ἀγαθοὶ καὶ θαυμάσιοι πρωτοστάται ἐγνωρίζοντο, Ἐφ' οἷς ἅπασιν, καὶ ὁ μέγας καὶ ἀξιάγαστος Κωνσταντῖνος, τῆς Ῥωμαϊκῆς ἀρχῆς ἰθύνων τὰ σκῆπτρα, διέπρεπε, τήν τε σύνοδον ἀθροίζων, καὶ λαμπροτέραν τῇ παρουσίᾳ ἀπεργαζόμενος.

A autem in archiepiscopali throno successor. Una quoque aderat et illustris ille Eustathius, decus Antiochenæ Ecclesiæ singulare, qui propter fidei puritatem celebris habebatur, propter orationis et judicii castitatem erat omnibus admirationi. Cum illis aderat et Macarius Hierosolymitanus multis virtutum generibus recte conformatus. Sed et alii ab istis multi, donis apostolicis et martyrum passionibus conspicui : inter quos censebantur Paphnutius, et Spyridion, Jacobus, et Maximus, qui præstantis illius et admirandi conventus præclari quidam et admirandi ductores et principes agnoscebantur. Cum istis porro omnibus magnus ille et merito dignus admiratione Constantinus, qui tum Romani imperii sceptra moderabatur, præsens eminebat. Ille autem et synodum illam convocarat, et sua ipsius præsentia, ut honoratior esset, effecit.

η'. Ἀλλ' ἐκ τοσούτων μὲν καὶ τοιούτων ὁ ἱερὸς ἐκεῖνος συνίστατο σύλλογος. Ἄρειόν τινα νεωτεροποιὸν δυσσεβείας δίκας εἰς πραττόμενος, καὶ τὸ ἀποστολικὸν καὶ θεῖον κρατύνοντες κήρυγμα. Ἦν δ' οὗτος ὁ δείλαιος ἕλκων μὲν τὸ γένος ἐκ τῆς Ἀλεξάνδρου, εἰς κλῆρον δὲ καταλεγεὶς τῆς ἐκεῖσε Ἐκκλησίας, καὶ εἰς πρεσβυτέρου βαθμὸν ἀνελθών, πρότερον μὲν κατὰ τοῦ ἰδίου ποιμένος ὑπερήφανον ἀνέλαβε φρόνημα, ἐκεῖθεν δὲ κατὰ τοῦ κοινοῦ ποιμένος καὶ Δεσπότου παρέτεινε τὴν ἀπόνοιαν· τὸν γὰρ Υἱὸν καὶ Λόγον τοῦ Θεοῦ (ὦ τῆς τολμηρᾶς ἐκείνης καὶ γλώττης καὶ διανοίας!) εἰς κτίσμα καὶ ποίημα κατεβίβαζεν, οὐδὲ τοῦτο συνιδεῖν ἐθέλων, κοινὸν ὑπάρχον πᾶσι καὶ αὐτοδίδακτον ὁμολόγημα, ὡς ἅπας Υἱὸς τῆς αὐτῆς ἐστι τῷ γεγεννηκότι οὐσίας καὶ φύσεως· καὶ ὁ τὸν Υἱὸν τάττων ἐν κτίσμασι, καὶ τὸν Πατέρα κτίσμα προανηγόρευσεν· ὥσπερ ὁ τὸν Πατέρα δημιουργικῆς οὐσίας καὶ ἀϊδίου φύσεως εἰδὼς, τῆς αὐτῆς εἶναι καὶ τὸν Υἱὸν συνανομολογήσειεν. Ποῦ δ' ἂν εἴη τὸ γνήσιον τῆς υἱότητος, ἄλλης μὲν οὐσίας τοῦ Πατρὸς, ἑτέρας δὲ τοῦ Υἱοῦ χρηματίζοντος; Πῶς δ' οὐ τῆς Ἑλληνικῆς πλάνης ἀνακύψει τὸ πολύθεον, εἰς ἐλάττω καὶ μείζω οὐσίαν τεμνομένης τῆς θεότητος, καὶ τῆς μὲν εἰς πρῶτόν καὶ δημιουργὸν καὶ πρεσβύτερον Θεὸν ἀφοριζομένης, τῆς δὲ εἰς δεύτερον Θεὸν διακρινομένης καὶ ὑπουργὸν καὶ νεώτερον; ταῦτα γὰρ τῆς τοῦ Ἀρείου πονηρᾶς σπορᾶς τὰ γεννήματα. Ἀλλὰ τοῦτον μὲν, ὡς χείλη βλάσφημα κατὰ τοῦ πεποιηκότος ὁπλισάμενον, τῆς ἱερωσύνης ὁ ἱερὸς ἀπεγύμνωσεν ὅμιλος· τὴν δὲ δυσσεβεστάτην καὶ θεομάχον αὐτοῦ αἵρεσιν τῷ ἀναθέματι καθυπέβαλεν· ὁμοούσιον δὲ, καὶ ὁμοφυῆ, καὶ συναΐδιον τὸν Υἱὸν καὶ Λόγον τοῦ Θεοῦ τῷ γεγεννηκότι Πατρὶ, καὶ τῆς αὐτῆς ἐξουσίας καὶ κυριότητος, ὡς οἱ θεῖοι χρησμοὶ, καὶ τῶν εὐσεβούντων τὰ κοινὰ δόγματα, ἱερολογήσαντες διετράνωσαν· καλῶς εἰδότες, ὅτι ὥσπερ τὸ εἰς ἓν συγκλείειν πρόσωπον τὴν τριαδικὴν μοναρχίαν καὶ κυριότητα Ἰουδϊκόν ἐστι καὶ μισόχριστον, οὕτω καὶ τὸ κατατέμνειν εἰς ἀνίσους φύσεις καὶ ἀνομοίους οὐσίας τὴν ὑπερούσιον καὶ ὑπερφυῆ καὶ ἐνιαίαν θεότητα Ἑλληνικὸν ὑπάρχει καὶ πολύθεον. Ἀλλ' ἐν τούτοις μὲν ἡ ἁγία καὶ οἰκουμενικὴ πρώτη Σύνοδος.

8. E tot igitur et tam egregiis viris sacra illa synodus cum constaret, ab Ario quodam rebus innovandis dedito pœnas hæreticæ pravitatis exigebat; apostolicam ac divinam tum retinendo tum confirmando doctrinam. Erat autem miser ille maledictus Arius Alexandrinus ortu : qui cum in clerum illius Ecclesiæ fuisset cooptatus, et ad presbyteri gradum ascendisset, primum insolentius se contra proprium suum pastorem efferebat; ut ita deinceps fastum suum et insaniam ad communem pastorem et Dominum porro protenderet : Filium namque ac Verbum Dei (o audacissimam tum linguam tum etiam mentem!) ad creaturarum usque et rerum productarum statum et conditionem dejiciebat. Ac ne illud quidem, quod tamen omnes per se intelligunt et communiter in confesso ponunt, volebat videre, quod nimirum quilibet filius ejusdem sit essentiæ ac naturæ cum suo genitore; et quod is qui filium inter creaturas collocat, patrem eo ipso quoque, et quidem prius, creaturam statuat : uti et is qui Patrem essentia Creatoris præditum esse intelligit, et natura æterna, una simul et eadem opera et Filium ejusdem naturæ ac essentiæ esse confitetur. Ubi autem erit filialitatis (ut sic loquar) veritas, si unius essentiæ exsistat pater, alterius autem dicatur esse filius. Imo autem, quomodo non paganici erroris illa deorum multiplicitas sese exseret, si in substantiam majorem et minorem Divinitas discindatur : atque illa ipsa quoque in primum, creatorem, et seniorem Deum dispertiatur; necnon in secundum, in substitutum et juniorem Deum discerpatur? Hæc sunt enim impii illius Ariani seminis genimina. Hominem autem istum, utpote contra Creatorem suum labia blasphema armantem sua, sanctus ille cœtus privavit sacerdotio : impiam porro et Deo bellum inferentem hæresim anathemati subjecit. Ejusdem autem substantiæ exsistere, naturæ ejusdem velut coæternum, Filium atque Verbum Dei, suo genitori, pari præditum potestate, Domino exæquatum, quod divina statuunt oracula, et secundum ea recte omnium sententium sententiæ, quas in unum collegerant, verum esse perspicue satis declarabant. Illud enim optime cognoscebant,

Digitized by Google Распознавание текста ABK/FR

quod quemadmodum Judaicum et Christi odium præ se fert, monarchiam et dominatum Trinitatis in unicam personam conclusam retinere, ita quoque et in naturas inæquales ac substantias dissimilares omnem substantiam excedentem, omnem naturam exsuperantem unam, unicam, et unientem Deitatem dividere, paganorum proprium est multitudinem deorum subintroducentium. Atque in istis illa sancta universalis prima synodus versabatur,

9. Secunda porro sancta œcumenica synodus urbem regiam (nimirum Constantinopolim) sacrarum deliberationum consiliis locum sacrum, destinatum velut museum referebat. Eo namque congregati fuerunt centum quinquaginta sacrati viri. Principes inter illos erant, Timotheus, qui sedem archiepiscopalem Alexandrinam ; spectabilis Meletius, qui Antiochenam ; Cyrillus, qui Hierosolymitanam administrabat Ecclesias. Certe quidem Nectarius ibi, qui non ita pridem de catechumenorum grege separatus divino lavacro sordes suæ vitæ abluerat, mundus factus mundissima pontificatus dignitate convestitur : de sententia illius synodi generali, per manum vero prædictorum præsulum impositionem, ita ut simul regiæ urbis episcopus et synodi præses nominaretur. Aderat et istis Gregorius, Nyssæ in Cappadocia episcopus, et qui *Theologi* ex operibus nomen habebat. Cum quibus conspirare agnoscebatur Damasus Romanus episcopus, dum synodi istius acta, eamdem cum ipsis sententiam fovens, confirmaret.

A θ'. Ἡ δὲ ἁγία καὶ οἰκουμενικὴ δευτέρα σύνοδος τῶν μὲν ἱερῶν φροντισμάτων τὴν βασιλίδα πόλιν ἱερὸν ἐδείκνυ φροντιστήριον (13)· εἰς πεντήκοντα δὲ καὶ ἑκατὸν ἄνδρας ἱεροὺς συνηγείρετο ἔξαρχους ἔχουσα Τιμόθεόν τε [h] τὸν Ἀλεξανδρείας, καὶ τὸν ἀξιοθαύμαστον τῆς Ἀντιοχείας Μελέτιον. Κύριλλόν τε τῶν Ἱεροσολύμων, τοὺς ἱεραρχικοὺς θρόνους ἰθύνοντας· καὶ δὴ καὶ Νεκτάριον, ὃς ἄρτι τῆς τῶν κατηχουμένων ἀγέλης ἀφορισθεὶς, καὶ τῷ θείῳ λουτρῷ τὸν τοῦ βίου ῥύπον ἀποπλυνάμενος, καθαρὸς ἤδη, τὸ καθαρώτατον τῆς ἱεραρχίας ἄξίωμα περιβάλλεται, ψήφῳ μὲν κοινῇ τῆς συνόδου, χειροθεσίᾳ δὲ τῶν προκρίτων· καὶ ἅμα τε τῆς βασιλευούσης ἐπίσκοπος, καὶ τῆς συνόδου ἐχρημάτιζεν ἔξαρχος. Μεθ' ὧν Γρηγόριος, ὅ τε τῆς ἐν Καππαδοκίᾳ Νύσσης B ἐπίσκοπος, καὶ ὁ τῆς Θεολογίας ἐξ ἔργων ἐπώνυμος. Οἷς, οὐ πολὺς χρόνος καὶ Δάμασος, ὁ τῆς Ῥώμης, τὰ αὐτὰ κρατύνων, ἐγνωρίζετο, σύμφωνος τοῖς προλαβοῦσι καθιστάμενος.

10. Sacratissimus porro chorus iste Macedonium quemdam, qui sedem quondam Constantinopolitanam arreptam invaserat, juste censuit pœnas dare debuisse, eo quod in sanctissimum Spiritum vitæ fontem blasphemus exstiterat. Sicut enim Arius contra Filium, ita et iste contra Spiritum sanctum armis instructus prodierat in aciem : cujus dominium supremum et principatum excellentem ad servilem et subjectitiam redigat conditionem. Quanquam facile poterat, si in id intendere voluisset, infelix et improbus iste animadvertere, quod ut illi qui Filium compingunt in ordinem creaturarum, contumelia nihilominus afficiunt Patrem, ita et qui sacrosanctum ejus Spiritum annumerant creaturis, simili prorsus et æquali modo blasphemi in eumdem sunt. Nam si Spiritus creatura est, certe et ille creatura fuerit, cujus spiritus est. Quod si istius impietatis excessum aures nostræ ferre nequeant, unde factum ut miser ille non intellexerit, omni modo illud declinandum sibi esse unde

ι'. Οὗτος δὴ οὖν ὁ ἱεροφάντης χορὸς Μακεδόνιόν τινα, τὸν Κωνσταντινουπόλεως θρόνον ἅρπαγμα πάλαι ποιησάμενον, ὅτι τὸ πανάγιον καὶ ζωαρχικὸν ἐδυσφήμει [i] Πνεῦμα, εὐθύνας ἐδικαίου δοῦναι. Ὡς γὰρ Ἄρειος κατὰ τοῦ Υἱοῦ, οὕτω καὶ αὐτὸς κατὰ τοῦ παναγίου παρατατόμενος Πνεύματος, εἰς δούλους καὶ ὑπηρέτας τὴν δεσποτικὴν καὶ ὑπερκειμένην αὐτοῦ συνέταττε κυριότητα. Καί τοι ῥᾴον ἦν, εἴπερ ἐβούλετο, τῷ ἀθλίῳ συνορᾶν, ὅτι, καθάπερ οἱ C τὸν Υἱὸν εἰς κτίσμα τάττοντες, τὴν ὕβριν οὐδὲν ἧττον προσάπτουσι τῷ Πατρὶ, οὕτω καὶ οἱ τὸ πανάγιον αὐτοῦ Πνεῦμα τοῖς ποιήμασιν ἐναριθμοῦντες, τὴν ἴσην καὶ ὁμοίαν βλασφημίαν ἀφιᾶσι κατ' αὐτοῦ. Εἰ γὰρ τὸ Πνεῦμα, κτίσμα, κἀκεῖνος οὗ τὸ Πνεῦμα, μετὰ τῶν κτισμάτων. Εἰ δὲ καὶ ἀκοαῖς ἀφόρητον ἡ τῆς ἀθεότητος ταύτης ὑπερβολὴ, πῶς οὐ συνῆκεν ὁ ταλαίπωρος ἐκεῖνο φεύγειν, δι' οὗ πρὸς τούτους ἀνάγκη πεσεῖν τοὺς θεομάχους λογισμούς ; Ἀθετεῖς τὸ Πνεῦμα εἶναι Θεόν ; (14) πῶς ἐρευνᾷ τὰ βάθη τοῦ Θεοῦ, κρύφιον ἀπ' αὐτοῦ ; πῶς ἐστιν ἄλλος παρά-

VARIÆ LECTIONES.

[h] Ἴσ. Τιμόθεον τότε. [i] Ἴσ. ἐβλασφήμει. [j] Ἴσ, ἀγνίζει.

NOTÆ.

(13) Φροντιστήριον. Vult, quod verum est, secundam synodum universalem Constantinopolitanam in urbe illa regia convenisse. In qua synodo, ut Synopsis habet, ἡγοῦντο Δάμασος Ῥώμης, Νεκτάριος Κωνσταντινουπόλεως, Κύριλλος Ἱεροσολύμων, etc. Quos Ἐξάρχους vocat Photius. Sed Damasus non adfuit, ne quidem per legatos ; nec Timotheus, nisi continuata synodo, turbo et flabellum illius tempestatis, qua dejectus throno Gregorius Nazianzenus, qui hic, Θεολογίας ἐξ ἔργων ἐπώνυμος, dicitur. Nazianzeni causam ita breviter et vere expedit Synopsis. *Gregorius Theologus obtinens thro-* D *num Constantinopolitanum, qui cum in illa sancta synodo divisio oriebatur, sponte sua in synodo throno renuntiavit. et habita oratione, qua cum fidem profiteretur, tum abitum pararet, in præsentia Patrum illorum centum et decem excessit synodo, et migrarit, Nazianzum.* In cujus locum impii illi, qui amotionis causa exstiterant, Nectarium laicum, illum cujus meminit Photius, contra canones intruserunt.

(14) Lego et distinguo, πῶς ἐρευνᾷ τὰ βάθη τοῦ Θεοῦ, κρύφιον ἀπ' αὐτοῦ. Nam alludit ad illud Apostoli, I Cor. II, 10

Digitized by Google Распознавание текста ABK/FR

κλητος; πῶς συντάττεται Πατρὶ καὶ Υἱῷ; Πορευθέντες γὰρ, αὐτός φησιν ὁ Υἱὸς, μαθητεύσατε πάντα τὰ ἔθνη, βαπτίζοντες αὐτοὺς εἰς τὸ ὄνομα τοῦ Πατρὸς, καὶ τοῦ Υἱοῦ, καὶ τοῦ ἁγίου Πνεύματος. Εἰ ἕν τι τῶν τριῶν κτισμα, ἐν οἷς φωτιζόμεθα, οὐδὲ τὰ λοιπὰ καθαρεύσει τῆς ὕβρεως. Ἀλλ' εἰ κτίσμα, πῶς κτίζει; πῶς ἁγιάζει ; πῶς ζωοποιεῖ; πῶς διαιρεῖ χαρίσματα; πῶς δὲ Θεός; ἀλλὰ τούτων οὐδὲν ἐκεῖνος ὁ φρενοβλαβὴς ἐπὶ νοῦν βαλλόμενος, τῆς μοναρχικῆς αὐτὸ καὶ μιᾶς ἀδιαιρέτου θέοτητος διασπᾷν τὸ Πνεῦμα ἐτόλμα καὶ ἀπεθρασύνετο. Διὸ καὶ τῆς ἀσεβείας ἐπάξια εἴληφε τὰ ἐπιχείρια, αὐτός τε ἀφαιρέσει τῆς ἱερωσύνης ζημιωθεὶς, καὶ πάντες ὅσοι τῆς αὐτοῦ θεομαχίας τὸ ἀνιάτον παρεζήλωσαν. Καὶ ὡς ἐκεῖνος τὸ πανάγιον Πνεῦμα τῆς τριαδικῆς μιᾶς θεότητός τε καὶ κυριότητος ἀλλοτριοῦν ἐγρυάττετο, οὕτως αὐτὸν ἡ ἁγία καὶ οἰκουμενικὴ σύνοδος καὶ τῆς ἱερωσύνης καὶ τῆς τῶν πιστῶν μερίδος καὶ συναυλίας οἷα δεύτερον ἠλλοτρίωσεν Ἄρειον. Τὸ δὲ πανάγιον καὶ ζωαρχικὸν Πνεῦμα, ἅ τε δὴ ὁμοφυὲς καὶ ὁμοούσιον, ἰσοσθενές τε καὶ παντοδύναμον, τῷ Πατρὶ καὶ τῷ Υἱῷ συμπροσκυνεῖσθαι κἀὶ συνδοξολογεῖσθαι, κατὰ τὰς πατρικάς τε καὶ θεολογικὰς φωνὰς, ἀνεκήρυξαν· ἐκθερίσαντες τέλεον καὶ εἴ τι τῆς Ἀρειανῆς σπορᾶς ζιζάνιον ὑπεφύετο. Τηνικαῦτα δὲ τὰς τῆς βασιλείας ἡνίας ὁ μέγας ὡς ἀληθῶς καὶ μεγάλης εὐφημίας ἄξιος περιεζώννυτο Θεοδόσιος, πρόμαχος καὶ αὐτὸς τῆς εὐσεβείας γνωριζόμενος. Ἀλλ' ἐν τούτοις μὲν καὶ αὕτη ἡ ἁγία σύνοδος.

A fieri omnino debuit ut in istiusmodi impias et cum Deo pugnantes opiniones recidat? Concedere non vis Spiritum esse Deum? at quomodo profunda Dei scrutatur, ab ipso abstrusa? quomodo erit *alius* Paracletus? unde factum ut cum Patre et Filio componatur? *Euntes enim*, ait ipsemet Filius, *in mundum universum, docete omnes nationes, baptizantes eos in nomine Patris, et Filii, et Spiritus sancti* [2]. Quod si autem e tribus istis, in quorum nominibus baptizati illuminamur, unus erit creatura, certe quidem nec cæteri ab injuria hac et contumelia immunes fuerint. Quod si creatura sit, quomodo quidquam creat? quomodo sanctificat, vel vivificat? quomodo distribuit charismata? quomodo Deus? Nihil autem istorum delirus ille apud animam suam reputans cogitabat; B sed ausus est homo importunus, insolenter a monarchica unica, indivisa Deitate dividere Spiritum. Quocirca dignam sua molitione impia mercedem recepit. Nam et sacerdotio privatus multabatur; et una cum eo quotcunque incorrigibiles eamdem hæresim in Deum blasphemi sectabantur. Et quemadmodum ille sanctum Spiritum alienum a Trinuna Deitate et Dominatione jactitabat, ita illum sancta et universalis synodus, tanquam alterum Arium, a sacerdotio et fidelium sodalitio ac portione declaravit alienum. Sanctissimum porro et vitæ Auctorem principalem Spiritum, juxta Patrum et theologorum sententias, publico præconio de- C monstravit, una cum Patre ac Filio adorandum et simul glorificandum, utpote ejusdem existentem cum illis naturæ substantiæque, pari præditum virtutis potentia, facultate. Quin et si quod zizaniorum adhuc de semine Arii suppullulaverat, et illud stirpitus evellebant. Imperii porro tunc temporis frena moderabatur magnus ille et magno laudum præconio celebrandus Theodosius; qui religiosæ pietatis propugnator egregius existebat. Atque ad hunc modum habuit se ista synodus.

ια'. Ἡ δὲ ἁγία καὶ οἰκουμενικὴ τρίτη σύνοδος ἐν μὲν τῇ κατὰ τὴν Ἀσίαν Ἐφέσῳ συνεκροτήθη· εἰς διακοσίους δὲ ἐπληθύνετο. Ἐν οἷς ἡγεμόνες ἐγνωρίζοντο, Κύριλλός τε ὁ ἐν πατράσι περιώνυμος, ὃς δι' ἀρετὴν καὶ σοφίας πλοῦτον τῆς Ἀλεξάνδρου μεγαλοπόλεως ἐθύνων τὸν θρόνον, καὶ τοῦ Ῥώμης Κελεστίνου τὴν καθέδραν ἀνεπλήρου καὶ τὸ πρόσωπον. Μεθ' ὧν καὶ Μέμνων, ὁ τῆς Ἐφεσίων ἐκκλησίας ἐμπεπιστευμένος τοὺς οἴακας· καὶ δὴ καὶ ὁ τῶν Ἱεροσολύμων, Ἰουβενάλιος. Οἵτινες σὺν παντὶ τῷ τῆς συνόδου πληρώματι, τὸν δυσσεβῆ Νεστόριον, ὧν ἠσέβει, δίκας εἰσεπράττοντο. Ὃς ἐκ τῆς Ἀντιόχου, τῆς πρὸς τῷ Ὀροντῃ, ὁρμώμενος, τὸν Κωνσταντινουπόλεως θρόνον οὐκ εὐαγῶς ἐγκεχείριστο (15). Ἀλλ' ὅγε ταλαίπωρος οὗτος, ἐκ τῶν (16) Διοδώρου καὶ

11. Tertia autem sancta et universalis synodus Ephesi in Asia congregabatur, numero ducenario completa. Principes porro ferebantur, Cyrillus ille inter Patres nominatissimus, qui et virtute et prudentia instructissimus magnæ illius Alexandri urbis thronum insidebat: necnon Cœlestini Romanæ urbis episcopi obibat et peragebat vices. Aderat et Memnon, qui ad clavum Ephesinæ Ecclesiæ sedebat: Juvenalius quoque Hierosolymorum. Isti, una cum D totius synodi consessu cætero, ab impio Nestorio impietatis suæ pœnas reposcebant. Ille autem Antiochia ortus ad Orontem flumen sita, atque inde profectus, solium Constantinopolitanum haud sane legitime conscenderat. Infelix iste homo de lutulentis Diodori et Theodori impietatum scaturiginibus,

[2] Matth. xxviii, 18-20.

NOTÆ.

(15) Οὐκ εὐαγῶς ἐγκεχείριστο. Inauspicato, alioquin perperam haud ascendit episcopatum, sed per canonicam, si quis alius, electionem. *Post excessum Sisinnii*, inquit Socrates, lib. vii, cap. 27, *visum est imperatori propter homines inanium rerum appetentes, neminem ex ista Ecclesia, licet aliqui Philippum, complures Proclum designatum cuperent, ad episcopatum illum eligere, sed advenam Antiochia arcessere.* Deinde hominem accersitum ita describit: *Erat illic Nestorius ex Germania oriundus, voce imprimis sonora, lingua diserta, et ob eam causam tanquam ad docendum populum admodum accommodatus.* Accersitus igitur, et canonice electus inthronizatur. Qualis autem ille postea in episcopatu exstiterit, notum est.

(16) Ἐκ τῶν Διοδώρου καὶ Θεοδώρου. Intelligit

Digitized by Google Распознавание текста ABK/FR

ubi potaverat ipse, et mente ebrius esse cœperat, ad perniciem gregis sui, absurdas et abhorrendas quasdam voces multorum auribus ingerebat. Christum etenim, Dei Filium unicum, Deum nostrum verum, qui propter nos et salutem nostram carnis atque sanguinis nostri, similis nobis factus participavit, et in seipsum nostram suscipiens et substituens massam, unus e duobus contrariis conflatus dicebatur : Deus nempe idem atque homo exsistens, unus Christus, Filius unus, idem desursum e Patre sine matre, qui deorsum erat e matre sine Patre : ipse et non alius, eadem persona, hypostasis una : Hunc scilicet unum Dominum nostrum Jesum Christum infelicissimus ille nihil veritus in duas hypostases dissecare et dividere, alteram merum et purum hominem conflnxit in sua propria hypostasi subsistentem, separatim a Verbo assumente, alteram vero divisim Deum assumento omni corporeo denudatum : veritus fortassis, qua fuit stultitia, ne quid pateretur Deus, dum propter amorem erga homines inexplicabilem suam ipsius subiit creaturam, ut illam refingeret et persanaret. Neque illud animadvertit, quod eo ipso in quo naturam humanam ab hypostasi Verbi separavit, eamdem plane insanabilem atque incurabilem prædicaverit ; ipseque adeo suam propriam salutem aversetur, eam plane abnegando. Sed et ulterius, quasi ratio ipsi penitus fuisset expectorata a perversis hisce opinionibus suis, pati noluit matrem ejus secundum carnem, sanctissimam nempe Virginem, quæ veraciter quidem a peculiari suo modo Deum Verbum incarnatum pepererat, Deiparam nominari : sed uti Filium privarat deitate, ita parentem ejus a titulo Deiparæ alienam fecit.

A Θεοδώρου θολερῶν τῆς ἀσεβείας ἐκροφήσας ναμάτων, καὶ εἰς φρενῶν μέθην ἐμπεσὼν, ἀπηχεῖς καὶ ἐκτόπους φωνὰς, ἐπὶ λύμῃ τοῦ ποιμνίου, πολλῶν ἀκοαῖς ἐναπηρεύξατο. Χριστὸν γὰρ, τὸν ἕνα Θεοῦ Υἱὸν (17), τὸν ἀληθινὸν Θεὸν ἡμῶν, ὃς δι' ἡμᾶς καὶ διὰ τὴν ἡμετέραν σωτηρίαν σαρκὸς, ἡμῖν παραπλησίως, κοινωνήσας καὶ αἵματος, καὶ εἰς ἑαυτὸν τὸ ἡμέτερον ὑποστησάμενος φύραμα, εἷς ἐκ δύο ἐχρημάτισε τῶν ἐναντίων, Θεὸς ὁ αὐτὸς ὑπάρχων καὶ ἄνθρωπος· εἷς Χριστὸς, εἷς Υἱὸς, ὁ αὐτὸς ἄνω ἐκ Πατρὸς ἀμήτωρ, καὶ κάτω ἐκ μητρὸς ἀπάτωρ· ὁ αὐτὸς καὶ οὐκ ἄλλος· ἓν πρόσωπον, μία ὑπόστασις. Τοῦτον δὴ τὸν ἕνα, Κύριον ἡμῶν Ἰησοῦν τὸν Χριστὸν, εἰς δύο τέμνειν καὶ διαιρεῖν ὑποστάσεις, ὁ τρισάθλιος ἐκεῖνος οὐ πεφρικὼς, τὸν μὲν ψιλὸν ἄνθρωπον, καὶ χωρὶς B τοῦ προσλαβόντος Λόγου, κατ' ἰδίαν ὑπόστασιν, ἔπλαττε, τὸν δὲ Θεὸν ἀνὰ μέρος, καὶ γυμνὸν τοῦ προσλήμματος· ὥσπερ δεδοικὼς ὁ ἀνόητος, μή τι Θεὸς πάθοι, τὸ οἰκεῖον πλάσμα δι' ἄφατον φιλανθρωπίαν, εἰς θεραπείαν, καὶ ἀνάπλασιν ὑποδυόμενος. Οὐδὲ τοῦτο συνιδὼν, ὡς οἷς τὴν ἀνθρωπίνην φύσιν τῆς τοῦ Λόγου ἐδίχαζεν ὑποστάσεως, ἀνίατον αὐτὴν καὶ ἀθεράπευτον ἀνεκήρυττε, καὶ τῆς ἰδίας ἔξαρνος σωτηρίας ἐγίγνετο. Ἀλλὰ γὰρ [k], τοὺς λογισμοὺς ὅλως ἐκ τούτων διαστραφεὶς, οὐδὲ τὴν αὐτοῦ κατὰ σάρκα μητέρα, τὴν παναγίαν Παρθένον, τὴν κυρίως καὶ ἀληθῶς τὸν Θεὸν Λόγον σεσαρκωμένον τεκοῦσαν, οὐδὲ ταύτην καλεῖν Θεοτόκον ἠνέσχετο· ἀλλ' ὥσπερ τὸν Υἱὸν ἀπεστέρει τῆς θεότητος, οὕτως ἠλλοτρίου καὶ τὴν γεννησαμένην τῆς Θεοτόκου κλήσεως.

12. Quorcica hunc, prout meritus fuerat per hanc suam insaniam et linguam blasphemam, sacer hic beatorum Patrum confessus omni sacerdotio denudavit, et, una cum ipsius propria et detestanda sententia, sempiterno subjecit anathemati. Dominum vero nostrum Jesum Christum, in una et eadem hypostasi, more veteri et a Patrum traditione accepto, prædicandum et adorandum decrevere : Nec non, prout consequens erat, immaculatam et semper virginem ejus Matrem proprie et vere nominandam et prædicandam Deiparam prodidere. Eo enim ipso quod Deum Verbum, in carne dignatum nasci, peperit, Deiparam nec injuria et dici et coli et par et sanctum est. Atque hisce ita determinatis finem suscepit et ista synodus quo tempore Theodosium

C ιβ'. Δι' ὃ τοῦτον, ἀξίως τῆς τηλικαύτης ἀπονοίας καὶ τῆς βλασφήμου γλώσσης, τῶν μακαρίων πατρῶν ὁ σύλλογος πάσης τε ἱερωσύνης ἐγύμνωσε, καὶ σὺν τῷ οἰκείῳ καὶ βδελυρωτάτῳ φρονήματι τῷ αἰωνίῳ παρέπεμψαν ἀναθέματι. Τὸν δὲ Κύριον ἡμῶν Ἰησοῦν Χριστὸν, ἐν μιᾷ καὶ τῇ αὐτῇ ὑποστάσει πατροπαραδότως καὶ ὁσιοπρεπῶς προσκυνεῖσθαι καὶ κηρύττεσθαι δογματίσαντες, ἀκολούθως καὶ τὴν παναχραντον αὐτοῦ καὶ Ἀειπαρθένον μητέρα κυρίως καὶ ἀληθῶς καλεῖσθαι καὶ ἀνευφημεῖσθαι Θεοτόκον παραδεδώκασιν. Οἷς γὰρ τὸν Θεὸν Λόγον, σαρκὶ γεννηθῆναι καταδεξάμενον, τέτοκεν, Θεοτόκος ἐνδίκως δοξολογεῖσθαι καὶ ὀνομάζεσθαι ἐξωσίωται. Ἀλλ' ἐπὶ τούτοις μὲν καὶ αὖτη τὸ τέλος ἔσχηκεν, ἡνίκα D τὸν νέον Θεοδόσιον ἡ Ῥωμαϊκὴ πολιτεία γαληνοῖς

VARIÆ LECTIONES.

[k] Ἴσ. ὡς καί.

NOTÆ.

Mopsuestenum et Tarsensem episcopos, qui et doctissimi et orthodoxi erant, aut habebantur, præcipue Diodorus, et a Basilio, Chrysostomo ac aliis laudantur, nec nisi mortui in suspicionem hæreseos venere, et sequiorum sæculorum calamis punguntur, qui mihi non persuadent fuisse hæreseos labe infectos.

(17) Χριστὸν γὰρ τὸν ἕνα Θεοῦ Υἱόν. Ita legendum. Nam statim ait, τοῦτον δὲ τὸν ἕνα· sed addendum est Θεοῦ, hoc modo, Χριστὸν γὰρ τὸν ἕνα Θεοῦ Υἱόν, ***Christum unicum Dei Filium.*** Statim repono, ὡς καὶ τοὺς λογισμούς. Et mox, τὸν νέον Θεοδόσιον, quem alii μικρὸν vocant, hoc est, ***junio-rem***, qui regnavit annos 42. In hac synodo, ex æmulatione et ambitione, certatum est usque ad anathematismos, inter Cyrillum Alexandrinum, et Joannem Antiochenum, a cujus partibus stabat doctissimus Theodoretus, hoc est inter episcopos Orientales et Ægyptiacos.

Digitized by Google Распознавание текста ABK/FR

ἐώρα ὀφθαλμοῖς τὴν πατρῴαν καὶ βασίλειον ἀρχὴν ἐκ τριγονίας διανύοντα.

ιγ'. Ἡ δὲ ἁγία καὶ οἰκουμενικὴ τετάρτη σύνοδος, τὸν ἐν βασιλεῦσιν εὐσεβέστατον Μαρκιανὸν συμπαρόντα καὶ συμπνέοντα ἔχουσα, τῶν ἀληθινῶν μὲν δογμάτων ἀκροατήριον (18) ἀνιέρου τὴν Χαλκηδόνα, πόλιν Βιθυνίας οὖσαν ἐπίσημον. Ἐν τριάκοντα δὲ καὶ ἑξακοσίοις τὸν ἀριθμὸν ἐξετείνετο. Ἧς λογάδες ἐχρημάτιζον Ἀνατόλιός τε ὁ τῆς βασιλίδος πόλεως τοὺς ἱεραρχικοὺς θεσμοὺς ἐγκεχρισμένος (19) [1] · καὶ ὁ τὴ Πασχασῖνός τε καὶ Λουκίνσιος, ἐπισκοπικῷ διαπρέποντες ἀξιώματι, σὺν Βονιφατίῳ πρεσβυτέρῳ, τὸν τόπον ἐπέχοντες Λέοντος τοῦ ἁγιωτάτου πάπα Ῥώμης. Οὗ κλέος μέγα, καὶ πολὺς ὁ ὑπὲρ τῆς εὐσεβείας ζῆλος. Μεθ' ὧν Μάξιμός τε ὁ Ἀντιοχείας, καὶ ὁ Ἱεροσολύμων Ἰουβενάλιος. Οἵτινες Εὐτυχῆ τε τὸν δυστυχῆ καὶ τὸν προασπιστὴν αὐτοῦ τὸν ἀλαζόνα Διόσκορον δυσσεβημάτων εἰς πράξεις ἀπῄτησαν. Καὶ γὰρ καὶ οὗτοι, τὴν ἐκ διαμέτρου Νεστορίῳ πλάνην οἰκειωσάμενοι, εἰς τὴν ὁμοίαν ἐκείνῳ ἐξέπεσον ἀθλιότητα. Τὸν γὰρ ἕνα Κύριον ἡμῶν Ἰησοῦν Χριστὸν, ἐκ θεότητος καὶ ἀνθρωπότητος γνωριζόμενον, καὶ ἐν ταύταις ταῖς δυσὶ προσκυνούμενον φύσεσιν, εἰς μίαν φύσιν τολμηρῶς καὶ ἀφρόνως ἀνεκρίνων καὶ συνέχεον. Ἐξ ὧν, τῆς τε πατρικῆς οὐσίας ἑτερόφυλον, καὶ τοῖς ἀνθρώποις ἑτερόφυλον, καὶ τοῖς ἀνθρώποις ἑτεροφυᾶ, οὐ συνίεσαν οἱ δείλαιοι συμπεραίνοντες. Εἰ γὰρ μία ἡ τοῦ Χριστοῦ φύσις, ἡ θεία πάντως ἡ ἀνθρωπίνη ἔσται. Ἀλλ' εἰ μὲν μόνη θεία, ποῦ τὸ ἀνθρώπινον ; εἰ δ' ἀνθρωπίνη [m], πῶς οὐκ ἔξαρνοι τῆς θεότητος ; εἰ δ' ἕτερόν τι παρὰ ταῦτα (τοῦτο γὰρ ὑπολείπεται, καὶ πρὸς τοῦτο μᾶλλον αὐτῶν νεύει τὸ φρόνημα), πῶς οὐχ ἑτεροφυὴς αὐτοῖς ὁ Χριστὸς καὶ τοῦ Πατρός καὶ ἡμῶν ἀναπλασθήσεται ; οὔ τί ἂν δυσσεβέστερον, ἢ ἀφρονέστερον ; ἄνθρωπον γενέσθαι φάσκειν τὸ τοῦ Θεοῦ Λόγον καὶ Θεὸν, ἐπί τε φθορᾷ τῆς ἰδίας θεότητος, καὶ ἐπὶ ἀναιρέσει τῆς προσληφθείσης ἀνθρωπότητος ; Τοῦτο γὰρ ἕπεται πάντως τοῖς μηδετέρας φύσεως, ἀλλ' ἑτέρας παρὰ ταύτας, τὸν Χριστὸν εἰπεῖν ἐκτολμήσασι.

ιδ'. Διὸ καὶ τῆς τοσαύτης δυσσεβείας οἱ τῶν χριστομάχων τούτων δογμάτων εἰσηγηταὶ, ἀξίαν τὴν δίκην δεδωκότες, ἀφῃρέθησάν τε τῆς ἱερωσύνης, καὶ ἀπὸ πάσης τῆς Ἐκκλησίας γεγόνασιν ἀνάθεμα· συναπελαθείσης αὐτοῖς καὶ τῆς χριστομάχου αἱρέσεως. Τὸ δὲ ὀρθὸν καὶ ἀπαράτρωτον τῆς ὀρθοδοξίας φρόνημα ἔτι μᾶλλον ταῖς γραφικαῖς τε καὶ πατρικαῖς

juniorem Romana respublica oculis serenis intuebatur, regnum a Patre acceptum suo, tertio jam ordine generis, gubernantem.

13. Sancta et œcumenica quarta synodus religiosissimum principem Marcianum præsentem vidit et conspirantem, quæ veritatis dogmatum auditorium Chalcedonem Bithyniæ urbem celebrem consecravit. Ad sexcentos et triginta numerus pertingebat convenarum. Quorum præcipui dicebantur Anatolius, qui in sacerdotale regiæ urbis solium fuerat inunctus : Paschasinus quoque et Lucentius episcopali dignitate fulgentes, una cum presbytero Bonifacio, locum Leonis sanctissimi papæ Romani obtinebant, cujus Leonis ingens gloria et multus pro pietate zelus. Aderant præterea Maximus Antiochiæ, et Juvenalius Hierosolymorum. Isti Eutychen infelicem et insolentissimum illum ipsius protectorem Dioscorum rationes reddere de impietate coegerunt. E diametro isti contrarium Nestorio errorem sibi appropriaverant ; unde in parem cum illo impietate proruerant. Unicum enim Dominum nostrum Jesum Christum a divina natura agnitum et humana, atque in utraque natura adoratum, summam per audaciam et stultitiam in unam naturam commiscentes, confuderunt. Nec miseri ut erant intelligebant, quod per hanc irritam rationem illum alienigenam, a paterna substantia diversum, necnon differenti ab hominibus natura constantem, definirent. Nam si unica tantummodo sit natura Christi, vel divina prorsus ea fuerit, vel humana. Quod si mere divina sit, ubi tunc humana ? quod si tantum humana, fieri non potest quin negetur divina. Quod si quid diversum ab utraque natura fuerit (nam hoc in hac causa unicum iis relinquitur, et eo videntur propendere), quomodo non erit apud ipsos Christus alterius cujusdam et diversæ naturæ cum a suo Patre tum a vobis ? quod quid magis impium aut delirum magis fingi potest ? asserere nimirum Verbum Dei, Deum, hominem factum in eum finem, ut cum divinitas destrueretur propria, etiam assumpta humanitas in nihilum redigeretur. Hoc enim ita plane consequetur, si quis tueri ausus fuerit Christum non alterius istarum, sed præter istas alius naturæ participasse.

14. Quocirca dignum sua impietate supplicium subiere, qui dogmatum istorum, per quæ Christo bellum indicitur, auctores fuerant, sacerdotio nempe dejecti, et per omnes Ecclesias anathemati subjecti, cum quibus et ipsa hæresis expellebatur. Recta autem et orthodoxa sententia, nullis vulneribus confossa, majorem in modum testimoniis et e Scriptura

VARIÆ LECTIONES.

[1] Leg. ἐγκεχειρισμένος. [m] Ἴσ. μόνη.

NOTÆ.

(18) Ἀκροατήριον. Ita prius vocavit, ob eamdem causam, Constantinopolin φροντιστήριον, propter loci nobilitatem, a viris eruditione celebribus celebratam.

(19) Θεσμοὺς ἐγκεχρισμένος. Annotarat doctissimus D. Lindsell, ὁ μακρίτης, legendum sibi videri ἐγκεχειρισμένους, apposite quidem, et magis ex usu linguæ. Sed Photius solet interdum καινοτομεῖν et καινοφωνεῖν. Quocirca codicis scripturam admitto, ut sit ἐγκεχρισμένος, *inunctus*. Ad finem sectionis forte legendum et distinguendum σαφῶς τε καὶ ἀναντιῤῥήτως λέγω, etc.

Digitized by Google Распознавание текста ABK/FR

et e Patribus deductis confirmatur, præconiis celeberrima clarescebat. Unum enim Christum, id est, unicam ejus hypostasin, naturam vero duplicem, divinam nempe et humanam, inconfusim et indivisim consideratam, per beatissimos hosce sacerdotes et theologos, in mundum universum et mundi extremos terminos, confessione et prædicatione agnoscendam, clare, perspicue et sine hæsitatione propagabant. Hinc quoque liquet, quod cum claudis gressus confirmarentur, et cæcis cæcitas in efflorescentiam oculorum succresceret, cum mortui ab inferni portis retraherentur, et in vitam denuo transmitterentur, necnon cum et aliæ divinæ virtutes, quas non est facile enumerare, perpetrarentur, et in conspectu omnium propalarentur, divinæ naturæ dignitas et eminentia evidenter demonstrabatur. Rursus per id, quod defatigationem, laborem, sitim, famem sustinuerit et paupertatem, atque his similia et congenita, proprietas humanæ substantiæ manifestabatur. Quædam istorum ut Deo dignum erat, alia pro conditionis humanæ modo, idem et unus Christus, verus Deus noster, cum operaretur et perficeret, certe unam et unitate consistentem hypostasin suam, duas autem et diversas naturas in unione illa inconfusa, perspicue clara nec ullo pacto contradicenda ratione tum exhibuit tum confirmavit. Atque hactenus de quarta synodo.

A μαρτυρίαις ἀνεκηρύχθη καὶ διέλαμψεν· Ἕνα τὸν Χριστὸν, ἤτοι μίαν αὐτοῦ τὴν ὑπόστασιν, καὶ δύο τὰς φύσεις, θεότητά τε καὶ ἀνθρωπότητα, ἀσυγχύτως καὶ ἀδιαιρέτως ἐνθεωρουμένας, τῶν τρισμακαρίστων ἀρχιερέων περιφανῶς θεολογησάντων καὶ παραδεδωκότων ἀδιστάκτως ὁμολογεῖν καὶ κηρυσσειν εἰς πάντα τῆς οἰκουμένης τὰ πέρατα. Δῆλον δὲ κἀντεῦθεν, ὡς δι' ὧν μὲν χωλοῖς αἱ βάσεις ὠρθοῦντο, καὶ τυφλοῖς τὸ πάθος εἰς ὄμμάτων βλάστην ὑπεφύετο, νεκροί τε τῶν πυλῶν ἀνεσπῶντο τοῦ ᾅδου, καὶ πρὸς τὸ ζῆν μετετάττοντο, αἵ τε ἄλλα θεοσημεῖαι, ἃς οὐ ῥᾴδιον ἀριθμεῖν, ἐπετελοῦντο καὶ ἐπεδείκνυντο, τῆς θείας φύσεως ἐναργῶς παρεδηλοῦτο τὸ ἀξίωμα. Δι' ὧν δὲ κόπους, καὶ πόνους καὶ δίψαν καὶ πεῖναν, καὶ πενίαν, καὶ τὰ τούτοις ὑφίστατο συγγενῆ καὶ παραπλήσια, τῆς ἀνθρω- B πίνης οὐσίας ἐτρατο (sic) τὸ ἰδίωμα. Ὧν τὰ μὲν θεοπρεπῶς, τὰ δὲ ἀνθρωποπρεπῶς ὁ αὐτὸς Χριστὸς ὁ ἀληθινὸς Θεὸς ἡμῶν ἐπιτελέσας καὶ διαπραξάμενος, μίαν μὲν αὐτοῦ καὶ ἐνιαίαν τὴν ὑπόστασιν, δύο δὲ καὶ διαφερούσας τὰς φύσεις, ἐν ἀσυγχύτῳ ἑνώσει, σαφῶς τε καὶ ἀναντιῤῥήτῳ λόγῳ παρέστησε καὶ ἐπιστώσατο. Ἀλλ' ἐν τούτοις καὶ τὰ τῆς τετάρτης συνόδου.

15. Sancta universalis quinta synodus sequitur. Cui conveniendæ sacrabatur, tanquam septum sacrum, magna Constantini civitas. Obtinuit autem vim et confirmabatur per præsentiam et concursum quinque sexaginta centum episcoporum. Horum duces et tanquam lumina fuerunt, Mennas quidem ab C initio, tum Eutychius successor, qui clavum regiæ istius et archiepiscopalis sedis moderabatur. Vigilius aderat (qui et ipse Romam susceperat procurandam) apud urbem quidem, synodo tamen non interfuit, eo quod nolebat sponte so ad illum aggregare conventum. Ille autem nihilominus, quod minime volebat sacri illius consessus sodalitio interesse, fidem communi Patrum suffragio editam, libello suo dato, confirmavit. Hisce aderant Apollinarius Alexandriæ, et Domnus dignitate Antiochenæ Ecclesiæ archiepiscopali præditi. Aderant Didymus et Evagrius, locum tenentes Eustochii Hierosolymitani archiepiscopi. Per id temporis Justinianus maximus imperator, Romani principatus curam manibus gubernabat, et cum ecclesiasticis do- D gmatibus conspirabat. Hæc itaque sancta et universalis synodus impura Nestorii dogmata repullulascentia penitus iterum demessuit, una cum zizaniorum ipso seminatore : Et post eum, Theodorum at-

ιε'· Ἡ δὲ ἁγία καὶ οἰκουμενικὴ πέμπτη σύνοδος, τέμενος μὲν ἱερὸν αὐτῇ ἡ (20) Κωνσταντίνου μεγαλόπολις ἀφιέρωτο. Πέντε δὲ καὶ ἑξήκοντα καὶ ἑκατὸν θεοφόρων πατέρων παρουσίᾳ καὶ συνδρομῇ ἐκρατύνετο. Ὧν ἡγοῦντο καὶ προέλαμπον, Μηνᾶς μὲν τὴν ἀρχὴν, εἶτα δὲ καὶ Εὐτύχιος, τῆς αὐτῆς βασιλίδος, ἐκ διαδοχῆς, τοὺς ἀρχιερατικοὺς πηδαλιουχήσαντες οἴακας· καὶ Βιγίλιος (21) ὁ τῆς Ῥώμης τὴν ἱερὰν λαχὼν ἐφορίαν, παρὼν μὲν τῇ πόλει, οὐ παρὼν δὲ τῇ συνόδῳ· ὃς καὶ μὴ πρόθυμος εἰς τὴν συνδρομὴν τῆς ἱερᾶς ὁμηγύρεως κατέστη, ἀλλ' οὐδὲν ἔλαττον ὅμως τὴν κοινὴν τῶν πατέρων πίστιν ἐπεκύρου λιβέλλῳ. Σὺν οἷς Ἀπολιναρίου τε ὁ Ἀλεξάνδρειας, καὶ Δόμνος ὁ Ἀντιοχείας, τῷ ἀρχιερατικῷ ἀξιώματι κεκοσμημένοι. Καὶ δὴ καὶ Δίδυμος καὶ Εὐάγριος, Εὐστοχίου τοῦ Ἱεροσολύμων ἀρχιερέως τὸν τόπον ἀνατληροῦντες. Τηνικαῦτα δὲ καὶ Ἰουστινιανὸς ὁ κράτιστος ἐν βασιλεῦσι, τῆς Ῥωμαϊκῆς ἀρχῆς τὰς φροντίδας ἐχείριζεν, καὶ τῷ ἐκκλησιαστικῷ συνεφώνει φρονήματι. Αὕτη τοιγαροῦν ἡ ἁγία καὶ οἰκουμενικὴ σύνοδος Νεστορίου πάλιν τὰ μιαρὰ παραφυόμενα δόγματα εἰς τὸ παντελὲς ἐξεθέρισεν, ἅλα αὐτῷ ἐκείνων τῷ σπορεῖ τῶν ζιζανίων. Μεθ' ὃν, Θεόδωρον καὶ Δεόδωρον· ὧν ὁ μὲν Ταρσοῦ πόλεως, ὁ δὲ Μοψουεστίας ἐπεσκόπησεν. Οἱ, Νεστορίου πρότερον,

NOTÆ

(20) Legendum αὐτῇ, non αὐτή. Est autem τέμενός, quod ait Hesychius, πᾶς ὁ μεμερισμένος τόνος τινὶ εἰς τιμήν. Idem quod Latinis *Templum*, locus non solum sanctus sed et sacer, ut sepulcrum. Recentiores Græci sic ecclesiam nominant, sed nunquam vetustiores.

(21) Βιγίλιος τῆς Ῥώμης. Vigilius papa Constantinopolin adiit, vocante Justiniano et synodo interfuit. Sed cum acta non probaret, secessit Chalcedonem, sed ab imperatore hæretico et imperioso exagitatus, atque in exsilium missus, tandem elanguit et subscripsit, Statim lego non ἐκείνῳ, sed ἐκείνων, hoc est, ξιζανίων, pro ληθοῦσι, reposuit Dominus Herefordensis ληροῦσι, quod rectum est.

Digitized by Google Распознавание текста ABK/FR

τὴν τοιαύτην ὠδίνοντες αἵρεσιν, καὶ ἔγγραφον ἀπολελοίπασι, τῆς νόθου διανοίας τὰ νόθα καὶ ἔκφυλα κυήματα. Ἔτι δὲ κατεδίκασε καὶ ἀνεθεμάτισεν Ὠριγένην, Δίδυμον, Εὐάγριον, παλαιὰ τῶν πιστῶν ἀῤῥωστήματα, ἄνδρας τὴν Ἑλληνικὴν μυθολογίαν ἐν τῇ τοῦ Θεοῦ Ἐκκλησίᾳ παρεισενεγκεῖν φιλονεικήσαντας. Προϋπάρχειν τε γὰρ οὗτοι τὰς ψυχὰς τῶν σωμάτων ἐληρῴδουν, καὶ πολλὰ σώματα τὴν αὐτὴν μετενδύεσθαι· δόγμα μιαρὸν καὶ κατάπτυστον καὶ μόνων, ὡς ἀληθῶς, ἐκείνων τῶν ψυχῶν ἄξιον. Καὶ τέλος δὲ τῆς ἀτελευτήτου κολάσεως ἐψηφίζοντο. Ἄλλη, τοῦτο, παράκλησις πρὸς ἁμαρτίαν πᾶσαν καὶ ἀπώλειαν. Καὶ τοῖς πονηροῖς δαίμοσι τὸ ἀρχαῖον ἀξίωμα ἐχαρίζοντο, ἐπαναδραμεῖν αὐτοὺς εἰς τὴν ἄνωθεν δόξαν ἐξ ἧς ἐξέπεσον, ἀναπλάττοντες, Ἔτι δὲ, οὐδὲ τὰ σώματα ταῖς ψυχαῖς ἐβούλοντο συνανίστασθαι · γυμνὰς δὲ αὐτὰς σωμάτων ἀνιστῶσιν· οὐκ οἶδ' ὅ, τι καὶ καλοῦντες ἀνάστασιν, εἴπερ τοῦ πεπτωκότος καὶ θανόντος ἡ ἀνάστασις, οὐχὶ δὲ τοῦ ἀεὶ ἑστῶτος καὶ ἐν ἀφθαρσίᾳ διαμένοντος, οἷόν πέρ ἐστιν ἡ ψυχή, οὐδὲ τοῦτο δυσωπηθέντες οἱ ἄθλιοι, ἡλίκον οἷον ἀδίκημα, δι' ὧν ληθοῦσι [n], τοῦ δικαίου Κριτοῦ κατηγοροῦσι. Πῶς γὰρ οὐκ ἰσχάτην ἀδικίαν αὐτοῦ καταμαρτυροῦσι, τὰ μὲν συναθκήσαντα σώματα ταῖς ψυχαῖς τοῖς κατ' ἀρετὴν πόνοις τῶν κοινῶν ἐπάθλων ἀποστερεῖν αὐτὸν βλασφημοῦντες· τὰ δ' αὖ πάλιν συνεξαμαρτόντα, τῆς κοινῆς αἰτίας καὶ πράξεως ἀνεπιτίμητα καταλιμπάνειν, μόνας δὲ τὰς ψυχὰς, χωρὶς τῶν συνδιαπραξαμένων σωμάτων, ἢ διπλῆν εἰσπράττειν τιμωρίαν, ἢ διπλῆς ἀξιοῦν μισθαποδοσίας.

A que Diodorum : quorum iste Tarsi civitatis, ille autem Mopsuestiæ episcopus erat. Isti enim Nestorio priores illam ipsam hæresim parturiebant, et post se defunctos, scriptis traditos reliquere spuriæ sententiæ spurios partus. Condemnavit insuper et anathemate feriit Origenem, Didymum, Evagrium, ab antiquis temporibus in fide languidos, quippe qui in Ecclesiam Dei subintroducere Paganorum fabulas tentaverant. Delirabant enim, animas ante corpora præexstitisse, nec non, unam et eamdem animam multa corpora subingredi impium dogma et conspuendum, nullis dignum præter ipsis fautoribus. Finem quoque et terminum supplicii interminabilis constituebant : quæ est maxima omnium ad peccandum illecebra et præcipitium in ruinam ducens. Sed et B impiis dæmonibus suum antiquum locum et dignitatem largiebantur : nam regressum illis ad cœlestem gloriam patefactum iri docebant, unde olim exciderant. Sed nec corpora cum suis animabus conjuncta resurrectura fingebant, sed nudas animas sine corporibus. Nescio quam rem interea comminiscentes resurrectionem, siquidem resurrectio illius est quod ciderat et moriebatur, non ejus quod jugiter consistebat et incorruptibile permanebat, cujusmodi animæ status est, nec intelligebant miseri aut reverebantur, quam magna injustitia justum interea Judicem onerabant. Nam quomodo non contra illum perhibent de summa injustitia testimonium, qui blaspheme pronuntiant, corpora illa quæ una cum animabus in stadio virtutis decertaverant, præmiis illorum laborum communibus privanda : aut ut quæ peccaverant, ab omni reatu et pœna pro actibus solverentur ; animæ autem solæ et solitariæ ac semotæ a corporibus una operantibus, vel duplici pœna, vel duplicata mercede, retributionem solitariæ haberent ?

ις'. Οὐ μόνον δὲ τὰ τοιαῦτα τῶν δυσφημιῶν ὁ ἱερὸς οὗτος τῶν πατέρων χορὸς ἀπεκήρυξεν, ἀλλὰ καὶ πρός γε τούτοις (22) (οὐ πολλῷ ἔμπροσθεν χρόνῳ) κπαθεῖλε καὶ ἀνεθεμάτισεν Ἀνθιμόν τε τὸν Τραπεζούντιον, τὸ Εὐτυχοῦς ὑποθάλποντα φρόνημα, καὶ Σεβῆρον, Πέτρον τε τὸν ἀπ' Ἀμείας [o], καὶ Ζωορᾶν, καὶ πᾶσαν τὴν πονηρὰν ἐκείνην καὶ πολυκέφαλον διασπορὰν καὶ συμμορίαν. Ἀγαπητοῦ μὲν μάλιστα, τοῦ Ῥώμης, τῆς εὐαγοῦς προκατάρξαντος πράξεως· συμψήφων δὲ καὶ συνεργῶν ἀναφανέντων τῶν περιωνύμων ἀρχιερέων· ὧν ὁ μὲν Εὐφραίμιος (ὁ κλεινὸς τῆς Ἀντιόχου δὲ οὗτος), τῶν Ἱεροσολύμων δὲ Πέτρος ὁ ἱερὸς ἐπετρόπευεν. Τούτους οὖν ἅπαντας τὸ θεῖον τῶν ἀρχιερέων συνάθροισμα ἐκκηρύξαντές τε καὶ ἀποβαλλόμενοι, τὰ ἁπλανῆ καὶ θεῖα τῆς καθολικῆς καὶ ἀποστολικῆς Ἐκκλησίας ἐκράτυνάν τε

C 16. Neque istiusmodi solum blasphemias sanctus ille Patrum illorum concessus proscripsit, sed et insuper sede sua deposuit et anathematizavit Anthimum, qui non ita tum pridem Trapezuntiorum episcopus fuerat, qui tacite apud animum fovebat Eutychetis sententiam, et una cum illo, Severum, Petrum Apameæ episcopum, Zooran, et universam illam impiam, multicipitem, dispersam varie societatem. Principes in hoc negotio sancto patres Agapetus Romæ episcopus obibat ; conspirantibus autem et conjunctas operas conferentibus celeberrimis illis antedictis archisacerdotibus. In quorum dein numero censebantur Euphraimius inclytus Antiochiæ, et sanctus Petrus Hierosolymorum episcopi. Sanctus istorum archisacerdotum concessus illos D supra omnes ejectos ex Ecclesia publicavit : dum

VARIÆ LECTIONES.

[n] ληροῦσι. [o] Ἀπαμείας.

NOTÆ.

(22) Ἀλλὰ καὶ πρό γε τούτων. Recte, si includantur parenthesi. Paulo post repone Ἀπαμείας. Nam divulsio exscriptoris et ἀπ' Ἀμείας inepta est. At πρό γε τούτων, quod ait, non est verum de illa synodo, nedum de Vigilio. Nam, quod habetur in sequentibus, Agapetus, qui Silverium prædecessorem Vigilii antecessit. Anthimum Trapezuntis episcopum. Theodora Augusta procurante, Constantinopolin translatum, et hæreticum, extra synodum quintam œcumenicam deposuit, cum ad Justinianum Augusta a Theodato Gothorum rege, et Italiæ domino, ablegaretur.

Digitized by Google Распознавание текста ABK/FR

certa infallibilia divina Catholicæ Ecclesiæ dogmata confirmant et corroborant. Atque ita se habuit quinta synodus quæ fuit universalis.

17. Sacrum œcumenicum sextum concilium, et ipsum in urbe regia habebatur ; ibi enim mysticis spectaculis peragendis sanctum theatrum figebatur. Ubi centum et septuaginta divini viri certamen subiere, et splendidam veritati victoriam reportavere. Hujus concilii principes, utpote digni judicati qui cæteris præessent, erant Georgius, cui regiam urbem legibus moderari episcopalibus concredebatur; Theodorus et Georgius, qui in sacerdotali ordine constituti, et Joannes diaconus pro Agathone sanctissimo papa Romano aderant, inter primores Patrum allecti. Locum magnæ urbis Alexandriæ episcopi Petrus monachus supplebat. Cum quibus aderat missus a sede Hierosolymæ Georgius monachus et presbyter. Qui una cum cætis sanctis Patribus Sergium, Pyrrhum, Paulum Constantinopolitanum, Honorium Romanum, Cyrum Alexandrinum, et Theodorum Pharan, implicatilem mendacii catenam contexentes diripuerunt. Justæ quinetiam condemnationi subjecerunt Macarium episcopum Antiochiæ, una cum hæresis suæ discipulo Stephano, et misero quodam sene Polychronio, superioribus conjunctos, et patrocinium ipsorum impietatis suscipientes : dum voluntatem unam, unam operationem in Christo Deo nostro vero, e duabus naturis subsistente sine omni ratione cum impietate constitutam sententiam promunt. Imprudentes nimium, qui cogitatione illud non revolvunt quod facile cuivis obviam venire potest. Non esse unius et ejusdem operationis, claudum per potentiam rectificare, et fatigationem contrahere ex itinere : non ejusdem facultatis esse cæcis visum reddere, et sputo, digitorum ope, terram commiscere, lutum coagulare, oculis imponere ; neque mortuos suscitare, et vita functum plangere. Ita nec ejusdem fuit voluntatis,

καὶ ἐπεκύρωσαν δόγματα. Καὶ τὰ μὲν τῆς οἰκουμενικῆς πέμπτης συνόδου, ἐν τούτοις.

ιζ'. Ἡ δὲ ἁγία καὶ οἰκουμενικὴ ἕκτη σύνοδος, ἐν τῇ βασιλίδι μὲν τῶν πόλεων καὶ αὐτὴ τῶν μυστικῶν τῆς ἀληθείας θεαμάτων τὸ ἱερὸν ἐπήγνυτο θέατρον. Ἑβδομήκοντα δὲ καὶ ἑκατὸν θεοφόροις ἀνδράσι τὸν ἀγῶνα ὑποδυομένη ρ, λαμπρῶς νικῶσαν ἀπεδείκνυ τὴν εὐσέβειαν. Ταύτης ἀρχηγοὶ καὶ τῶν ἄλλων προνομεύειν ἐκρίνοντο ἄξιοι, Γεώργιός τε, ᾧ τῆς βασιλίδος πόλεως ὁ ἀρχιερατικὸς θεσμὸς ὑπῆρχεν ἐγκεχειρισμένος, καὶ Θεόδωρος, καὶ Γεώργιος (23) ϙ, ἐν πρεσβυτέρων ἀξιώματι κατειλεγμένοι, ἅμα διακόνῳ Ἰωάννῃ, οἱ ἀντὶ Ἀγάθωνος, τοῦ ἁγιωτάτου πάπα Ῥώμης, εἰς τὴν τῶν ἐξάρχων τάξιν ἠριθμοῦντο · καὶ τοῦ τῆς Ἀλεξάνδρου δὲ μεγαλοπόλεως θρόνου Πέτρος μοναχὸς τὸν τόπον ἀνεπλήρου. Μεθ' ὧν καὶ Γεώργιος μοναχὸς καὶ πρεσβύτερος, εἰς τὸν βαθμὸν τῆς ἀρχιερατικῆς τῶν Ἱεροσολύμων παρῆγειλε καθέδρας · οὗτοι δὲ, σὺν τοῖς ἄλλοις ἱεροῖς καὶ ἁγίοις πατράσι, Σέργιον, Πύρρον, Παῦλον, Κωνσταντινουπόλεως κατάρξαντας, καὶ Ὀνώριον Ῥώμης, Κῦρόν τε Ἀλεξανδρείας, καὶ Θεόδωρον τὸν τῆς Φαρὰν, τὴν ἀλληλόπλοκον τοῦ ψεύδους σειρὰν διαῤῥήξαντες · οὐ μὴν ἀλλὰ καὶ Μακάριον Ἀντιοχείας, ἅμα Στεφάνῳ τῆς αἱρέσεως μαθητῇ, σὺν γέροντί τινι ἀθλίῳ τοὔνομα Πολυχρονίῳ, ἐπιπλακέντας αὐτοῖς, καὶ τῆς ἐκείνων δυσσεβείας ὑπερμαχεῖν μελετήσαντας, ὑπὸ δικαίαν καταδίκην ἐποιήσαντο · ὅτι μίαν θέλησιν καὶ μίαν ἐνέργειαν ἐπὶ Χριστοῦ, τοῦ ἀληθινοῦ Θεοῦ ἡμῶν, τοῦ ἐκ δύο πεφυκότος φύσεων, δυσσεβεῖ καὶ ἀλόγῳ φρονήμασι ἐτόλμησαν ἀποφήνασθαι, μηδὲ τοῦτο λογισμοῖς ἀναλαβόντες οἱ ἀσύνετοι, ῥᾴδιον ὂν καὶ πρόχειρον εἰς κατάληψιν, ὡς οὐκ ἔστι, τῆς αὐτῆς ἐνεργείας, χωλὸν κατ' ἐξουσίαν ὀρθῶσαι · καὶ κόπους ὁδοιπορίας μετέρχεσθαι · οὐδὲ τυφλοὺς ὀμματῶσαι, καὶ γῆν σιάλῳ δακτύλων ἔργοις φυρᾶσαι, καὶ πηλὸν ποιῆσαι καὶ ἐπιβαλεῖν τοῖς ὄμμασιν

VARIÆ LECTIONES.

ρ... μένοις. ϙ ἄλλος.

NOTÆ.

(23) Θεόδωρος καὶ Γεώργιος. Forsan addenda vox ἄλλος, ad distinguendum hunc Georgium ab alio prænominato, qui cum patriarchatu Constantinopolitano fuit. Synopsis Græca septimarum synodorum imperfecta est. Nam præter Georgium Constantinopolitanum, Theophanem Antiochenum, et Petrum monachum, non nominat alium convenarum. Sed et Photius negligentior fuit, qui Theophanem prætermisit, et Petrum quasi τοποτηρητὴν episcopi Alexandrini citat, cum per illa tempora vacaret sedes. Erat igitur ab Ecclesia missus, et non episcopi τοποτηρητής. De legatis Romanæ sedis pleniora sunt quæ in præambulis sextæ synodi leguntur, ex litteris Pogonati imperatoris ad Georgium P. C. *Agatho sanctissimus, nuper ordinatus papa in apostolica sede prædictæ antiquæ Romæ, hujusmodi nostros pios suscipiens apices destinavit in præsenti propriam ejus indutos personam Theodorum et Georgium Deo amabiles presbyteros, et Joannem Deo amabilem diaconum ; ex persona autem totius ejus concilii Joannem et Abundantium et Joannem venerabiles episcopos cum cæteris clericis et monachis.* Intelligit autem concilium Romæ habitum per Agathonem, anno 680, contra Monothelitas, ubi convenerant episcopi 125. Ibid. Σέργιον. Cui synopsis addit Petrum. Hic maxima lis vertitur de Honorio papa, an fuerit Monothelita. Rem tractat omnium accuratissime doctissimus Raynoldus, in dissertatione cum Harto. Ibid. Διαῤῥήξαντες, *dirumpentes*. Quinam vero erant ? an intelligit prænominatos ? at illi nullam impietatis catenam diruperunt. Saltem scriberetur, διαῤῥήξαντας, ut mox ἐπιπλακέντας. Quod si legamus διαῤῥήξαντες, referenda vox est ad ἐποιήσαντο, per immane quoddam hyperbaton : et illa, οὐ μὴν ἀλλὰ usque ad μελετήσαντας, sunt parenthesi includenda. Est autem Pharan, cujus loci Theodorus episcopus dicitur, Hôlis, Stephano auctore, μεταξὺ Αἰγύπτου καὶ Ἀραβίας. De Polychronio, singulare est quod relatum in synopsi, Σὺν αὐτοῖς δὲ καὶ Πολυχρόνιον, τὸν νηπιόφρονα γέροντα, τὸν νεκροὺς ἐγεῖραι ἐν τῇ τοῖς ταύτῃ πλάνῃ τῆς αἱρέσεως μεγαλοφρονήσαντα, ἀδείας τετυχόντα, καὶ ἐν τῷ μὴ ἐγεῖραι μειζόνως τὴν βλασφημίαν τῆς τοιαύτης αἱρέσεως θριαμβεύσαντα. Erat ergo Polychronius ille impostor mirabiliarius, quales multi apud sequiores.

Digitized by Google Распознавание текста ABK/FR

οὐδὲ νεκρὸν ἀναστῆσαι, καὶ δακρύειν ἐπὶ τελευτήσαντι. Οὐ μὴν οὐδὲ τῆς αὐτῆς ἐστι θελήσεως, παρελθεῖν αἰτεῖσθαι τὸ ποτήριον τοῦ θανάτου, καὶ δοξαν αὐτῷ [a] καλεῖν πάλιν, καὶ βούλεσθαι τὸ ἀθέλητον. Ἀλλὰ πῶς οὐχὶ συνήσθοντο διὰ τούτων, καὶ τῶν φύσεων τὴν διαφορὰν ἐξαρνούμενοι; πᾶσα γὰρ φύσις πηγὴ ἐνεργείας, καὶ ταῖς διαφόροις ἐνεργείαις αἱ φυσικαὶ θελήσεις συνδιασχίζονται. Καὶ εἰ, κατὰ τὴν ἐν αὐτοῖς πλάνην, ἡ ἐνέργεια καὶ ἡ θέλησις μία, καὶ ἡ φύσις πάντως ἐξ ἧς ταῦτα, μία. Εἰ δὲ δύο αἱ φύσεις (οὕπω γὰρ εἰς τοῦτο μανίας ἐξώκειλαν, ἐν ὀφθαλμοῖς ἔχοντες τὴν διασπορὰν τῶν καταρξάντων καὶ ἀπώλειαν), πῶς οὐχὶ ἑκατέρα πηγάσει τὴν οἰκείαν ἐνέργειαν καὶ τὴν θέλησιν; Ἀλλ' οὗτοι μὲν τῆς αὐτῶν καὶ δυσφήμου δόξης οὐδὲν προτιμήσαντες, σὺν αὐτῇ ἐκείνῃ, τῷ αἰωνίῳ κατεδικάσθησαν ἀναθέματι. Δύο δὲ θελήσεις φυσικὰς καὶ δύο ἐνεργείας ἐπὶ τοῦ ἑνὸς Χριστοῦ τοῦ Θεοῦ ἡμῶν, τῶν θεοφόρων Πατέρων ἱερολογήσας ὁ σύλλογος, ταῖς ἁπανταχοῦ Ἐκκλησίαις τὸ διπλοῦν ὁμολογεῖν καὶ κηρύσσειν, ὥσπερ τῶν φύσεων, οὕτω καὶ τῶν ἐνεργειῶν καὶ θελήσεων, ὀρθοδόξως παραδεδώκασι. Κωνσταντῖνος δὲ τηνικαῦτα, ὁ ἀπόγονος Ἡρακλείου, τὸν προγονικὸν τῆς βασιλείας κλῆρον ἐχρημάτιζεν ἀναδεδεγμένος. Τά τε ἄλλα συμπράττων τῇ συνόδῳ, καὶ τὸ ὀρθὸν τῆς Ἐκκλησίας φρόνημα πρεσβεύων. Ἀλλ' ἐν τούτοις μὲν καὶ ἡ ἕκτη.

A deprecari ut transeat mortis poculum, et eamdem rursus glorificationem dicere, atque ita velle non volitum. Qui fieri potuit ut non perciperent se naturarum tollere, his sublatis, differentiam? Est enim operationis cujuscunque fons, natura: et juxta diversas naturales operationes voluntates naturales dispertiuntur. Quod si, secundum illorum hæresin, operatio unica sit et voluntas, certe et natura quoque unica fuerit necessario unde illæ oriuntur. Quod si dederint naturas duas (neque enim hoc insaniæ eruperunt, utpote habentes ante oculos dispersionem et perditionem eorum qui ita docuere primi), quomodo non utraque natura propriam emittet operationem et voluntatem? Verum dum suam propriam et blasphemam sententiam omni modo præferunt, anathemate æterno condemnantur. Duas porro voluntates, duas operationes in uno Christo Deo nostro, dum sanctus divinorum Patrum cœtus statuit, ubivis terrarum positis Ecclesiis orthodoxam confessionem et prædicationem duarum cum voluntatum tum operationum tradidere. Erat autem eo tempore Constantinus Heraclii proles cum regia majorum sorte constitutus: qui et suam alias operam synodo contulit, et orthodoxam Ecclesiæ sententiam tuebatur. Atque ita sexta synodus fuit.

B

ιη'. Ἡ δ' ἁγία καὶ οἰκουμενικὴ ἑβδόμη σύνοδος, Νικαίαν μὲν, τῆς Βιθυνῶν μητρόπολιν οὖσαν, καὶ τῶν ὀρθῶν δογματικὸν δικαστήριον πάλαι γεγονυῖαν, καὶ αὐτὴ (24) τῆς εὐσεβείας κριτήριον ἔδειξεν, ἑπτὰ μὲν καὶ ἑξήκοντα καὶ τριακοσίων ἱερῶν ἀνδρῶν τῷ πλήθει πλατυνομένη, ταξιάρχους δὲ καὶ πρωτοστάτας τῆς ἱερᾶς αὐτῶν καὶ μεγάλης φάλαγγος προβαλλομένη, Ταράσιόν τε τὸν ἐν ἀρχιερεῦσι Θεοῦ περιβόητον (θεῖος οὗτος καὶ πανάριστος ἀνὴρ, καὶ τῆς βασιλίδος πόλεως τοὺς ἱεραρχικοὺς οἴακας, εἴπερ τις ἄλλος, περιάγειν ἄξιος), καὶ δὴ καὶ Πέτρον τὸν εὐλαβέστατον, πρωτοπρεσβύτερον τῆς κατὰ Ῥώμην ἁγίας Ἐκκλησίας, καὶ Πέτρον ἄλλον, πρεσβύτερον καὶ αὐτὸν, καὶ τῆς ἐκεῖσε μονῆς ἡγούμενον τοῦ ἁγίου Σάββα· οἳ τῆς ἀποστολικῆς καθέδρας διεκληροῦντο τὸν τόπον, Ἀδριανοῦ τότε τὸ ἀρχιερατικὸν κοσμοῦντος ἀξίωμα. Ἅμα δὲ τούτοις, Ἰωάννην καὶ Θωμᾶν, ἄνδρας μοναδικῇ πολιτείᾳ περιωνύμους, καὶ ἱερατικῇ τιμῇ διαλάμποντας, καὶ τῆς ἀνατολικῆς ἁπάσης διοικήσεως τῶν ἀποστολικῶν καὶ μεγάλων θρόνων τοποτηρητὰς, καὶ τὸ τῶν ἀρχιερέων προνόμιον ἔχοντας· λέγω δὴ Ἀπολιναρίου τε, καὶ Θεοδωρήτου, καὶ Ἡλίου· ὧν ὁ μὲν Ἀλεξανδρείας, ὁ δὲ Ἀντιοχείας, καὶ ὁ λοιπὸς δὲ Ἱεροσολύμων, ἱεροπρεπῶς τε καὶ πανσόφως προειστήκεισαν. Τότε Κωνσταντῖνος καὶ Εἰρήνη, ὀρθοδοξίας στεφάνῳ κο-

18. Sancta universalis septima synodus metropolin BithyniæNicæam, olim illud tribunal sanorum dogmatum, et nunc demum pietati judicandæ destinavit. Implebatur porro synodus numero ter centum sexaginta septem virorum, quorum primi fuerant ductores et sacrosanctæ ac numerosæ phalangis principes, Tarasius, inter Dei sacerdotes illustris, divinus plane et optimus omnimodo vir, dignus certe (si quis alius) qui regiæ urbis clavum gubernaret; Petrus deinceps archipresbyter sanctæ Romanæ Ecclesiæ piissimus; et Petrus quoque alter aderat ipse quoque presbyter, qui monasterii, quod ibi est, sancti Sabbæ præfectus vel archimandrita fuit. Isti sortiebantur locum cathedræ apostolicæ, cui tum dignissime præerat Adrianus, archipræsul. Aderant una cum istis Joannes et Thomas, viri celebres in professione monachatus, et honore fulgentes sacerdotali, qui quidem locum tenebant universæ orientalis, apostolicæ, et magnæ diœcesis et archiepiscoporum ejusdem dignitatem habebant, Apolinarii nempe, Theodoreti et Heliæ: quorum primus Alexandriæ, secundus Antiochiæ, tertius Hierosolymorum Ecclesias prudenter, et ut sacerdotes decebat, gubernabant. Eo tempore Constantinus et Irene, orthodoxiæ corona redimiti, Romani imperii purpure vestiebantur. Ista porro

C

D

VARIÆ LECTIONES.

[a] γρ. αὐτό.

NOTÆ.

(24) Αὐτὴ. Nempe *synodus*. Sed malim, αὕτη *hæc ipsa synodus*; nisi forsan utraque lectione melior αὖθις, id est *secunda vice*. Ibid. legendum in plurali, ἐστολίζοντο. Nam Irene regnabat cum Filio.

Digitized by Google Распознавание текста ABK/FR

sancta et magna synodus barbaram quamdam hæresin, tunc nuper ab impiis et profanis hominibus introductam, communi suo et divinitus gubernato suffragio condemnabat, ejusdemque auctores et propugnatores iisdem sententiis damnatos subjecerunt. Miseri autem isti Christum Deum verum ore non ausi vel confessione sua blasphemare, operibus tamen suis quoquo modo contumeliis affecerunt, et licentiose blasphemantibus viam adinvenerunt. Immediate ipsum insectari conviciis, et nudo ore, sine velo cum non audeant, voluntatem suam omnem adimplerunt, et Christo oppositam mentem et sententiam per venerandam ejus imaginem dehonestatam demonstrarunt. Idolum venerandam Christi imaginem (o nimis audacem impiæ linguæ sonum, et cordis atheistici boatum !) appellant, per quam idololatricus error eliminatur : hanc conviciis et omnibus dehonestamentis fœdatam per compita, forum et plateas pedibus proculcant, distrahunt varie, igni demum comburendam tradunt. Spectaculum Christianis deplorandum, dignum paganorum in Christum odio! Talismodi et in cæteras imagunculas sacras pedibus citi ad fundendum sanguinem exstiterumt : quas manibus sacrilegis, labris profanis fœdarunt. Neque exsatiari voluerunt alastores ad hunc modum insaniendo et furiendo. Neque certe minus quam paganorum exsecranda facinora, si non forte magis, Christianorum sacra signa et repræsentationes odio perciti conspuerunt : adeo ut bellum videantur internecinum contra Christum et ipsius sanctos susceptum indixisse.

19. Patet quippe cunctis, quod imaginibus honor habitus, eorum honor sit qui repræsentatur; quemadmodum et infamia atque dedecus transit ab imagine in imaginatum. Isti autem, nupera Judæorum, Christi hostium, progenies, in eo quod venerandam Christi imaginem illiusque sanctorum inhonorant, quod in ipsorum atavis desiderabatur, adimplerunt : nam usque ad audacia Judæorum facinora delati feruntur ; imo id agunt contentione summa, ut progenitores suos longe supergrediantur voluntate. Porro, cum in medio Christianorum siti, labiis non audent abnegare Christum, ab ipsa Judaica avitaque invidia minime recedere convincuntur : sed et spuriam eorum imitationem expressisse, licet neutiquam sibi constare queant, sed hæretico quodam stupore huc illuc incerti aguntur et feruntur. Christianos se appellant; verum effrenes contra Christum pergunt : Judæorum titulum non admittunt, et tamen per hanc contra imagines pugnam non solum imitati sunt, sed et supergressi illorum contra Christum malitiam. Cum nomen aversentur idololatriæ, nihilo tamen tolerabilius quam idololatræ in divina et intemerata Christianorum mysteria insaniunt. Ideo autem propter istos omnes qui non id agunt, ut degenerem hanc, adulteram, variam et confusaneam doctrinam aversentur et declinent, sancta hæc et universalis synodus, tanquam prolem spuriam, ejectitiam, et ab omni fidelium nobilique

A σμούμενοι, [καὶ] τὴν αὐτοκράτορα τῆς Ῥωμαίων ἀρχῆς πορφυρίδα ἐστολίζετο. Αὕτη τοιγαροῦν ἡ ἱερὰ καὶ μεγάλη σύνοδος, ἀρτιφανῆ τε καὶ βάρβαρον αἵρεσιν, ὑπὸ δυσσεβῶν τε καὶ ἀνιέρων ἀνδρῶν παρεισαχθεῖσαν, θεοκρίτῳ καὶ κοινῷ ψηφίσματι κατεδίκασε, καὶ τοὺς εἰσηγητὰς καὶ προμάχους αὐτῆς τῷ αὐτῷ συνυποβάλλουσα κρίματι. Οὗτοι γὰρ οἱ δείλαιο Χριστὸν τὸν ἀληθινὸν Θεον ἡμῶν βλασφημεῖν οὐχ ὁμολογοῦντες τοῖς ῥήμασι, διὰ τῶν ἔργων πᾶσαν ἐπενόουν ὕβριν καὶ βλασφημίαν καὶ ἀσέλγειαν· καὶ αὐτὸν ἐκεῖνον δυσφημεῖν ἀμέσως καὶ χωρὶς τινος παραπετάσματος οὐ θαρρήσαντες, διὰ τῆς σεπτῆς εἰκόνος τὸ πᾶν αὐτῶν τῆς Χριστομάχου γνώμης ἐξεπλήρουν θέλημα. Εἴδωλον γὰρ (ὡ τολμηρᾶς καὶ ἀθέου γλώσσης καὶ διανοίας ἀπάχθημα !) τὴν προσκυνητὴν εἰκόνα Χριστοῦ, δι' ἧς εἰδώλων πλάνη διώκεται, καθυβρίζοντες, καὶ πάσαις αὐτὴν ἀτιμίαις περιβάλλοντες, ἀνὰ τὰς ἀγορὰς καὶ τὰς λεωφόρους ποσὶ κατεπάτουν, περιέσυρον, πυρὶ παρεδίδοσαν. Θέαμα Χριστιανοῖς ἐλεεινόν, καὶ τῆς Ἑλληνικῆς Χριστομαχίας μόνης ἄξιον. Τὰ αὐτὰ δὲ καὶ κατὰ τῶν ἄλλων ἱερῶν εἰκονισμάτων, ποσὶ ταχεινοῖς ἐκχέαι αἷμα, χερσί τε παλαμναίαις καὶ βεβήλοις χείλεσιν ἐνησέλγαινον. Καὶ κόρον οὐδένα τῆς τηλικαύτης μανίας καὶ παραπληξίας οὐδαμῶς ἐλάμβανον οἱ ἀλάστορες. Ἀλλὰ τῶν Ἑλληνικῶν βδελυγμάτων οὐδὲν ἔλαττον, εἰ καὶ μὴ μᾶλλον τὰ Χριστιανῶν ἱερὰ σύμβολά τε καὶ ἐκτυπώματα, διὰ μίσους ἄγοντες, ἐβδελύσσοντο· δι' ὧν αὐτοῖς καὶ ὁ ἄσπονδος πόλεμος κατὰ Χριστοῦ καὶ τῶν αὐτοῦ ἁγίων συνεκροτεῖτο καὶ ἐκρατύνετο.

B

C ιθ'. Δῆλον γὰρ ἅπασιν, ὡς ἡ τιμὴ τῶν εἰκονισμάτων τιμὴ γίνεται τῶν εἰκονιζομένων· ὥσπερ καὶ ἡ ἀτιμία εἰς αὐτὰ διαβαίνει τὰ εἰκονιζόμενα. Ἀλλ' οὗτοι τὰ νέα τῶν Χριστομάχων Ἰουδαίων γεννήματα, δι' ὧν μὲν τὴν σεπτὴν εἰκόνα Χριστοῦ, καὶ τῶν αὐτοῦ ἁγίων ἐνύβριζον, τὸ προγονικὸν ἀνεπλήρουν ὑστέρημα, εἰς τὰ τῶν Ἰουδαίων τολμήματα ἐκφερόμενοι, καὶ νικᾷν φιλονεικοῦντες τῇ ὑπερβολῇ τῆς προθυμίας τοὺς γεννήτορας. Δι' ὧν δὲ, Χριστιανῶν ἐν μέσῳ, οὐκ ἔσχον τολμῆσαι τὸν Χριστὸν καὶ χείλεσιν ἀπαρνήσασθαι, καὶ αὐτοῦ ἐκείνου τοῦ Ἰουδαϊκοῦ καὶ πατρῴου ζήλου ἠλέγχοντο διαπίπτοντες, καὶ νόθοι καὶ ταύτην αὐτῶν δεικνύντες τὴν μίμησιν, καὶ μηδαμοῦ στάσιν ἔχοντες, ἀλλ' ὥσπερ τῷ κακῷ κάρωθεντες τῆς αἱρέσεως, ὧδε κἀκεῖσε διερρίπτοῦντο καὶ παρεφέροντο. Χριστιανοὺς μὲν γὰρ ἑαυτοὺς ὀνομάζοντες, κατὰ Χριστοῦ ἐφρυάττοντο· καὶ τὴν Ἰουδαίων κλῆσιν οὐ προσιέμενοι, τὸ Χριστομάχον αὐτῶν παρεζήλουν διὰ τῆς εἰκονομαχίας καὶ ὑπερέβαλλον. Οὐ μόνον δὲ, ἀλλὰ καὶ τὸ τῆς εἰδωλολατρείας ἐκκλίνοντες ὄνομα, οὐδὲν εἰδωλολατρῶν ἀνεκτότερα εἰς τε Χριστιανοὺς αὐτοὺς καὶ εἰς τὰ τῶν Χριστιανῶν θεῖα καὶ ἄχραντα μυστήρια ἐπεδείξαντο. Δι' ὃν τούτους μὲν, ὅσοι μὴ τῆς μοιχαλίδος ταύτης καὶ πολυσπόρου καὶ συμπεφυρμένης δόξης φυγεῖν ἠθέλησαν τὴν δυσγένειαν, ὡς νόθα γένη καὶ ἔκφυλα τῆς τῶν πιστῶν εὐγενείας, ἡ ἁγία καὶ οἰκουμενικὴ διακρίνασα συνόδος, δεσμοῖς ἀλύτοις τοῦ ἀναθέματος καθυπέβαλε·

D

Digitized by Google Распознавание текста ABK/FR

τὴν δὲ εἰκόνα Χριστοῦ τοῦ ἀληθινοῦ Θεοῦ ἡμῶν, κατὰ τὰς ἀνέκαθεν ἀποστολικάς τε καὶ Πατρικὰς παραδόσεις, καὶ τὰς τῶν ἱερῶν Λογίων ἐκφαντορίας ἐπὶ τιμῇ καὶ σεβασμιότητι τοῦ εἰκονιζομένου, προσκυνεῖσθαι καὶ τιμᾶσθαι, ψήφοις ἁπάσαις ἐπεκύρωσέν τε καὶ ἐπεσφραγίσατο· τῆς προσκυνήσεως καὶ τιμῆς δηλονότι προφσαγομένης, καθ' ὃν τρόπον καὶ τοῖς ἄλλοις ἱεροις τύποις καὶ συμβόλοις τῆς καθ' ἡμᾶς ἁγιωτάτης λατρείας προσερχόμεθα. Οὐ γὰρ ἐν αὐτοῖς ἱστῶμεν καὶ συμπεριεκλείομεν τὴν τιμὴν καὶ προσκύνησιν, οὐδ' εἰς ἑτερόφυλα καὶ διάφορα τέλη (25) σχιζόμεθα· ἀλλὰ διὰ τῆς φαινομένης διαφόρου καὶ μεριστῆς αὐτῶν θεραπείας καὶ προσκυνήσεως, ἱεροπρεπῶς τε καὶ ἀδιαιρέτως εἰς τὴν ἀμέριστον ἐκείνην ἐνοειδῆ τε καὶ ἑνοποιὸν θεότητα ἀναγόμεθα.

κ'. Οὕτω τὸν τίμιον σταυρὸν προσκυνοῦμεν· ἐν ᾧ τὸ Δεσποτικὸν ἐξετανύσθη σῶμα, καὶ τὸ τοῦ κόσμου καθάρσιον ἀνέβλυσεν αἷμα· καὶ ἡ τοῦ ξύλου φύσις ταῖς ἐκεῖθεν ῥοαῖς ἀρδευθεῖσα τὴν ἀγήρω ζωὴν ἐβλάστησεν ἀντὶ τοῦ θανάτου. Οὕτω τὸν τύπον τοῦ σταυροῦ προσκυνοῦμεν, δι' οὗ δαιμόνων ἐλαύνεται στίφη, καὶ πάθη θεραπεύεται ποικίλα· τῆς ἄπαξ ἐν τῷ πρωτοτύπῳ χάριτος καὶ δυνάμεως ἐνεργηθείσης, καὶ μέχρις αὐτῶν τῶν τύπων, μετὰ τῆς ὁμοίας ἐνεργείας συμπροϊούσης. Τούτων τοιγαροῦν ἕκαστον, τήν τε Χριστοῦ εἰκόνα φημὶ, καὶ αὐτὸν τὸν σταυρὸν, καὶ δὴ καὶ τοῦ σταυροῦ τὸν τύπον, παραπλησίως τῇ σεβασμιότητι καὶ προσκυνήσει ἐξοσιοῦντες, οὐκ ἐν αὐτοῖς περιγράφομεν καὶ περιορίζομεν τὴν τιμὴν καὶ τὸ σέβας, ἀλλ' εἰς τὸν δι' ἡμᾶς ἀνθρωπήσαντα πλούτῳ φιλανθρωπίας ἀφάτῳ, καὶ τὸν ὑπὲρ ἡμῶν ἑκουσίως ὑπενεγκόντα, ταύτην ἀνενέγκαντα καὶ ἀνιεροῦμεν. Οὕτω δὴ καὶ ναοὺς ἁγίων, καὶ τάφους, καὶ λείψανα, πιστοῖς βρύοντα ἰάσεις[s], πιστῶς προσκυνοῦμεν, τὸν αὐτοὺς [t] δοξάσαντα Χριστὸν τὸν Θεὸν ἡμῶν μεγαλύνοντες καὶ ἀνευφημοῦντες· καὶ δὴ καὶ εἴ τι τούτοις, κατὰ τὰς μυστικὰς καὶ ἁγίας ἡμῶν τελετὰς, ἐστὶ παραπλήσιον, διὰ τῆς ἐν αὐτοῖς ἐνεργουμένης δωρεᾶς τε καὶ εὐεργεσίας [u], τὸ ἀρχικόν τε καὶ πρωτουργὸν αἴτιον ἐπιγινώσκομέν τε καὶ δοξολογοῦμεν. Δι' ὃ καὶ τῶν μακαρίων ἐκείνων καὶ ἱερῶν ἀνδρῶν ἡ θεοφόρος καὶ ἁγία πανήγυρις οὐ μόνον τὴν εἰκόνα Χριστοῦ, καθάπερ ἔφαμεν, ἀλλά γε δὴ καὶ τῆς παναχράντου καὶ ἀειπαρθένου Δεσποίνης [v] ἡμῶν Θεοτόκου, καὶ πάντων τῶν ἁγίων τὰς ἱερὰς εἰκόνας, κατ' ἀναλογίαν τῆς τῶν πρωτοτύπων ὑπεροχῆς καὶ σεβασμιότητος, τιμᾶσθαι καὶ προσκυνεῖσθαι, κοινῶν θεσπισμάτων ὅροις ἐπεσφράγισέ τε καὶ ἐπεκύρωσε. Καὶ γὰρ καὶ δι' αὐτῶν εἰς ἑνοποιόν τινα καὶ συναγωγὸν ἀναγόγ-

A societate excludendam, vinculo anathematis indissolubili innodavit: Christi autem veri Dei nostri imaginem, juxta traditiones priscas Patrum et apostolorum et sacrorum oraculorum declarationes, in honorem et cultum repræsentati adorandam et honorandam, communibus suffragiis sancilt et confirmavit; cultu nimirum et honore sic habito, quomodo quoque signa et symbola sanctissimi nostri cultus solemus celebrare. Neque enim in iisdem ita insistimus ut cultum et honorem debitum ibidem circumscribamus, sed nec in alienos a pietate fines et diversos diffindimur; sed per conspicuam, differentem et divisam eorum venerationem atque cultum, modo quodam sacro et divino ac indiscreto, ad illam, quæ est indivisa, unica, unita et unionem

B procurans divinitatem deducimur.

20. Ad hunc modum et venerabilem crucem adoramus, in qua Domini corpus extendebatur, unde sanguis ille ebulliit quo mundus mundabatur: ligni autem natura illius stillicidiis irrigata pro morte vitam haud senescentem egerminavit. Ad hunc modum crucis adoramus effigiem, per quam agmina dæmonum effugantur, morbi autem varii persanantur, nimirum illa gratia et potentia quæ prima vice operata est in exemplari, usque ad imagines et repræsentationes cum eademmet vi et operatione progrediente. Singula igitur ista, hoc est, Christi imaginem, et ipsammet crucem, et figuram crucis, pari modo reverentia et adoratione consecrantes, non tamen ita cultum circumscribimus, et ad eadem terminamus, sed ad illum referimus, C et illo sacrate statuimus, qui per et propter humani generis amorem abundantissimum et inexplicabilem incarnatus fuit, et sponte sua et voluntate maledictam illam mortem nostra causa subiit. Ad eumdem morem sanctorum basilicas, sepulcra, reliquias, fidelibus curationes exuberantia, fideliter veneramur; Christum nimirum Deum nostrum, qui sic eos glorificavit, honorantes et laudibus prosequentes. Quod si solemnes nostræ et sacræ festivitates et sacrificia mystica aliquid hisce simile in se complectuntur, per virtutem illius gratiæ quæ inibi operatur, in eo ipso originalem et principalem beneficii causam tum recognoscimus tum glorificamus. Atque hanc ob causam sacer ille et Deo plenus sanctorum Patrum et beatorum consessus, non modo D (quod diximus) Christi, verum etiam intemeratæ, semper, virginis Dominæ nostræ Deiparæ, et sanctorum omnes imagines, juxta gradum et proportionem excellentiæ et venerationis prototyporum, coli et adorari, communi suo suffragio et dictamine ratum

VARIÆ LECTIONES.

[s] γρ. ἰάσεσι. [t] γρ. αὐτά· [u] γρ. χάριτος. γρ. [v] Μαρίας καὶ δεσπ.

NOTÆ.

(25) Τέλη. Verti, *fines*; fortassis auctor intellexit ordines, turmas, ut sint στρατιωτικὰ τάγματα, veritatem, quasi prælio conserto, oppugnantia. Erudite usum imaginum docet, et mentem illius septimi concilii aperit contra Iconoclastas, quas extra invitationem non processit.

Digitized by Google Распознавание текста ABK/FR

et firmum veluti futurum consignarunt. Etenim per ipsas ad contemplationem quamdam unientem et compaginantem sursum ducimur, et per easdem digni fimus qui cum summo desideratorum omnium per divinam et supernaturalem copulationem adiuniamur. Hæc autem sapienter admodum et secundum Dei beneplacitum decernens synodus determinavit : atque ita depulsis hæreseos morbis et immunditia a grege ratione prædito, nobis Ecclesiam repræsentavit in recuperato suo ornatu et pulchritudine conspicuam, et tanquam sponsam, non quidem bullis aut clavis ornatam aureis, sed sacris et redimitam et resplendescentem imagunculis, a Christi sponsi dextris constitutam, universæ fidelium multitudini lætis et jucundis oculis aspiciendam et lustrandam exhibuit.

μεθα θεωρίαν, καὶ τῆς πρὸς [x] τὸ ἀκρότατον τῶν ὀρεκτῶν δι' αὐτῆς ἀξιούμεθα θείας καὶ ὑπερφυοῦς συναφείας. Ἀλλὰ ταῦτα μὲν σοφῶς τε καὶ θεαρίστως τελεσαμένη (26), διώρισεν· πᾶσαν δὲ αἱρετικὴν νόσον καὶ πᾶσαν ἀκοσμίαν τῆς λογικῆς ἀγέλης ἀπελάσασα, τὸν οἰκεῖον κόσμον καὶ τὸ κάλλος τὴν Ἐκκλησίαν ἐπαναλαβοῦσαν ὑπέδειξε [y], καὶ οἷα δὴ νύμφην, οὐκ ἐν κροσσωτοῖς χρυσοῖς, ἀλλ' ἐν ἱεροῖς [z] ἐξωραϊσθεῖσαν εἰκονίσμασιν, ἐκ δεξιῶν τοῦ νυμφίου Χριστοῦ παραστήσασα, ἱλαροῖς καὶ χαίρουσιν ὀφθαλμοῖς καθοράσθαι καὶ ἐναγλαΐζεσθαι παντὶ τῷ τῶν πιστῶν πληρώματι παρεσκεύασεν.

21. Est hæc nostra Christianorum pura, defæcata et inculpabilis fidei confessio: est hæc a divina sapientia profecta mystagogica institutio immaculati et sinceri nostri cultus, et venerandorum quæ eo tendunt mysteriorum : secundum istam ad occasum usque et exitum vitæ nostræ sentientes, credentes, conversantes, ad usque orientem solem intelligibilem incedimus : quo pervenientes, multo evidentius et perfectius radiorum splendore et claritudine, sine ullo occasu, perfruemur. Hanc porro fidei confessionem, et vestram, par est, a Deo custoditam prudentiam, dum nostram pietatis sortem intuetur, sincero affectu, recto judicio, fide inconcussa nec vacillante, susceptam semel adamare, nec ab ea vel latum unguem, ad dextram vel sinistram, declinare. Hanc siquidem prædicarunt apostoli, hanc universales synodi censuerunt observandam. Atque ideo non te tantum oportet in hac versari sententia, ad hunc modum Deum magnificare, sed et illos qui tibi parentes subsunt, ad eamdem veritatem amplectendam quasi manuducere, in eadem fide perfectos consummare oportet, nec quidquam hac cura et cogitatione prius vel antiquius habere. Spectat enim revera ad officium principis, non sui ipsius tantum salutis habere rationem, verum et pari cura et providentia populo sibi concredito prospicere, ut ad ejusdem Dei eamdem cognitionem et perfectionem manu perducta devocetur. Noli igitur committere, ut nos spe nostra excidamus, ad quam tua nos inclinatio in virtutem et obedientia facile invitavit. Noli, quæso, labores illos et certamina, frustra nobis suscepta redarguere, et inanes reddere, quos summo cum gaudio in tua salute procuranda exantlavimus. Noli incipere cum alacritate summa divini præconii voces suscipere, et cum te

κα'. Αὕτη τῆς πίστεως ἡμῶν τῶν Χριστιανῶν ἡ καθαρὰ καὶ ἀμώμητος ὁμολογία· αὕτη τῆς ἀχράντου καὶ εἰλικρινοῦς [a] ἐλατρείας ἡμῶν, καὶ τῶν περὶ αὐτὴν σεπτῶν μυστηρίων, ἡ θεόσοφος μυσταγωγία· κατὰ ταύτην, μέχρι βίου δυσμῶν, καὶ φρονοῦντες καὶ πιστεύοντες καὶ πολιτευόμενοι, πρὸς τὴν ἀνατολὴν τοῦ νοητοῦ ἡλίου ἐπειγόμεθα, τῆς ἐκεῖθεν ἀνεσπέρου αὐγῆς καὶ λαμπρότητος τρανότερόν τε καὶ τελειότερον ἀπολαύσοντες. Ταύτην προσήκει καὶ τὴν ὑμετέραν θεοφρούρητον σύνεσιν ἤδη, πρὸς τὸν ἡμέτερον κλῆρον τῆς εὐσεβείας ἀφορῶσαν, εἰλικρινεῖ διαθέσει, καὶ γνώμης εὐθύτητι, καὶ ἀδιστάκτῳ πίστει ἀποδέχεσθαι καὶ στέργειν, καὶ μήτε δεξιᾶ μήτε ἀριστερᾷ, μηδὲ ἐπὶ βραχὺ, ταύτης ἀποκλίνειν. Τοῦτο γὰρ τῶν ἀποστόλων τὸ κήρυγμα, τοῦτο τῶν οἰκουμενικῶν συνόδων τὸ φρόνημα. Διὸ οὐ μόνον σεαυτὸν φρονεῖν οὕτω δεῖ καὶ [τὸ] δοξάζειν, ἀλλὰ καὶ τοὺς ὑπὸ σὲ τεταγμένους εἰς τὸ αὐτὸ τῆς ἀληθείας φρόνημα χειραγωγεῖν, καὶ πρὸς τὴν αὐτὴν καταρτίζειν πίστιν, καὶ μηδὲν τῆς τοιαύτης σπουδῆς καὶ ἐπιμελείας ἡγεῖσθαι τιμιώτερον. Ἄρχοντος γὰρ ὡς ἀληθῶς, μὴ τῆς ἰδίας μόνον σωτηρίας ποιεῖσθαι φροντίδα, ἀλλὰ καὶ τὸν ἐμπιστευθέντα λαὸν τῆς ἴσης ἀξιοῦν προνοίας, καὶ εἰς τὴν αὐτὴν τῆς θεογνωσίας χειραγωγεῖν τε καὶ προσκαλεῖσθαι τελειότητα. Μὴ τοίνυν τῶν ἐλπίδων ἡμᾶς διαψευσθῆναι ποιήσῃς, ἃς ἡ σὴ περὶ τὰ καλὰ ῥοπή τε καὶ εὐηκοία παρέσχε προβάλλεσθαι· μηδὲ τοὺς πόνους καὶ τοὺς ἀγῶνας, οὓς ὑπὲρ τῆς ὑμετέρας [σωτηρίας ἀνεδεξάμεθα χαίροντες, ματαίους ἐλέγξῃς· μηδ' ἄρχεσθαι μὲν προθυμίᾳ τοῦ θείου κηρύγματος ὑποδέχεσθαι τοὺς λόγους, αὐτὸν ἐπιδείξῃς, εἰς ῥαθυμίαν δὲ τὴν προθυμίαν καταλύσεις [b]. ἀλλ' ὅμοιον μὲν τῇ ἀπαρχῇ τὸ τέλος, σύμφωνον δὲ τὴν πολιτείαν τῇ πίστει, κοινὸν δὲ ἀγαθὸν καὶ γένους καὶ πατρίδος τὴν σὴν διδοὺς ἐξουσίαν

VARIÆ LECTIONES.

[x] γρ. καὶ πρός. [y] γρ. ἀπέδειξε. [z] γρ. νοεροῖς. [a] Leg. εἰλικρινοῦς. [b] Leg. καταλύσῃς.

NOTÆ.

(26) Post τελεσαμένη, ἀπὸ τοῦ κοινοῦ subintelligenda *synodus*, quæ vox rectius adderetur σαφηνείας gratia. Κροσσωτοῖς χρυσέοις. Alludit ad *Psal.* XLV, 15 : Πᾶσα ἡ δόξα τῆς θυγατρὸς βασιλέως ἔσωθεν ἐν κροσσωτοῖς χρυσέοις περιβεβλημένη. Quæ postrema vox hic deesse videtur.

Digitized by Google Распознавание текста ABK/FR

καθορᾶσθαι καὶ ὀνομάζεσθαι, τὴν ἐμὴν ἐπὶ σοὶ χαρὰν καὶ εὐφροσύνην διατήρει ἀνεξάλειπτον.

talem præbueris aliquantisper, illud tuum studium convertere in ignaviam : verum finis initio correspondeat ; vitæ conversatio fidem exprimat, et dum tuam potestatem omnium oculis et linguis usurpandam exhibes, in communem et generis et patriæ utilitatem, meum de te gaudium et animi solatium semper indeletum custodito.

κβ'. Ἀλλ' ὅρα δή μοι λοιπόν, φιλόχριστε καὶ πνευματικὲ ἡμῶν υἱέ, καὶ εἴ τι ἄλλο κλεινὸν καὶ καλὸν καὶ στοργῆς ἄξιον ὄνομα, ὅρα τοιγαροῦν ὅσας παρατάξεις ὁ πονηρὸς κατὰ τῆς εὐσεβοῦς καὶ μόνης ἀληθινῆς τῶν Χριστιανῶν θρησκείας ἐπαλαμήσατο, αἱρέσεις διαφόρους, καὶ στάσεις, καὶ μάχας, καὶ πολέμους ἐπινοῶν. Ὅρα δὲ καὶ τοῦτο, ὅπως ἁπάσας αὕτη κατεστρέψατο, καὶ λαμπρὰ τὰ κατὰ πάντων ἀνέστησε τρόπαια. Καὶ μηδὲν θαυμάσῃς τὰς κατ' αὐτῆς λογιζόμενος ἐπινοίας καὶ ἐπιβουλάς. Πρῶτον μὲν γάρ, οὐκ ἂν οὕτω περιφανὴς καὶ κραταιὰ καὶ ἐπίσημος διὰ τῆς νίκης ἐγένετο, εἰ μηδὲν αὐτῇ πολέμιον συνεπλέκετο. Ἔπειτα δὲ καὶ συνορᾷν ῥᾴδιον, ὡς ἔνθαπερ ὁ πονηρὸς σφοδρότερον πολεμεῖται, ἐκεῖ καὶ αὐτὸς σπουδαιότερον τὰ τῆς κακίας αὐτοῦ βέλη πέμπει, καὶ τὰ μηχανήματα ἵστησιν. Ἐν μὲν γὰρ τοῖς ἄλλοις ἔθνεσιν, ἐπεὶ μηδείς ἐστιν αὐτῷ σφοδρὸς πόλεμος, διὰ τοῦτο οὐδὲ αὐτὸς κατ' ἐκείνων ὁπλίζεται · ὁ δὲ Χριστώνυμος τοῦ Θεοῦ λαός, τὸ ἅγιον, τὸ βασίλειον ἱεράτευμα, ἐπεὶ καθ' ἑκάστην κραταιούμενοι τῇ πίστει, κατὰ τῶν πονηρῶν αὐτοῦ πράξεων καὶ ἐπιτηδευμάτων ἀνδρίζονται, διὰ τοῦτο κἀκεῖνος μυρίαις ἐπιβολαῖς c καὶ πάσαις μεθόδοις τινὰς ἐξ αὐτῶν ὑποσκελίζειν τεχνάζεται, καὶ ἀντιλυπεῖν τὴν Ἐκκλησίαν Χριστοῦ ἀγωνίζεται, εἰ καὶ εἰς αἰσχύνην αὐτῷ οἱ ἀγῶνες καὶ τὰ πονηρεύματα καταστρέφουσιν · ἀλλ' ὥστε [d] δὲ τὰ μὲν ἄλλα τῶν ἐθνῶν ἀδιάκριτα καὶ συγκεχυμένα τὰ ἐν δόγμασιν ἔχει φρονήματα, καὶ οὐδὲν καθαρὸν οὐδ' εἰς ἀκρίβειαν δεδοκιμασμένον, διὰ τοῦτο ἐν ἐκείνοις οὔτε τὸ διεστραμμένον φαίνεται. Ἐν δὲ τῇ καθαρωτάτῃ, καὶ ἁγιωτάτῃ, καὶ πολὺ τὸ ἀκριβὲς ἐχούσῃ πίστει τῶν Χριστιανῶν, διὰ τὸ λίαν αὐτῆς εἰλικρινὲς καὶ εὐθὲς καὶ ἐξῃρημένον καὶ ἀκήρατον, ἐπειδάν τις καὶ μικρόν τι διαστροφῆς ἢ καινοτομίας παρεισενεγκεῖν ἐπιχειρήσῃ, αὐτίκα τὸ διεστραμμένον καὶ κίβδηλον τῇ παραθέσει τῆς ἀληθείας καὶ τοῦ ὀρθοῦ λόγου καταφαίνεταί τε καὶ διελέγχεται, καὶ οὐδ' ἐπὶ βραχὺ τὸ νόθον γένημα οὐδ' ὑπὸ τὴν αὐτὴν ὀνομασίαν εἶναι, τῶν εὐσεβῶν δογμάτων οὐδαμῶς ἀνέχεται ἡ εὐγένεια. Ὥσπερ γὰρ ἐπὶ τῶν καλλει διαφερόντων σωμάτων καὶ μικρά τις ἐπιγενομένη κηλὶς θᾶττον συνορᾶται καὶ περῴραται τῇ παραθέσει τῆς λοιπῆς ἐν τῷ σώματι ὡραιότητος, τοῖς δ' αἰσχροῖς τὴν ὄψιν οὐκ ἂν ἐξελεγχθείη ῥᾳδίως τὰ τῆς ἀσχημοσύνης πάθη ἐπισυνιστάμενα (ὑπολανθάνει γὰρ τῆς ἀμορφίας τῷ συγγενεῖ καὶ τῇ ὁμοιότητι) · οὕτω καὶ ἐπὶ τῆς τῶν Χριστιανῶν ὡραιοτάτης ὡς ἀληθῶς καὶ ὑπερλάμπρου θρησκείας καὶ πίστεως, κἂν τὸ βραχύτατόν τις αὐτῆς παρατρέψῃ, μεγάλην ἀσχημοσύνην ἐργάζεται · τὰ δ' ἄλλα τῶν ἐθνῶν δόγματα, πολλῆς ἀκοσμίας καὶ ἀσχημοσύνης γέμοντα, οὐδεμίαν ἔχειν τοῖς οἰκείοις ἐρασταῖς συν-

22. Sed vide demum, quæso te, o tu mihi dilecte in Christo et spiritualis fili, et si quid aliud eximium usurpari potest et excellens nomen dignum paterno illo quo te amplector affectu ; vide, inquam, et adverte quot adversus acies malus ille dæmon contra pium, solum verum Christianismi cultum instruxerit : hæreses nimirum plurimas, tumultus, pugnas, contentiones, prælia concitavit. Vide autem quemadmodum Christiana pietas ista omnia fudit fugavitque, et clarissimum inde triumphum reportavit. Nec te subeat admiratio, dum mente revolvas contra illam susceptas machinationes et insidias. Imprimis enim nequaquam victoriam tam illustrem, potenter partam et gloriosam reportasset Christiana pietas, si cum nullo congrederetur adversario. Deinde et illud facile intelligitur, quod ubi validius malus ille bello petitur, ibi et ipse sua iniquitatis tela fortius emittit, et machinas adaptat suas. Et certe inter alias gentes, eo quod nequaquam serio contra ipsum bellatur, nec ipse in adversum armatus adeo tendit. At populus qui a Christo sortitur nomen, natio illa sancta, regale sacerdotium, eo quod per fidem prævalentes, quoti diecontra improbos ipsius actus et instituta decertant, et ipse quoque sexcentas insidias, diversas vias excogitat et machinatur, ut vel saltem nonnullos supplantare atque ita Christi Ecclesiam mœrore afficere et tristitia posset : utcunque tandem incepta omnia et impia illa machinamenta in ipsius dedecus conversa desinent. Sed et aliæ nationes dogmata sua et doctrinam indistinctam et confusam habent, nec quidquam apud illos defæcatum reperitur aut cum cura exasciatum. Hinc est quod nihil videatur inter illas distortum. Verum in illa mundissima, sacratissima et accuratissima Christianorum fide, propter summam ipsius puritatem et impermistam simplicitatem, propter rectitudinem et delectum quo præfertur cæteris, si quis vel tantillum in ea a rectitudine declinans, innovatum aliquid subintroduxerit, continuo quod obliquum est et adulteratum, si ad rectam veritatis rationem exigatur, et apparet et convincitur. Neque certe pati potest generosa illa indoles doctrinæ sanæ, ut spuria dogmata vel tantillum temporis sub uno secum nomine delitescerent. Quemadmodum enim in corpore pulchro vel minima labecula aut macula quæ adhæserit, cerni potest et citius animadverti, eo quod a reliqua discrepet pulchritudine, si ad eam componatur : ast in deformibus et visu turpibus, quæ turpicula sunt, non tam cito et facile deprehenduntur ; nam per deformitatis similitudinem et congenerem formam latent : ita quoque et

VARIÆ LECTIONES.

[c] ἐπιβουλαῖς. [d] γρ. ἄλλως τε.

Digitized by Google Распознавание текста ABK/FR

in Christianæ religionis et fidei splendore ac pulchritudine accidit : si quis vel tantillum in illa immutatum perverterit, magnam operatur deformitatem, quæ ipsa et statim deprehenditur ; cum cæterarum gentium doctrina, utpote dedecore multiplici referta et turpitudine, nullum plane sensum ipsius sequacibus admissæ turpitudinis vel notitiam suggerat. Quod ipsum eodem modo animadvertere licet in cæteris omnibus, etiam artibus et scientiis : nam in iis quæ constant exactissime vel minima aberratio facile discernitur ; cum in vulgaribus multa negligantur, et nec in errorum censu reputentur. Ita se res quoque habet et in principibus, et in dignitatis gradu super alios constitutis, eoque magis quo pluribus imperitaverint : illi enim si vel leviter cespitaverint, exaggeratur, et magnum flagitium admisisse omnium judicio denotantur : cum tamen subditi et inferioris ordinis, si multoties similia plane admiserint, nulla notitia notantur, neque id egisse animadvertuntur, sed quidquid fecerint, una cum parvitate et contemptu admittentis, et ipsum celatum atque occultatum penitus evanescit.

A αἰσθησιν δίδωσι τῆς ἐπιγιγνομένης αἰσχρότητος. Οὐ μόνον δὲ, ἀλλὰ καὶ ἐπὶ τῶν ἄλλων πασῶν τεχνῶν καὶ ἐπιστημῶν τὸ αὐτὸ κατιδεῖν ἔστιν. Ἐν μὲν γὰρ ταῖς ἀκριβεστάταις καὶ τὸ βραχύτατον τῶν ἁμαρτημάτων ῥᾷστα κατάφωρον γίνεται · ἐν δὲ ταῖς τυχούσαις πολλὰ παροράται, καὶ οὐδ' εἰς ἁμάρτημα κρίνεται. Εἰ βούλει δὲ, καὶ ἐν μὲν τοῖς ἄρχουσι, καὶ τῶν ἄλλων τῇ ἐξουσίᾳ προέχουσι, μάλιστα δὲ οἷς κατὰ πλειόνων τὸ κράτος, καὶ τὸ μικρὸν τῶν πταισμάτων εἰς μέγεθος αἴρεται, καὶ πᾶσι γίνεται περιβόητον · ἐν δὲ τοῖς ἀρχομένοις καὶ ταπεινοτέροις πολλὰ τῶν παραπλησίως διαμαρτηθέντων οὐδ' ὅτι ἐπράχθη συνεγνώσθησαν, ἀλλ' ἐναπεκρύβη καὶ ἔλαθε, τῇ σμικρότητι καὶ εὐτελείᾳ συναποσβεσθέντα τοῦ ἁμαρτήσαντος.

23. In quantum igitur magnitudine, potentia, pulchritudine, accuratione, puritate, et omnimoda alia perfectione Christianorum fides et religio paganorum superat et transcendit pietatem, in tantum malus ille bellum contra illam furiosius concitatum gerit ; in tantum etiam stolidorum et insipientium hominum delicta, ad id quod rectum est apposita, discernuntur ; nec fieri potest ut vel tantillo temporis spatio obvelentur, aut modum clam et secreto ingrediendi sortiantur. Verum, quod in antedictis positum est a nobis, catholica et apostolica Dei Ecclesia omnia diaboli machinamenta nulli usui nec actioni esse et inservire declarat, quin et in ipsum machinatorem eadem convertit ; ita hæreticorum blasphemias facile refutat, impudentiam pudore afficit, contra omnes et omnia potestatem inexsuperabilem et invictam habens, triumphis in salutem mundi ductis, gloriosissime exaltatur.

B κγ'. Ὅσον οὖν μεγέθει, καὶ κράτει, καὶ κάλλει, καὶ ἀκριβείᾳ, καὶ καθαρότητι, καὶ τῇ ἄλλῃ πάσῃ τελειότητι, τῶν ἐν τοῖς ἔθνεσι δοξασμάτων ἡ τῶν Χριστιανῶν πίστις καὶ λατρεία ὑπερανέστηκε καὶ ἐξήρηται, τοσοῦτον ὅ τε πονηρὸς εἰς τὸν κατ' αὐτῆς ἀνερεθίζεται πόλεμον · καὶ τοσοῦτον πάλιν τὰ ἐξ ἀφρόνων καὶ κακοβούλων ἀνδρῶν ἁμαρτήματα ἐκ τοῦ εὐθέος καταφαίνεται, μηδ' ἐπὶ βραχὺ χώραν τοῦ λαθεῖν ἔχοντα, μηδέ τινα παρείσδυσιν ἐφευρίσκοντα. Ἀλλ' ὅμως ἡ τοῦ Θεοῦ καθολικὴ καὶ ἀποστολικὴ Ἐκκλησία, ὡς καὶ φθάσαντες ἔφημεν, καὶ τοῦ πονηροῦ πάντα τὰ μηχανήματα, σαθρὰ καὶ ἄπρακτα διελέγχουσα, μᾶλλον δὲ κατ' αὐτοῦ ἐκείνου τοῦ μηχανουργοῦντος ἐπαναστρέφουσα, καὶ τῶν αἱρετιζόντων ῥᾳδίως ἀποσκευαζομένη τὸ βλάσφημον, καὶ κατ C αισχύνουσα τὸ ἀναίσχυντον, κατὰ πάντων ἅμαχον τὸ κράτος καὶ ἀήττητον ἀναδέχεται, καὶ καλοῖς καὶ σωσικόσμοις διαπαντὸς θριάμβοις ἐγκαλλωπίζεται.

24. Tu ideo (o quo te nomine designem, ut meum explicem in te animi affectum et desiderium?) divini Spiritus splendore mentem habens irradiatam, et ad lucem sublatus rectæ pietatis ; et opus ejusmodi operatus quo ad Constantini illius Magni actiones subveharis, imitare adhuc primitias illas mentis, consilii, sapientiæ tuæ : consiste validius super petram fidei, in qua pulchre per Dominum fundatus fuisti : superædificato actiones bonas, emendatæ vitæ gravitatem, super fidem orthodoxam : noli superstruere ligna, fenum, stipulas, materiem peccati combustibilem ac conflagrationi tantum, nulli autem usui præterea, inservientem ; sed aurum, argentum ædifices, et pretiosas recte factorum res. Hæc siquidem per tribulationes explorata puriora redduntur, et pretiosiora apparent.

D κδ'. Σὺ τοίνυν (ὦ τί σε προσειπὼν ἀξίως εἴπω τοῦ πόθου ;) τῇ αἴγλῃ τοῦ θείου Πνεύματος τὴν ψυχὴν αὐγασθεὶς, καὶ πρὸς τὸ τῆς εὐσεβείας φέγγος ἀναχθεὶς, καὶ ἔργον ἐργασάμενος, δι' οὗ πρὸς τὴν τοῦ μεγάλου Κωνσταντίνου πρᾶξιν ἀνυψώθης, κατὰ μίμησιν ἔχου τῆς ἀπ' ἀρχῆς σου γνώμης καὶ βουλῆς καὶ συνέσεως · στῆθι στερρῶς ἐν τῇ πέτρᾳ τῆς πίστεως, ἐν ᾗ καλῶς ὑπὸ Κυρίου τεθεμελίωσαι · ἐποικοδόμει τῇ ὀρθῇ σου πίστει πράξεις ἀγαθὰς καὶ βίου σεμνότητα, μὴ ξύλα καὶ χόρτον, μηδὲ καλάμην, εὔφλεκτον τῆς ἁμαρτίας ὕλην, καὶ πρὸς καῦσιν μόνην, πρὸς οὐδὲν δὲ χρησιμεύουσαν ἕτερον · ἀλλὰ χρυσὸν καὶ ἄργυρον, τῶν κατορθωμάτων τὰ τίμια. Ταῦτα γὰρ καὶ περὶ [e] πειρασμῶν δοξαζόμενα, καθαρώτερα καὶ τιμιώτερα διαδείκνυται.

25. In mandatis Christus communis Dominus noster et magister hoc dedit, fructus nimirum virtutis proferre, nec fidem per opera pudefacere. Ad

κε'. Οὕτω Χριστὸς ὁ κοινὸς Δεσπότης ἐγκελεύεται καρποὺς προβάλλειν, καὶ μὴ καταισχύνειν τὴν πίστιν διὰ τῶν πράξεων. Οὕτω Παῦλος ὁ μέγας τῆς Ἐκ-

VARIÆ LECTIONES.

[e] Ἰσ. παρά.

Digitized by Google Распознавание текста ABK/FR

κλησίας συμβουλεύει διδάσκαλος. Οὕτω Πέτρος ὁ κορυφαῖος τῶν ἀποστόλων, καὶ τῶν οὐρανίων πυλῶν τὰς κλεῖς ἐμπεπιστευμένος καὶ τὴν εἴσοδον· οὕτω τῶν λοιπῶν ἀποστόλων ὁ θεῖος χορὸς τὴν οἰκουμένην ἐμαθήτευσεν· οὕτως ἡμῶν οἱ Πατέρες παρειλήφασιν, οὕτως ἡμῖν, τοῖς μετ' ἐκείνους, παραδεδώκασιν· οὕτω καὶ ἡμεῖς σοι παραινοῦμεν καὶ συμβουλεύομεν, ἀρεταῖς κοσμεῖν τὴν πίστιν, καὶ τῇ πίστει τὰς ἀρετὰς λαμπροτέρας ἀπεργάζεσθαι. Ἐβουλόμην αὐτὸς ἐγὼ σοι παρεῖναι, καὶ ταῖς πράξεσιν ἐφιστάναι, ἵνα τῶν μὲν καλῶν ἔργων αὐτεπάγγελτον διὰ τῆς ὄψεως λαμβάνων τὴν γνῶσιν, ἔτι μᾶλλον ἐν εὐθυμίᾳ καὶ χαρᾷ διακείμενος εἶην· εἰ δέ τι καὶ παράλογον συνείδῃ, μεθέλκειν ἔχοιμι ῥᾳδίως καὶ μεθαρμόζειν, ἐκ τοῦ παραχρῆμα, πρὸς διόρθωσιν. Ἐπεὶ δὲ ἡ βούλησις τῆς δυνάμεως χηρεύει, καὶ πολλὰ τὴν ὁρμὴν ἀνακόπτοντα κωλύει, ὅ μοι λοιπόν ἐστι δυνατόν, γραφῇ τυπῶσαι τὰς παραινέσεις, ὡς καὶ καταρχὰς ὑπεσχόμην, ἤδη πειράσομαι.

A hunc modum Paulus magnus ille magister Ecclesiæ consilium dat; ita suadet Petrus apostolorum coryphæus, cui claves et ingressus portarum cœlestium concreduntur; sic et reliquus apostolorum chorus orbem terrarum informavit: hoc Patres nostri traditum susceperunt; ad hunc modum nobis posteris tradiderunt: hoc tibi nos suademus, et consilium damus, nempe ut fidem illustres per actiones, et fide reddas actiones speciosiores. Vellem ego quidem iu rem præsentem esse tibi, et tuarum actionum regimen in me suscipere, eo fine ut per oculos bonorum tuorum operum cognitionem actu ipso usurpans, majori gaudio repletus sim et jucunditate; et si præter rectam agendi rationem aliquid tibi excideret, retrahere continuo et reformare B possem, nullo negotio correctionem adhibens: verum cum voluntati non respondeat possibilitas aut facultas, et impetum multa sint quæ interceptent atque reprimant, quod unicum mihi relictum est ut præstare possim, scripto, quod pollicitus sum ab initio, admonitiones conabor delineare.

κζ'. Ὅτι μὲν οὖν χρὴ τὸ Θεῖον εἰλικρινῶς ἀγαπᾷν καὶ θεραπεύειν, καὶ τὸ ὁμόφυλον ὡς ἑαυτὸν στέργειν καὶ φιλεῖν, ἔμφυτός πως τοῖς ἀνθρώποις ἡ γνῶσις καθέστηκεν· ἡ βούλησις δὲ μὴ συντρέχουσα τῇ γνώσει, εἰς θέσπισμα καὶ νόμον ἀναγραφῆναι τὴν κοινὴν ἐξεδιάσατο γνώμην. Ὅτι δὲ ὁ τοῦ Θείου εἰλικρινὴς ἔρως, καὶ ἡ τοῦ πλησίον στοργὴ καὶ τελεία ἀγάπη, τῶν ἄλλων ἐντολῶν ἐν ἑαυταῖς περιέχουσι τὰς πράξεις, οὐ χαλεπὸν μὲν καὶ αὐτόθεν κατανοῆσαι. Παρίστησι δὲ τοῦτο καὶ ὁ Δεσποτικὸς λόγος, ἐν οἷς φησι περὶ αὐτῶν, Ἐν ταύταις ταῖς δυσὶν ἐντολαῖς ὅλος ὁ νόμος κρέμαται, καὶ οἱ προφῆται. Καὶ γὰρ ὁ τὸν θεῖον ἔρωτα ἐνστερνισμένος, καὶ τὸν πλησίον ὡς ἑαυτὸν στέργων καὶ φιλῶν, πατέρα μὲν καὶ μητέρα διαφερόντως ἀγαπήσει, καὶ τιμῆς τῆς πρώτης, μετά γε Θεὸν, ἀξιώσει· αἱμάτων δὲ ἐμφυλίων καὶ φόνων οὐ μόνον τὰς χεῖρας καθαρὰς φυλάξει, ἀλλὰ καὶ τὴν γλῶσσαν καὶ τοὺς λογισμοὺς μελέτης τοιαύτης· οὐ μὴν οὐδὲ κλέψειεν οὗτος· οὐδεὶς γὰρ ὃν ὡς ἑαυτὸν φιλεῖ καὶ φυλάττει, τούτου κλέπτης ἐφωράθη. Ἀλλ' οὐδὲ ἀλλοτρίους γάμους διορύξει. Οὐδ' ὅρκον ἐπίορκον ὀμόσει, οὐ μὲν οὖν οὐδὲ μαρτυρίαν ψευδῆ κατὰ τοῦ πλησίον μαρτυρήσει. Καὶ ὅλως, οὐ χειρῶν ἀδίκων ἄρξει, τύπτειν ἢ προπηλακίζειν ἐπιχειρῶν, ἢ τύραννος (27) ἐραστὴς τῶν, ὅσα τῷ πλησίον ὑπάρχει, γινόμενος. Ὁ γάρ τι τούτων καταπολεμῶν, αὐτόθεν λυμαίνεται ἄμφω, καὶ τὸν ἔρωτα τὸν θεῖον καὶ Δεσποτικὸν, καὶ τοῦ ὁμοφυοῦς τὴν στοργήν. Τῷ μὲν ἐπιβουλεύων καὶ περιβάλλων κακοῖς, τὸν δὲ παρὰ φαῦλον ποιούμενος καὶ ὑπερορῶν. Ἐξ ὧν εἰς οἵας ἀπαραιτήτους καὶ πικρὰς τιμωρίας ἐμ-

27. Deum esse sincero affectu adamandum atque colendum, diligendum nobis congenerem hominem et amplectendum, quasi insita quædam hominibus cognitio suggerit: dum autem voluntas cum cognitione non conspirat, necessario factum est ut notitia illa communis tanquam legis dictamen scripta traderetur. Porro, quod in Deum sincerus amor, et dilectio proximi, et illa quidem perfecta, cæterorum mandatorum in se contineant actiones, haud C certe difficulter e re ipsa intelligi potest. Sed et docet hoc insuper verbum illud Domini, quo censebat: *In duobus hisce præceptis tota lex suspenditur et prophetæ*[5]. Qui enim divinum sibi amorem impectoravit et vicinum diligit sicut ipse se, patrem quidem et matrem excellentiori quodam modo complectetur, et post Deum præcipuo honore prosequetur; a sanguine porro et cædibus consanguineorum puras sibi manus conservabit, sed et linguam porro et cogitationes ab ejusmodi omni dispositione mundas: adhuc, nec furabitur qui talis est, neque enim unquam illum spoliasse invenitur aliquis quem diligit, cui custos apponitur; sed nec alienum irrumpet thalamum; nec falsum jurabit juramentum, nullum dicet falsum testimonium D contra vicinum suum, neque dabit initium injuriarum; non pugnis cædere, non conspurcare maledictis aggredietur; non tyrannice concupiscet ea quæ pertinent ad vicinum suum. Qui enim quid istiusmodi attentaverit, uno actu utrumque violat, amorem nempe in Deum et Dominum, et erga cognatum sibi affectum: hunc enim adoritur ex in-

[5] Matth. xxii, 40.

NOTÆ.

(27) Ἢ τύραννος. Aut delendum ἤ, aut legendum τυραννεῖν, et non τύραννος· ubique τύραννος ἐραστής, non sunt ἀσυνδέτως copulandi.

Digitized by Google Распознавание текста ABK/FR

sidiis, et malis circumscribit; illum vero despectum et contemptum habet. Patet autem omnibus, quibus se pœnis, quam gravibus subjicit et ineluctabilibus. Si enim qui mandata transgreditur humana, et imperium despicit sibi præsidentis, condemnationem non effugiet, sed et capite quandoque peccatum luit; is profecto qui per vim oblatam et insidias structas in conservum suum, omnium rerum Dominum, regem et opificem inhonorat et nihili facit, verum leges ab eo latas ludibrio habet et lubentiæ exponit, qualem, par est, ut subeat pœnam? Oportet igitur omni modo, omni cura et diligentia, hæc mandata una cum inculpata pietate et sincera religione conservare. Neque enim aliter partem habere possimus cum fidelibus et Deo charis, nec regni cœlorum digni judicabimur.

A βάλλει ἑαυτὸν πᾶσίν ἐστι φανερόν. Εἰ γὰρ ὁ τῶν ἀνθρωπίνων προσταγμάτων καὶ τῆς ἐπιστατούσης ἀρχῆς ὑπερόπτης οὐ διαφεύγει τὴν δίκην, ἀλλὰ καὶ εἰς αὐτὸ τὸ ζῆν πολλάκις τὸν κίνδυνον ἔχει, ὁ τὸν Δεσπότην τῶν ὅλων καὶ Βασιλέα καὶ Δημιουργὸν διὰ τῆς εἰς τὸν ὁμόδουλον παροινίας καὶ ἐπιβουλῆς ἀτιμάζων καὶ ἐξουθενῶν, καὶ τοὺς αὐτοῦ νόμους διαπαίζων, καὶ χλεύην δεικνύς, ἡλίκην τινὰ τὴν τιμωρίαν δώσει; Διὸ προσήκει παντὶ τρόπῳ καὶ πάσῃ σπουδῇ, μετὰ τῆς καθαρᾶς καὶ ἀμωμήτου ἡμῶν θρησκείας, καὶ ταύτας διαφυλάττειν τὰς ἐντολάς. Οὐ γὰρ ἔστιν, οὐκ ἔστι, χωρὶς αὐτῶν, οὔτε τῆς τῶν πιστῶν καὶ φιλοθέων μερίδος γενέσθαι, οὔτε τῆς τῶν οὐρανῶν ἀξιωθῆναι βασιλείας.

B

28. Enimvero cuilibet mortalium hoc incumbit, ut omnem exhibeat suam et quidem extremam potentiam in his conservandis. Spectat hoc ad principem æque ac ad subditos, juvenes et ætate provectiores, divites et pauperes: nam communis est natura omnibus, communia hæc mandata dantur, communi cura et sollicitudine custodienda. At quæ spectant ante alia ad informandos principes, quæ magis par est ut tua observet potestas, unde tibi major accrescet experientia, illa tibi in procinctu sum suggesturus. Principem enim oportet multiplici præditum esse probitate, cum alia tum imprimis illa quæ morum spectat pulchritudinem, unde illud adagium dicitur: Magistratus virum indicat. Et: Quemadmodum aurum probat acies lapidea, ita et humanam mentem actiones cum imperiales, tum subditorum dispositiones discernunt.

κη'. Ἀλλὰ ταῦτα μὲν ἀνθρώπῳ παντὶ πάσῃ δυνάμει παραφυλακτέον, ἄρχοντι καὶ ἀρχομένῳ, νέῳ καὶ πρεσβύτῃ, πλουσίῳ καὶ πένητι. Κοινὴ γὰρ ἡ φύσις, καὶ κοινὰ τὰ προστάγματα, καὶ κοινῆς τῆς παραφυλακῆς καὶ ἐπιμελείας δέομενα. Ἃ δὲ μᾶλλον πρὸς τὴν τῶν ἀρχόντων ὁρᾷ παιδαγωγίαν, καὶ τῇ σῇ φυλάττειν ἐπιτηδειότερα ἐξουσίᾳ, καὶ ἐξ ὧν ἔσται σοι καὶ περὶ τῶν ἄλλων πλείστη ἐμπειρία, ἐκεῖνά σοι νῦν εἰρήσεται. Καὶ γὰρ πολλῆς τῷ ἄρχοντι δεῖ καλοκαγαθίας, τῆς τε ἄλλης, καὶ τῆς ἐν ἤθεσιν εὐκοσμίας. Δι' ὃ καὶ φασιν « Ἀρχὴ ἄνδρα δείκνυσι · » καί, ὅτι « Ὥσπερ ὁ χρυσὸς ἐν ταῖς λιθίναις ἀκόναις δοκιμάζεται, οὕτως ὁ ἀνθρώπινος νοῦς ἐν ταῖς ἀρχικαῖς ἐργασίαις καὶ ταῖς τῶν ἀρχομένων διανοίαις ἐξετάζεται. »

C

29. At tu mihi sedulus auditor adsis, nec auditor tantum, sed et operator actionum bonarum et admiratione dignarum. Principium porro a Deo et divinis arcessemus. Oratio igitur connectit Deo hominem, eiqae familiarem reddit. Est autem illa cum Deo collocutio et congressus quidam intellectualis, qui est omnium rerum pulcherrimus et pretiosissimus. Ab illo emanat substantia omnis et consistentia; ab illo providentia et bonorum exhibitio; perfectio omnis, et affectuum omnis emundatio. Quocirca si ab oratione nulla alia utilitas egrederetur, istud tamen unicum apud homines Deum diligentes et videndi curiosos instar omnis alterius oblectamenti, omnis quæ in vita contingere potest beatitudinis et felicitatis, esset abunde suffecturum. Ast cum per eamdem peccatorum obtinemus remissionem, et quidquid nobis conducibile sit recipimus, donis donati optimis, et perfectos facientibus recipientes, necnon in se speciosissimis; ad operandum ea advocamur quæ inexplicabilia omnia nobis conferre solent: per gratiarum porro actionem, quam in precibus expedimus, benefactorem quasi remuneramus, et tanquam quasdam illi primitias offerimus, præsentes animi nostri affectiones et motus, doxologias quoque ab intelligibili nostra et rationali natura resultantes. Cum igitur tot et tanta per orationem procurentur, quomodo non æquum sit ut nos alacriter in illa extendamus, eam vehementius depereamus et omni modo amplectamur.

κθ'. Σὺ δέ μοι μάλιστα πρόσεχε, ἵνα μὴ μόνον ἀκροατὴς, ἀλλὰ καὶ ποιητὴς γένῃ καλῶν καὶ ἀξιαγάστων πράξεων. Ἀρχὴ δὲ ἡμῖν, κἂν τούτοις, ἀπὸ τῶν θείων. Εὐχὴ μὲν οὖν Θεῷ συνάπτει καὶ οἰκειοῖ, ὁμιλία τις ἔνθεος οὖσα, καὶ συνουσία νοερὰ τοῦ πάντων καλλίστου καὶ τιμιωτάτου · ἐξ οὗ πᾶσα μὲν οὐσίωσις καὶ συνοχὴ, πᾶσα δὲ πρόνοια καὶ χορηγία τῶν ἀγαθῶν, πᾶσα δὲ τελειότης καὶ διακάθαρσις τῶν παθῶν. Ὥστε εἰ καὶ μή τι ἄλλο κέρδος ἐκ τῆς εὐχῆς ἀνεφύετο, αὐτὸ δὴ τοῦτο μάλιστα τοῖς φιλοθέοις καὶ τοῦ ἀγαθοῦ φιλοθεάμοσιν ἀντὶ πάσης εὐφροσύνης ἤρκει, καὶ πάσης τῆς κατὰ τὸν βίον μακαριότητος καὶ εὐδαιμονίας. Ὅτε καὶ τῶν ἡμαρτημένων ἄφεσιν λαμβάνομεν δι' αὐτῆς, καὶ τῶν ἄλλων αἰτημάτων ὅσα συμφέρουσι τὰς ἀγαθοειδεῖς καὶ τελεσιουργοὺς δωρεὰς, προκαλούμεθα, ἀξιούμεθά τε τῶν ἀφάτων περὶ ἡμᾶς ἔργων καὶ δώρων διὰ τῆς ἐν αὐτῇ εὐχαριστίας τὸν εὐεργέτην ἀμείβεσθαι, καὶ δὴ καὶ οἷας ἀπαρχάς τινας αὐτῷ προσφέρειν, τὰς κατ' ἐκείνην τοῦ νοῦ κινήσεις καὶ δοξολογίας, τῆς νοερᾶς ἡμῶν καὶ λογικῆς οὐσιώσεως · ὅτε τοίνυν, τοσαῦτα καὶ τηλικαῦτα τῇ εὐχῇ περιείληπται, πῶς οὐ χρὴ πρὸς ταύτην προθύμως ἐπεκτείνεσθαι, καὶ ταύτης ἐρᾶν σφόδρα καὶ ἀντιλαμβάνεσθαι.

D

Digitized by Google Распознавание текста ABK/FR

λ'. Σὺ τοίνυν προσεύχου μὲν εὐχὰς ἰδίας διαπαντὸς καὶ καθ' ἑαυτὸν τῷ Θεῷ. Προσεύχου δὲ καὶ ἅμα τῷ πλήθει, καὶ ἐν τῷ φανερῷ· δι' ἑκατέρου μὲν γὰρ θεοφιλῶς πραττομένου, τὸ ὅσιον ἔστιν ἀποδιδόναι. Ὅσον δὲ τὸ πρότερον εἰς καθαρότητα διανοίας πλεονεκτεῖ, τοσοῦτον τὸ δεύτερον εἰς μίμησιν τοὺς ὁρῶντας παρακαλεῖ. Καὶ τὸ μὲν εἰς οἰκεῖον κέρδος συντελεῖ· τὸ δὲ καὶ τοὺς ἄλλους οἶδεν ὠφελεῖν· ὧν ἡ σωτηρία καὶ ἡ προκοπὴ, μεγάλη πάλιν τῆς ἀρετῆς ἐστι τοῦ ἄρχοντος μαρτυρία.

λα'. Ναοὺς ἐπ' ὀνόματι Θεοῦ καὶ τῶν αὐτοῦ ἁγίων κατὰ τοὺς ἐκκλησιαστικοὺς θεσμοὺς οἰκοδόμει, καὶ τούτοις τὸν λαὸν ἐκκλησιάζεσθαι ἔθιζε· ἵνα κοινῇ τὸ Θεῖον ἐξιλεούμενοι, καὶ κοινὴν τὴν δοξολογίαν προσάγοντες, εἰς κοινήν τε μᾶλλον ὁμόνοιαν συνελαύνωνται, καὶ κοινὴν καρπῶνται τὴν σωτηρίαν καὶ ὠφέλειαν.

λβ'. Αἱ θυσίαι μὲν τῆς ἱερᾶς ἡμῶν λατρείας τοῖς ἱερεῦσιν ἀνάκεινται οἷς ὑπηρετῶν προθύμως καὶ προσφέρων, πολλῆς τῆς διὰ τούτων ἀπολαύσεις καὶ εὐεργεσίας καὶ χάριτος. Δύναιο δ' ἂν καὶ σὺ, βουληθεὶς, κάλλιστον αὐτουργῆσαι Θεῷ θῦμα καὶ ἐρασμιώτατον, βίον αὐτῷ καλλιερούμενος καθαρὸν, καὶ διανοίας ὀρθότητα.

λγ'. Εἰδὼς δὲ ὡς μεγάλη ῥοπὴ πρὸς τὴν τῶν ἄλλων διοίκησιν, ῥώμη καὶ τάχος διανοίας, μηδὲ ταύτης ἀφίστασο τῆς ἐπιμελείας. Ἀγχίνουν μὲν γὰρ οὐκ ἔστι γενέσθαι τὸν μὴ φύσει τοῦτο πεφυκότα· μελέτη δὲ καὶ πραγμάτων πεῖρα, πρόχειρον ἐμποιοῦσαι τὴν γνῶσιν, πολλάκις ἐν αὐτοῖς τοῖς ἔργοις ὀξύτερον ἔδειξαν τὸν ἐγγεγυμνασμένον, ἢ τοὺς ταύτης τῆς δυνάμεως κατὰ φύσιν μετεσχηκότας. Δι' ὃ φρόνησιν ἄσκειν προσήκει διὰ βίου· αὕτη δὲ παραγίνεται μελέτῃ μὲν καὶ μνήμῃ πράξεων πρεσβυτέρων, ὁμιλίᾳ δὲ καὶ συνουσίᾳ τῶν περιόντων ἀνδρῶν φρονίμων, καὶ ἐμπειρίᾳ δὲ τῶν κατὰ τὸν βίον πρακτέων. Πράξις γὰρ μιμήσει καὶ βουλῇ καὶ διαχειρίσει κράτος συλλαβοῦσα, τῆς ἄνωθεν ῥοπῆς οὐκ ἀντιπραττούσης, εἰς συμφέρον τέλος ἀποβαίνει.

λδ'. Μηδὲ τῶν περὶ τὸ σῶμα δὲ ἡμῶν καὶ σχημάτων καὶ κινήσεων, ὡς εὐτελῶν, ὑπερόρα. Καὶ γὰρ καὶ ἡ ἐν αὐτοῖς ἀρίστη τάξις καὶ κατάστασις οὐκ ἐλάχιστον μέρος φρονήσεως ἔδοξεν εἶναι· καὶ τῶν ἀνθρώπων, ὅσοι μὴ συνιδεῖν εἰσιν ἐκ τοῦ ῥᾴστου δεινοὶ τὴς ἐν τῇ ψυχῇ δύναμιν καὶ τὸ κάλλος, οὗτοι τοῖς ἔξωθεν θεάμασι ξεναγούμενοι, καὶ τῶν ἀδήλων ἐρασταὶ καὶ ἐπαινέται καθίστανται. Διὰ τοῦτο δεῖ καὶ προσώπου διαθέσει, καὶ κόμης ἀσκήσει, καὶ περιβολῇ ἐσθῆτος κόσμιον ὁρᾶσθαι καὶ σεμνὸν, μήτε εἰς τὸ βλακώδες καὶ περίεργον ἐκφερόμενον, μήτε πάλιν πέρα τοῦ μετρίου πρὸς τὸ ἠμελημένον καθελκόμενον. Ἑκάτερον γὰρ ἁπρεπὲς καὶ εὐκαταφρόνητον, καὶ ἀρχικῆς πολιτείας ἀλλότριον. Καὶ βαδίσματος δὲ πρέπει τῷ ἄρχοντι εὐταξία, μήτε

30. Orato igitur indesinenter privatim et apud te Deum : sedet palam et una cum multitudine orato. Certe per utrumque orandi modum, ut Deum amantem decet, observatum sanctificatio habetur. In quantum vero prius illud ad mentis tuæ conducit puritatem, in tantum id quod ponitur secundo loco, intuentes in imitationem vocat. Et alterum quidem privatis commodis inservit, alterum insuper conducit et alienis. Illorum porro salus et in virtute progressus illustre admodum testimonium virtuti imperantis perhibet.

31. Templa Deo et sanctis ejus secundum leges ædifica ecclesiasticas : eo populus convenire in cœtus assuescat, in eum finem ut communibus votis Deum propitium facientes, et communiter doxologiam ei offerentes, ita magis cum in communem concordiam coalescant, et communem referant cum salutem tum etiam alias utilitates.

32. Sacrificia sacrata nostræ religionis spectant ad sacerdotes : quibus si libenter te accommodabis, et oblationes tuas dederis, et benevolentiam ex eo facto, et simul gratiam inde non vulgarem reportabis. Poteris autem, modo animus adsit, et tute per te pulcherrimum Deo offerre sacrificium et delectabile, si vitam ipsi puram et animum rectum pulchre obtuleris.

33. Ad rei vero totius publicæ administrationem cum intelligas plurimum conferre mentis valentiam et agilem dexteritatem, noli curam hanc obire negligentius. Et certe prudentiam in procinctu non habebit ille qui non est a natura ad illam comparatus. Meditatio sedula, experientiaque rerum, quæ cognitionem ad manum suppeditant, non raro virum usu exercitatum faciunt multo acutius in procinctu videre quam alios quibus a natura hæc facultas concessa est. Quocirca providentiam decet exercere per totum totius vitæ cursum. Acquiritur illa autem dum recolimus et meditamur res olim gestas, dum congressum affectamur et familiarem sermonem prudentium in vita exsistentium, dum rerum quotidianam experientiam colligimus. Actio enim acquirit vires per imitationem, consilium et operationem, atque ita divino non adversante auxilio in finem commodum conducit.

34. Habitum, figuram, motum corporis noli tanquam vilia contemnere. Ordo enim in illis qui est optimus observatus, et dispositio præclara, non minima videtur esse prudentiæ portio. Illi autem quibus non est positum in proclivi vim, facultatem, pulchritudinem in animo delitescentem intueri, facile ducuntur externis spectaculis, et rerum oculis non subjectarum exinde amatores exsistunt et præcones. Ideo decet vultu bene disposito, coma exornata, vestitu et amictu gravitatem præ se ferre et decorem : non ad mollitiem vel curiositatem deviare nec ultra quam par est ad neglectum transferri. Dedecet enim utrumque et contemptum parit, et abhorret a principis viri ratione et statu. Sed et principem decet incessus bene compositus : nam nec

Digitized by Google Распознавание текста ABK/FR

moveri debet dissoluto et muliebri motu, neque rursus novitatem affectare per confertum, perturbatum, disparem ingressum, omnis autem corporis motio ordine omnino disponatur.

35. Cavenda est et in sermone velocitas. Est autem illa forsitan alicujus usus in contentiosis et cristicis congressibus, nec virum dedecet generosum : sed stulta est et periculosa, adhibita si sit in colloquiis familiaribus : in mandatis dandis, politicis præsertim et rem spectantibus communem, humilis est et nullius pretii. Exaccurate dicere, celeriter perficere actibus, sermonibus, motibus, cum decore versari, divinæ sortis illum esse et ultra communem arguit qui ita comparatus est. Verum raro admodum et difficulter contingit ut simul omnia in unum conspirent : moderatio ornata, gravitas visu digna, cum pondere quodam et cautione conjuncta, ea possidentem conspicuum cum jucunditate quadam, et ornatum reddit ad imperandum, et, si quid vulgus quod optimum censetur adamare queat, placitum. Volubilitas vero sine ulla dispositione vel ordine furiosum quiddam et insanum videtur : sæpius aberrat a recto, etiamsi aliquando prodesse poterit vehementer. Tarditas cum confusione stultum quid, imbelle : aberrare videtur plerumque, et quidem in magnis, licet interdum aliquid perficiat boni : sed illud tenue et nullius pretii, quodque non aliter habeatur bonum, quam collatum ab cæteras ejus actiones.

36. Risu disrumpi, cum deformitate vultus et morum dedecore, constantiam et gravitatem contumelia afficit.

37. Immunis sit cum auditus tum etiam lingua a turpiloquio. Quæcunque cum voluptate quis audire gestit, illa eadem effari non pudefit ; et quæ quis dicere non erubescit, certe nec erubescet perpetrare, cujus rei ita edidit demonstrationem. Omnino caveas ne lingua prolabaris, sæpe enim vel levissimo sermone lapsa, ingens intulit detrimentum, et certo de capite periclitata est, jecitque aleam.

38. Aures præbe patulas injuria affectis, clausas contra ad afficientium injuria lenocinia et probabiles inductiones.

39. Labia accusatoria et sycophantica aspernere : nam non raro et liberos furere in parentes, et parentes in liberos, adegerunt, vitæ vincula et connexiones disruperunt, et in se invicem consanguineos excitarunt. Quid autem illa minora commemoro ? vel unica sycophantæ vox civitates et domos integras subvertit sæpe.

40. Ne sis in amicitia ineunda velox ; initam vero omni modo nexu conserva indissolubili, totum in te proximi derivans onus, nisi forte cum periculo tuæ animæ jungatur. Certamina et discordiæ inter amicos in contemptum adducunt universum hominum propositum et dispositionem : nec culpæ tantum obnoxii, sed et sine culpa qui sunt, in eamdem suspicionem trahuntur. Illorum fruere amicitia qui cum aliis sine fuco sinceram semper amicitiam custodierunt ; qui nec oculo invido intuiti sunt florentes, nec positos in adversis neglexerunt. Exsti-

εἰς τὸ θηλυπρεπὲς καὶ ἔκλυτον ἀσχημονοῦντι τὴν κίνησιν, μήτε μὴν εἰς τὸ ἀθρόον καὶ τεταραγμένον καὶ ἀνώμαλον ταύτην ἐκνεωτερίζοντι · καὶ ὅλως, πᾶσα κίνησις τάξει κοσμείσθω.

λε. Δεῖ δὲ καὶ τὸ ἐν λόγοις τάχος εὐλαβεῖσθαι. Ταχυλογία γὰρ, ἐν μὲν ἀγωνιστικαῖς διαλέξεσι καὶ ἀμίλλαις, οὐκ εὐκαταφρόνητον ἴσως, οὐδὲ ἀγενές · ἐν δημηγορίᾳ δὲ, ἀνόητον καὶ ἐπισφαλές. Ἐνδὲ προστάγμασι, καὶ μάλιστα τοῖς πολιτικοῖς, καὶ κοινοῖς εὐτελὲς καὶ ταπεινόν. Ἐντελέστερον δ' εἰπεῖν, ταχύτης ἐν πράξει καὶ λόγοις καὶ κινήμασι, σὺν εὐταξίᾳ, θεῖον μέν τινα καὶ ὑπερφυῆ ἀποφαίνει τὸν ἔχοντα. Σπάνιον δὲ, καὶ συνελθεῖν ἅμα πάντα χαλεπώτατον. Τὸ δὲ ἐν τούτοις σύμμετρον σὺν εὐταξίᾳ, σεμνόν τε καὶ ἀξιάγαστον, καὶ μετὰ ὄγκου καὶ σὺν εὐλαβείᾳ, ποθεινὸν ὁρᾶσθαι παρασκευάζει, καὶ ἄρχειν ἐπιτηδειότερον, εἴπερ καὶ ἐν τοῖς ἀρίστοις ἔστι τε τῷ πλήθει ἐρασμιώτερον. Ταχύτης δὲ σὺν ἀταξίᾳ, ἔμπληκτον καὶ μανικὸν, καὶ παραδιορθοῦν ἐνίοτε μεγάλα, καὶ σφάλλον ὡς τὰ πολλὰ παραπλήσια. Ἡ δὲ σὺν ἀταξίᾳ βραδύτης, νωθρὸν καὶ ἠλίθιον, καὶ σφάλλον μὲν ἐνίοτε καὶ μεγάλα, κατορθοῦν δὲ ἐλάχιστα, καὶ ταῦτα λίαν ταπεινὰ, καὶ πρὸς τὰς λοιπὰς ἐκείνου πράξεις μόνον παραμετρούμενα, κατορθώματα.

λς'. Τὸ πρὸς γέλωτας διαθρύπτεσθαι, μετὰ τοῦ ἀσχημονεῖν τὴν μορφὴν, καὶ τοῦ ἤθους ἐστὶν ἐξυβριζειν τὴν εὐστάθειαν.

λζ'. Αἰσχρορρημοσύνης δὲ πάσης καὶ ἀκοὴ καὶ γλῶσσα καθαρευέτω. Ἃ μὲν γάρ τις ἀκούων ἥδεται, ταῦτα καὶ λέγειν οὐκ αἰσχύνεται, ὅτι καὶ πράττειν οὐκ αἰσχυνθήσεται, μεγάλην παρέσχεν ἀπόδειξιν. Δι' ὅλου δὲ, γλώσσης φυλάσσου παρολισθῆσαι. Ῥήματι γὰρ βραχυτάτῳ πολλάκις ὑποσφαλεῖσα, μεγάλην ἤνεγκε ζημίαν, αὐτοὺς τοὺς περὶ τοῦ ζῆν ἰσχάτους ἀναρρίψασα κύβους.

λη'. Ἔχε τὰ ὦτα τοῖς μὲν ἀδικουμένοις ἠνεῳγμένα, πρὸς δὲ τὰς τῶν ἀδικούντων ἐπαγωγὰς καὶ πιθανολογίας ἀποκεκλεισμένα.

λθ'. Χείλη δὲ κατήγορα, καὶ συκοφαντίας ἀποστρέφου · πολλάκις γὰρ παῖδας κατὰ πατέρων, καὶ πατέρας ἐξέμηνε κατὰ παίδων, καὶ βίον ἔσχισε συζυγίας καὶ συγγενεῖς ἐπανέστησε κατ' ἀλλήλων. Καὶ τί λέγω ; πόλεις ὅλας καὶ οἰκίας ἀνέτρεψε μία φωνὴ συκοφάντου.

μ'. Μὴ ταχὺς ἦσθα ζευγνύειν εἰς φιλίαν · συζεύξας δὲ, παντὶ τρόπῳ τὸν δεσμὸν ἄλυτον συντήρει, ἅπαν τοῦ πλησίον ἀνέχων τὸ βάρος, πλὴν εἰ μήπω ψυχῆς κίνδυνον ἐπάγει · αἱ γὰρ πρὸς τοὺς φίλους διαστάσεις τὴν ὅλην προκαίρεσιν ἐκφαυλίζουσι τῶν ἀνθρώπων, καὶ οὐ τὸν ὑπαίτιον μόνον, ἀλλὰ καὶ τὸν ἀναίτιον εἰς τὴν αὐτὴν ὑπόνοιαν κατασπῶσιν. Ἐκείνοις δὲ κέχρησο φίλοις οἳ πρὸς ἑτέρους κατὰ πάντα καιρὸν ἄδολον διεσώσαντο τὴν φιλίαν, καὶ μήτε εὐπραγοῦσι βασκανίας ἐπέβαλον ὀφθαλμὸν, μήτε ἠμέλησαν δυσπραγούντων. Πολλοὶ γὰρ κακῶς μὲν πράττον-

Digitized by Google Распознавание текста ABK/FR

σιν ἐπεκούρησάν τε καὶ συνήργησαν τοῖς φίλοις, εὖ δὲ φερομένων, ὁρᾷν οὐκ ἤνεγκαν τὴν εὐημερίαν· καὶ οὓς οὐκ ἠλεγξε καιρὸς συμπαθείας, τούτους ἐφώρασε τὸ πάθος τοῦ φθόνου. Κτῶ τοίνυν φίλους, μὴ τοὺς φαύλους, ἀλλὰ τοὺς ἀρίστους. Ἐκ γὰρ τῶν φιλουμένων ὡς τὰ πολλὰ κρίνεται τὰ ἤθη τῶν φίλων· καὶ διὰ μὲν τῶν σπουδαίων ῥᾷστον ἄν τις, καὶ παρασφαλεὶς [f], ἐπανορθοίη· οἱ φαῦλοι δὲ καὶ τὴν προσοῦσαν λυμαίνονται καλοκαγαθίαν· καὶ οἱ μὲν καὶ τὸ λεῖπον εἰς ἀρετὴν, δι' ἑαυτῶν ἐπιτειχίζοντες, ἀνελλιπῆς φαίνεσθαι ποιοῦσιν· ἡ δὲ πρὸς τοὺς φαύλους ἐπιμιξία, καὶ ὅπερ ἐστὶν ὑπόλοιπον ἀρετῆς, νόθον ἀποφαίνει. Μὴ ζήτει δὲ παρὰ φίλων ἀκούειν τὰ ἡδέα, ἀλλὰ τὰ ἀληθῆ μᾶλλον· εἰ γὰρ ἐχθροῖς μὲν, οὐδ' ἀληθεύουσι, πιστευτέον, φίλοις δὲ διέφθορε τὰ τῆς ἀληθείας, καὶ τὸ ἡδὺ λέγειν ζητοῦσι κἀκεῖνοι, πόθεν ἡμῖν ἀλλαχόθεν ἡ τῆς ἀληθείας ἔσοιτο [e] γνῶσις, καὶ ἡ ἐπιστροφὴ (28), τῶν [h] οὐκ εὐαγῶς ἐνίοτε παρ' ἡμῶν λεγομένων ἢ πραττομένων [i]; Διὸ μέγιστον ἡγοῦ φίλους κολάκων διαφέρειν. Οἱ μὲν γὰρ κατὰ πρόσωπον ἐπαινοῦντες, σέ τε τῶν, ὡς εἰκὸς, ἁμαρτανομένων συναίσθησιν λαβεῖν οὐκ ἐῶσι, καὶ μείζω ταῦτα πρὸς τοὺς ἄλλους ταῖς διαβολαῖς ἀποτελοῦσιν· οἱ δὲ καὶ σὲ, τῷ διὰ φιλίας ἐλέγχω, συνιδεῖν τὸ παρανομηθὲν μᾶλλον δυναμοῦσι, κἄν τι δέῃ πρὸς τοὺς ἔξω λέγειν, ἀντὶ κατηγορίας ἀπολογίαν τοῦ πραχθέντος ἐκμηχανῶνται. Ὅσον οὖν τοῦ ἐπὶ κακίαν προκόπτειν τὸ ἀρετὴν ἀσκεῖν δεινήνοχε, καὶ τοῦ διαβάλλεσθαι ἐν τοῖς ἀρχομένοις τό τὰς διαβολὰς διαλύειν, τοσοῦτον δεῖ παρὰ σοὶ τοὺς εὐνους πλέον ἔχειν τῶν κολάκων.

A tere multi qui tulerunt opem afflictis et auxiliati sunt amicis, at felicitatem in prosperis eorum ferre nequivere : quos neutiquam redarguit oblata commiserandi occasio, illos affectus invidiæ palam fecit. Habe ergo tibi amicos non malos sed optimos. Certe qui in amicos eliguntur, mores et dispositiones propalant ipsos eligentium. Per probos et honestos, si quis in aliquo lapsus sit, tacite in amissum locum reducetur : improbi bonitatem qua quis præditus est depopulantur. Probi, si quid desit de virtutis mensura, e suo penu supplendo, defectum tollunt et resarciunt : sed cum improbis conversatio, quidquid boni sit reliquum, declarat esse adulterum. Noli ab amicis libenter ea quæ delectent audire, potius autem cum veritate juncta : si enim B inimicis ne verum quidem dicentibus fides adhibenda, et id quod verum est ab amicis deperiit, eo quod id quod dulciter arridet tantum proloqui voluerint unde erit ut in veritatis cognitionem, ad illam conversi, deducamur? unde ut ab iis discedamus quæ nos parum pie interdum dicimus vel facimus? Existima idcirco plurifariam differre assentatores ab amicis. Illi coram laudantes et in os, nullo sensu te affici permittent eorum quæ sunt a te minus recte gesta ; apud alios autem calumniando, majora esse quam sunt revera clamabunt : amici vero, reprehensione sua amica, peccatum ut videre possis melius, efficient ; quod si opus sit apud alienos de eo verba facere, non illi accusationem sed apologiam meditantur. In quantum igitur virtutis C exercitium progressum in malis antecedit, et satius est apud subjectos criminibus absolvi quam accusari, in tantum te oportet benevolos omnibus adulatoribus anteferre.

μα'. Τῶν ἀπορρήτων, ἃ μὲν τὴν σὴν ἀρετὴν αὐξάνει, κοινώνει τοῖς φίλοις· ἃ δὲ τὴν γνώμην φαυλίζει, μήτ' αὐτὸς μετέρχου, μήτε τοῖς φίλοις ἀνατίθει. Ἄριστον μὲν γὰρ τοῦτο καὶ χωρὶς αἰτίας ἑτέρας· Πλὴν γε δὴ, καὶ εἰς κόρον, οἷα πολλὰ τὰ ἀνθρώπινα, τοῦ φίλτρου τραπέντος, μᾶλλον τῆς παραινέσεως τὸ χρήσιμον καθορᾶται· τὸ μὲν γὰρ φαῦλον τῶν κρυφίων, τότε μάλιστα τοὺς λογισμοὺς τοῦ συνεγνωκότος ὑποτρέχον καὶ διακυμαῖνον, θάττον τε, καὶ σὺν οὐδενὶ ὄκνῳ, τῆς ἀγάπης ἀποστήσει, καὶ πρὸς ἐπιστροφὴν ἰδεῖν οὐκ ἐάσαι· σοί τε διαβολὴν βαρεῖαν, ἔκφορον γεγονὸς, ἐποίσει, καὶ πρὸς τὸν ἐξεπόντα χαλεπώτερον διαθήσει. Τὸ δὲ χρηστὸν τόν τε συνεγνωκότα ῥαγῆναι τῆς φιλίας ἐπικατασχίσει, δεσμῷ κρατίστῳ, τῇ ἀρετῇ, βιαζόμενον, καὶ εἰς ἔπαινον τῆς σῆς σπουδαίας γνώμης ἐπὶ νοῦν ἐρχόμενον, διαναστήσει, καὶ σὲ δηλονότι ταῦτα συνορῶντα, οὐκ

41. De secretis, illa quibus in te virtutis studium augeatur amicis imperti. Sed quæ judicium depravant, illa nec actites, nec apud amicos deponas. Est hoc quidem optimum factu sine ullo alio respectu. Quod si, ut fit in humanis rebus, amicorum satietas te ceperit, hic scio id quod utile est admonitioni præferes. Malum enim si quid in secretis fuerit, tunc imprimis mentem et cogitationem hominis conscii alicujus subiens, tumultu implet, quantocius certe nec gravate recedit ab amicitia, ita ut nec admittat revertendi aut respiciendi animum. Propalam vero idem factum magno tibi futu- D rum est dedecori, et in eum qui palam fecit, implacabiliorem faciet. Bonum vero quidvis illum qui est conscius non patitur ab amicitia divelli, cum virtutis fortissimo vinculo constringatur : et ad laudem optimæ tuæ et præclaræ voluntatis, animo

VARIÆ LECTIONES.

[f] κἂν παρασφαλῇ. [e] ἔσεται. [h] ἡ τῶν [i] ἴσ. ...νων ἀποστροφή ;

NOTÆ.

(28) Ἡ ἐπιστροφή. Puto legendum, ἡ τῶν οὐκ εὐαγῶς, etc. ἡ ἐπιστροφή. Id enim requirit veritas cognita, ut ad ipsam revertamur, quæ mirabiles sui amores solet excitare.

Digitized by Google Распознавание текста ABK/FR

cum sit repræsentatum, excitabit adhuc magis, A neque tu qui tibi scilicet eorum conscius es, ægre persuadeberis illum, si quid perperam commissum est, ad familiarem iterum congressum et fruitionis desiderium admittere. De amicis igitur semper optime loquaris et persuasus sis, absentibus præsertim, idque coram aliis : ita et suspicionem adulandi evitabis, cum nec vel leviter impressum apud te vestigium illius vitii residere persuasum dabis, et amicis quæ grata et accepta sunt facies. Præsentes enim opinabuntur te eumdem erga ipsos futurum alias, quem agnoverint ipsi erga absentes te fuisse.

ἀηδῶς ἀναλαβεῖν, εἴ τι παρῳνήθης, τήν τε πρὸς αὐτὸν ὁμιλίαν καὶ τὴν ἐν τῷ πόθῳ σχέσιν ἀναπείσει. Ἀεὶ μὲν οὖν φίλους εὐλόγει, μάλιστα δὲ τοὺς ἀπόντας ἐπὶ τῶν παρόντων. Οὕτω γε γὰρ καὶ τὸ τῆς κολακείας διαφύγοις, οὐδ' ἴχνος αὐτῆς ἐν σοὶ φαίνεσθαι παρασκευάζων, καὶ τοῖς φίλοις ἔσῃ πράττων κεχαρισμένα, τοιοῦτον σεαυτὸν εἶναι τοῖς παροῦσι πιστώσας, οἷος αὐτοῖς περὶ τῶν ἀπόντων ἐγνώσθης.

42. Ad hunc modum ubi te amicis communiveris, eris in illos qui contra alios tum etiam in rempublicam deliquerint, implacabilis : sed commisericors in eos qui te offenderint. Ita enim fiet, ut recte in republica procedant leges, et bene cognita et perspecta erit illa cura et sollicitudo quam B erga subditos geris. Ita quoque fiet, ut intelligatur quam humanus sis, et bene animatus, qui mores regem cum deceant, in te erunt prædicabiles. Tyranni plerumque negligunt et insuper habent injurias communitati hominum atque aliis irrogatas, sed suas ipsorum proprias rigidissime solent vindicare : regem vero, qui secundum justitiam imperium administrat, decet suas injurias humaniter condonare, sed communes et aliis irrogatas cum justitia reformare et disponere.

μβ'. Οὕτω δὲ σεαυτὸν φιλίᾳ περιφράξας ἔσῃ τοῖς μὲν εἰς ἑτέρους καὶ εἰς τὰ κοινὰ πλημμελοῦσιν ἀπαραίτητος, τοῖς δὲ εἰς σὲ ἁμαρτάνουσι συμπαθέστατος. Διὰ μὲν γὰρ ἐκείνου εὐνομία ἔσται τῇ πολιτείᾳ, καὶ ἡ σὴ περὶ τοὺς ἀρχομένους ἐπίδηλος σπουδὴ καὶ κηδεμονία· διὰ δὲ τούτου τὸ φιλάνθρωπον τῆς γνώμης καὶ ὁ βασίλειος ὡς ἀληθῶς ἀνακηρύττεται τρόπος. Οἱ μὲν γὰρ τύραννοι τὰ κοινὰ τῶν ἀδικημάτων καὶ τὰ εἰς ἀλλήλους πολλάκις ὑπερορῶσι, πικρῶς δὲ τὰ εἰς ἑαυτοὺς ἐξετάζουσι· βασιλέως δέ ἐστι καὶ ἀρχῆς ἐννομωτάτης ἔργον, τὰ μὲν εἰς ἑαυτὸν φιλανθρώπως φέρειν, τὰ δὲ εἰς κοινὰ καὶ εἰς ἀλλήλους δικαίως εὐθετεῖν καὶ διεξάγειν.

43. Ut magnam is meretur laudem, qui cum summam habeat lædendi potestatem, justum tamen se exhibet ; ita multo vituperio dignus, qui cum nulla re indigeat necessaria, manus tamen rebus alienis injicit. Indigenti siquidem excusatio est C paupertas, licet non admittenda, si deliquerit contra justitiam : sed qui, cum potestatem habeat, nec ulla re indigeat, injuriam facit, prorsus est sine omni excusatione.

μγ'. Ὥσπερ πολλῶν ἐπαίνων ἄξιος, ὁ μεγάλην ἐξουσίαν τοῦ ἀδικεῖν λαβών, καὶ τὰ δίκαια πράττων· οὕτω πολλῶν ὑπεύθυνος ψόγων, ὁ μηδενὸς ἐνδεὴς τῶν ἀναγκαίων, καὶ εἰς τὰ ἀλλότρια τὰς χεῖρας ἐκτείνων. Ἀνδρὶ μὲν γὰρ πενομένῳ πρόφασις, εἰ καὶ παράλογος, τοῦ ἀδικεῖν, ἡ πενία· ἀνὴρ δὲ δυναστείαν ἔχων, καὶ ἀπορίαν οὐκ ἔχων, ἀναπολόγητον ἔχει τὴν ἀπὸ τοῦ ἀδικεῖν ἁμαρτίαν.

44. Quanto quis majorem potestatem obtinet, tanto majori virtuti debet is præcellere. Qui contra facit, tria simul admittit improbissima : se perdit ipsum ; intuentes ad peccandum allicit ; Deum facit blasphemari, qui tam improbo tradidit potestatem. Quocirca decet unumquemque malum declinare ; sed ante alios, eos qui sint cum imperio.

μδ'. Ὅσῳ δέ τις προέχει τῇ ἀρχῇ, τοσούτῳ χρεωστεῖ πρωτεύειν καὶ τῇ ἀρετῇ. Ὁ δὲ τοὐναντίον ποιῶν, τρία ἅμα, καὶ κάκιστα, ἐπιτελεῖ· ἀπόλλυσιν ἑαυτὸν· τοὺς ὁρῶντας εἰς κακίαν παρακαλεῖ· βλασφημεῖσθαι παρασκευάζει τὸν Θεόν, ὅτι τοιούτῳ τηλικαύτην ἐνεχείρισεν ἀρχήν. Διὰ τοῦτο παντὶ μὲν ἀνθρώπῳ φευκτέον ἡ κακία, μάλιστα δὲ τοῖς ἐν τῇ ἀρχῇ.

45. Ita ergo subditis tuis impera, ut nequaquam tyrannidi, sed eorum confidas benevolentiæ. Est enim benevolentia et longe excellentius et multo D tutius firmamentum quam metus. Illud autem acquiritur virtutem possidendo, et labores curamque erga subditos impendendo. Ita fiet ut vitam vere vitalem et regiam agas ipse, atque illos dum tutos et incolumes præstas ab insidiis et calamitatibus præter jus illatis, gloriam tibi paratam immortalem conservabis.

με'. Ἄρχε τοίνυν τῶν ὑπηκόων, μὴ πεποιθὼς τυραννίδι, ἀλλὰ τῇ τῶν ἀρχομένων εὐνοίᾳ. Εὔνοια γὰρ μεῖζον ἀρχῆς βάθρον καὶ ἀσφαλέστερον, ἢ φόβος. Τοῦτο δὲ ἀρετῶν τε κτῆσις ποιεῖ, καὶ οἱ περὶ τὸ ὑπήκοον πόνοι καὶ φροντίδες. Οὕτω δὲ αὐτός τε ὡς ἀληθῶς βασιλικῶς καὶ ἡδέως βιώσεις, κἀκείνοις ἐλευθέραν ἐπιβουλῆς καὶ συμφορῶν ἀλογίστων τὴν πολιτείαν συντηρήσας, ἀείμνηστον σαυτοῦ κλέος τὸν ἅπαντα χρόνον καταλείψεις.

46. Leges exactissime latas laudato et amplectere. Illas porro intuendo, vitam tuam dirige : noli autem juxta illarum legum calculos pœnas inexorabiles subditis tuis irrogare ; potius autem clementioribus institutis illos eruditos rege. Ita fiet ut, dum exactam in teipso rationem inis, metuendus videbe-

μς'. Νόμων τοὺς ἀκριβεστάτους ἐπαίνει καὶ ἀποδέχου· καὶ πρὸς ἐκείνους βλέπων, τὸν σεαυτοῦ ῥύθμιζε βίον· μὴ μέντοι κατὰ τὰς ἐκείνων ψήφους τὸ ὑπήκοον ἀπαραιτήτους εἰσπράττου τὰς τιμωρίας, ἀλλὰ διὰ τῶν φιλανθρωποτέρων μᾶλλον παιδαγώγει· οὕτω τε γὰρ φοβερὸς, δι' ὧν σεαυτὸν ἀκριβολογεῖς,

Digitized by Google Распознавание текста ABK/FR

τοῖς ἁμαρτάνουσιν εἶναι δοξεις, καὶ ἀνεπαχθὴς τοῖς ὑπηκόοις.

ris delinquentibus, neque tamen subditis intolerandus.

μζ'. Δεῖ δὲ ἐγκρατῶς ἄρχειν, οὐ τῷ κολάζειν, ἀλλὰ τῷ δοκεῖν κολαστικὸν εἶναι. Τοῦτο δὲ ἦθος εὐσταθὲς ποιεῖ, καὶ ἡ τῶν οἰκείων τρόπων σεμνότης καὶ ἐπιμέλεια. Ὀργίλων δὲ μᾶλλον ἀνθρώπων ἢ φρονίμων, αἱ κολάσεις· οἵτινες ἀπορίᾳ τοῦ δημαγωγεῖν σωφρόνως, ἐπὶ τὸ κολάζειν τρέπονται ῥᾳδίως. Καὶ τὸ μὲν καὶ ὁ τυραννικώτατος πράξειεν ἄν· τὸ δὲ, μόνος ὁ ἀρχικώτατος· εἴπερ ἄρχοντος ἀρετὴ μὴ φθείρειν, ἀλλὰ πλείους καὶ βελτίονας ποιεῖν τοὺς ἀρχομένους.

47. Vim imperii obtinere oportet non puniendo, sed opinionem fovendo severitatis. Hanc morum procurat stabilitas, gravitas et sedula observantia. Pœnas infligere frequentiores iracundi potius quam prudentis est. Illi enim facile ad puniendum descendunt, cum per defectum moderationis mulcere homines nesciunt. Quorum alterum tyrannus, alterum is solus qui imperio dignus faciet : cujus virtus est præcipua, non perdere, sed meliores reddere suos subditos.

μη'. Ἄρχοντος μέν τινες ἔφησαν ἀρετὴν, ἐκ μικρᾶς μεγάλην πόλιν ποιῆσαι· ἐγὼ δὲ μᾶλλον ἂν φαίην, τὸ ἐκ φαύλης σπουδαίαν παρασκευάσαι. Τοῦ μὲν γὰρ καὶ καιρῶν πολλάκις φορὰ γέγονε παραιτία. Τὸ δὲ οὐκ ἔστι μὴ οὐχὶ παρὰ τοῦ ἄριστα διοικοῦντος γενέσθαι. Ὃν σὺ παραζηλῶν, δι' ὧν κατορθοῖς, ἀριτῇ τὴν τῶν ἀρχομένων αὔξεις πολιτείαν.

48. Sunt qui pronuntiant ad officium regis imprimis pertinere, rempublicam e parva magnam facere : mihi potius videtur, ex improba probam constituere. Illud enim interdum occasionis cursus præstat : hoc nullo modo contingere potest nisi per optime imperantem. Hunc tu si imitatus fueris, tuis præclaris factis rem subditorum communem virtute promovebis.

μθ'. Ὥσπερ τεῖχος σαθρὸν, κἂν οἰκίας ἔνδον ἔχῃ λαμπρὰς, καὶ ἀέρων εὐκρασίαν, καὶ ὠνείων ἀφθονίαν, ὅμως τὴν πόλιν ἐξευτελίζει· οὕτως οἱ περὶ τὸν ἄρχοντα φαῦλοι, καὶ τὸν ἐκείνου συνδιαβάλλουσι τρόπον. Οἱ γὰρ ἐκείνων τῆς πονηρίας λαμβάνοντες πεῖραν, καὶ τὸν ὑπ' αὐτῶν δορυφορούμενον παραπλήσιον ὑπολαμβάνουσιν εἶναι.

49. Mœnia sicut ruinam minitantia, urbem in contemptum ducunt, licet alias pulchre ædificatam interius, aeris salubritate, et rerum venalium ubertate præstet : ita quoque et impii apud principem, una cum ipsorum, et ejus etiam vitam vituperari faciunt : nam quisquis illorum nequitiam experitur, eum in cujus sunt satellitio, ipsis omnino similem arbitrabitur.

ν'. Μηδενὸς παρανομίαν, κἂν δοκῇ δι' αὐτῆς εὐημερεῖν, ἐπαινέσῃς. Ἐκεῖνόν τε γὰρ μᾶλλον εἰς κακίαν ὑπαλείψεις, καὶ σεαυτὸν εἰς παραπλησίαν πρᾶξιν καιρὸν ἐπιζητεῖν ἀπελέγξεις. Ὁ γὰρ πρὸ καιροῦ ταῦτα, δι' ὧν ἐπαινεῖ, προθυμούμενος καὶ τιμῶν, τί ἂν οὐ ποιήσαι τοιούτου παραπεπτωκότος;

50. Nullius improbitatem commendes, licet inde videatur felix esse : nam hoc modo ad majorem improbitatem provocabis, et suspicionem creabis probabilem te tantum opperiri occasionem ut illi similis fias. Certe qui nondum data justa occasione affectum se ostendit erga illa quæ commendat, nihil ille non effectum dabit ut primum occasio justa inciderit.

να'. Ὁ τῶν ἀρχόντων τρόπος, νόμος γίνεται τοῖς ὑπὸ χεῖρα. Εἴ τι οὖν τὸ πλῆθος ἐξαμαρτάνει, εἰς τὸν ἄρχοντα τὴν αἰτίαν ἀναπέμπει, πόσον οἴει σαυτὸν ἀρετῆς ἐπιμελεῖσθαι, καὶ χρεωστεῖν ἀεὶ ἐπὶ τοῖς καλοῖς ἐγρηγορέναι ;

51. Mores principum legis vice sunt apud subditos, quocirca cum delinquant homines, causam rejiciunt in imperantem. Quo te ergo nexu obstrictum teneri putas, ut omni ope operaque virtutem colas, et bonis factis agendis invigiles ?

νβ'. Πάσης πράξεως βουλὴ προηγείσθω. Αἱ γὰρ ἀνεπίσκεπτοι πράξεις, ὡς τὰ πολλὰ σφαλεραί· καὶ τὸ κατορθούμενον, δικαίως ἂν αἰτίας ἄλλης ἔργον νομισθείη μᾶλλον, ἢ τῆς τοῦ πολλάκις παρασφαλέντος ὁρμῆς καὶ περιπετείας.

52. Actionem quamcunque consilium præcedat. Sunt enim lubricæ et periculosæ, quæ sine consilio peraguntur. Quod si quid forte successerit bene, nec quidem injuria aliunde censebitur evenisse potius quam ab impetu et fortuita ejus operatione qui plerumque solet aberrare.

νγ'. Ἅπερ χεῖρες πολλῶν, καὶ πολλάκις, οὐκ εἰργάσαντο, ταῦτα βουλὴ μία καὶ ἐφάπαξ κατεπράξατο. Δι' ὁ εὐβουλίαν προτίμα πολυχειρίας.

53. Quæ multorum manibus, et continuo operantibus, haud perficiuntur, illa unico consilio unius et semel actu eventum sortiuntur. Itaque rectum consilium multorum manibus prætuleris.

νδ'. Προνοίας ἐπίκουρος ἡ μετάνοια, ἃ τοίνυν ἐκείνην διέλαθε καὶ ἐκπίπτει, αὕτη ταῦτα ἐπανελομένη διορθούσθω καὶ διασωζέτω.

54. Adjuvassit pœnitentia providentiam. Si quæ igitur illum latuerint et effugerint, hæc resumpta et recollecta resarciat et conservet.

νε'. Ὁ φθόνος, πάσῃ μὲν ψυχῇ μεγάλη νόσος· μεγίστη δὲ, μάλιστα τοῖς ἐν ἐξουσίᾳ. Ἀνάγκη γὰρ, οἷς συνεργοῖς μέλλει χρῆσθαι καὶ βίου καὶ πόλεως πρὸς εὐδαιμονίαν, τούτους ὁρᾷν ὡς ἐχθροὺς, διὰ τὴν ἐνοῦ-

55. Est invidia cujuscunque animæ morbus ingens, sed præaliis viri cum principatu exsistentis. Necesse enim habet illos tanquam hostes intueri, propter innatam ipsis virtutem, et ex insidiis velut

Digitized by Google Распознавание текста ABK/FR

hostes adoriri, quos vult et debet adhibere cooperantes ad suam ipsius et reipublicæ felicitatem constituendam. Quo quidem nihil vel perniciosius vel stultius esse queat.

σαν ἀρετὴν, καὶ ἐπιβουλεύειν ὡς πολεμίοις. Οὗ τί ἂν εἴη ὀλεθριώτερον ἢ ἀφρονέστερον;

56. In quantum vitanda est invidia, in tantum annitendum ut invideamur. Et hoc imprimis principi convenit, quem non est proclive malevolis ut lædant. Quod si autem comprimenda sit invidia (est enim bellua audax imprimis et versipellis), impressiones ejus eludere oportet, non virtutem minuendo, sed moderatione animorum, et per quamdam diminutionem subtractionemque ostentandi potestatem, et declarandi superioritatem in rebus non nimis necessariis.

νς'. Ὅσον δὲ δεῖ φυγεῖν τὸ φθονεῖν, τοσοῦτον διώκειν τὸ φθονεῖσθαι (29). Ἄρχοντι δὲ μάλιστα πρέπει, ᾧ μηδ' ἐξ ἑτοίμου ἡ ἀπὸ τῶν φθονούντων φέρεται βλάβη. Εἰ δεῖ δὲ ὅμως τὸν φθόνον περιστέλλειν (πολυμήχανον γὰρ καὶ πάντολμον τὸ θηρίον), οὐκ ἀρετῆς ἐλαττώσει, μετριότητι δὲ φρονήματος, καὶ ἀφαιρέσει καὶ περικοπῇ τῆς ἐν τοῖς οὐκ ἀναγκαίοις ἐπιδείξεως καὶ πλεονεξίας, τὰς αὐτοῦ βολίδας διεκρουστέον.

57. Cum sibimetipsi quis imperaverit, tum se suis subditis imperare putet cum effectu. Ubi enim illi viderint eum qui ipsis præest, affectibus suis imperantem, voluptatibus dominantem, libenter se et cum desiderio subjicient imperio ejus : quod si voluptatibus et affectibus suis servire viderint, servo subesse non patientur.

νζ'. Ὅταν τις ἄρχῃ ἑαυτοῦ, τότε νομιζέτω καὶ τῶν ὑπηκόων ἄρχειν ἀληθῶς. Ὅταν γὰρ ἴδωσι τὸν ἐφεστηκότα ἄρχοντα παθῶν καὶ κρατοῦντα ἡδονῶν, τότε πόθῳ καὶ ἑκόντες καὶ αὐτοὶ ὑποταγήσονται· ἂν δὲ ἀνδραπόδου ἴδωσιν ἡδονῆς καὶ παθῶν, ἀφόρητον ἡγήσονται ἀνδραπόδῳ δουλεύειν αὐτοί.

58. Judicem illum optimum arbitrare, qui justitiæ naturam et conditionem celerrime valet animo apprehendere, et intellectam ordine producit in apertum ; qui celer ad opitulandum accedit injuria affectis, delinquentes tardius punit ; qui non corrumpitur auro, nec inflatur potestate; qui vincit iracundiam, nec clementia vincitur; qui affinitatem solam, amicitiam, popularem auram non aliter agnoscit quam cum justitia judicando, solum injustitiam a se alienam, inimicam sibi et ignominiosam arbitratur.

νη'. Ἄριστον νόμιζε δικαστὴν, ὃς τάχει μὲν λογισμῶν τὴν τοῦ δικαίου φύσιν θηρεύει, θηρεύσας δὲ σὺν ὀρθότητι προάγει· καὶ πρᾶξαι μὲν ἄνεσιν τοῖς ἀδικουμένοις ὀξὺς, βραδὺς δὲ κολάσαι τοὺς ἁμαρτάνοντας· καὶ κρείττων μὲν χρυσίου, οὐκ ἐλάττων δὲ δυναστείας· καὶ κρατῶν μὲν ὀργῆς, οὐχ ἡττώμενος δὲ συμπαθείᾳ· καὶ μόνην μὲν συγγένειαν καὶ φιλίαν καὶ δοξαν οἶδεν, ἐν τῷ δικάζειν, τὴν δικαιοσύνην· μόνην δὲ ἀλλοτρίωσιν καὶ ἔχθραν καὶ ἀδοξίαν, τὴν ἀδικίαν.

59. Erga cognatos et affines noli esse abalienato animo, levi de causa et incerta. Nam utcunque subesse possunt latentes causæ quæ jure excusent abalienatum, illi tamen quibus sunt incognitæ, non in illos conjicient culpam abalienationis, sed tuam accusabunt omnino levitatem et mentis infirmitatem.

νθ'. Μηδὲν τῆς πρὸς τὸ ὁμόφυλον διαθέσεως εὐχερῶς καὶ χωρὶς ἐμφανοῦς αἰτίας μεταβάλλοις. Εἰ γὰρ καὶ ὑπολανθάνουσαι παρ' αὐτῶν αἰτίαι τὴν πρὸς αὐτοὺς μεταβολὴν δικαίαν ποιοῦσιν, ἀλλ' οὖν οἱ ταύτας μὴ συνορῶντες, οὐκ ἐκείνους αἰτιάσονται τῆς σῆς περὶ αὐτοὺς ἀλλοιώσεως, σοῦ δ' ὀρώστίαν καὶ εὐχέρειαν κατηγορήσουσι γνώμης.

60. Principem non tam excolit virtus bellica et salvum præstat, quam benignitas et pius in compatriotas affectus. Multi, rebus bellicis præclare administratis, domi propter truculentiam per suos interierunt, multi per suos servati redierunt, quos bene captivos fecerunt hostiles copiæ, neque enim vitam illi suam principis saluti prætulerunt.

ξ'. Οὐχ οὕτως ἡ ἐν πολέμῳ ἀνδρεία τὸν ἄρχοντα κοσμεῖ καὶ σώζει, ὡς ἡ πρὸς τοὺς ὁμοφύλους εὐμένεια καὶ φιλανθρωπία. Πολλοὶ γὰρ πολεμίων κρατήσαντες, ὑπὸ τῶν οἰκείων δι' ὠμότητα διεφθάρησαν· καὶ πολλοὶ παρὰ μικρὸν ἁλῶναι πολεμίοις κινδυνεύσαντες, ὑπὸ τῶν ὁμοφύλων διεσώθησαν, οὐδ' αὐτὸ τὸ ζῆν ὑπὲρ τῆς σωτηρίας προτιμησάντων τοῦ ἄρχοντος.

61. Illos oportet cum magistratu constituere qui virtutum omnium copia instruuntur : quod si non omni virtute, justitia saltem instruantur. Quid-

ξα'. Ἄρχοντας δεῖ καθιστάναι, μάλιστα μὲν πάσαις πλουτοῦντας ταῖς ἀρεταῖς· εἰ δὲ μὴ, πάντως γε δικαιοτάτους. Καὶ γὰρ ἃ τοῖς ἄρχουσι παραμονεῖται,

NOTÆ.

(29) Τὸ φθονεῖσθαι. Hoc est, ea agere, quæ nec odium, nec miserationem, sed invidiam procurant, nimirum res præclaræ et illustres. Καὶ γάρ τοι ὅστις τούτοις φθονεῖ, inquit Lysias, οὓς οἱ ἄλλοι ἐλεοῦσι, τίνος ἂν ὑμῖν οἱ τοιοῦτοι ἀποσχέσθαι δοκεῖ πονηρίας; Apposite Statius Papinius,

Quisnam impacata consanguinitate locavit
Fortunam invidiamque? Deus qui jussit iniquus
Æternum bellare Deas? nullamne notavit
Illa domum, torvo quam non hæc lumine figat
Protinus, et sæva perturbet gaudia dextra.

Digitized by Google Распознавание текста ABK/FR

ταῦτα τὸ μῖσος καὶ τὴν ὀργὴν τοῦ πλήθους εἰς τὸν προχειρισάμενον ἀναφέρει.

ξβ'. Πολλαχόθεν δεῖ τὸν ἄρχοντα θηρεύειν τῶν ὑπηκόων τὰς γνώμας, καὶ οὕτω κοινωνοῖς χρῆσθαι φιλίας καὶ ἀρχῆς καὶ βουλευμάτων· πρῶτον, ἐξ ὧν αὐτὸς τὰ κατὰ τὴν αὑτοῦ οἰκίαν οἰκονομεῖν δεύτερον, ἐξ ὧν γυναικί τε καὶ παισὶ καὶ δούλοις συνδιατίθεται· τρίτον, ἐξ ὧν κέχρηται τοῖς φίλοις· τέταρτον, ἐξ ὧν πρὸς τοὺς ἐκ γειτόνων διάκειται· καὶ πέμπτον, ἐξ ὧν ἔχθραν τε ἀναδέχεται καὶ ἀμύνεται, καὶ πάλιν, οἷς κατατίθεται καὶ διαλύεται. Ἱκανὰ γὰρ ταῦτα φύσιν ἀνδρὸς τεκμηριῶσαι, καὶ δεῖξαι γυμνὸν προσωπείου, καὶ τοῖς ἐπὶ σκηνῆς (30) ὑποκρίσεως τὸν ἄνθρωπον θεωροῦσι.

ξγ'. Τότε κριτὴς ἄριστος ἔσῃ τῶν ἄλλων, ὅτε τὰς αὑτοῦ ἐπισκοπῶν, λόγον ἑκάστης πράξεως ὑπὸ συνειδότι κριτῇ δίδως, καὶ διόρθωσιν ἐπινοεῖς τῶν ἡμαρτημένων. Ἐπεὶ πῶς τοὺς ἄλλους ἐπιτιμῶν οὐκ ἐρυθριάσεις, ἐφ' οἷς αὐτὸς τὰ ὅμοια ἐξαμαρτάνεις; πῶς δὲ ἐκείνους οἴει σοι διατεθῆναι, ἡνίκα ἐν οἷς ὑπεύθυνόν σε καθορῶσιν, αὐτοὶ δίκας εἰσπράττεσθαι δικαιοῦνται;

ξδ'. Ἐπαίνει τὰς ἀρίστους πράξεις· ἐπαίνει δὲ, μὴ λόγῳ μόνον, ἀλλὰ δι' ὧν αὐτός τε μάλιστα τὰ ὅμοια πράττοις, καὶ δι' ὧν τοὺς μιμητὰς τῶν λοιπῶν προκρίνων, ἐντίμους ἀποδεικνύοις. Τὸ μὲν γὰρ καὶ τῶν τυχόντων, τὸ δὲ τῶν ἄρχειν ἀξίων.

ξε'. Προνόει πάντων, τῶν μὲν ἐπιεικῶν, ὡς ἂν ἄριστοι γένωνται, καὶ τῆς ὀφειλομένης αὐτοῖς ἀπολαύσωσι τιμῆς καὶ τοῦ προνομίου· τῶν δὲ μὴ τοιούτων, ὡς ἂν βελτιωθῶσι τὰς γνώμας, καὶ τῆς ἀπὸ τῶν νόμων ῥυσθῶσιν ἀτιμίας. Τοῦτο γὰρ ὡς ἀληθῶς ἀρχῆς ἐννόμου καὶ ἐπιστασίας ἔργον.

ξς. Τὰς πρὸς ἀλλήλους τῶν ἀρχομένων ἔρεις εἰς τοὺς πολεμίους τρέπων, ἐν τοῖς ὑπὲρ τῆς πατρίδος ἀγῶσι μετατίθει· τυράννων μὲν γὰρ, στασιάζειν τὰ πλήθη· ἐν γὰρ τῇ κοινῇ φθορᾷ καὶ διχοστασίᾳ ἡ τυραννὶς τὴν ἀσφάλειαν ἔχει· ἄρχοντος δὲ καὶ βασιλέως, ἀστασίαστον συντηρεῖν τὴν ὁμόνοιαν τῶν ὑπηκόων· ἐν γὰρ τῇ τῶν ἀρχομένων σωτηρίᾳ τὸ βάθρον αὐτοῖς πέπηγε τῆς ἐξουσίας.

ξζ'. Ὥσπερ δεῖ τὸν ἄρχοντα φοβερὸν εἶναι τοῖς ἀδικοῦσιν, οὕτω φυλακὴν καὶ ἀσφάλειαν τῶν μηδὲν ἀδικούντων, ἀλλὰ κατὰ τοὺς νόμους πολιτευομένων.

ξη'. Τρία ἐστὶν ἐν ἀνθρώποις, τιμωρία, ψόγος,

quid enim deliquerint magistratus, odium et ira a populo concepta, eapropter in illos redundat per quos erant constituti.

62. Multis modis principem oportet subditorum mentes explorare, ut participes eos ita adhibeat cum amicitiæ, tum imperii, ac etiam consiliorum suorum : eorum scilicet imprimis quibus in sua ipsius privata familia ordinanda utitur ; secundo, quibus ipse cum uxore, liberis et servis se impertit ; tertio, quibus utitur erga amicos, quarto, quibus cum vicinis agit ; quinto, quibus inimicitias exercet, et vim illatam depellit, vel pacem stabilit et reconciliationem. Sufficiunt autem ista ad naturam hominis cujuscunque patefaciendam, ad demonstrandum, nihil in illo prætextus, nihil hypocriseos esse, cujusmodi in scena solent observari.

63. Tum judicium optime in alios exercebis, cum tuas ipsius actiones contemplatus, sub judice propria conscientia uniuscujusque actus rationem exegeris, et peccatorum institueris correctionem. Siquidem enim alios si redargueris, cum iisdem ipse criminibus tenearis, necesse est ut erubescas. Quomodo rursus illos affectos iri putas, cum te qui nulli rationem reddere teneris obstrictus, severe tamen exercentem judicium intuebuntur ?

64. Præclare gestas res collaudato, nec verbis tantum collaudato, sed ipse res pariles operando, et illos aliis anteferendo honorandosque declarando qui talia imitantur : quorum alterum cuicunque homini, alterum competit ei qui digne imperat.

65. Omnium omnino curam adhibeto moderatorum hominum, ita ut commendatissimi sint, et digno ipsis honore præmiisque fruantur; minime autem talium, in eum finem ut ad bonam frugem deveniant, et immunes sint a pœnis per leges infligendis, nec infamia notentur. Hoc enim revera spectat ad officium ejus qui secundum leges cuplat imperare.

66. Subditorum lites in hostes diverte, atque ad certamina pro patria subeunda transfer; tyrannicum est populum ad seditiones concitare, cum securitatem suam tyranni statuant in discordia et interitu populari : regium est autem, subditorum concordiam immotam conservare, cum in salute subjectorum potestatis eorum fulcrum statuatur.

67. Princeps ut adversus injustos terribilis esse debet, ita custodiam suscipere innocentum oportet, et eos qui secundum leges vivunt sartos tectos præstare.

68. Tria sunt quæ tangunt homines, pœna,

VARIÆ LECTIONES.

j l. τὰ σαυτοῦ.

NOTÆ.

(30) Καὶ τοῖς ἐπὶ σκηνῆς. Inepta lectio. Legendum et distinguendum, καὶ τῆς ἀπὸ σκηνῆς ἀποκρίσεως τὸν ἄνθ., etc. Sequenti sect. restituendum, Ὅτε τὰς ἑαυτοῦ ἐπισκοπῶν πράξεις λόγον ἑκάστης ὑπὸ συνειδότι, etc.

Digitized by Google Распознавание текста ABK/FR

vituperium, laus, sed et insuper, si placet, beneficentia. Pœna digni sunt inimici; vituperio, cives qui exorbitant in quibusdam; laudandi et beneficiis cumulandi, qui rebus bene gestis inclaruere. Quod si quis eo progreditur, ut quæ hostes facerent, et ipse audeat, eosque imitetur, hostium ille pœnam in se transfert. Quod si quis mutaverit ordinem suum et locum in quo constituitur, ultra etiam hostes inimicus habendus reipublicæ. Proditor est, qui beneficiis hostem afficit. Civitatem perdit, qui laudibus improbos attollit; nam cives ad male agendum stimulat. In quam ipsam deformitatem civitatem et is adducit qui recte incedentes inhonorat.

A ἔπαινος, εἰ βούλει δὲ, καὶ εὐεργεσία · ἀλλὰ τῆς μὲν οἱ πολέμιοι ἄξιοι · ψόγου δὲ, οἱ μέτριοι τῶν πολιτῶν ἁμαρτάνοντες · ἐπαίνου δὲ καὶ εὐεργεσίας, οἱ διαφέροντες κατορθώμασι. Εἰ δέ τις εἰς τὴν τῶν πολεμίων τόλμαν καὶ μίμησιν ἐξαχθείη, αὐτὸς καὶ τὴν ἐκείνων ποινὴν εἰς ἑαυτὸν ἐπιστρέφει. Ὁ δέ τι τούτων ἀμείβων, καὶ τὴν διάταξιν ἐπαλλάσσων, οὗτος ἐχθρὸς τῆς πολιτείας πλέον ἢ οἱ πολέμιοι. Ὅ τε γὰρ τοὺς πολεμίους εὐεργετῶν, προδότης · ὅ τε τοὺς φαύλους ἐπαινῶν, τὴν πόλιν ἀνατρέπει · ἐπὶ κακίαν γὰρ παρακαλεῖ τοὺς πολίτας · καὶ ὁ τοὺς κατορθοῦντας μὴ τιμῶν, εἰς τὴν αὐτὴν ἀκοσμίαν τὴν πολιτείαν καταστρέφει.

69. Difficile quidem metum amori immiscere. Amantes enim omnino sunt absque metu: qui timore percelluntur, amare nolunt. At tu tamen divide: teque ita compara ut ames optimos; neque enim hic opus est ullo metu. Reliquos necesse est metu terreas, ut a male agendo se abstineant. Metuent porro, si te videant semota iracundia punientem, et tanquam parentem informantem; si te animadvertant minime libenti animo punientem, rebus autem adversis et infortuniis sine aliquo prætextu, sincere, opem ferentem.

ξθ'. Χαλεπὸν μὲν φόβον ἀγάπῃ κεράσαι. Οἱ γὰρ B φιλοῦντες ὡς ἐπίπαν τὸ δέος οὐκ ἔχουσι, καὶ οἱ δεδιότες φιλεῖν οὐκ ἐθέλουσι. Σὺ δὲ δίελε · καὶ τοὺς μὲν ἀρίστους φιλεῖν παρασκεύασον · οὐδὲν γὰρ δεῖ δέους ἐπὶ τοῖς τοιούτοις. Τοὺς δ' ἄλλους ἀνάγκη φοβεῖν, ἵνα τῶν φαύλων ἀπέχονται [k]. Φοβήσονται δὲ χωρὶς μίσους ἂν μὴ μετ' ὀργῆς ὁρῶσι κολάζοντα, ἀλλ' ὡς πατέρα παιδεύοντα, καὶ ἐν μὲν τοῖς ἁμαρτήμασιν οὐχ ἡδέως τιμωρούμενον, ἐν δὲ ταῖς συμφοραῖς καὶ τοῖς δυστυχήμασιν ἀπροφασίστως ἐπικουρεῖν προθυμούμενον.

70. Qui naturæ dona in improbitatem convertunt, et non ad auxilium vicinorum, cum naturam spernunt, tum creatoris erga ipsos munificentiam in contumeliam ingrati pervertunt.

ο'. Οἱ χρώμενοι τοῖς ἐκ φύσεως πλεονεκτήμασιν εἰς πονηρίας ὑπηρεσίαν, ἀλλὰ μὴ πρὸς τὴν τῶν πλησίον εὐεργεσίαν, οὗτοι καὶ τὴν φύσιν φαυλίζουσι, καὶ τῷ Δημιουργῷ τὴν περὶ αὐτοὺς φιλοτιμίαν εἰς ὕβριν καὶ ἀχαριστίαν περιτρέπουσιν.

71. Quemadmodum turpe est et sordidum, plane plebeculis ad voluntatem obsecundari, et nimis familiariter se gerere: ita lubricum est et periculosum, superciliosum semper et tumidum apparere. Extremitatem ergo utramque fugere oportet, et medium tanquam virtutem consectari, suas partes cuique tempori congruas tribuendo.

οα'. Ὥσπερ αἰσχρὸν καὶ ταπεινὸν, πρὸς ἡδονὴν C ὁμιλεῖν τῷ πλήθει, οὕτως ἐπικίνδυνον καὶ σφαλερὸν, ἀεὶ σοβαρεύεσθαι καὶ ὑπέρογκον ὁρᾶσθαι. Δεῖ τοιγαροῦν ἑκάτερον ἄκρον φυγόντα, ὡς ἀρετὴν, τὴν μεσότητα διώκειν, καὶ καιροῖς ἰδίοις τὸ πρόσφορον ἀπονέμειν.

72. Juramentum proclive, perjurium est stans in procinctu. Certe nec mores bene constitutos nec animum decet generosum, jurare. Vir etenim gravis et magnanimus pudefiet, si verba sua fidem non mereantur absque juramento, et conversationi suæ injuriam inuri: ita ut conjunctum sit cum utilitate et nostra cura, quod lege divina prohibeamur omnino jurare.

οβ'. Προπετὴς ὅρκος, πρόχειρος ἐπιορκία. Ἄλλως τε δὲ καὶ τὸ ὀμνύειν ὅλως, ἤθους οὐκ εὖ βεβηκότος, οὐδὲ φρονήματος εὐγενοῦς · ὁ δὲ εὐσταθὴς καὶ μεγαλόψυχος ἀνὴρ αἰσχυνθήσεται τοὺς λόγους ὅρκῳ πιστοὺς ἀποφαίνειν, καὶ τὴν διὰ τῶν οἰκείων τρόπων πίστιν ἀτιμάζειν. Λίαν ἄρα συμφερόντως καὶ κηδεμονικῶς [καὶ] ὁ Δεσποτικὸς νόμος τὸν ὅρκον κωλύει.

73. Beneficiorum semper memor esto; quæ beneficeris statim oblivioni trade. Illud enim bonitatem et probitatem animi indicat, hoc autem magnitudinem et puritatem; dum purum etiam præstat beneficium.

D ογ'. Ἃ μὲν εὖ πάθοις, ἀεὶ μέμνησο · ὧν δ' ἂν εὖ ποιήσαις, θᾶττον ἐπιλανθάνου. Τὸ μὲν γὰρ χρηστότητος καὶ εὐγνωμοσύνης, τὸ δὲ καθαρᾶς μεγαλοψυχίας, καὶ καθαρὰν φυλάττει τὴν εὐεργεσίαν.

74. Beneficia exprobrari vel infortunium alicui, et levitatem indicat et inhumanitatem.

οδ'. Εὐεργεσίας καὶ συμφορὰς ὀνειδίζειν, τῆς αὐτῆς εἶναι νόμιζε κουφότητος καὶ ἀπανθρωπίας·

Reliquum est, ut pro hoc duplici Photii scripto gratiæ agantur RR. Patribus monasterii Veneti Mechitaristis, qui splendida morum honestate, bonorum officiorum multitudine, plurima litterarum scientia, editis tot civilis sacræque doctrinæ libris, quotidiano denique ampliandæ orthodoxiæ studio, optime de gente sua et de catholica Ecclesia meriti sunt.

ΕΠΙΣΤ. ΙΑ'.

Μιχαὴλ τῷ θεοσέπτῳ βασιλεῖ.

EPIST. XI.

Michaeli imperatori a Deo coronato.

Edita a Montacutio (ep. 18, p. 78).

Τῆς ὑμετέρας θεοστεφοῦς βασιλείας, καὶ ὡς ἀληθῶς αὐτοκράτορος, ἀναλεγόμενοι τὴν ἐπιστολήν, χαρᾶς ἅμα καὶ θάμβους ἐπληρώθημεν· χαρᾶς μὲν, ὅτι τὴν ὑμετέραν δι' αὐτῆς εὐηγγελιζόμεθα βασιλείαν, πάσης μὲν ἐπιβουλῆς ὑπὸ Θεοῦ φυλαττομένην ἀνωτέραν, πάσης δὲ κρείττω ἐπαναστάσεως, ἐχθρῶν τε πάντων ὑψηλωτέραν βουλευμάτων, καὶ παντὸς ἀπηλλαγμένην ἑτέρου συμπτώματός τε καὶ ἀῤῥωστήματος. Ταῦτα χαρᾶς ἡμᾶς ἀνεκλαλήτου καὶ ἀγαλλιάσεως ἐπλήρωσε· θάμβει δὲ κατεσχέθημεν, καὶ πρὸς δάκρυα κατενέχθημεν, τὴν ἀνθρωπίνην ἀπολοφυρόμενοι ματαιότητα· καὶ ὅπως τινὲς τῶν ἀνθρώπων, πολλῶν μὲν χαρίτων, πολλῆς δὲ δόξης ἀξιούμενοι, κύριοι δὲ πολλοῦ γινόμενοι πλούτου· καὶ δέον μὲν τούτους, οἷς ἀπολαύουσιν, ἀγαπᾷν, καὶ τὰ οἰκεῖα μέτρα συνεπίστασθαι, καὶ τὸν εὐεργέτην ἄγειν δι' εὐφημίας ἁπάσης καὶ σεβασμιότητος· οἱ δὲ τὴν ἐπιθυμίαν ἀκόρεστον ἐνδεικνύμενοι, καὶ πρὸς πάντα διαπλωθῆναι φιλονεικήσαντες, τῆς τε ἰδίας κεφαλῆς καὶ εὐεργέτιδος τολμῶσι κατάφρυάττεσθαι, καὶ τὸν τοῦ Σαλμονέως μύθον εἰς ἔργον προάγουσιν. Ἐξ ὧν οὐ μόνον τῶν ἐλπίδων, ἃς ὀνειροπολοῦσι, καὶ ἐφ' αἷς ὠχοῦντο, διαπίπτουσιν· ἀλλὰ καὶ αὐτῶν τούτων, ὧν δικαίᾳ ἐξουσίᾳ καὶ δεδομένῃ καθειστήκεισαν κύριοι, ἑαυτοὺς ἀφρόνως ἀπελαύνουσιν· οἷον δή τι διὰ τῶν γραμμάτων (ὡς εἴθε μὴ ὄφελον), κατεμάθομεν, καὶ περὶ τὸν ταπεινὸν ἄνθρωπον ἐκεῖνον (οὐκ οἶδα γὰρ ὅπως ἑτέρως εἴπω, τῆς ἀνθρωπίνης μιμνησκόμενος ἀθλιότητος) πῶς ὑπὸ τῆς ὑμῶν φιλοδώρου καὶ μεγαλοδώρου δεξιᾶς εἰς αὐτά που τὰ σκῆπτρα τῆς βασιλείας ἀνυψωθεὶς, καὶ τὴν βασίλειαν, εἰ καὶ μὴ τὴν κλῆσιν, ἀλλὰ τὴν ἐξουσίαν συμμερισάμενος, οὐκ ἤνεγκεν, ὡς φασὶ, τῆς εὐεργεσίας τὸ μέγεθος, οὐδ' ἔστεῤῥεξεν οἷς ἠξίωται, οὐδ' εὐχαρίστησεν οἷς ἀπήλαυσεν· ἀλλ' ὑπερόριον τὸν πόδα κινῶν, καὶ χεῖρας ὕβρεως κατὰ τῆς εὐεργέτιδος ἀνατεινάμενος κεφαλῆς, αὐτό τε τὸ ζῆν, καὶ τὰς ὑπερηφάνους ἐλπίδας, καὶ τὰ μάταια φυσήματα, οἰκτρῶς οἴμοι καὶ ἐλεεινῶς ᾤχητο λειπών· ἤλγησα μὲν (ὦ φιλάνθρωπον ἐμοὶ καὶ πανήμερον κράτος) ἀώρῳ θανάτῳ παραδοθέντα τὸν ἄνθρωπον μαθών· ἐφ' ᾧ δὲ μάλιστα ὅτι καὶ τυραννίδος δεδοὺς δίκην, εἰσεπράχθη τὸν θάνατον· Πλάττεσθαι γὰρ τὸ γράμμα, καὶ ἄλλως πῶς, ἢ ὡς ἐδήλου, τὰ περὶ αὐτὸν συνενεχθῆναι, δι' ὧν ἐκεῖνος μὲν στέφεται, ἄλλοι δὲ κόψονται, ἡ τοῦ σοῦ κράτους ἀρετὴ καὶ ἐπιείκεια ὑπονοεῖν οὐκ ἐνδίδωσιν. Διὰ τοῦτο μάλιστα καιρίαν ἤνεγκα τὴν ἀπὸ τῆς λύπης πληγήν· τά τε ἄλλα ἐπὶ νοῦν ἀναλαμβάνων, καὶ ὅτι ἄνθρωπος ἐν αὐτῷ τῷ κακουργεῖν ἀνάρπαστος γεγονὼς, καὶ μήτε τὰ ἀπὸ τοῦ βίου μολύσματά τε καὶ ῥυπάσματα, ἃ τῇ ἀθλίᾳ ταύτῃ φύσει φιλεῖ ἐπιτρίβεσθαι, τοῖς δά-

Lecta quam accepimus ab imperatoria vere potestate, et Deo coronato principatu, episuola, gaudio simul repleti sumus et admiratione. Gaudio certe, eo quod lætum per eamdem accepimus nuntium, imperium vestrum extra omnem conspirationis aleam a Deo positum et custoditum, supra omnes insurgentium machinationes constitutum, liberum et quietum ab omni alio causu et infirmitate. Et hæc erant, quæ nos gaudio inexplicabili et exsultatione repleverunt : admiratione porro capti sumus, et ad lacrymas adacti effundendas, dum humanam deploramus vanitatem ; nimirum cum non pauci sint qui magna gratia, gloria multiplici floreant, qui cum possideant ingentes opes, ita ut contenti deberent esse cum possessis, et proprium ipsorum modulum agnoscere, benefactorum vero omni laudis præconio, et veneratione prosequi teneantur ; illi tamen inexplebilem præ se ferunt cupiditatem, omni studio et contentione se immiscent omnibus, in ipsorum caput quidem benemeritum audent tumultuosius insolescere, ita ut de Salmoneo fabulam opere ipso exhibeant completam : unde contingit, ut non modo de spe, quam sibi per somnum confinxerant, et qua evehuntur, excidant ; verum etiam per insipientiam ab iis ipsis se exterminent, quorum justa potestate, dominio et concessione fruebantur. Illiusmodi istud est quod (utinam non ita contigisset !) per litteras facti certiores intelleximus, in illo abjecto et humiliato homine perpetratum (neque enim quo alio eum nomine notem satis intelligo, qui memor sim humanæ miseriæ) ille tantum non ad regni sceptra per dextram vestram munificam exaltatus, ita ut licet nominis imperatorii et tituli non esset particeps, potestatem tamen tecum dividebat, magnitudinem beneficii ferre nequivit ; non erat contentus iis quibus fuit dignatus, nec gratias habebat pro fruitione habitis, sed extra lineas pedem promovens, et manus in opprobium benefactoris retendens, capitique ejus insidiatus, vitam ipsam tandem, insolentiores spes suas, inanes spiritus, miseram heu et miserandum in modum, abiit hinc relinquens. Indolui quidem (o misericors et mitissima potestas) cum rescivi immaturæ neci hominem datum ; magis, quod affectatæ tyrannidis pœnam, oppetiit mortem. Certe, non patitur subire animum meum suspicionem vestræ potestatis virtus et clementia, commentitias venisse ad me litteras, vel alio modo quam quo in illis narratur, quæ illum concernebant contigisse, unde fiet ut coronetur ille, ringantur alii. Atque hinc lethalem a dolore accepi infliciam plagam, dum memoria inter alia

Digitized by Google Распознавание текста ABK/FR

recolo, quod in ipso improbitatis actu hinc abripiebatur, ita ut neque lacrymis abluerit sordes vitæ et inquinamenta, quæ miseræ naturæ nostræ astricta solent inhærere; nec ob injurias, quibus fortassis alios affecerat, ullam declararat pœnitentiam; nec ullo alio modo Judicem in altera vita futurum conciliatum dare studuerat; itaque delictis onustus ad ejusdem tribunal transmissus est: sed prout secreto Dei judicio decretum fuerat, ita ille finem vitæ consequebatur: multis quidem stupor, non paucis admonitio, quibusdam commiseratio, pluribus hæsitatio fiebat. Tu autem, rogamus (regum decus et ornamentum, patriæ exaltatio, imperii stabilimentum, et Christianorum omnium, qui vocantur amor, deliciæ et gloriatio), quantocius ad nos festinato; redde desiderium desiderantibus; libera nos primum a captivitate, qua, dum tua caremus præsentia, detinemur; refice nos et refrigera ab illa miseria, qua detinemur, dum vestra non adest præsens refocillatio; gratian hanc primam et præcipuam urbi tuæ et civibus impertito, ut possint manibus et linguis cum libertate summa debitas tibi acclamationes, et, o imperator, coram efferre; tangat te canities sacri et venerandi senatus; flectere ad preces cujuscunque ætatis, virorum, feminarum, puellorum: certe enim omnes uno animo, voce una, dominationis vestræ præsentiam efflagitant. Quod si apud te locum habeat cura et respectus (quod scio sic habere) archipræsulis tui, ipsum tibi finge coram adesse, et manu manum apprehensam ad propriam pertrahere civitatem, ad Dei templum, apud quem spes repositas habes, ad ipsius imperii sacraria. Certe, tibi supplicamus omnes; spes nostras noli, quæso, pudefacere, aut preces rejicere. Speramus enim in Deo vero nostro Jesu Christo futurum esse, ut cum ad regiam hanc urbem vestra potentia revertetur, mœroris tenebras a republica depelles, hostium et inimicorum insolentias magis adhuc magisque contundes, consilio, prudentia, militari disciplina, superior deviceris; idque per intercessionem sanctissimæ Dei genitricis, et omnium sanctorum. Amen.

A χρυσιν ἀπολουσάμενος· μήτε ὧν ἑτέρους ἀδίκως ἴσως ἐκάκωσεν, ὑπὲρ τούτων μετάνοιαν ἐνδειξάμενος· μήθ' ἑτέρως πως τὸν ἐκεῖθεν Κριτὴν φθάσας ἐξιλεώσασθαι· οὕτως, αὐτοῖς φορτίοις, πρὸς τὰ ἐκεῖθεν παρεπέμφθη δικαιωτήρια· ἀλλ' ἐκεῖνος μὲν ὡς τῶν τοῦ Θεοῦ κριμάτων ἐδίκασε τὸ ἀπόῤῥητον, οὕτω καὶ τὸν βίον κατεστρέψατο· πολλοῖς μὲν ἔκπληξις, πολλοῖς δὲ σωφρονισμός, πολλοῖς δ' ἔλεος, πλείοσι δ' ἀπορία γεγονώς. Αὐτὸς δὲ (ὦ βασιλέων καλλώπισμα, καὶ τῆς πατρίδος ἀνύψωμα, καὶ τῆς πολιτείας ὀχύρωμα, καὶ πάντων οἷς τὸ τοῦ Χριστοῦ ἐπικέκληται ὄνομα, πολυέραστον σεμνολόγημα) ἦκε πρὸς ἡμᾶς τὴν ταχίστην· ἀπόδος τοῖς ποθοῦσι τὸν ποθούμενον· ῥῦσαι πρῶτον τῆς αἰχμαλωσίας ἡμᾶς, ἣν ὑπέστημεν σοῦ
B στερηθέντες· ἀνάψυξον ἡμᾶς, τῆς ταλαιπωρίας, ὑφ' ἧς κατεχόμεθα, τῆς ὑμετέρας παραψυχῆς οὐ παρούσης· δὸς χάριν ταύτην, καὶ πρώτην καὶ μεγίστην, τῇ σῇ πολει, καὶ τοῖς σοῖς πολίταις, τὸ πεπαῤῥησιασμένως παὶ χερσὶ καὶ γλώσσαις, τὴν κεχρεωστημένην εὐφημίαν, καὶ τὸ αὐτοκράτορα σοὶ προσφθέγξασθαι· δυσωπήθητι τὴν πολιὰν τῆς αἰδεσίμου καὶ ἱερᾶς συγκλήτου· δυσωπήθητι πάσης ἡλικίας τὴν ἐξαίτησιν, ἀνδρῶν, γυναικῶν, παίδων· πάντες γὰρ μιᾷ γνώμῃ, καὶ μιᾷ φωνῇ, τὴν τοῦ ὑμετέρου κράτους ἐξαιτοῦνται παρουσίαν. Εἰ δὲ σοὶ ποτε καὶ ὁ ἀρχιερεὺς ἐν λόγῳ καὶ φροντίδι νενόμισται (οἶδα δὲ ὅτι νενόμισται) αὐτὸν σοὶ παρεῖναι νόμιζε, καὶ τῇ χαρᾷ τὴν χεῖρα λαβόμενον ἕλκειν πρὸς τὴν σὴν πόλιν, καὶ τὸν τοῦ Θεοῦ ναὸν, ἐφ' ᾧ τὰς ἐλπίδας ἀνέχεις, καὶ
C πρὸς τὰ τῆς βασιλείας ἀνάκτορα. Ναὶ πάντες σοῦ δεόμεθα, μὴ καταισχύνῃς ἡμῶν τὰς ἐλπίδας καὶ τὴν αἴτησιν. Πιστεύομεν γὰρ ἐν Χριστῷ Ἰησοῦ, τῷ ἀληθινῷ Θεῷ ἡμῶν, ὡς πρὸς τὴν βασιλίδα πόλιν, τοῦ ὑμετέρου κράτους ἐπανατέλλοντος, καὶ τοῦ ζόφου τῆς ἀθυμίας τὴν πολιτείαν λύσεις, καὶ τῶν ἐχθρῶν ἔτι μᾶλλον καὶ πολεμίων τὸ φρόνημα ταπεινώσεις, βουλῇ καὶ συνέσει καὶ ταῖς στρατηγικαῖς μελέταις, τὸ κατ' αὐτῶν κράτος ἀναδεχόμενος· πρεσβείαις τῆς ὑπεραγίας Θεοτόκου, καὶ πάντων τῶν ἁγίων. Ἀμήν.

EPIST. XII.

Eidem.

ΕΠΙΣΤ. ΙΒ'.

Τῷ αὐτῷ.

D

Edita a Montacutio (ep. 19, p. 80).

Recessisti a nobis, et nos a nobismetipsis; viventes non vivimus, nec movemur moti. Quod si Domini promissum dignaretur nostræ humilitatis precibus annuere, vel Cretam Byzantium transferremus: vel Byzantium cum nobisipsis Cretæ copularemus, sed moriens unde fit ut scribam, aut ut mutus loquar? unicum si dixero, silentium teneo. Festina, o regum et filiorum decus! et vel nos captivos Cretam ducito, vel Byzantinos de captivitate libera, qui captivos a conspectu tuo detineri tam male ferunt.

Ἀπῆλθες ἀφ' ἡμῶν, καὶ ἡμεῖς ἀφ' ἑαυτῶν· καὶ ζῶμεν οὐ ζῶντες, καὶ κινούμεθα μὴ κινούμενοι. Εἰ δὲ τὸ Κυριακὸν ἐπάγγελμα προσεῖναι ἠξίου τῇ ἡμετέρᾳ τεταπεινωμένῃ εὐχῇ, ἢ τὴν Κρήτην τῷ Βυζαντίῳ μετεστήσαμεν, ἢ τὸ Βυζάντιον, μεθ' ἡμῶν, τῇ Κρήτῃ συνήψαμεν. Ἀλλὰ πῶς γράφω θανών, καὶ σιγῶν λάλος γίνομαι; ἓν εἰπὼν σιωπήσομαι· τάχυνον (ὦ βασιλέων ἐμοὶ καὶ τέχνων q ἐγκαλλώπισμα) ἢ τὴν Κρήτην αἰχμαλώτους ἄγων, ἢ τοὺς Βυζαντίους (τῆς σῆς γὰρ δυστυχοῦσιν ὄψεως τὴν αἰχμαλωσίαν) τῆς αἰχμαλωσίας ἐλευθερῶν.

VARIÆ LECTIONES.

q ἴσ.

Digitized by Google Распознавание текста ABK/FR

ΕΠΙΣΤ. ΙΓ'.

Ἐγκύκλιος ἐπιστολὴ πρὸς τοὺς τῆς Ἀνατολῆς ἀρχιερατικοὺς θρόνους, Ἀλεξανδρείας φημὶ, καὶ τῶν λοιπῶν, ἐν ᾗ περὶ κεφαλαίων τινῶν διάλυσιν πραγματεύεται· καὶ ὡς οὐ χρὴ λέγειν, ἐκ τοῦ Πατρὸς, καὶ τοῦ Υἱοῦ, τὸ Πνεῦμα προέρχεσθαι, ἀλλ' ἐκ τοῦ Πατρὸς μόνον.

EPIST. XIII.

Encyclica epistola ad archiepiscopales thronos per Orientem obtinentes, Alexandrinum scilicet, et cæteros, in qua de capitibus quibusdam dubiis solutiones meditatur, et quod non licet dicere Spiritum procedere a Patre et a Filio, sed a Patre solo.

Edita a Montacutio (ep. 2, p. 47).

α'. Οὐκ ἦν ἄρα, ὡς ἔοικεν, κόρος τῷ πονηρῷ τῶν κακῶν, οὐδέ τι τῶν ἐφευρημάτων καὶ μηχανημάτων πέρας, ἃ κατὰ τοῦ ἀνθρωπίνου γένους ἐξαρχῆς ἀνακινεῖν ἐμελέτησεν· ἀλλὰ μυρίαις μὲν ὅσαις ἀπάταις, πρὸ τῆς ἐν σαρκὶ τοῦ Δεσπότου παρουσίας, τὸν ἄνθρωπον ὑπηγάγετο εἰς ἀλλοφύλους καὶ παρανόμους ἀποδουκολήσας πράξεις· ἐξ ὧν καὶ τὴν κατ' αὐτοῦ τυραννίδα, κατὰ κράτος ἀνεδήσατο· μυρίαις δὲ καὶ μετὰ ταῦτα πλάναις, καὶ θελεάσμασιν, ὑποσκελίζειν καὶ παρασύρειν, τοὺς αὐτῷ πειθομένους, οὐ διέλιπεν. Ἐντεῦθεν Σίμωνες, καὶ Μαρκίωνες, Μοντάνοι τε καὶ Μάνητες, καὶ ἡ ποικίλη καὶ πολύτροπος τῶν αἱρέσεων θεομαχία, ἐπλήθυνεν. Ἐντεῦθεν Ἄρειος, καὶ Μακεδόνιος, καὶ Νεστόριος, Εὐτυχής τε καὶ Διόσκορος, καὶ τὸ λοιπὸν τῆς ἀσεβείας σύνταγμα· καθ' ὧν αἱ ἁγίαι καὶ οἰκουμενικαὶ συνεκροτήθησαν ἑπτὰ σύνοδοι, καὶ τῶν, κατὰ τόπους, ἱερῶν καὶ θεοφόρων ἀνδρῶν συνελέγη τὰ συστήματα, τὰς πονηρὰς παραφυάδας τῇ μαχαίρᾳ τοῦ Πνεύματος αὐτορρίζους ἐκθερίσαντες, καὶ καθαρὸν παρασκευάσαντες ἀναφυῆναι τῆς Ἐκκλησίας τὸ λήϊον.

4. Nondum illi malo, ut videtur, abunde erat improbitatis satietas; nondum adinventionum et machinationum terminus, quas ab ipso rerum exordio in humanum genus censuit commovendas. Sed et ante Domini nostri incarnationem hominem seductum in peregrinas, legibus contrarias, et generi incongruas actiones per varias fraudes impulsum seducebat, unde suam tyrannidem vehementius promovit, et ab illo tempore, sexcentis erroribus et inescationibus delinitos, sibi qui sunt obtemperantes, supplantare et aliorsum transferre sategit. Hinc orti Simones, Marciones, Montani, Manetes; hinc hæresium variegata et multiformis in Deum pugnantium ordinatio multiplicata fuit. Hinc Arius, Macedonius, Nestorius, Eutyches, Dioscorus, et cæteri de conventibus impiorum, contra quos septem sancta generalia illa concilia, nec non sanctorum et divinorum virorum per loca diversa, consessio colligebantur, ut impietatis istos stolones cultro spirituali radicitus exstirparent, et campum Ecclesiæ sativum purum atque impermistum curarunt efflorescere.

β'. Ἀλλὰ τούτων ἐκ ποδῶν γεγενημένων, καὶ σιγῇ καὶ λήθῃ παραδεδομένων, ἐλπὶς ἀγαθὴ καὶ βαθεῖα τοῖς εὐσεβέσιν ὑπετρέφετο, μὴ ἄν ποτε καινοτέρων δυσσεβημάτων ἐφευρετὰς γενέσθαι, ἐν πᾶσιν, οἷς ἐπείρασεν ὁ πονηρὸς, εἰς τοὐναντίον αὐτῷ τῶν βουλευμάτων περιτραπέντων· μήτε μὴν τῶν ἤδη κατακρισιν συνοδικῶς δεδεγμένων, ὑπερασπιστάς τινας καὶ προμάχους ἀναφανῆναι, τῇ καταστροφῇ, καὶ τῷ πάθει τῶν ἀρξάντων, καὶ τῶν εἰς μίμησιν ἐκείνων ἐλθεῖν μελετώντων, ἀνακοπτομένων· καὶ ταύταις μὲν ταῖς ἐλπίσιν ὁ εὐσεβὴς λογισμὸς ἐπανεπαύετο· μάλιστα δὲ κατὰ τὴν βασιλεύουσαν πόλιν, ἐν ᾗ πολλὰ, Θεοῦ συνεργείᾳ, τῶν ἀνελπίστων κατώρθωται· πολλαὶ δὲ γλῶσσαι, τὴν προτέραν διαπτυσάμεναι μυσαρότητα, τὸν κοινὸν ἁπάντων Πλάστην, καὶ Δημιουργὸν, μεθ' ἡμῶν ὑμνεῖν ἐδιδάχθησαν· ὥσπερ ἀπό τινος ὑψηλοῦ, καὶ μετεώρου χώρου, τὰς τῆς ὀρθοδοξίας πηγὰς, τῆς βασιλίδος ἀναδιδούσης, καὶ καθαρὰ τῆς εὐσεβείας τὰ νάματα, εἰς τὰ τῆς οἰκουμένης διαῤῥεούσης πέρατα, καὶ ποταμῶν δίκην ἀρδευούσης τοῖς δόγμασι τὰς ἐκεῖσε ψυχὰς, αἵτινες, χρόνος πολὺς ἐξ οὗ, καταξηρανθεῖσαι τοῖς τῆς ἀσεβείας, ἢ ἐθελοθρησκείας, ὑπεκκαύμασι, καὶ εἰς ἐρήμους καὶ ἀγόνους ἀποχερσωθεῖσαι, ὅμως τὸν τῆς διδασκαλίας ὄμβρον ὑποδεξάμεναι, τὸ Χριστοῦ γεώργιον καρποφορεῖσιν ἐνευθηνούμεναι. Καὶ γὰρ οἱ τὴν Ἀρμενίαν οἰκοῦντες, τῷ τῶν Ἰακωβιτῶν ἐνισχημένοι δυσσεβήματι, καὶ πρὸς τὸ ὀρθὸν τῆς εὐσεβείας ἀπαυθαδιαζόμενοι κήρυγμα, ἀφ' οὗπερ ἡ πολυάνθρωπος ἐκείνη καὶ ἁγία

2. Istis autem de medio sublatis, ac silentio et oblivioni traditis, præclara et profunda spes bonis subinnutrita affulgebat, futurum ut nulli deinceps novarum impietatum exsisterint adinventores, cum in omnibus, quorum sumpserat experimentum diabolus, concilia ejus cessissent in contrarium. Nec illorum dogmatum quæ jam synodica condemnatione censuram meruerant, aliquos rebantur hyperaspistas prodituros aut propugnatores, quos nimirum exitus, et pœna auctorum, et qui deinceps in eorum imitationem, ducti exemplo, erant successuri excuderat. Atque hisce quidem cogitationibus piorum ratiocinia acquiescebant: imprimis autem apud regiam urbem, in qua per Dei cooperationem multa præter spem præclare geruntur; multæ linguæ vetustam conspuentes illam feditatem, communem omnium fabricatorem, et creatorem, nobiscum hymnis concelebrare edocti sunt. Ita veluti ab excelso quodam et eminentiori loco, fidei fontes orthodoxæ regia urbs emittit, nec non purissimos pietatis latices in cunctos mundi terminos decurrentes, qui non aliter quam rivi solent, dogmasi irrigant hominum ibi degentium animas quæ a longo temporis tractu æstu et conflagratione vel impietatis, vel spontanei cultus, exaruerant, atque ita in solitudines et infructuosum solum stereliverant; qui tamen imbribus doctrinæ sanæ susceptis, Christi coloniam, cultura lætificatam, fructibus adornant. Nam qui incolunt Armeniam,

Digitized by Google Распознавание текста ABK/FR

Jacobitarum impietate impediti, contra rectæ pietatis prædicationem audacius se gerentes, ex eo tempore, quo sancta et numerosa Patrum nostrorum synodus apud Chalcedonem convenerat, vestris nobiscum precibus in auxilium conspirantibus, longum illum errorem a se repellere valuere ; ita ut hodie Armeniorum natio sincero et orthodoxo more Christianum cultum profiteatur, Eutychetem, Severum, Dioscorum, et Petros revera illos petrobolos jaciendis in Ecclesiam lapidibus, Julianum Halicarnassensem, necnon universam ipsorum varie diffusam dispersionem, ut et catholica Ecclesia, exsecretur, et indissolubilibus anathematum nexibus supposuerit conscrictos.

A τῶν Πατέρων ἡμῶν κατὰ Χαλκηδόνα συνεκροτήθη σύνοδος, τῶν ὑμετέρων εὐχῶν ἡμῖν ἐπαμυνόντων, τὴν μακρὰν ἐκείνην πλάνην ἀποθέσθαι ἐνεδυναμώθησαν· καὶ λατρεύει σήμερον, καθαρῶς καὶ ὀρθοδόξως, ἡ τῶν Ἀρμενίων λῆξις τὴν Χριστιανῶν λατρείαν, Εὐτυχῆ τε καὶ Σεβῆρον, καὶ Διόσκορον, καὶ τοὺς κατὰ τῆς εὐσεβείας πετροβόλους Πέτρους, καὶ τὸν Ἁλικαρνασσέα Ἰουλιανὸν, καὶ πᾶσαν αὐτῶν τὴν πολύσπορον διασπορὰν, ὡς ἡ καθολικὴ Ἐκκλησία, μυσαττομένη, καὶ δεσμοῖς ἀλύτοις τοῦ ἀναθέματος ὑποβάλλουσα.

3. Sed et insuper barbara Bulgarorum gens, et Christo invisa et infesta, in tantam mansuetudinem et Dei cognitionem convertitur, ut a patriis diabolicisque orgiis recedentes, et paganicæ superstitionis errorem excutientes, præter omnem exspectationem in fidem Christianam insiti transierunt.

γ'. Ἀλλά γε δὴ, καὶ Βουλγάρων ἔθνος βαρβαρικὸν, καὶ μισόχριστον, εἰς τοσαύτην μετέκλινεν ἡμερότητα καὶ θεογνωσίαν, ὥστε τῶν δαιμονίων καὶ πατρῴων ἐκστάντες ὀργίων, καὶ τῆς Ἑλληνικῆς δεισιδαιμονίας ἀποσκευασάμενοι τὴν πλάνην, εἰς τὴν τῶν Χριστιανῶν παραδόξως μετενεκεντρίσθησαν πίστιν.

4. Sed o improbum, invidum Deo, invisum consilium et incœptum! Talis enim narratio, Evangelii vel boni nuntii argumentum quæ futura esset, in dejectionem vultus commutatur, delectatio et gaudium in luctum et lamentum abiere. Nondum enim gens illa per biennium rectam Christianorum religionem amplexabatur, cum impii quidam homines et exsecrandi, portenta (vel quo illos titulo Christianus insigniat) homines e tenebris prorepentes (erant enim exorti ab occiduis partibus) heu quomodo reliqua persequi potero ? isti, inquam, in gentem, novella quorum pietas et nuper constituta, tanquam fulgur, terræ motus, seu copiosa grando ; aut ut proprius, quod accedit ad et veritatem, dicam, tanquam aper agrestis vineam Domini dilectam, nuper consitam insilientes, pedibus et dentibus, hoc est semitis quibusdam politiæ turpis, et dogmatum depravatorum, quæ illorum erat audacia, deprædantes devastabant ; omni cum fraudulentia a sanis et puris dogmatibus, et fide inculpata Christianorum, eos subdole deducere et corrumpere conabantur.

δ'. Ἀλλ' ὦ πονηρᾶς καὶ βασκάνου καὶ ἀθέου βουλῆς τε καὶ πράξεως ! Ἡ γὰρ τοιαύτη διήγησις, Εὐαγγελίων οὖσα ὑπόθεσις, εἰς κατήφειαν μετατίθεται, τῆς εὐφροσύνης καὶ χαρᾶς εἰς πένθους τραπείσης καὶ δάκρυα. Οὔπω γὰρ ἐκείνου τοῦ ἔθνους, οὐδ' εἰς δύο ἐνιαυτοὺς, τὴν ὀρθὴν τῶν Χριστιανῶν τιμῶντος θρησκείαν· ἄνδρες δυσσεβεῖς καὶ ἀποτρόπαιοι (καὶ τί γὰρ οὐκ ἄν τις εὐσεβῶν τούτους ἐξονομάσειεν ;) ἀνδρες ἐκ σκότους ἀναδύντες (τῆς γὰρ ἑσπερίου μοίρας ὑπῆρχον γεννήματα) οἷμοι πῶς τὸ ὑπόλοιπον ἐκδιηγήσομαι ; οὗτοι, πρὸς τὸ νεοπαγὲς εἰς εὐσέβειαν καὶ νεοσύστατον ἔθνος, ὥσπερ κεραυνὸς ἢ σεισμὸς ἢ χαλάζης πλῆθος, μᾶλλον δὲ οἰκειότερον εἰπεῖν, ὥσπερ ἄγριος μονιὸς ἐμπηδήσαντες τὸν ἀμπελῶνα Κυρίου, τὸν ἠγαπημένον καὶ νεόφυτον καὶ ποσὶν καὶ ὀδοῦσιν, ἤτοι τρίβοις αἰσχρᾶς πολιτείας, καὶ διαφθορᾷ δογμάτων, τόγε εἰς τόλμαν ἦκον τὴν αὐτῶν, κατανεμησάμενοι ἐλυμήναντο· ἀπὸ γὰρ τῶν ὀρθῶν καὶ καθαρῶν δογμάτων, καὶ τῆς τῶν Χριστιανῶν ἀμωμήτου πίστεως, παραφθείρειν τούτους, καὶ ὑποσπᾷν, κατεπανουργήσαντο.

5. Imprimis contra Ecclesiæ canones illicite ad Sabbatorum jejunia traducebant. Solet autem vel levissima traditionum neglectio homines ad totius doctrinæ contemptum traducere. In secundis, primam jejuniorum quadragesimalium scilicet septimanam a cætero jejunio discerpentes, in lactis potionem, casei esum, et similium ingurgitationem traxerunt. Ab his exordiis transgressionum vias dilatantes, de recto tramite et regia via deturbarunt ; sacerdotes deinceps legitimo conjunctos matrimonio qui puellas multas sine viro mulieres effecerunt, et mulieres pueros educantes, quorum nemo patrem novit, vere, uti dixeram, sacerdotes Dei abominari

ε'. Καὶ πρῶτον μὲν αὐτοὺς ἐκθέσμους, εἰς τὴν τῶν Σαββάτων νηστείαν μετέστησαν. Οἶδε δὲ καὶ ἡ μικρὰ τῶν παραδοθέντων ἀθέτησις, καὶ πρὸς ὅλην τοῦ δόγματος ἐπιτρίψαι [r] καταφρόνησιν. Ἔπειτα δὲ τὴν τῶν νηστειῶν πρώτην ἑβδομάδα, τῆς ἄλλης νηστείας περικόψαντες, εἰς γαλακτοποσίας, καὶ τυροῦ τροφὴν, καὶ τὴν τῶν ὁμοίων ἀδδηφαγίαν καθείλκυσαν. Ἐντεῦθεν αὐτοῖς τὴν ὁδὸν τῶν παραβάσεων ἐμπλατύνοντες, καὶ τῆς εὐθείας τρίβου καὶ βασιλικῆς διαστρέφοντες, καὶ δὴ καὶ τοὺς ἐνθέσμῳ γάμῳ πρεσβυτέρους διαπρέποντας, οἱ πολλὰς κόρας χωρὶς ἀνδρὸς γυναῖκας δεικνύντες, καὶ γυναῖκας παῖδας ἐκτρεφούσας, ὧν οὐκ ἔστι πατέρα θεάσασθαι, οὗτοι, τοὺς ὡς ἀληθῶς

VARIÆ LECTIONES.

[r] ἴσ ἐπιτρέψαι.

Digitized by Google Распознавание текста ABK/FR

βλασφημίας ταύτης ; Αὕτη κατὰ τῶν Εὐαγγελίων ἵσταται, πρὸς τὰς ἁγίας παρατάσσεται συνόδους, τοὺς μακαρίους καὶ ἁγίους παραγράφεται. Πατέρας, τὸν μέγαν Ἀθανάσιον, τὸν ἐν θεολογίᾳ περιβόητον Γρηγόριον, τὴν Βασίλειον τῆς Ἐκκλησίας στολὴν [u], τὸν μέγαν Βασίλειον, τὸ χρυσοῦν τῆς οἰκουμένης στόμα, τὸ τῆς σοφίας πέλαγος, τὸν ὡς ἀληθῶς Χρυσόστομον. Καὶ τί λέγω τὸν θεῖνα, ἢ τὸν θεῖνα ; κατὰ πάντων ὁμοῦ τῶν ἁγίων προφητῶν, ἀποστόλων, ἱεραρχῶν, μαρτύρων, καὶ αὐτῶν τῶν δεσποτικῶν φωνῶν, ἡ βλάσφημος αὕτη καὶ θεόμαχος φωνὴ ἐξοπλίζεται.

A det aures ? quæ quasi stat ex adversa acie Evangelio, exarmatur contra sacras synodos, beatos et sanctos Patres falsificat, nempe magnum illum Athanasium, theologiæ titulo decantatum Gregorium, Basilium illum Ecclesiæ vere regiam stolam, aureum orbis os, vere Chrysostomum, sapientiæ illud pelagus. Quid autem hunc vel illum compellem ? Contra omnes omnino sanctos prophetas, apostolos, sacerdotes, martyres, et ipsius etiam Domini voces, blasphema hæc, et Deo bellum indicens, vox exarmatur.

ιζ'. Τὸ Πνεῦμα ἐκ τοῦ Υἱοῦ ἐκπορεύεται ; πότερον τὴν αὐτὴν ἐκπόρευσιν, ἢ τῆς πατρῴας ἀντίθετον ; Εἰ μὲν γὰρ τὴν αὐτὴν, πῶς οὐ κοινοῦνται αἱ ἰδιότητες ; αἷς καὶ μόναις ἡ Τριὰς, Τριὰς εἶναι, καὶ προσκυνεῖσθαι, χαρακτηρίζεται. Εἰ δὲ ἐκείνης ἀντίθετον, πῶς ἡμῖν οὐ Μάνεντες, καὶ Μαρκίωνες, τῷ ῥήματι τούτῳ, προκύπτουσι, τὴν θεόμαχον πάλιν, κατὰ τοῦ Πατρὸς, καὶ τοῦ Υἱοῦ, γλῶσσαν προτείνοντες ;

17. Spiritus nimirum procedit e Filio ? Utrumne eadem processione, an ex adversa processioni a Patre ? si eadem, quomodo non communicantur proprietates, a quibus tamen solis Trinitas et esse, et adorari characterem sortitur ? sin contraria quadam illi, quomodo non hac sua assertione Manetes et Marciones procuduntur, qui Deo bellum indicentem linguam, contra Patrem et Filium rursus exseruere ?

ιη'. Πρὸς δὲ γε τοῖς εἰρημένοις, εἰ ἐκ τοῦ Πατρὸς μὲν ὁ Υἱὸς γεγέννηται, τὸ δὲ Πνεῦμα ἐκ τοῦ Πατρὸς, καὶ τοῦ Υἱοῦ, ἐκπορεύεται · ὡς εἰς δύο αἰτίας ἀναφερόμενον, οὐδὲ τὸ σύνθετον εἶναι διαδράσειεν.

18. Accedit ad præmissa, si e Patre quidem Filius generatur, Spiritusque procedit e Patre et Fiio, in duplicem exsistentiæ suæ causam relatus, non evadet, quin et compositus exsistat.

ιθ'. Ἔτι δὲ, εἰ ἐκ τοῦ Πατρὸς ὁ Υἱὸς γεγέννηται, τὸ δὲ Πνεῦμα ἐκ τοῦ Πατρὸς καὶ τοῦ Υἱοῦ ἐκπορεύεται, τίς ἡ καινοτομία τοῦ Πνεύματος, μὴ καὶ ἕτερόν τι αὐτοῦ ἐκπεπορεῦσθαι ; ὡς συνάγεσθαι, κατὰ τὴν ἐκείνων θεόμαχον γνώμην, μὴ τρεῖς, ἀλλὰ τέσσαρας τὰς ὑποστάσεις, μᾶλλον δ' ἀπείρους · τῆς τετάρτης αὐτοῖς ἄλλην προβαλλούσης, κἀκείνας πάλιν ἑτέραν, μέχρις ἂν εἰς τὴν ἑλληνικὴν πολυπληθίαν ἐκπέσωσι.

19. Adhuc si e Patre generatur Filius, si Spiritus e Patre procedit et Filio, quænam evenit nova innovatio, quominus ab ipso aliud procedat ? Ita constituentur, juxta blasphemam hanc ipsorum sententiam, non tres hypostases solæ, sed quatuor, si non potius infinitæ, ut quarta aliam emittat, illa itidem aliam, usquedum in multiplicatam Paganorum divinitatem deveniatur.

κ'. Πρὸς δὲ γε τοῖς εἰρημένοις, κἀκεῖνο ἄν τις ἐπισκοπήσειεν, ὡς εἴπερ ἡ τοῦ Πνεύματος, ἐκ τοῦ Πατρὸς, πρόοδος, εἰς ὕπαρξιν συντελεῖ · τί συνοίσει τῷ Πνεύματι ἡ ἐκ τοῦ Υἱοῦ ἐκπόρευσις, τῆς πατρικῆς ἀρκούσης εἰς ὕπαρξιν ; Οὐ γὰρ τις, εἰς ἕτερόν τι, τῶν περὶ τὴν οὐσίαν, συντελεῖν, κατατολμήσειε λέγειν · πάσης διπλόης, καὶ συνθέσεως, τῆς μακαρίσς καὶ θείας ἐκείνης φύσεως, ὡς ἀπωτάτω κειμένης.

20. Præter superiora, et hoc considerandum quod, si processio Spiritus e Patre in substantia determinetur, quidnam Spiritui, quæso, accedet ab illa de Filio processione, cum processio paterna ad essentiam sufficiat ? Nemo enim eo audaciæ deveniet, opinor, ut affirmet conducere ad aliquid aliud, eorum quæ sunt circa substantiam, cum duplicatio quævis compositio ab illa natura divina quam longissime removentur.

κα'. Χωρὶς δὲ τῶν εἰρημένων, εἰ πᾶν ὅπερ μή ἐστι κοινὸν τῆς παντοκρατορικῆς καὶ ὁμοουσίου καὶ ὑπερφυοῦς Τριάδος, ἑνός ἐστι μόνου τῶν τριῶν · οὐκ ἔστι δὲ ἡ τοῦ Πνεύματος προβολὴ, κοινὸν τῶν τριῶν · ἑνὸς ἄρα ἐστὶν μόνου τῶν τριῶν. Πότερον οὖν ἐκ τοῦ Πατρὸς φήσουσιν ἐκπορεύεσθαι τὸ Πνεῦμα ; καὶ πῶς οὐκ ἐξομόσονται τὴν φίλην αὐτοῖς καὶ κοινὴν μυσταγωγίαν ; Εἰ δὲ ἐκ τοῦ Υἱοῦ, τί μὴ καταρχὰς ἐθάρρησαν αὐτῶν ὅλην ἐκκαλύψαι τὴν θεομαχίαν ; ὡς οὐ μόνον τὸν Υἱὸν εἰς τὴν τοῦ Πνεύματος προβολὴν ἐγκαθιστῶσιν, ἀλλὰ καὶ τοῦ Πατρὸς ταύτην ἀφαιροῦνται · οἷς ἀκόλουθον δὴ που, καὶ τὴν γέννησιν τῇ προβολῇ συμμετατιθέντας, μηδὲ τὸν Υἱὸν ἐκ

21. Præter supradicta, si omne quod non est commune Trinitati illi omnipotestativæ, homousiæ et supernaturali, unius solius est proprium e tribus ; processio autem Spiritus non est tribus aliquid commune ; omnino erit unius solius e tribus proprium. Utrum igitur affirmabunt Spiritum procedere e Patre, an non ? Quod si autem, quomodo non necessario ejerabunt illam suam dilectam adeo, et communem mystagogiam ? Quod si dicant e Filio, cur non ab initio eo provecti sunt audaciæ, ut totam suam blasphemiam simul revelarent ? ut qui non tantum Filium ad productionem Spiritus admittant, sed Patrem privent penitus quidem pro-

VARIÆ LECTIONES.

[u] Is. στύλην.

Digitized by Google Распознавание текста ABK/FR

discerpere theologiam, atque ita Trinitatis dignitatem supersubstantialis et monarchicæ per contumeliam imminuere. Sed quorsum e Filio procederet Spiritus ? Si quidem profectio a Patre sit perfecta (est autem certe perfecta, quia perfectus Deus, a Deo perfecto), quæ autem illa a Filio profectio, et quam ob rem ? Certe res supervacanea, atque ita futilis.

10. Adhuc autem, si e Filio procedit Spiritus, uti et e Patre ; cur non et Filius gignitur e Spiritu, ut e Patre ? ut sic impiis omnia sint plane impia, hoc est, et sensus, atque sermo, nec quidquam illis relinquatur inausum.

11. Sed et hoc præterea consideretur : siquidem in eo quod a Patre Spiritus procedat, proprietas ipsius agnoscatur ; ita et Filii proprietas agnoscatur, in eo quod Filius generatur. Procedit autem, ut illi delirant, et a Filio Spiritus ; quocirca pluribus proprietatibus dividitur Spiritus a Patre, quam Filius : siquidem processus Spiritus ex ipsis, commune quiddam Patri est, et Filio. Spiritus processio e Patre et e Filio est Spiritus proprietas. Quod si pluribus distantiis differt Spiritus quam Filius, proximior erit paternæ substantiæ Filius quam est Spiritus ; atque ita demum audax illud facinus in Spiritum sanctum Macedonii proreperturum est, hominum istorum fabulam et scenam clam subiens.

12. Insuper vero, si omnia Patris et Filii communia sunt, certe et quæ Spiritum spectant sunt etiam communia ; nempe Deus, rex, creator, omnipotens, supersubstantiale, simplex, infiguratum, incorporale, invisibile, et simpliciter alia omnia. Quod si processio Spiritus sit Patri communis atque Filio, tum e seipso procedet Spiritus, ipse sibi ipsi principium erit, causa simul et causatum ; quam fictionem ne Græcorum fabulæ comminiscerentur.

13. Accedit autem quod, si proprium sit Spiritus solius in diversa principia relationem habere, certe solius erit Spiritus principium habere multiplex, et non unum.

14. Addam, si in quibus novam Patris et Filii communionem introduxerunt, ab iis ipsis Spiritum excludunt ; et si Pater Filio per substantiam conjungitur, non autem secundum aliquam e proprietatibus ; Spiritum quoque circumscribant necesse est, illa quæ per substantiam est cognatione.

15. Vides enim quam inaniter isti, sed tamen ut facilius plures inde aucupentur ; nomen sibi Christianum imposuerunt. Egreditur a Filio Spiritus ; Hoc unde fando factum accepisti ? E quibusnam Evangeliis hanc vocem habes ? Cujusnam synodi blasphemum istud verbum ?

16. Dominus ac Deus noster inquit, *Spiritus qui procedit a Patre.* Istius autem novitianæ impietatis parentes aiunt : *Spiritus qui a Filio procedit.*

Quis non ad enormem hanc blasphemiam occlu-

A Χριστιανῶν σπαράττειν θεολογίαν, καὶ τῆς ὑπερουσίου καὶ μοναρχικῆς Τριάδος ἐξυβρίζειν τὸ ἀξίωμα· Διὰ τί δὲ καὶ ἐκπορευθείη τοῦ Υἱοῦ τὸ Πνεῦμα ; Εἰ γὰρ ἡ ἐκ τοῦ Πατρὸς ἐκπόρευσις τελεία (τελεία δέ, ὅτι Θεὸς τέλειος, ἐκ Θεοῦ τελείου) τίς ἡ ἐκ τοῦ Υἱοῦ ἐκπόρευσις, καὶ διὰ τί ; Περιττὸν γὰρ ἂν εἴη τοῦτο, καὶ μάταιον.

ι'. Ἔτι δὲ, εἰ ἐκπορεύεται τοῦ Υἱοῦ τὸ Πνεῦμα, ὥσπερ ἐκ Πατρός· τί μὴ καὶ ὁ Υἱὸς ἐκ τοῦ Πνεύματος γεννᾶται, ὥσπερ ἐκ Πατρός ; ἵνα εἴη πάντα τοῖς ἀσεβοῦσιν ἀσεβῆ, καὶ αἱ γνῶμαι, καὶ τὰ ῥήματα· καὶ μηδὲν αὐτοῖς ἀτόλμητον ὑπολίποιτο.

ια'. Σκόπει δὲ κἀκεῖνο· εἰ γὰρ ἐν ᾧ τοῦ Πατρὸς ἐκπορεύεται τὸ Πνεῦμα, ἡ ἰδιότης ἐπιγινώσκεται αὐτοῦ· ὡσαύτως δὲ, καὶ ἐν ᾧ γεννᾶται ὁ Υἱὸς, ἡ τοῦ Υἱοῦ. Ἐκπορεύεται δὲ, ὡς ὁ ἐκείνων λῆρος, καὶ τὸ Πνεῦμα ἐκ τοῦ Υἱοῦ. Πλείοσιν ἄρα ἰδιότησιν διαστέλλεται τὸ Πνεῦμα τοῦ Πατρὸς, ἤπερ ὁ Υἱός. Κοινὸν μὲν γὰρ Πατρὶ καὶ Υἱῷ, ἡ ἐξ αὐτῶν τοῦ Πνεύματος πρόοδος· ἰδία δὲ τοῦ Πνεύματος, ἡ τε ἐκ τοῦ Πατρὸς ἐκπόρευσις, καὶ μὴν καὶ ἡ ἐκ τοῦ Υἱοῦ. Εἰ δὲ πλείοσιν διαφοραῖς διαστέλλεται τὸ Πνεῦμα, ἤπερ ὁ Υἱὸς, ἐγγυτέρω ἂν εἴη τῆς πατρικῆς οὐσίας ὁ Υἱὸς, ἤπερ τὸ Πνεῦμα· καὶ οὕτως ἡ Μακεδονίου πάλιν, κατὰ τοῦ Πνεύματος, παρακύψει τόλμα, τὸ ἐκείνων ὑποδυομένη δρᾶμα, καὶ τὴν σκηνήν.

ιβ'. Ἄλλως τε δὲ, εἰ πάντα τὰ κοινὰ Πατρὸς καὶ Υἱοῦ, καὶ τοῦ Πνεύματος πάντως ὑπάρχει κοινά· ὡς τὸ Θεὸς, τὸ Βασιλεὺς, τὸ Δημιουργὸς, τὸ Παντοκράτωρ, τὸ Ὑπερούσιον, τό Ἁπλοῦν, τὸ Ἀσχημάτιστον, τὸ Ἀσώματον, τὸ Ἀόρατον, ἁπλῶς τὰ ἄλλα πάντα· κοινὸν δὲ Πατρὸς καὶ Υἱοῦ, ἡ τοῦ Πνεύματος, ἐξ αὐτῶν, πρόοδος· καὶ ἐξ ἑαυτοῦ ἄρα ἐκπορευθήσεται τὸ Πνεῦμα· καὶ ἀρχὴ ἔσται αὐτὸ ἑαυτοῦ, καὶ αἴτιον ἅμα καὶ αἰτιατόν. Ὅπερ οὐδ' οἱ τῶν Ἑλλήνων μύθοι ἀνεπλάσαντο.

ιγ'. Ἀλλὰ καὶ εἰ μόνου Πνεύματός ἐστι, τὸ εἰς ἀρχὰς ἀναφέρεσθαι διαφόρους, πῶς οὐκ ἔστι μόνου Πνεύματος, τὸ πολύαρχον ἔχειν ἀρχήν ;

ιδ'. Ἔτι δὲ, εἰ ἐν οἷς Πατρὶ καὶ Υἱῷ κοινωνίαν ἐκαινούργησαν, τὸ Πνεῦμα τούτοις ἀποτειχίζουσιν· Πατὴρ δὲ κατ' οὐσίαν Υἱῷ, ἀλλ' οὐ κατά τι τῶν ἰδιωμάτων, εἰς κοινωνίαν συνάπτεται· τῆς κατ' οὐσίαν ἄρα συγγενείας, τὸ Πνεῦμα περιορίζουσιν.

ιε'. Ὁρᾷς, ὡς μάτην οὗτοι, μᾶλλον δ' εἰς πρόχειρον θήραν τῶν πολλῶν, τὸ τῶν Χριστιανῶν ἑαυτοῖς ἐπέθεσαν ὄνομα. Ἐκπορεύεται τὸ Πνεῦμα τοῦ Υἱοῦ· πόθεν ἤκουσας τοῦτο ; ἐκ ποίων Εὐαγγελιστῶν τὴν φωνὴν ἔχεις ταύτην ; ποίας συνόδου τὸ βλάσφημον τοῦτο ῥῆμα ;

ις'. Ὁ Κύριος καὶ Θεὸς ἡμῶν φησιν, Τὸ Πνεῦμα, ὃ παρὰ τοῦ Πατρὸς ἐκπορεύεται· οἱ δὲ τῆς καινῆς ταύτης δυσσεβείας πατέρες, Τὸ Πνεῦμα, φησὶν, ὃ παρὰ τοῦ Υἱοῦ ἐκπορεύεται.

Τίς οὐ κλείσει τὰ ὦτα πρὸς τὴν ὑπερβολὴν τῆς

Digitized by Google Распознавание текста ABK/FR

βλασφημίας ταύτης ; Αὕτη κατὰ τῶν Εὐαγγελίων ἵσταται, πρὸς τὰς ἁγίας παρατάσσεται συνόδους, τοὺς μακαρίους καὶ ἁγίους παραγράφεται. Πατέρας, τὸν μέγαν Ἀθανάσιον, τὸν ἐν θεολογίᾳ περιδόητον Γρηγόριον, τὴν Βασίλειον τῆς Ἐκκλησίας στολὴν [u], τὸν μέγαν Βασίλειον, τὸ χρυσοῦν τῆς οἰκουμένης στόμα, τὸ τῆς σοφίας πέλαγος, τὸν ὡς ἀληθῶς Χρυσόστομον. Καὶ τί λέγω τὸν δεῖνα, ἢ τὸν δεῖνα ; κατὰ πάντων ὁμοῦ τῶν ἁγίων προφητῶν, ἀποστόλων, ἱεραρχῶν, μαρτύρων, καὶ αὐτῶν τῶν δεσποτικῶν φωνῶν, ἡ βλάσφημος αὕτη καὶ θεόμαχος φωνὴ ἐξοπλίζεται.

A det aures ? quæ quasi stat ex adversa acie Evangelio, exarmatur contra sacras synodos, beatos et sanctos Patres falsificat, nempe magnum illum Athanasium, theologiæ titulo decantatum Gregorium, Basilium illum Ecclesiæ vere regiam stolam, aureum orbis os, vere Chrysostomum, sapientiæ illud pelagus. Quid autem hunc vel illum compellem ? Contra omnes omnino sanctos prophetas, apostolos, sacerdotes, martyres, et ipsius etiam Domini voces, blasphema hæc, et Deo bellum indicens, vox exarmatur.

ιζ'. Τὸ Πνεῦμα ἐκ τοῦ Υἱοῦ ἐκπορεύεται ; πότερον τὴν αὐτὴν ἐκπόρευσιν, ἢ τῆς πατρῴας ἀντίθετον ; Εἰ μὲν γὰρ τὴν αὐτὴν, πῶς οὐ κοινοῦνται αἱ ἰδιότητες ; αἷς καὶ μόναις ἡ Τριὰς, Τριὰς εἶναι, καὶ προσκυνεῖσθαι, χαρακτηρίζεται. Εἰ δὲ ἐκείνης ἀντίθετον, πῶς ἡμῖν οὐ Μάνεντες, καὶ Μαρκίωνες, τῷ ῥήματι τούτῳ, προκύπτουσι, τὴν θεόμαχον πάλιν, κατὰ τοῦ Πατρὸς, καὶ τοῦ Υἱοῦ, γλῶσσαν προτείνοντες ;

17. Spiritus nimirum procedit e Filio ? Utrumne eadem processione, an ex adversa processioni a Patre ? si eadem, quomodo non communicantur proprietates, a quibus tamen solis Trinitas et esse, et adorari characterem sortitur? sin contraria quadam illi, quomodo non hac sua assertione Manetes et Marciones procuduntur, qui Deo bellum indicentem linguam, contra Patrem et Filium rursus exseruere ?

ιη'. Πρὸς δὲ γε τοῖς εἰρημένοις, εἰ ἐκ τοῦ Πατρὸς μὲν ὁ Υἱὸς γεγέννηται, τὸ δὲ Πνεῦμα ἐκ τοῦ Πατρὸς, καὶ τοῦ Υἱοῦ, ἐκπορεύεται · ὡς εἰς δύο αἰτίας ἀναφερόμενον, οὐδὲ τὸ σύνθετον εἶναι διαδράσειεν.

18. Accedit ad præmissa, si e Patre quidem Filius generatur, Spiritusque procedit e Patre et Filio, in duplicem exsistentiæ suæ causam relatus, non evadet, quin et compositus exsistat.

ιθ'. Ἔτι δὲ, εἰ ἐκ τοῦ Πατρὸς ὁ Υἱὸς γεγέννηται, τὸ δὲ Πνεῦμα ἐκ τοῦ Πατρὸς καὶ τοῦ Υἱοῦ ἐκπορεύεται, τίς ἡ καινοτομία τοῦ Πνεύματος, μὴ καὶ ἕτερόν τι αὐτοῦ ἐκπεπορεῦσθαι ; ὡς συνάγεσθαι, κατὰ τὴν ἐκείνων θεόμαχον γνώμην, μὴ τρεῖς, ἀλλὰ τέσσαρας τὰς ὑποστάσεις, μᾶλλον δ' ἀπείρους · τῆς τετάρτης αὐτοῖς ἄλλην προβαλλούσης, κἀκείνης πάλιν ἑτέραν, μέχρις ἂν εἰς τὴν ἑλληνικὴν πολυπληθίαν ἐκπέσωσι.

19. Adhuc si e Patre generatur Filius, si Spiritus e Patre procedit et Filio, quænam evenit nova innovatio, quominus ab ipso aliud procedat? Ita constituentur, juxta blasphemam hanc ipsorum sententiam, non tres hypostases solæ, sed quatuor, si non potius infinitæ, ut quarta aliam emittat, illa itidem aliam, usquedum in multiplicatam Paganorum divinitatem deveniatur.

κ'. Πρὸς δὲ γε τοῖς εἰρημένοις, κἀκεῖνο ἂν τις ἐπισκοπήσειεν, ὡς εἴπερ ἡ τοῦ Πνεύματος, ἐκ τοῦ Πατρὸς, πρόοδος, εἰς ὕπαρξιν συντελεῖ · τί συνοίσει τῷ Πνεύματι ἡ ἐκ τοῦ Υἱοῦ ἐκπόρευσις, τῆς πατρικῆς ἀρκούσης εἰς ὕπαρξιν ; Οὐ γάρ τις, εἰς ἕτερον τι, τῶν περὶ τὴν οὐσίαν, συντελεῖν, κατατολμήσειε λέγειν · πάσης διπλόης, καὶ συνθέσεως, τῆς μακαρίας καὶ θείας ἐκείνης φύσεως, ὡς ἀπωτάτω κειμένης.

20. Præter superiora, et hoc considerandum quod, si processio Spiritus e Patre in substantia determinetur, quidnam Spiritui, quæso, accedet ab illa de Filio processione, cum processio paterna ad essentiam sufficiat ? Nemo enim eo audaciæ deveniet, opinor, ut affirmet conducere ad aliquid aliud, eorum quæ sunt circa substantiam, cum duplicatio quævis compositio ab illa natura divina quam longissime removentur.

κα'· Χωρὶς δὲ τῶν εἰρημένων, εἰ πᾶν ὅπερ μή ἐστι κοινὸν τῆς παντοκρατορικῆς καὶ ὁμοουσίου καὶ ὑπερφυοῦς Τριάδος, ἑνός ἐστι μόνου τῶν τριῶν · οὐκ ἔστι δὲ ἡ τοῦ Πνεύματος προβολὴ, κοινὸν τῶν τριῶν · ἑνὸς ἄρα ἐστὶν μόνου τῶν τριῶν. Πότερον οὖν ἐκ τοῦ Πατρὸς φήσουσιν ἐκπορεύεσθαι τὸ Πνεῦμα ; καὶ πῶς οὐκ ἐξομόσονται τὴν φίλην αὐτοῖς καὶ κοινὴν μυσταγωγίαν ; Εἰ δὲ ἐκ τοῦ Υἱοῦ, τί μὴ καταρχὰς ἐθάρρησαν αὐτῶν ὅλην ἐκκαλύψαι τὴν θεομαχίαν ; ὡς οὐ μόνον τὸν Υἱὸν εἰς τὴν τοῦ Πνεύματος προβολὴν ἐγκαθιστῶσιν, ἀλλὰ καὶ τοῦ Πατρὸς ταύτην ἀφαιροῦνται · οἷς ἀκόλουθον δὴ που, καὶ τὴν γέννησιν τῇ προβολῇ συμμετατιθέντας, μηδὲ τὸν Υἱὸν ἐκ

21. Præter supradicta, si omne quod non est commune Trinitati illi omnipotestativæ, homousiæ et supernaturali, unius solius est proprium e tribus ; processio autem Spiritus non est tribus aliquid commune ; omnino erit unius solius e tribus proprium. Utrum igitur affirmabunt Spiritum procedere e Patre, an non ? Quod si autem, quomodo non necessario ejerabunt illam suam dilectam adeo, et communem mystagogiam ? Quod si dicant e Filio, cur non ab initio eo provecti sunt audaciæ, ut totam suam blasphemiam simul revelarent ? ut qui non tantum Filium ad productionem Spiritus admittant, sed Patrem privent penitus quidem pro-

VARIÆ LECTIONES.

[u] Ἰσ. στύλην.

Digitized by Google Распознавание текста ABK/FR

ductione. Quem demum ordinem consectantes, generationem non minus quam processionem alterabunt, nec Filium e Patre, sed Patrem e Filio genitum, quod est monstrosum, commentabuntur; unde se principes et antipilanos non tantum impiorum sed et furiosorum exhibebunt.

A τοῦ Πατρὸς, ἀλλὰ τὸν Πατέρα τερατολογεῖν ἐκ τοῦ Υἱοῦ γεγεννῆσθαι· ἵνα μὴ τῶν δυσσεβούντων μόνον, ἀλλὰ καὶ τῶν μαινομένων ὦσιν πρωτοστάται.

22. Quam furiosam et impiam ipsorum sententiam esse et ab isto quod dicemus manifestum faciemus. Quando quidquid consideratur vel dicetur in ea sacrosancta connaturali et supersubstantiali Trinitate, vel commune quiddam est universæ, vel unius alicujus illiusque solius e tribus personis; cumque Spiritus processio non sit quiddam commune, ne quidem ex ipsorum sententia, unius et solius (propitius autem nobis Deus esto ita loquentibus, et blasphemia resultet in eorum capita) non est ulla omnino Spiritus processio in perfectissima et vitam largienti Trinitate.

κβ'. Ὅρα δὲ κἀντεῦθεν κατάφωρον αὐτῶν τὸ δυσσεβὲς, καὶ ἀνόητον, δεικνύμενον βούλημα. Ἐπὶ γὰρ ἅπαν ὅ θεωρεῖται καὶ λέγεται ἐν τῇ παναγίᾳ καὶ ὁμοφυεῖ καὶ ὑπερουσίῳ Τριάδι, ἢ κοινόν ἐστι πάντων, ἢ ἑνὸς καὶ μόνου τῶν τριῶν· ἡ δὲ τοῦ Πνεύματος προβολὴ, οὔτε κοινόν ἐστιν, ἀλλ' οὐδ', ὡς αὐτοί φασιν, ἑνὸς καὶ μόνου τινός (ἵλεως δὲ ἡμῖν εἴη, καὶ εἰς τὰς ἐκείνων τρέποιτο τὸ βλάσφημον κεφαλὰς) οὐκ ἄρα ὅλως ἐστὶν ἐν τῇ ζωαρχικῇ καὶ παντελείῳ B Τριάδι, ἡ τοῦ Πνεύματος προβολή.

23. Certe, sexcenta quædam alia cum plena mensura quis addiderit ad ista, dum refellere atheam illorum sententiam aggreditur; quæ me epistolica lex non patitur in præsentia afferre, et his litteris inserere: atque ideo etiam ea quæ dixi breviter et imperfecte sunt illata, particulares refutationes et ampliorem docendi modum, Deo concedente, in conventum communem sepositas reservamus.

κγ'. Καὶ μυρία ἄν τις, τὴν ἄθεον αὐτῶν γνώμην διελέγχων, τοῖς εἰρημένοις ἐπιμετρήσειεν, ἃ τῆς ἐπιστολῆς ὁ νόμος οὐκ ἐᾷ νῦν ἐντάττειν, οὐδὲ παρατίθεσθαι· δι' ὃ καὶ ἅπερ εἴρηται, στοιχειωδῶς τε καὶ ἐν τύπῳ ἀπηγγέλθησαν τῶν κατὰ μέρος ἐλέγχων, καὶ τῆς ἐν πλάτει διδασκαλίας, Θεοῦ διδόντος, εἰς τὴν κοινὴν ταμιευομένων συνέλευσιν.

24. Hanc impietatem tenebrarum illi episcopi (nam se episcopos præferebant) una cum illicitis et illegitimis aliis apud gentem Bulgaricam disseminabant. Harum rerum fama pervenit ad aures nostras; vulnerati sumus lethali vulnere per media viscera nostra, non secus quam si coram et sub aspectu suo viderit quispiam ventris sui fœtus a serpentibus et belluis huc illuc discerptos et direptos circumraptari. Qui enim studium, labores, sudores in illorum regenerationem et baptismum contuleramus, non sine ratione dolorem insufferendum et calamitatem tulerimus, partus nostros deperditos cernentes.

κδ'. Ταύτην τὴν ἀσέβειαν οἱ τοῦ σκότους ἐκεῖνοι ἐπίσκοποι (ἐπισκόπους γὰρ ἑαυτοὺς ἐπεφήμιζον) μετὰ τῶν ἄλλων ἀθεμίτων, Βουλγάρων ἔθνος ἐνέσπειραν· ἦλθεν ἡ τούτων φήμη εἰς τὰς ἡμετέρας C ἀκοάς· ἐπλήγημεν διὰ μέσων τῶν σπλάγχνων καιρίαν πληγὴν ὡς εἴ τις τὰ ἔγκατα κοιλίας αὐτοῦ, καθ' ὀφθαλμοὺς ἴδοι ὑπὸ ἑρπετῶν καὶ θηρίων παρασσόμενά τε καὶ διασπώμενα. Καὶ γὰρ οἷς κόποι, καὶ πόνοι, καὶ ἱδρῶτες, εἰς τὴν ἐκείνων ἀναγέννησίν τε καὶ τελείωσιν κατεβλήθησαν· ἀναλόγως αὐτοῖς, συμπεσεῖν ἀφόρητον τὴν λύπην καὶ τὴν συμφοράν, τῶν γεννημάτων παραπολλυμένων, ἐξεγένετο.

25. Atque eodem modo de hoc tristi casu condoluimus, quo gaudio majori perfundebamur, cum liberatos eosdem primum a vetusto paganismi errore videremus.

κε'. Οὕτω γὰρ ἐθρηνήσαμεν ἐπὶ τῷ συνενεχθέντι παθήματι, ὅσον χαρᾶς ἐπληρώθημεν, τῆς παλαιᾶς πλάνης ἀπαλλαγέντας αὐτοῖς θεασάμενοι.

26. Verum illos quidem luximus, et lugemus adhuc, neque concessuri sumus oculis nostris requiem ut a lapsu hoc illos resuscitemus, neque D palpebris connictionem dabimus, donec, quoad fieri per nos poterit, illos in Domini tabernaculum iterum compulerimus.

κς'. Αλλ' ἐκείνους μὲν ἐθρηνήσαμέν τε καὶ θρηνοῦμεν, καὶ ἀνορθωθῆναι τοῦ πτώματος οὐ δώσομεν τοῖς ὀφθαλμοῖς ἡμῶν ὕπνον, οὐδὲ τοῖς βλεφάροις νυσταγμὸν, ἕως ἂν αὐτοὺς εἰς τὸ τοῦ Κυρίου, κατὰ τὸ δυνατὸν ἡμῖν, εἰσελάσωμεν σκήνωμα.

27. Novitios autem illos apostasiæ præcursores, Antichristi administros, mortibus multis dignissimos, communem pestem, qui tenellam illam nuper compaginatam gentem ad pietatem, tot tantis dilacerationibus discerpserunt; istos, inquam, perfidos deceptores, et Deo belligerantes divino synodico calculo notatos condemnavimus: non de præsenti illorum abstentionem decernentes, sed per antehabitas synodos, per scita et leges aposto-

κζ'. Τοὺς δὲ νέους τῆς ἀποστασίας προδρόμους, τοὺς θεραπευτὰς τοῦ ἀντικειμένου, τοὺς μυρίων ἐνόχους θανάτων, τοὺς κοινοὺς λυμεῶνας, τοὺς τὸ ἄπαλὸν ἐκεῖνο καὶ νεοσύστατον εἰς τὴν εὐσέβειαν ἔθνος, τοσούτοις καὶ τηλικούτοις σπαραγμοῖς διασπαράξαντας· τούτους τοὺς ἀπατεῶνας καὶ θεομάχους συνοδικῇ καὶ θείᾳ κατεκρίναμεν ψήφῳ· οὐ νῦν αὐτῶν τὴν ἀπόφασιν καθορίζοντες, ἀλλ' ἐκ τῶν ἤδη συνόδων, καὶ ἀποστολικῶν θεσμῶν, τὴν προωρισμέ-

Digitized by Google Распознавание текста ABK/FR

νην αὐτοῖς καταδίκην ὑπεκφαίνοντες, καὶ πᾶσι ποιοῦντες ἐπίδηλον.

κη'. Πέφυκε γὰρ τὸ ἀνθρώπινον, οὐχ οὕτω ταῖς παρελθούσαις τιμωρίαις ἀσφαλίζεσθαι, ὡς ταῖς ὁρωμέναις σωφρονίζεσθαι· καὶ τῶν φθασάντων ὑπάρχει βεβαίωσις, ἡ τῶν ἐνεστηκότων συμφώνησις· Οὕτω δι' ὁ τούτους ἐπιμένοντας αὐτῶν τῇ πολυτρόπῳ πλεύνῃ, πάσης ἀγέλης Χριστιανῶν ἐκκηρύττους ἐποιησάμεθα· καὶ γὰρ καὶ ὁ τῶν ἁγίων ἀποστόλων τέταρτος καὶ ἑξηκοστὸς κανὼν, τοὺς ἐν τοῖς Σάββασιν νηστείαν ἐπιτηδεύοντας, ὧδέ πως ἀπορραπίζων φησίν.

κθ'. Εἴ τις κληρικὸς εὑρεθείη τὴν Κυριακὴν ἡμέραν νηστεύων, ἢ τὸ Σάββατον, πλὴν τοῦ ἑνὸς μόνου, καθαιρείσθω· εἰ δὲ λαϊκὸς εἴη, ἀφοριζέσθω. Ναὶ δὴ καὶ ὁ τῆς ἁγίας καὶ οἰκουμενικῆς ἕκτης συνόδου πέμπτος καὶ πεντηκοστὸς κανὼν οὕτω πως ἀποφαινόμενος·

λ'· Ἐπειδὴ μεμαθήκαμεν τοὺς ἐν τῇ Ῥωμαίων πόλει, ἐν ταῖς ἁγίαις τῆς τεσσαρακοστῆς νηστείαις, τοῖς ταύτης Σάββασι νηστεύειν, παρὰ τὴν παραδοθεῖσαν ἐκκλησιαστικὴν ἀκολουθίαν, ἔδοξε τῇ ἁγίᾳ συνόδῳ, ὥστε κρατεῖν καὶ ἐπὶ τὴν Ῥωμαίων Ἐκκλησίαν, ἀπαρασαλεύτως, τὸν κανόνα τὸν λέγοντα, « Εἴ τις κληρικὸς εὑρεθῇ τῇ ἁγίᾳ Κυριακῇ νηστεύων, ἢ τὸ Σάββατον, πλὴν τοῦ ἑνὸς καὶ μόνου, καθαιρέσθω· εἰ δὲ λαϊκὸς εἴη, ἀφοριζέσθω. »

λα'. Ἀλλά γε δὴ καὶ ὁ τῆς ἐν Γάγγρᾳ συνόδου, περὶ τῶν τὸν γάμον βδελυσσομένων, κανὼν τέταρτος ταῦτά φησιν· Εἴ τις διακρίνοιτο παρὰ πρεσβυτέρου γεγαμηκότος, ὡς μὴ χρῆναι, λειτουργήσαντος αὐτοῦ, προσφορὰς μεταλαμβάνειν, ἀνάθεμα ἔστω. Ὡσαύτως δὲ ψῆφον ὁμόφωνον φέρει κατ' αὐτῶν, καὶ ἡ ἕκτη σύνοδος, τοῦτον ἀναγράφουσα τὸν τρόπον· Ἐπειδὴ ἐν τῇ Ῥωμαίων Ἐκκλησίᾳ, ἐν τάξει κανόνος παραδεδόσθαι διέγνωμεν, τοὺς μέλλοντας διακόνου, ἢ πρεσβυτέρου ἀξιοῦσθαι χειροτονίας, καθομολογεῖν, ὡς οὐκέτι ταῖς αὐτῶν συνάπτονται γαμεταῖς· ἡμεῖς τῷ ἀρχαίῳ ἐξακολουθοῦντες κανόνι, τῆς ἀποστολικῆς ἀκριβείας καὶ τάξεως, τὰ τῶν ἱερῶν ἀνδρῶν κατὰ νόμους συνοικέσια, καὶ ἀπὸ τοῦ νῦν ἐρρῶσθαι βουλόμεθα· μηδαμῶς αὐτῶν τὴν πρὸς γαμετὰς συνάφειαν διαλύοντες, ἢ ἀποστεροῦντες αὐτοὺς τῆς πρὸς ἀλλήλους, κατὰ καιρὸν τὸν προσήκοντα, ὁμιλίας. Ὥστε εἴ τις ἄξιος εὑρεθῇ πρὸς χειροτονίαν διακόνου ἢ ὑποδιακόνου, οὗτος μηδαμῶς κωλυέσθω ἐπὶ τὸν τοιοῦτον βαθμὸν ἐμβιβάζεσθαι, γαμετῇ συνοικῶν νομίμῳ· μήτε μὴν ἐν τῷ τῆς χειροτονίας καιρῷ ἀπαιτείσθω ὁμολογεῖν, ὡς ἀποστήσεται τῆς νομίμου, πρὸς τὴν οἰκείαν γαμετὴν, ὁμιλίας. Ἵνα μὴ ἐντεῦθεν, τὸν ἐκ Θεοῦ νομοθετηθέντα καὶ εὐλογηθέντα τῇ αὐτοῦ παρουσίᾳ γάμον, καθυβρίζειν ἐκβιασθῶμεν, τῆς τοῦ Εὐαγγελίου φωνῆς ἐκβοώσης, « Οὓς ὁ Θεὸς ἔζευξεν, ἄνθρωπος μὴ χωριζέτω· » καὶ τοῦ Ἀποστόλου διδάσκοντος,

licas, prædeterminatam in illos condemnationem in vulgus, ut omnibus ita innotescat, proferentes.

28. Ita enim natura comparantur homines, ut non tantum præteritis suppliciis sarti tecti remaneant, quantum præsentibus et in oculos incurrentibus in ordine contineantur; dum cum præteritis præsentia conspirant, illa per isthæc roboris accipiunt firmitatem. Ad hunc modum per id quod hosce homines multiplici suo errori immanentes, ab universo grege Christianorum publico præconio exclusos denuntiavimus : sexagesimus enim quartus canon apostolicus, eos qui intendunt jejunio Sabbati, ad hunc modum percutiens, inquit :

29. *Si quis clericus inveniatur diem Dominicam jejunare, vel etiam Sabbatum, excepto uno Sabbato solo, deponatur ; sin laicus fuerit, separetur a communione.* Sed et sanctæ universalis sextæ synodi canon quintus et quinquagesimus ad hunc modum sciscit :

30. *Eo quod pervenit ad notitiam nostram, eos qui Romam incolunt in sanctis Quadragesimæ jejuniis earumdem Sabbatis jejunare, contra consuetudinem et traditionem ecclesiasticam, visum est sacræ synodo, ut etiam et per Romanam Ecclesiam inconcussus obtineat ille canon qui ait* : « *Si quis clericus inveniatur in sancto Dominico die jejunare, vel in Sabbato, excepto uno, et solo, deponatur, sin autem laicus, separetur a communione.* »

31. Sed et quartus concilii Gangrensis canon, contra nuptias abominantes ait : *Si quis presbyter, qui uxorem duxit, discernat quasi non oporteat, eo sacra celebrante oblationi communicare, sit anathema.* Adversus quos sententiam similem præfert et sexta synodus, ad hunc modum scribens : *Quandoquidem in Romana Ecclesia canonis vicem obtinere novimus, ut qui ad diaconatum vel presbyteratum promovendi sunt, professionem faciant, se non amplius consuetudinem uxorum suarum habituros; nos antiquum canonem apostolicæ perfectionis ordinisque observantes, eorum qui sunt in sacris ordinibus constituti, conjugia deinceps, ab hoc temporis momento, firma et stabilia esse volumus, nequaquam eorum cum uxoribus suis copulam dissuentes, vel eos mutua consuetudine opportunis temporibus privantes. Quamobrem si quis dignus inventus fuerit, qui hypodiaconus, diaconus, presbyter ordinetur, hic ad talem gradum assumi nequaquam prohibeatur, si cum sua legitima uxore cohabitet. Sed nec ordinationis tempore, ab illo exigatur professio, se a legitima cum uxore sua consuetudine penitus abstenturum : Ne per illud nuptias, a Deo institutas, et sua præsentia honestatas contumelia afficere videamur Evangelica voce dicente: «Quæ Deus conjunxit, homo ne separet; » et Apostolo docente : « Honorabiles esse nuptias, et torum immaculatum ; » et, « Alligatus es uxori ? noli quærere dissolutionem. » Si quis igitur contra canones apostolicos incitaverit aliquem eorum qui sunt in sacris presbyterorum nimirum, vel dia-*

Digitized by Google Распознавание текста ABK/FR

conorum, vel hypodiaconorum, conjunctione cum legitima sua uxore privari, deponatur : similiter, et si quis presbyter, vel diaconus suam uxorem sub pietatis aut religionis prætextu ejecerit, segregetur ; et si perseverat, deponatur.

A « Τίμιον τὸν γάμον ἐν πᾶσι, καὶ Τὴν κοίτην ἀμίαντον, καὶ, Δέδεσαι γυναικί ; μὴ ζήτει λύσιν. » Εἴ τις οὖν τολμήσει, παρὰ τοὺς ἀποστολικοὺς κανόνας κινούμενος, τινὰ τῶν ἱερωμένων, πρεσβύτερον, φαμὲν, ἢ διάκονον, ἢ ὑποδιάκονον, ἀποστερεῖν τῆς πρὸς τὴν νόμιμον γυναῖκα συναφείας τε καὶ κοινωνίας, καθαιρείσθω · ὡσαύτως, καὶ εἴ τις πρεσβύτερος ἢ διάκονος τὴν αὐτοῦ γυναῖκα, προφάσει εὐλαβείας, ἐκβάλλει, ἀφαριζέσθω · ἐπιμένων δὲ, καθαιρείσθω.

32. Verum enimvero primæ hebdomadis per eos inducta dissolutio, uti et baptizatorum atque oleo inunctorum reunctio, non opus habent ut per canones recitatos damnationi subjiciantur : nam vel solummodo mentionem eorum fecisse, impietatis cujuscunque eminentiam supergreditur.

λβ'. Ἡ δὲ κατάλυσις τῆς πρώτης ἑβδομάδος, καὶ ὁ ἀναμυρισμὸς τῶν ἤδη βεβαπτισμένων, καὶ μεμυρισμένων, οὐδὲ κανόνων, οἶμαι, δεήσεται εἰς κατάγνωσιν, αὐτόθεν καὶ μόνης τῆς διηγήσεως πᾶσαν ὑπερβολὴν ἐνικώσης δυσσεβήματος.

33. Sed et illa in Spiritum sanctum, vel totam potius sacrosanctam Trinitatem, blasphemia, nullam a se secundam habens, si cætera omnia abessent, sufficeret ad mille anathematismis eos feriendos.

λγ'. Οὐ μὴν ἀλλὰ καὶ ἡ κατὰ τοῦ Πνεύματος, μᾶλλον δὲ καθ' ὅλης τῆς ἁγίας Τριάδος, ὑπερβολὴν οὐ λείπουσα βλασφημία, κἂν μηδὲν ἕτερον εἴη τῶν προειρημένων τετολμημένον, ἐξαρκεῖ, καὶ μόνον, μυρίοις αὐτοὺς ὑπαγαγεῖν ἀναθέμασιν.

34. Istarum ita gestarum rerum notitiam, pro vetusta Ecclesiastica consuetudine, ad vestras in Domino fraternitates deferre, statuebamus æquum; quos paratos fore rogamus, et cupimus, ad opem communem vestram conferendam in istarum impiarum et a Deo abhorrentium propositionum condemnatione ; ut nequaquam stationem paternam deferatis, quam vobis vestri antecessores, per suas res gestas, tuendam et ornandam tradidere. Quocirca studiose curetis, et cum diligentia, ut vestras vices obituros locum tenentes huc destinetis, qui vestras personas repræsentent, pietate consummatos, in sacris ordinibus constitutos, dicendi facultate et vitæ honestate ornatos, ut hanc late serpentem gangrænam de media ecclesia amoveamus, eosque qui in tantum insanierunt, ut impietatis suæ superseminationem subintroducerent in gentem hanc novellam, nuper coalitam et constitutam, radicitus exstirpatos igni mandemus adurendos, idque communi consensu omnium ; quod divinitus oracula nobis data, quod exsecrandos attinet, ut suscipiant, sanciverunt.

Καὶ τί ἂν τις τὰ ἑπόμενα τοῖς αὐτοῦ λογι- D Quorsum vero quispiam ea quæ sequuntur ra-
σμοῖς ἀπαριθμοίη ; ταῦτα ἡμᾶς ἀκοπώτερον [b] παρα- tionibus putet apprehendenda? sane enim illa
σκευάσει τὰ συμβαίνοντα· ταῦτα εἰς παραψυ- ut levius feramus quæ contingunt facient; atque
χὴν ἕξομεν· τούτοις ἡμᾶς ἀνακτᾶσθαι, ὦ φίλε καὶ ita nobis parient consolationem. Per ista nos-
ἀδελφὲ, διεσπούδασας, οὐ γὰρ τῶν σεμνοτέρων met iterum possidere sategisti, amice et frater-

VARIÆ LECTIONES.

[a] Ἴσ. ἀπογινώσκομεν. [b] φέρειν.

Digitized by Google Распознавание текста ABK/FR

nam vocibus te affari honoratioribus non desistam, non omnia et singula consiliis et propositis ascribam; sed quod in actum hactenus producta non fuerint, illa ideo cum spe emendationis tuæ compellationes meas instituo: *Si sal infatuatus fuerit*, inquit Dominus, *in quo demum salietur* [13]? Si res meorum amicorum, fratrum, liberorum, membrorum, viscerum: si res eorum singulorum (qui mihi ante omnes sunt honorandi); propter quos in carne adhuc potius subsistere, quam dissolvi et cum Christo esse mallem: quorum causa concidor, distrahor, et lacrymæ meæ mihi panes fiunt: si eorum omnium hic sit status, quid debeam ab aliis exspectare? Nec injuria. Scio etenim, beatum Paulum, solus cum esset in vinculis destitutus, dixisse: *In prima mea defensione nemo mihi adfuit* [14]: et iterum, *solus Lucas mecum est* [15]. Nam non possunt omnes se obdurare, et patientia niti: quapropter cum Dominus prædiceret afflictiones venturas, et tentationes, cum quibus illi qui in ipsum crediturierant, confligere debebant, subnectit: *Ast qui in finem perseveraverit, is salvus erit* [16]. Scio, et anteriorem adhuc Davidem prophetam multorum solitudinem luxisse, et illam ab amicis desertionem Domino deprecationis loco repræsentasse: *Salvum me fac, Deus, quoniam defecit justus, et veritas paucitate laborat inter filios hominum* [17]. Quorsum vero hunc vel illum citem? Scio Dominum et Deum meum tum cum apprehensus, vinculis constrictus abduceretur, solitarium fuisse derelictum: scriptum est enim: *Ipso deserto fugerant* [18]. Quid ergo mirum? nos homunciones miseros et miserandos, quibus nec aerem spirare liberum licet, carceribus et vinculis mancipatos, mille moriendi modos quotidie exspectantes, omni destitutos meliori spe, ab omnibus ita desertos et derelictos: atque, o si tantum derelictos! ferre hoc possemus, sed neutiquam nos nudi deserimur, sub nominis nostri prætextu, veritatem abnuunt, ecclesiasticam omnem et rectam sententiam deserunt: cujus observandi gratia, ni non hactenus elegerunt pati, ab illa se nunc abscindunt, et illam longe seponunt. Hoc est illud quod imprimis percellit mentem mihi, quod me absumit, cum videam membra, quibuscum nos incorporamur, et participes exstamus, ex æquo Christi a capite illo divelli et in perniciem redigi. Et tamen istud malum in se non sufferendum, sit certe tolerabile per prius exempla recitata. Attamen derelicti illius causam in nos artificiose transferre velle, cujus nondum potuit exemplum aliquod reperiri, quomodo quis, utcunque omnia ferendo sufficientissimus æquanimiter poterit tolerare. Omnino percipio præclaram ego remunerationem amoris in te mei paterni, cum Deo conjuncti, et spiritualis illius mirifici et tremendi illius partus, quo tu nobis enixus, lumen terrarum orbis in mystico Ecclesiæ thalamo per vitæ sermonem prodiisti. Et ista ego tolero per et propter ad-

ρημάτων ἐξίσταμαι, οὐδὲ τῷ μελετηθέντι πάντα δίδωμι, ἀλλ' ὅτι τέως μὴ διαπέπρακται, καὶ πρὸς τὴν ἐλπίδα τῆς διορθώσεως τὰς κλήσεις μερίζομαι. Ἐὰν τὸ ἅλας μωρανθῇ, ὁ Κύριός φησιν, ἐν τίνι ἁλισθήσεται; ἐὰν τὰ τῶν φίλων, τὰ τῶν ἀδελφῶν τὰ τῶν τέκνων, τὸ τῶν ἐμῶν μελῶν, τὰ τῶν ἐμῶν σπλάγχνων (τὰ τῶν πάντων ἐμοὶ τιμιωτάτων), δι' οὓς ἔτι τὸ σαρκὶ παρεῖναι, τοῦ ἀναλύσαι καὶ σὺν Χριστῷ εἶναι προκρίνεται· δι' οὓς κόπτομαι καὶ σπαράσσομαι, καὶ τὰ δάκρυά μου ἄρτος ἐμοὶ γίνεται· ἐὰν οὖν τὰ αὐτῶν τοιαῦτα, ποταπὰ χρὴ προσδοκᾷν τὰ τῶν ἄλλων; ἀλλ' οὐδὲν θαυμαστόν· οἶδα γὰρ καὶ τὸν θεσπέσιον Παῦλον μόνον ἐν δεσμοῖς καταλειφθέντα· Ἐν τῇ πρώτῃ μου, φησὶν, ἀπολογίᾳ οὐδείς μοι συμπαρεγένετο, καὶ, Λουκᾶς ἐστι μόνος μετ' ἐμοῦ· οὐ γὰρ πάντων ἡ καρτερία καὶ ὑπομονή· διὰ τοῦτο καὶ ὁ Κύριος εἰπὼν τὰς θλίψεις καὶ τοὺς πειρασμοὺς οἷς ἔμελλον οἱ εἰς αὐτὸν πεπιστευκότες ἐναθλεῖν, ἐπήγαγεν. Ὁ δ' ὑπομείνας εἰς τέλος, οὗτος σωθήσεται· οἶδα καὶ πρὸ τούτου τὸν προφήτην Δαβὶδ τῶν πολλῶν τὴν ἐρημίαν ἀποδυρόμενον, καὶ ταύτην ὡς ἱκετηρίαν τῷ Θεῷ προτείνοντα· Σῶσόν με, Κύριε, ὅτι ἐκλέλοιπεν ὅσιος· ὅτι ὠλιγώθησαν αἱ ἀλήθειαι ἀπὸ τῶν υἱῶν τῶν ἀνθρώπων· καὶ τί λέγω τοῦτον ἢ ἐκεῖνον; οἶδα τὸν ἐμὸν Δεσπότην καὶ Θεόν, ἐπεὶ συνελήφθη καὶ πρὸς δεσμωτήριον ἤγετο, μόνον καταλειφθέντα· Καὶ ἀφέντες γὰρ αὐτόν, φησὶ, πάντες ἔφυγον. Τί οὖν θαυμαστόν; εἰ καὶ νῦν ἡμᾶς, ἀνθρώπους οἰκτρούς, καὶ ἐλεεινούς, ἀνθρώπους μηδὲ τὸν ἀέρα σπᾷν ἐλεύθερον παραχωρουμένους, ἀνθρώπους δεσμωτήριον οἰκοῦντας, μυρίους θανάτους καθ' ἑκάστην προσδοκῶντας, καὶ πάσης ἐλπίδος χρηστῆς περιῃρημένης, εἰ καὶ καταλιπεῖν τις ἐμελέτησεν, ἀλλ' εἴθε μόνον καταλιπεῖν (ἀνύποιστον γὰρ ὄν) οὐ γὰρ ἡμᾶς οἱ τοιοῦτοι καταλιμπάνουσιν, ἀλλ' ἐν ἡμετέρᾳ προσηγορίᾳ, τῆς ἀληθείας καὶ τοῦ ἐκκλησιαστικοῦ καὶ ὀρθοῦ φρονήματος, ὑπὲρ οὗ, μέχρι νῦν, μυρία παθεῖν εἵλοντο, ἑαυτοὺς ἐκτέμνουσίν τε καὶ ἀποκηρύττουσιν ὅπερ παντὸς μάλιστα ψυχὴν πλήττει καὶ ἐκδαπανᾷ, μέλη ὁρᾷν, ὧν ἐσμὲν σύσσωμοι καὶ συμμέτοχοι, Χριστοῦ τῆς κεφαλῆς διασπώμενά τε καὶ ἀποφθειρόμενα, ἀλλ' ὅμως ἀφόρητον ὂν τὸ κακὸν, φορητὸν ἂν ἐγεγόνει τοῖς ῥηθεῖσι παραδείγμασιν· τὸ δὲ καὶ τὴν αἰτίαν τοῦ καταλιπεῖν, ἡμῖν τεχνάζεσθαι ἐπιγράφειν, οὗ μὴ μέχρι νῦν οὐδ' ἔστιν εὑρεῖν ὑπάρξαν παράδειγμα, πῶς ἄν τις, εἰ καὶ πάντα φέρειν ἔσχε γυμνασίαν, ὑπενεγκεῖν δυνηθείη; καλά γε (οὐ γὰρ ἀπέχω) τὰς ἀμοιβὰς τοῦ περί τε θείου καὶ πατρικοῦ φίλτρου, καὶ τῶν πνευματικῶν ἐκείνων καὶ ὑπερφυῶν καὶ φρικτῶν, ἐκείνων, ἐν αἷς σὺ φωστὴρ ἐν κόσμῳ λόγου ζωῆς ἐπέχειν, τῇ μυστικῇ παστάδι τῆς Ἐκκλησίας ἐναπετέχθης· ταῦτα διὰ τῆς ὑμῶν ἀξιαγάστου καὶ θείας συνέσεως, πρὸς τὸν χθὲς καὶ πρώην δοχὰς ἡμῖν καὶ ὑπερδοχὰς περιθέμενον, ὑποφέρομαι, καὶ τῆς ἰδίας ὁρμῆς τὴν ἡμῶν ἐπιτροπὴν πειραθέντα λαβεῖν, αἰσχύνης καὶ ἁμαρτημάτων,

[13] Matth. v, 13. [14] II Tim. iv, 16. [15] ibid. 11. [16] Matth. xxiv, 13. [17] Psal. xi, 2. [18] Matth, xxvi, 56.

Digitized by Google Распознавание текста ABK/FR

ὡς δῆθεν, ἀποστροφὴν καὶ ἀναχώρησιν, εἰ καὶ τοὐναντίον ἔμπραττεν αὐτῷ περιγέγονεν· ἡ γὰρ εἰς ἕτερον ἀναφορὰ τοῦ ἐγκλήματος, ἂν μηδὲ χώραν εὕρῃ, μάλιστα τὸ τέχνασμα παρεισδύσεως, εἰς σφοδροτέραν περιτρέπει τοῦ συνειδότος κατάγνωσιν, οἴκοθεν καὶ σαφῆ καὶ ἄφυκτον τὸν ἔλεγχον φέρουσα· τί γὰρ ἑτέρωθεν ἐζήτεις συμμαχίαν, καὶ σχῆμα σεαυτῷ ἐτεχνάζου δικαιολογίας, εἰ μὴ τὸ συνειδὸς ἔνδον εἶχες πικρὸν κατήγορον τῆς βουλήσεως; τί δὲ καθ' αὑτὸν οὐ πράττεις, ἃ σπουδάζεις ἄλλοθεν u. A mirabilem et divinam plane illius hominis prudentiam, qui nos heri ac nudiustertius epulo apposito recipiebat : quique ex animi sui impetu nostri in se patrocinium suscipere et tuitionem volebat : dedecoris, et admissorum criminum aversionem, depulsionemque scilicet, licet secus quam speraverat, id contingebat. Transmissio siquidem criminis in alium quempiam, si non admittatur artificiose excogitata machinatio, in graviorem concedere solet conscientiæ condemnationem, dum ab intus inevitabilem redargutionem manifestam patitur. Cur vero aliunde satagebas auxilium? cur formulam tibi defensionis et prætextum artificiosum procurabas, si conscientia interna destitutus eras tuæ voluntatis accusatrice? Quod per te non agis ipse, hoc per alios consequi moliris.

Καὶ εἰ μὴ τῶν ἐπιστολῶν ὁ νόμος ἐπέσχε, καὶ τοῦ ὑπογράφοντος ἡ χεὶρ καὶ τότε κλαπεῖσα ἐμποδὼν ἔστατο, ἔδειξα ἂν ἀκριβέστερον καὶ διὰ πλειόνων τότε ἡμέτερον ἄλγος, καὶ οἷς ἐκεῖνος ἡμᾶς ἐλυμήνατο· ἀλλὰ πῶς τὰς ἑαυτοῦ λαμπρὰς ὁμολογίας, ἃς ἐνώπιον Θεοῦ καὶ ἀγγέλων, ἐνώπιον πάντων ἀνθρώπων, βασιλέων, ἀρχόντων, ἀρχομένων ἐπαῤῥησιάσατο, οὐκ εἰς μεγάλην ἄγει αἰδῶ; πῶς τὸ τῆς Ἐκκλησίας οὐκ ἐδυσωπήθη καύχημα, ὃ κατὰ παντὸς φέρειν ἐσχε καὶ χρόνου καὶ διηγήματος; καὶ εἴη γε τῆς ἄνωθεν ἐνισχυρούσης παλάμης διηνεκῶς μεγαλαυχοῦσα καὶ φέρουσα· πῶς δὲ δι' αὐτοῦ καὶ μόνου ψυχαγωγεῖν ἔγνω τὸ ἀντίπαλον, καὶ ἰδίᾳ πτῶσει τὴν κοινὴν καὶ παράδοξον τῆς Ἐκκλησίας στάσιν χωλεύειν προείλετο; καινὸν μὲν γὰρ καὶ παράλογον ὁ πολυμήχανος ὄφις κόσμῳ παραδεῖξαι ἐνεανιεύσατο· ἀλλὰ καινότερον καὶ παραδοξότερον καὶ θεῖον ἔργον, ὡς ἀληθῶς, ὁ τῆς φύσεως ἡμῶν Πλάστης καὶ Δημιουργὸς κατέστησεν. Ὁ μὲν γὰρ ἀνθρώπους τρισαλιτηρίους, ἀνθρώπους οὐδ' εἰς ἀριθμόν τινα συντελοῦντας, πάλαι τῆς ἱερατικῆς ἀξίας ἀπογυμνωθέντας, καὶ τῶν ἐκκλησιαστικῶν συλλόγων, δι' ἃς αἰτίας οὐδὲ θέμις λέγειν ἡμῖν, ἐξοστρακισθέντας, δὶς ἀποθανόντας, ἐκριζωθέντας, κατὰ τὴν ἀποστολικὴν περὶ αὐτῶν προαναφώνησιν, σπίλους καὶ μώμους, τολμητάς, αὐθάδεις· τούτους ὑπεισδὺς καὶ τῆς οἰκείας πονηρίας ἐργαστήριον προστησάμενος, δι' αὐτῶν πᾶσαν καταστρέψαι καὶ καταλαβεῖν τὴν Ἐκκλησίαν ἐφρυάξατο· ὁ δὲ, οἷα δὴ θαυμάσια μόνος ποιῶν, καὶ ἐν ταῖς θλίψεσι πλατύνων τοὺς ἐπικαλουμένους αὐτὸν, καὶ τότε μάλιστα δεικνύων τὸ τῆς προνοίας ἄφατον καὶ σοφὸν, ὅτε πανταχόθεν τὸ ἄπορον περιέστηκε καὶ δεινὸν, ἐπὶ τοσοῦτον αὐτὴν συγκεκροτημένην καὶ κατηρτισμένην, καὶ ὡς ἀληθῶς ἐν ἑαυτῷ τεθεμελιωμένην, ἀνέδειξεν, ὡς οὐ μόνον ἀντίῤῥοπον τῆς κακουργίας τὸν πονηρὸν τὴν πληγὴν δέξασθαι, ἀλλὰ πολὺ χαλεπωτέραν καὶ ἀλγεινοτέραν εἰσπράττεσθαι· πῶς γὰρ οὐχὶ μεγίστη καὶ ἀνίατος τῷ διαβόλῳ ἡ πληγὴ, ὅτι περ ἐν τοσαύτῃ ζάλῃ καὶ τηλικαύτῃ συγχύσει καὶ μεταβολῇ, οὐ μικρὸς οὐ μέγας, οὐκ ἀσήμου πόλεως ἀρχιερεὺς, οὐ τὸ ἐπίσημον ἐχούσης, οὐκ ἐν λόγῳ ἰδιώτης, οὐκ ἀμφοτέρωθεν ὡπλισμένος, καὶ σύνδρομον ἔχων τῇ πυκνότητι τῆς διανοίας τὸ ῥεῦμα τῆς γλώττης, οὐκ ἐν βίῳ λαμπρὸς, οὐκ ἐν ἀκριβείᾳ δογμάτων περίβλε- B Certe si pateretur lex epistolaris, si mei amanuensis manus lassata se non subduxisset, pluribus adhuc persequerer justum meum dolorem, et in quibus ab illo læsus sum. At enim vero præclara illius professio, coram Deo et angelis, coram omnibus hominibus, regibus, principibus, subditis enuntiata, non pudore suffundit vehementius? Unde factum ut Ecclesiæ gloriatio non vereatur, quam semper et ubique propalare poterat et præ se ferre, superna præsertim manu corroborante, in qua perpetuo triumpharet: suis autem viribus et quidem solitariis posse se putat adversarium delinire : casuque suo voluit, ut Ecclesiæ ille status communis præter omnem exspectationem claudicaret: volebat nimirum versutissimus ille serpens, audaciæ suæ novum et inusitatum quid, mundo palam facere : sed opus magis novum, inauditum et paradoxum magis, divinus naturæ nostræ Opifex et Conditor ex adverso edidit. C Ille homines nefarios et improbos in nullo numero habendos, sacerdotali pridem dignitate spoliatos, cœtibus ecclesiasticis (sed quas ob causas, haud libet dicere) amotos, abactos, bis mortuos, eradicatos, juxta apostolicum de talibus pronuntiatum, *maculas*, *momos*, *audaces*, *arrogantes* : in istos ubi se insinuaverat diabolus, et ad propriæ nequitiæ officinam applicuerat, per illos universam occupare Ecclesiam, per summam impudentiam nitebatur. Sed Deus, qui miracula operatur solus, et dilatat invocantes se in afflictionibus, qui suæ providentiæ sapientiam inexplicabilem ostendit, cum undique inextricabilibus circumdamur fluctibus oppressi, adeo comparatam et consummatam, vere in ipso fundatam, ut non solum parem et adæquatam malitiæ suæ plagam malus accipiat, sed multo vehementiorem et cum majori conjunctam tormento procuret. Quomodo enim non infligitur diabolo maxima et insanabilis plaga, cum in tanta procella, tali rerum confusione, tanta rerum mutatione, nemo parvus, magnus, obscuræ urbeculæ episcopus, nedum cui præest aliquis eximius : nemo rudis in sermone, nemo utrinque comparatus, qui linguæ volubilitatem cum acumine mentis conjunctam habet : nemo propter vitam illustris, propter dogmatum sublimitatem conspicuus, nullus plane homo D

VARIÆ LECTIONES.

u ἴσ. φαίνειν.

Digitized by Google Распознавание текста ABK/FR

cum tempore immutatus comprehenditur : nec cessit loco torrenti omnia abripienti : inter omnes omnino qui de choro fuerant religiosorum (quis eorum per auditionem antiquam, nedum per præsentem spem, priusquam res constaret, hoc credet?), omnes diaboli laqueos, insidias omnes, omnia artificia, vim omnem intentatam infra se positam demonstrarunt. Jucundum mihi est, ista apud vos imprimis prosequi, qui magna pars eorum estis, de quibus hæc mirifica recensentur : Neque enim quidquam commilitonibus accidere potest gratius, dolore alioqui confectis, quam ut rem pugnando bene gerant : sed malitiosus, quem dixi, dæmon omnes confertim deglutire, et per suas nequitias fraudulentas impedire fremendo gloriatur : sanctæ tamen Ecclesiæ multitudo ipsius machinationes et consilia deridet, et ludibrio habet, dum sub Christo capite militant, et ejus ductum observant : ut captivos potius quosdam abducunt veritati, quam ut aliquis ex ipsis fugitivus exsistat et desertor ordinum. Quapropter si diabolo daretur optio, utrum talia adhibere vasa voluerit, qualia sunt, in quæ nunc incidit, capacia totius operationis ipsius : tum Ecclesiam ita viriliter et animose concertantem ex adverso consistere ; vasa illa ut figulina cum ipsomet artifice confringentem, annon istorum experimentum facere potius recusaret ? nec talia vasa reperire, vel ab iis gaudium proventurum somniare, quam Ecclesiam intueri ita roboratam ac vigentem, et in media ipsius viscera vulnus tam mortiferum inferentem, et gloriosum de tota ipsius potentia tropæum statuentem. Quod profecto, si non aliud, oportebat eum, qui nunc nimium commotus est (neque enim intelligo, quid, aut quomodo, cum majori modestia dicam) revereri, nec victoriarum adoreas non conari a sua propria sede dimovere. Quidni enim ? licet non effectum dedit, quod conceperat animo, gratiam tamen efflorescentem marcescere fecit, eo quod cogitavit, quæ cogitatio redarguit opinionem. Divina autem gratia providentiam, qua nos semper tutatus est, nunc ostendit, cum in effectum prodire non sit passa, quod apud animum ille constituerat.

Cæterum, mi fili, nulla talis deinceps mentem irrepat cogitatio. In præsenti enim omissa increpatione omni qua hactenus mea ipsius viscera feriendo vulneravi, quod ipsum dolenter fecisse me profiteor. Licet enim medicina, concisiones etiam, necessaria sint, tamen erga laborantes et cruciatos compassio superat leges doctrinæ cujusque et medicinæ : et ego ideo compassionis tyrannidem haud sustinendo cum sim, prætermissis omnibus, tanquam præsentis in complexum ruor. Filium meum compello, partum meum immaculatum, membrum mei corporis. Quonam ego abripior? ubinam de te mea gloriatio ? ubi spes? potius, post spem ubi comparent odera ? Videsis

A πτος, ἀλλ' ὅλως οὐδεὶς οὐδαμοῦ τῷ καιρῷ συναλλοιωθεὶς ἠλέγχθη, οὐδὲν ἔδωκεν τῇ ῥύμῃ τοῦ φέροντος· ἅπαντες δ' ἁπλῶς ὅσοι τοῦ χοροῦ τῆς εὐσεβείας γεγόνασι (τίς ἀκοῇ παλαιᾷ μήτιγε ἐλπίδι νέᾳ, πρὶν πραχθῆναι τοῦτο παρεδέξατο), πάσης πάγης τοῦ πονηροῦ, καὶ πάσης ἐπιβουλῆς, καὶ παντὸς τεχνάσματος καὶ βίας κρείττονες ὤφθησαν. Ἡδὺ δέ μοι ταῦτα, καὶ μάλιστα πρὸς ὑμᾶς διεξιέναι, τοὺς μέγα μέρος τοῦ τηλικούτου χρηματίσαντας θαύματος· ἐπεὶ καὶ συστρατιώταις οὐδὲν ἡδύτερον, κἂν ἄλλως ἐν λύπαις ὦσιν, ἢ τὰ ἐν πολέμοις αὐτοῖς πρεσομιλεῖν κατορθώματα· ἀλλ' ὅπερ ἔλεγον, ὁ μὲν πονηρὸς ἀθρόως ἅπαντας καταπιεῖν, καὶ τῆς αὐτοῦ πανουργίας ἔργον δείξειν, ἐφυσᾶτο καὶ ἐφρυάττετο· τὸ δὲ τῆς Ἐκκλησίας ἅγιον πλήρωμα, τοσοῦτον αὐτοῦ τὰς B μηχανὰς καὶ τὰς ἐπινοίας ἐξεμυκτήρισέν τε καὶ κατεγέλασαν, Χριστῷ τῇ κεφαλῇ στρατηγούμενοί τε καὶ καθοδηγούμενοι, ὡς ἐκεῖθεν μᾶλλον αἰχμαλωτίσαι τινὰς, καὶ τῇ ἀληθείᾳ προσαγαγεῖν, ἢ λειποτάκτην ἕνα τινὰ τῆς καλῆς αὐτῶν παραχωρῆσαι γενέσθαι τάξεως. Ὥστε εἴ τις αἵρεσιν ἐδίδου τῷ διαβόλῳ, πότερον ἐβούλετο τοιαῦτα σκεύη εὑρεῖν, οἷοις νῦν περιέτυχεν, ὅλην αὐτοῦ τὴν ἐνέργειαν [x] χωρῆσαι δυνάμενα· ἔπειτα τὴν Ἐκκλησίαν οὕτως αὐτῷ ἀνδρείως καὶ στερρῶς ἀγωνιζομένην ἀντικαταστῆναι, ὡς σκεύη κεραμέως σὺν αὐτῷ τεχνίτῃ ταῦτα συντρίβουσαν, ἢ μήθ' ἑτέρου τούτων εἰς πεῖραν ἐλθεῖν πολλοῦ ἂν ἐτιμήσατο ; μήτε τοιούτων σκευῶν εὐτυχῆσαι, καὶ τὴν [y] ἐπ' αὐτοῖς εὐθυμίαν ὀνειροπολῆσαι, μήτε τὴν Ἐκκλησίαν οὕτως ἰδεῖν κραταιουμέ- C νην καὶ ἀκμάζουσαν, καὶ διὰ μέσων αὐτοῦ σπλάγχνων καιρίαν οὕπω καὶ πικρὰν τὴν πληγὴν φέρουσαν, καὶ λαμπρὸν ἱστῶσαν κατὰ πάσης αὐτοῦ τῆς δυναστείας τὸ τρόπαιον ὅπερ εἰ μή τι ἄλλῳ ἐχρῆν, καὶ τὸν νῦν (οὐ γὰρ οἶδα πῶς ἀλυπώτερον εἰπω) ὑποσαλευθέντα ἐκδυσωπηθῆναι, καὶ μὴ τοὺς τῆς νίκης στεφάνους μονονουχὶ τοῦ ἰδίου ἐπιχειρεῖν ἀνασπᾷν μετώπου· τί γὰρ εἰ καὶ μὴ ἔπραξεν ἃ ἐμελέτησεν, ἀλλὰ τὴν ἀνθοῦσαν χάριν ἐμάρανεν οἷς ἐδίστασε· καὶ ἡ μὲν μελέτη τὴν γνώμην ἤλεγξεν· ἡ δὲ θεία χάρις, ἣν ἔχει περὶ ἡμᾶς πρόνοιαν, καὶ νῦν ἔδοξεν, εἰς ἔργον τὴν βουλὴν ἐλθεῖν οὐκ ἐάσασα.

Ἀλλὰ μηδὲν σοι τὸ λοιπὸν μηδὲ τοιοῦτον, ὦ τέκνον, διαμελετάσθω· ἤδη γὰρ, ἤδη τοὺς ἐλέγχους ἀφεὶς, ἐφ' οἷς μέχρι νῦν, ἅδη [z] ἴδια σπλάγχνα D πλήττων καὶ τετρώσκων ἀνιώμενος ἔφερον κἂν γὰρ ἀναγκαῖα τὰ φάρμακα καὶ αἱ τομαὶ, ἀλλ' ἡ τῶν πόνων καὶ ἀλγηδόνων συμπάθεια, νικᾷ τοὺς νόμους τῆς ἰατρείας καὶ παιδεύσεως δι' ὃ μηκέτι τοῦ συμπαθεῖν τὴν τυραννίδα φέρων, ἐκεῖνα πάντα λιπὼν, καὶ ὡς παρόντι περιχυθεὶς, τέκνον ἐμὸν, ὠδίνων ἀγνῶν μέλος ἐμὸν, τί τοῦτο, ἀνακαλοῦμαι ποῦ μοι τὸ περὶ σὲ καύχημα· ποῦ δὲ αἱ ἐλπίδες μᾶλλον δὲ μετὰ τῶν ἐλπίδων τὰ ἔργα ; Ὁρᾷς τὸ σκυθρωπὸν, τὴν κατήφειαν, εἰ βούλει, καὶ τὰ δάκρυα. Ἡ περὶ σοῦ φροντὶς τούτων αἰτία· ὁ ἐπὶ σοὶ πόνος αὐτῶν ἅπτε-

VARIÆ LECTIONES.

[x] Isc. πληγῆς. [z] Isc. πανουργίαν. [y] μήτε τήν. [z] Isc. ἅπτε.

Digitized by Google Распознавание текста ABK/FR

ται σπλάγχνων, τὸ ἄλγος αὐτῆς τῆς ζωῆς· ἀλλ' εἴ τί σοι τῆς ἐμῆς μέλει ζωῆς (οὕπω δέ μέ τις ἀναπείθει λόγος ὡς οὐ μέλει) μηκέτι μηδὲν τοιοῦτον μηδὲ παραπλήσιον, μήτε εἰς βουλὴν μήτε εἰς μελέτην διαβαινέτω· μακάριος γὰρ ἀνὴρ οὐχ ὃς ἐπὶ παρανόμων οὐκ ἔδραμεν ἔργα, ἀλλ' ὃς οὐδὲ ἐν τῇ βουλῇ αὐτῶν ἐπορεύθη· μηδ' ὅτι χείρους ἔχομεν σεμνυνώμεθα, ἀλλ' εἴ τινων ἐλάττους ἐλεγχθῶμεν, αἰσχυνώμεθα· ἐπεὶ καὶ ἀριστεὺς οὐχ ὅταν λειποταξίας οὐχ ἅλῳ, οὐδ' ὅταν τῶν φυγάδων οὐχ ἥττων ὀφθῇ, σεμνὸς καὶ περίβλεπτος· ἀλλ' ἐπειδ' ἂν τῶν συστρατιωτῶν κρείττων ἐν πολέμοις ἀναφανῇ καὶ τῶν ἐχθρῶν κρατήσῃ, τότε καὶ τοὺς στεφάνους ἐστὶν ἀναδέχεσθαι δίκαιος· ναί, δέομαι καὶ παρακαλῶ δεῖξον, τὸ τέλος ἄξιον τῆς ἀρχῆς, ἄξιον τῶν ἀγώνων· ὦ πόσων στεναγμῶν, πόσων δακρύων ἐν πελάγει μὲν μέσον [a] πνευμάτων καὶ ζάλης οὐριοδρομεῖν, πρὸς αὐτῷ δὲ τῷ λιμένι, καταποντίζεσθαι· καὶ πόλεμον μὲν κρατεῖν τῶν ἐχθρῶν, τῶν δὲ τροπαίων αὐτοῖς ὑπεξίστασθαι· καὶ τὸν ἀγῶνα μὲν ἐν τῷ σταδίῳ λαμπρῶς ἐνεγκεῖν, πρὸς δὲ τοὺς στεφάνους μαλακίζεσθαι· ὑμᾶς δὲ ἄρα, ὦ τῆς ἀρετῆς ἐρασταὶ, καὶ τῆς εὐσεβείας κήρυκες, καὶ τῆς ἀληθείας προασπισταὶ, ὥσπερ ἐν τοῖς ἄλλοις ἅπασιν, οὕτω καὶ τοῦ παρόντος ἄλγους εὑρήσειν ἔμελλον παραψυχήν· οὐ μόνον ὅτι πέφυκε τὸ λυποῦν τοῖς φίλοις ἐκκαλυπτόμενον διαχεῖσθαί [b] πως τοῖς λόγοις, καὶ οἷον συνεξατμίζεσθαι· ἀλλὰ καὶ μᾶλλον, διότι μεγάλας ἐλπίδας ἔχω διὰ τῶν ὑμετέρων σοφῶν καὶ καλῶν ἐπῳδῶν τε καὶ παραινέσεων, θᾶττον ἀναῤῥωσθῆναι τὸν ἄνδρα, καὶ τὸν τοῦ ὄφεως ψιθυρισμὸν τέλειον ἀποστραφέντα, μηκέτι συμβουλῆς ἀνασχέσθαι στασιαζούσης, τοὺς ὀρθοὺς λογισμοὺς καὶ εἰς διαταγμὸν μεταχλινούσης, πτώματος αἴτιον, ἀλλ' εἰς τὴν προτέραν ἐπαναδραμόντα τελειότητα, ἄσειστον καὶ ἀκλόνητον ἐν τῇ στερρᾷ καὶ ἀῤῥαγεῖ τῆς ὁμολογίας Χριστοῦ διατηρηθῆναι πέτρᾳ, διὰ βίου παντὸς καὶ λόγων.

A tristem, vultu dejectum, lacrymantem: de te sollicitudo talia causat. Labor meus circa te, de vita dolor viscera mea penetrat interiora. Quare, si meæ vitæ tibi cura est ulla (et certe non probatur non esse tibi curæ), noli deinceps ejusmodi aliquid in deliberationem admittere. Beatus ille vir, non qui nequaquam cucurrit ad illicita malorum opera, sed qui ne quidem incessit in concilio malignantium. Nec quod sint, quam nos sumus, deteriores alii, gloriemur, sed si aliquibus impares inveniamur, pudore suffundimur. Nam et optimus miles haud desertor convictus, nec quod cum fugitivis censeatur, clarus obinde et illustris fit, sed si bello præstantior quam commilitones: si victoriam de hostibus reportavit, tum dignus judicatur qui B coronetur. Hortor autem atque obsecro, ostende finem principio dignum, dignum certaminibus. O quantum adest gemitus et lacrymarum, si in marinis fluctibus, inter ventos, in procellosis tempestatibus rectum tenere cursum possimus, et in portu patiamur naufragium! prælio si vincamus hostes et depellamur a tropæo! in stadio cum laude certamen subire, et emollescere ad bravium! Vos ergo, o virtutis amatores, veritatis qui præcones estis, et in Deum pietatis defensores; ut contra cætera prævaluistis, ita date operam, et sedulo incumbite, ut quod exopto doloris habeatis levamentum. Non ob eam tantum causam, quia quod dolet, amicis si exponatur, diffindi quodam modo per sermones poterit, aut, ut sic dicam, evaporari; sed multo magis quod spem egregiam concipio, futurum ut C vestris prudentibus illis et præclaris admonitionibus et insusurrationibus corroborandum hominem, serpentis illius difflato sibilo quasi consiliis ulterius non pariturum eorum qui fecerunt secessionem; qui consilia recta et optima ab dubitationem inflectunt ruinæ daturam occasionem, sed ad priorem integritatem reversum, ita ut immotus et inflexus, in Christianæ confessionis petra solida et infracta conservetur, in omni vitæ cursu, et sermonum varietate conservatus.

Εἴ τις δὲ παράκλησις ἐν Χριστῷ (μετὰ τοῦ θεσπεσίου Παύλου ὑμῖν, καὶ δι' ὑμῶν πᾶσιν ἐπιβοώμεθα), εἴ τι παραμύθιον ἀγάπης, εἴ τις κοινωνία Πνεύματος εἴ τινα σπλάγχνα καὶ οἰκτιρμοὶ, πληρώσατέ μου τὴν χαράν· ἵνα, ὥσπερ μέχρι νῦν, οὕτω καὶ διαπαντὸς, τὸ αὐτὸ φρονῆτε, ἐν ἑνὶ πνεύματι καὶ μιᾷ ψυχῇ συναθλοῦντες τῆς ἀληθείας τῷ κηρύγματι, καὶ μὴ πτυρόμενοι [c] ἐν μηδενὶ ὑπὸ τῶν ἀντικειμένων· ἥτις αὐτοῖς μὲν ἐστιν ἔνδειξις ἀπωλείας, ὑμῖν δὲ σωτηρίας, καὶ τοῦτο ἀπὸ Θεοῦ· ὅτι ὑμῖν ἐχαρίσθη [τὸ] ὑπὸ Χριστοῦ, οὐ μόνον τὸ εἰς αὐτὸν πιστεύειν, ἀλλὰ καὶ τὸ ὑπὲρ αὐτοῦ πάσχειν. Καὶ ταῦτα οὐχ ὡς τῶν ἐμῶν δεομένοις λόγων γράφω, ἀλλ' ὡς χρεωστῶν, ἀλλάγε καὶ ἐφιέμενος ὑμῖν κοινωνεῖν, ἵνθα μὲν καλεῖ καιρὸς, αὐτοῖς ἔργοις καὶ ἄθλοις, ἀλλ' ὅτε [d] δὲ καὶ

Atque hæc quidem hactenus. *Quod si autem aliqua sit consolatio in Christo* [19], ita enim vocibus divini Pauli vobis sigillatim inclamabo; *si quod solatium charitatis, si quæ spiritus societas, si quæ miserationis viscera, vos adimplete gaudium meum* [20]; ut D quemadmodum huc usque, *sic semper idem sapiatis, in uno spiritu unanimiter collaborantes præconio veritatis. ut nunquam ab adversariis terreamini: Quod illis concedet in damnationem, vobis in salutem imputabitur, idque Deo operante; quia vobis donatum est a Christo, non solum ut in ullum credatis, sed ut pro illo patiamini. Ista autem scripsi, non quod sermonibus meis indigeatis, sed propterea quod desiderem quippe, debitor quædam vobiscum communicare, ubi fuerit occasio, opere ipso et concertatione; nec factis tantum sed interdum et verbis* [21]. *Vos enim*, ut cum Joanne Theologo dicam, *habetis a sancto Spi-*

[19] Philip. II, 1. [20] ibid. 2. [21] Philip. II, 2; I, 29 et passim.

VARIÆ LECTIONES.

[a] Ῐσ. ἀνάμεσον. [b] συνδιαχεῖσθαι. [c] συρόμενοι, vel πτερούμενοι. [d] ἄλλοτε.

Digitized by Google Распознавание текста ABK/FR

ritu unctionem : porro, *quam accepistis, unctio in vobis manet, nec opus est ut quisquam nos erudiat, sed sicut eadem unctio docet vos, et sicut vos docuit manete in eo, ut cum apparuerit Filius Dei, habeamus fiduciam, nec confundamur in adventu ejus* [22]. Pacis autem custos atque rex, qui vitam nobis dedit, et eamdem conservat : *In quo vivimus, movemur, sumus* [23], cujus amoris vinculis, nec dissolubilibus constricti tenemur : ille princeps sacerdos, idemque magnus, Christus nempe verus noster Deus : *Qui nos de non populo, populum constituit acquisitionis, per sanguinem proprium* [24]: nec populum simpliciter, sed *dilectam*, sed *gentem sanctam*, sed *regale sacerdotium*, quæ ineffabilis illius bonitas est, *filios nos constituens, hæredes, et secum cohæredes*: *apud quem non est conversio vel inversionis umbra* [25]: quos inculpatos ad finem usque est custoditurus, constringens nos vinculo pacis et amoris, formans nos in ipso, et inter nosmet mutuo immota et inconcussa pietatis sententia constitutus, unam et eamdem omnes cogitationem habentes, unum dicentes, ad unum prospectantes, ad bravium superuæ vocationis properantes : ubi *primogenitorum Ecclesia est* [26]: ubi martyrum chorus, patriarcharum tabernacula; ubi mendacium non antefertur veritati, non est contentio, tyrannis, insanus furor : sed alta quies, veritatis irresistibilis pulchritudo nullo artificio inobscuranda: ubi quies, pax, concordia, beatarum visionum et inenarrabilium spectaculorum intuitus, participatio, et fruitio, adoptionis finis non ulterius speratæ sed perfectæ, cujus tamen etiamnum illustri quodam modo participes simus, propter quam in præsenti persecutiones patimur, et captivi abducimur; propter quam sexcentas calamitates, mortes perpetimur quotidianas, quas læti ferimus agentes præterea gratias. *Pro regibus orandum esse*, divinus Paulus ante nos jam olim docuit [27]: et discipulorum summus Petrus [28]: *Subjecti estote*, inquit, *omni humanæ creaturæ propter Dominum : sive rex sit vel superior* Iterumque : *Regem honorate* : utroque prior, communis ille noster et illorum Dominus, Doctor, Creator, a thesauro inæstimabili suo censum Cæsari solvens, opere et verbo docuit, prærogativas regibus datas dare. Quocirca inter mysticas et venerandas nostras hierurgias orationes pro regibus offerimus. Quæ per leges debita, conservare illæsa et communite custodire, erga nostros a Christo dilectos reges institutum est Deo gratum, et nobis congruentissimum

A τοῖς ῥήμασι. Καὶ γὰρ ὑμεῖς (μετὰ τοῦ θεολόγου φάναι Ἰωάννου) χρίσμα ἔχετε ἀπὸ τοῦ ἁγίου Πνεύματος, καὶ, Τὸ χρίσμα ὃ ἐλάβετε ἀπ' αὐτοῦ, ἐν ὑμῖν μένει, καὶ οἴδατε πάντα, καὶ οὐ χρείαν ἔχετε, ἵνα τις διδάσκῃ ὑμᾶς, ἀλλ' ὡς τὸ αὐτὸ χρίσμα διδάσκει ὑμᾶς περὶ πάντων· καὶ καθὼς ἐδίδαξεν ὑμᾶς, μένετε ἐν αὐτῷ· ἵνα ὅταν φανερωθῇ ὁ Υἱὸς τοῦ Θεοῦ, ἔχωμεν παῤῥησίαν, καὶ μὴ αἰσχυνθῶμεν ἀπ' αὐτοῦ ἐν τῇ παρουσίᾳ αὐτοῦ· ὁ δὲ τῆς εἰρήνης ταμίας καὶ βασιλεύς, ὁ τῆς ζωῆς ἡμῶν αἴτιος καὶ συνοχεύς, ἐν ᾧ ζῶμεν καὶ κινούμεθα καὶ ἐσμέν· οὗ τοῖς ἀλύτοις δεσμοῖς τῆς ἀγαπήσεως συνδεδέμεθα· ὁ πρῶτος καὶ μέγας ἀρχιερεύς, Χριστὸς ὁ ἀληθινὸς Θεὸς ἡμῶν· ὁ ἐξ οὐ λαοῦ λαὸν οἰκεῖον ἡμᾶς ἰδίῳ αἵματι ποιησάμενος· καὶ

B οὐχ ἁπλῶς λαόν, ἀλλὰ καὶ ἠγαπημένους, καὶ ἔθνος ἅγιον, καὶ βασίλειον ἱράτευμα (ὦ τῆς ἀφάτου φιλανθρωπίας!) καὶ υἱούς, καὶ κληρονόμους, καὶ συγκληρονόμους θέμενος· παρ' ᾧ οὐκ ἔστι παραλλαγὴ ἢ τροπῆς ἀποσκίασμα· αὐτὸς ἕως τέλους ἀνεγκλήτους συντηρήσει, συσφίγγων ἡμᾶς ἐν τῷ συνδέσμῳ τῆς εἰρήνης καὶ ἀγάπης, στηρίζων ἐν αὐτῷ καὶ ἐν ἀλλήλοις ἐν ἀκλονήτῳ καὶ ἀσαλεύτῳ τῆς εὐσεβείας φρονήματι, μίαν καὶ τὴν αὐτὴν μελέτην ἔχοντας, ἓν λέγοντας, πρὸς ἓν ἀφορῶντας ἅπαντας, πρὸς τὸ βραβεῖον ἐπειγομένους τῆς ἄνω κλήσεως· ἔνθα τῶν πρωτοτόκων ἡ Ἐκκλησία· ἔνθα χοροὶ μαρτύρων· ἔνθα πατριαρχῶν αἱ σκηναί· ἐν οἷς οὐκ ἔστι ψεῦδος πρὸ τῆς ἀληθείας τιμώμενον, οὐκ ἔρις, οὐ τυραννὶς, οὐκ ἀπόνοια· ἐν οἷς βαθεῖα

C γαλήνη, καὶ κάλλος ἀληθείας ἀμήχανον ὑπὸ μηδεμίας τέχνης καλυπτόμενον· ἐν οἷς εἰρήνη πᾶσα καὶ ὁμόνοια, καὶ ἡ τῶν μακαρίων ἐκείνων καὶ ἀδιηγήτων θεαμάτων θέα καὶ μετοχὴ καὶ ἀπόλαυσις, καὶ τέλος τῆς υἱοθεσίας οὐκέτι ἐλπιζομένη, ἀλλ' ἤδη λαμπρῶς μετεχομένη· ἡ τελείωσις, ὑπὲρ ἧς οἱ παρόντες διωγμοὶ καὶ αἰχμαλωσίαι καὶ δι' ἣν τὰ μυρία δεινὰ, καὶ τοὺς καθημερινοὺς θανάτους εὐχαρίστως καὶ χαίροντες φέρομεν. Ὑπὲρ δὲ βασιλέων εὔχεσθαι Παῦλος μὲν ὁ θεσπέσιος πρὸ ἡμῶν παραινεῖ· καὶ Πέτρος δὲ τῶν μαθητῶν ἡ ἀκρότης· Ὑποτάγητε πάσῃ ἀνθρωπίνῃ κτίσει διὰ τὸν Κύριον, λέγων, εἴτε βασιλεῖ ὡς ὑπερέχοντι. Καὶ πάλιν· Τὸν βασιλέα τιμᾶτε· ἀλλάγε πρὸ τούτων αὐτὸς ὁ κοινὸς Δεσπότης καὶ Διδάσκαλος καὶ Δημιουργὸς, ἐκ παραδόξου θησαυροῦ κήνσον τελίσας τῷ Καίσαρι

D ἔργῳ καὶ νόμῳ τὰ προνόμια νέμειν ἅπερ ἀφώρισται τοῖς βασιλεῦσιν ἐξεπαίδευσε· διὸ καὶ ταῖς μυστικαῖς ἡμῶν καὶ φρικταῖς ἱερουργίαις, εὐχὰς ὑπὲρ βασιλέων ἀναφέρομεν· ἃ δὴ προνόμια συντηρεῖν καὶ συνδιασώζειν καὶ τοῖς φιλοχρίστοις ἡμῶν βασιλεῦσι δίκαιόν τε καὶ φίλον Θεῷ, καὶ ἡμῖν ἁρμοδιώτατον.

EPIST. XV.

Ab exsilio, ad episcopos simili passos persecutionem

Persecutio gravis, sed Domini benedictio suavis : exsilium difficile, sed jucundum regnum cœlorum: *Beati persecutionem passi propter justitiam, quia illo-*

ΕΠΙΣΤ. ΙΕ'.

Ἀπὸ τῆς ὑπερορίας τοῖς συνδεδιωγμένοις ἐπισκόποις.

Ὁ διωγὸς βαρὺς, ἀλλ' ὁ τοῦ Δεσπότου μακαρισμὸς ἡδύς· ἡ ὑπερορία χαλεπὴ, ἀλλ' ἡ τῶν οὐρανῶν βασιλεία τερπνή. Μακάριοι οἱ δεδιωγμένοι

[22] I Joan. II, 27, 28. [23] Act. XVII, 28. [24] I Petr. II, 9. [25] Osee XIV, 8. [26] Hebr. XII, 23. [27] I Tim. II, 2. [28] I Petr. II, 13.

Digitized by Google Распознавание текста ABK/FR

ἕνεκεν δικαιοσύνης, ὅτι αὐτῶν ἐστιν ἡ βασιλεία A τῶν οὐρανῶν· πολλαὶ αἱ θλίψεις, καὶ πᾶσαν ὑπερβαλλόμεναι χαλεπότητα· ἀλλ' ἡ ἐκεῖθεν χαρὰ καὶ ἀγαλλίασις, οὐ μόνον κουφίζειν οἶδεν αὐτῶν τὴν δριμύτητα, ἀλλὰ τοῖς πρὸς ἐλπίδας τὰς ἄνω βιοῦσι, καὶ εἰς εὐθυμίας ὑπόθεσιν αὐτὰ μετατίθησιν· ἐχώμεθα τοιγαροῦν τῶν ἄθλων, ἵνα τύχωμεν τῶν ἐπάθλων· ἵνα γένηται καὶ ἡμῖν μετὰ Παύλου βοᾷν· Τὸν ἀγῶνα τὸν καλὸν ἠγώνισμαι, τὸν δρόμον τετέλεκα, τὴν πίστιν τετήρηκα· λοιπὸν ἀπόκειταί μοι ὁ τῆς δικαιοσύνης στέφανος. Τί ταύτης τῆς ἐπινικίου φωνῆς ἡδύτερον ἢ χαριέστερον ; τί δὲ καταισχύνειν τὸν κοινὸν τοῦ γένους ἐχθρὸν δυνατώτερον ; Τὸν δρόμον τετέλεκα· τὴν πίστιν τετήρηκα· λοιπὸν ἀπόκειταί μοι ὁ τῆς δικαιοσύνης στέφανος. Ὦ φωνῆς ἁπάσης λύπης ζάλην κατακοιB μιζούσης μᾶλλον δὲ πάσης πνευματικῆς εὐφροσύνης χάριν ἐπιχορηγούσης, τοὺς διώκτας εἰς ἔκπληξιν ἀντιμεθιστώσης, τοὺς διωκομένους στεγανούσης, ἀσθενεῖς ἀναῤῥωννυούσης, τοὺς κατῃρᾳγμένους ἀνορθούσης ! ταύτην καὶ ἐγὼ τῶν ἔργων μοι τοῖς λόγοις συνυπηχούντων ἀξιωθείην ἅμα ὑμῖν τοῖς καλοῖς συνάθλοις Δεσποίνης ἡμῶν Θεοτόκου, καὶ πάντων τῶν ἁγίων Ἀμήν.

rum est regnum cælorum [29] : afflictiones multæ, omnem excedentes gravitatem, sed a cœlo gaudium et exsultatio non modo acerbitatem illarum alleviant: sed ita immutant, ut sint solatii argumentum iis, qui vivunt secundum spes supernas : quocirca certamina subeamus, ut consequamur præmia, ut cum Paulo clamare possimus : *Bonum certamen certavi, cursum confeci, fidem servavi* ; *de cætero reposita mihi est justitiæ corona* [30]. Hac voce triumphali, ecquid suavius, aut amplius erit : ecquid magis in dedecus communis generis humani hostis cedat : *Cursum perfeci, fidem servavi, deinceps reposita mihi justitiæ corona* : vox est, quæ turbulentas quasvis sedet tempestates, quæ gratiam spiritualis gaudii suggerat, persecutores attonitos reddat, persecutionem passos coronet, infirmos corroboret, dejectos resuscitet. Hanc ego, si verbis meis facta respondeant, felicitatem consequar, una vobiscum præclare mecum concertantibus, per intercessionem sanctissimæ Dominæ nostræ Deiparæ, et sanctorum omnium. Amen.

ΕΠΙΣΤ. ΙϚ.

Τῷ εὐσεβεστάτῳ καὶ μεγάλῳ βασιλεῖ Βασιλείῳ.

Ἄκουσον, ὦ φιλανθρωπότατε βασιλεῦ [a], οὐ προC βάλλομαι νῦν παλαιὰν, φιλίαν· οὐ φρικώδεις ὅρκους καὶ συνθήκας· οὐ χρίσμα καὶ χειροθεσίαν βασιλείας· οὐχ ὅτι ταῖς ἡμετέραις χερσὶ προσιὼν, τῶν φρικτῶν καὶ ἀχράντων μετεῖχες μυστηρίων· οὐδὲ τὸν δεσμὸν, ὃν [f] ἡμᾶς ἡ τοῦ καλοῦ παιδὸς υἱοθεσία συνέδησεν· οὐδὲν τούτων λέγω· ἀλλὰ τὰ κοινὰ τῶν ἀνθρώπων προτείνω σοι δίκαια. Πάντες γὰρ, καὶ βαρβάρων καὶ Ἑλλήνων, οὓς μὲν θανάτου κρίνουσι, τοῦ βίου ἐξάγουσιν· οὓς δὲ ζῆν ἐῶσι, λιματτόνιά καὶ μυρίοις ἄλλοις κακοῖς θανεῖν οὐ βιάζονται· Ἡμεῖς δὴ βίον βιοῦμεν θανάτου πικρότερον· ἠχμαλωτίσμεθᾶ, πάντων ἐστερήμεθα, συγγενῶν, ὑπηρετῶν, συνήθων, πάσης ἁπλῶς ἀνθρωπίνης θεραπείας. Καί τοιγε Παῦλος ὁ θεῖος, περιαγόμενος δέσμιος, τῆς ἀπὸ τῶν γνωρίμων καὶ συνήθων θεραπείας ἀπολαύειν οὐκ ἐκωλύετο· ἀλλὰ καὶ τοι τὴν ἐπὶ θανάτῳ ἀγόμενος, D ἀνθρωπίνης καὶ παρὰ τῶν μισοχρίστων Ἑλληνιστῶν, ἐτύγχανεν ἡμερότητος. Ἀλλ' ἴσως ὁ μακρὸς χρόνος, εἰ καὶ μὴ ἀρχιερεῖς Θεοῦ, ἀλλ' οὖν γέ τινας κακουργοὺς, τοιαῦτα δείκνυσι πεπονθότας· ἀλλ' ὅτι ἐστερήθημεν καὶ βιβλίων, καινὸν τοῦτο καὶ παράδοξον, καὶ νέα καθ' ἡμῶν ἐπινενοημένη τιμωρία· ἵνα τί γέγονεται ; ἵνα μὴ ἀκούωμεν μηδὲ λόγον Κυρίου. Μὴ γένοιτο ἐπὶ τῆς σῆς βασιλείας ταύτην τὴν ἀρὰν πληρωθῆναι, ὅτι Ἔσται ἐν ταῖς ἡμέραις ἐκείναις λιμὸς ἄρτου, καὶ λιμὸς τοῦ ἀκοῦσαι λόγον Κυρίου. Διὰ τί γὰρ ἡμῶν ἀφῃρέθη τὰ βιβλία ; Εἰ μὲν

EPIST. XVI.

Piissimo et maximo regi Basilio.

Audi autem, humanissime imperator, non ego nunc allego veterem nostram amicitiam ; non tremenda juramenta, et stipulationes initas ; untionem et manuum impositionem regiam ; non quod manibus nostris subditus, sacramentorum illorum reverendorum et immaculatorum fuisti particeps factus, non illud vinculum quo nos filii optimæ spei adoptio copulavit. Horum nihil commemoro ; sed omnibus communem æquitatem tibi præfero. Omnes certe cum Græci tum etiam Barbari, si capitalem in aliquem sententiam statuant, vita privant ; quibus autem vivere permittant, compellant fame enectos, et mille aliis malis emori. Ast ego vivo vitam quavis morte acerbiorem : in captivitatem abductus, rebus omnibus exuor cognatis, familia, amicis, omni omnimodo humano ministerio. At certe divinus Paulus cum captivus circumduceretur, non tamen prohibebatur familiarium officiosa cura, et cognitorum : imo cum ad capitale supplicium duceretur, humanitatem experiebatur a paganis, et Christi nomen invisum habentibus. Verum fortassis temporis diuturnitas, licet haudquaquam archisacerdotes Dei, tamen improbitate notos, hujuscemodi docet pertulisse. At nos etiam libris privamur, et hoc certe novum, et paradoxum, recens in me excogitatum supplicium. In quem porro finem ? certe ne verbum Domini audiremus. Absit autem, ut in diebus imperii tui, illa exsecratio finem sortiatur : *Erit in diebus illis*

[29] Matth. v, 10. [30] II Tim. IV, 7.

VARIÆ LECTIONES.

[a] Βασίλειε. [f] ᾧ.

Digitized by Google Распознавание текста ABK/FR

fames panis, et fames audiendi verbum Dei [81]. Nam cur a me libri sublati sunt? Si in aliquo læsi aliquem, adhuc plures dari deberent, etiam et informatores adhiberi, ut legendo majorem utilitatem, et convicti citius correctionem consequamur: sin nullos læsi, cur ego lædor? Nullus orthodoxus tale quid ab heterodoxis passus est. Athanasius ille, multarum palmarum auctor, sede sua episcopali sæpius, cum ab hæreticis, tum a paganis pellebatur; at nemo sancivit aliquando, ut libri ab illo auferrentur. Vir admirandus Eustathius similibus Arianorum fraudibus impetebatur; sed nec ab illo, ut a nobis, ablati libri. Paulus confessor, Joannes Chrysostomus, Flavianus eximius, infiniti alii. Quid enim opus est illos recensere, qui in libro cœlesti describuntur? Quid ego commemoro sanctos et orthodoxos episcopos? Magnus Constantinus Eusebium, Theogonium, alios cum illis hæreticos, propter impietatem et versatiles sententias exsilio multavit, sed neque facultatibus spoliatos, neque libris denudatos: puduit enim eum a sermocinatione excludere illos, quos ob eam causam exsilio multabat, quod ὀλόγως se gesserant; impius Nestorius relegatur, ita et Dioscorus: Petrus ille infelix; Severus, alii quamplures; sed nemo librorum captivitatem pertulit. Quid veteres recenseo? Multi etiamnum superstites norunt Leontem illum impium, feræ potius quam hominis naturam ostendisse: ille autem cum a solio depelleret Nicephorum, magnum et vere Nicephorum, eumque mitteret in exsilium, non una relegavit exsulem a libris suis; sed nec inedia confecit, quemadmodum nos fame enecamur: et tamen summe in votis habebat, ut ille athleta interitu occumberet, non minus quam ut regnum ipsius impium quam diutissime perduraret: sed ille titulum homicidii subire noluit; nec carnes ministrorum suorum, non secus quam latronum aut proditorum frustatim dissecabat, utcunque alioquin impius, et sanguinem spirans; non quemquam ab amicorum visitatione exclusit; nec facultatum damno quemquam punivit. Reverebatur enim Christianismum, quem præ se ferebat, ita ut nollet crudelius quam pagani desævire. Illi enim cum martyres consummarent, non impediebant quominus amicorum famulitio uterentur; nec proprietate privarunt facultatum. Sed nec ille Leo psalmodias prohibebat, verum multorum monachorum in unum consessum fieri solatii causa ferebat. Domos divinas et sacratas Deo ædes non subruebat; metuens, ut probabile est, contra sacra opera insævire, cum homines non metueret offendere. At contra me, hei mihi! omnia nova, omnem tragœdiam exsuperantia usurpantur: captivor, ab omnibus deseror amicis, ab affinibus, famulis privor, psallentibus, monachi-

γάρ τι ἀδικοῦμεν, πλείονα ἔδει δοθῆναι, καὶ δὴ καὶ τοὺς διδάσκοντας, ἵνα καὶ ἀναγινώσκοντες μᾶλλον ὠφελώμεθα, καὶ ἐλεγχόμενοι διορθώμεθα· εἰ δὲ μηδὲν ἀδικοῦμεν τί ἀδικούμεθα; Οὐδεὶς τοῦτο τῶν ὀρθοδόξων, οὐδ' ὑπὸ τῶν ἑτεροδοξούντων πέπονθεν. Ἀθανάσιος ὁ πολύαθλος, τοῦ θρόνου πολλάκις, καὶ ὑπὸ αἱρετικῶν, καὶ ὑπὸ Ἑλληνιστῶν ἀπελήλαται· ἀλλ' οὐδεὶς αὐτοῦ τῶν βιβλίων ἀφαίρεσιν ἐψηφίσατο. Εὐστάθιος ὁ θαυμάσιος, τὴν ἴσην ἐπιβουλὴν παρὰ τῶν Ἀρειανιζόντων ὑπήνεγκεν· ἀλλ' οὐχ, ὡς ἡμεῖς, καὶ τὰ βιβλία ἀφῄρηται. Παῦλος ὁ ὁμολογητὴς, Ἰωάννης ὁ Χρυσόστομος, Φλαβιανὸς ὁ θεσπέσιος, μυρίοι ἄλλοι· τί γὰρ δεῖ νῦν τούτους ἀριθμεῖν, οὓς ἡ ἐν οὐρανοῖς Βίβλος ἀπεγράψατο; Καὶ τί λέγω τοὺς ὀρθοδόξους καὶ ἁγίους ἀρχιερεῖς; Εὐσέβιον καὶ Θεογόνιον, καὶ σὺν αὐτοῖς ἄλλους ἀνθρώπους αἱρετικοὺς ὁ μέγας Κωνσταντῖνος, διὰ τὴν αὐτῶν δυσσέβειαν καὶ τὸ τῆς γνώμης παλίμβολον, ὑπερορίους ἐποιήσατο· ἀλλ' οὔτε τῶν ὑπαρχόντων ἐγύμνωσεν, οὔτε βιβλιοίς προσεζημίωσεν. Ἠσχύνετο γὰρ λόγου κωλύειν, οὓς, ὅτι ἀλόγως ἔπραττον, ἐξορίᾳ κατεδίκαζε· Νεστόριος ὁ δυσσεβὴς ἐξορίζεται· Διόσκορος πάλιν· Πέτρος ὁ δείλαιος· Σεβῆρος καὶ πολλοὶ ἄλλοι· ἀλλ' οὐδεὶς αὐτῶν βιβλίων αἰχμαλωσίαν ὑπέμεινε. Τί δὲ λέγω τὰ παλαιά; Λέοντα τὸν δυσσεβῆ πολλοὶ καὶ τῶν ἔτι περιόντων ἴσασι θηρίον [v] μᾶλλον ἢ ἀνθρώπου φύσιν ἐπιδειξάμενον· ἀλλ' οὗτος τὸν μέγαν, καὶ ὡς ἀληθῶς Νικηφόρον, ἐλαύνων τοῦ θρόνου, καὶ ἐξορίᾳ παραδιδούς, οὐχ ὅτι καὶ τῶν αὐτοῦ βιβλίων ἐποίησεν ὑπερόριον· οὐ μὴν οὖν οὐδὲ ἐλιμοκτόνησεν, ὡς ἡμεῖς λιμαγχονούμεθα. Καί τοι οὐδὲν ἧττον τὸν ἀθλητὴν ἐπεθύμει θανεῖν, καὶ ἢ τὴν αὐτοῦ βασιλείαν εἰς μῆκος χρόνων, δι' ὧν ἐσέβει, πάντα παραταθήσεσθαι· ἀλλ' ὅμως ὄνομα λαβεῖν ἀνδροφονίας ἐφυλάττετο· οὐ τὰς σάρκας τῶν ὑπηρετούντων αὐτῷ, λῃστῶν καὶ προδοτῶν δίκην, κατέκοψε, καίπερ δυσσεβῶν τἆλλα [x], καὶ πνέων ὠμότητα· οὐ τῶν συγγενῶν τὴν ὁμιλίαν ἐκώλυσεν· οὐχὶ τῶν ὑπαρχόντων ζημίαν ὑπήνεγκεν· Ἠδίσθη γὰρ, Χριστιανισμὸν ὑποκρινόμενος, Ἑλλήνων ὠμότερα διαπράττεσθαι. Ἐκεῖνοι γὰρ, ἀναιροῦντες τοὺς μάρτυρας, ὅμως οὔτε θεραπείας, τῆς παρὰ τῶν οἰκείων, τυγχάνειν ἐκώλυον· οὐδὲ [y] τῶν ὑπαρχόντων ἀφῃροῦντο τὴν κυριότητα. Οὐ μὴν οὐδὲ ψαλμῳδίας ἐκεῖνος ἐξέκοψεν, ἀλλὰ καὶ πολλῶν μοναζόντων, συναυλίαν ἀνεδίδου παραμύθιον. Οὐ τοὺς ἀφιερωθέντας αὐτῷ οἴκους Θεοῦ καὶ ναοὺς κατεστρέψατο· ἐδυσωπεῖτο γὰρ, ὡς ἐνόμιζεν, ἀνθρώπῳ προσκρούων τοῖς θείοις ἔργοις ἐπιλυμαίνεσθαι. Καθ' ἡμῶν δὲ, οἵ μοι, πάντα καινὰ, καὶ τραγῳδίας ἐπέκεινα· αἰχμάλωτοι πάντων [z] ἔρημοι φίλων, ἔρημοι συγγενῶν· ὑπηρετούντων, ἔρημοι ψαλλόντων, μοναζόντων· ἀντὶ δὲ φίλων, ἀντὶ μοναζόντων, ἀντὶ ψαλλόντων, ἀντὶ πάντων ἁπλῶς, στρατιωτῶν κουστωδίαις καὶ στρατιωτικοῖς λοχοις ἐκδεδόμεθα· κατεστρώφησαν

[81] Amos VIII, 11.

VARIÆ LECTIONES.

[v] ἴσ. θηρίου. [z] τὰ ἄλλα. [y] οὔτε. [z] πάντως.

Digitized by Google Распознавание текста ABK/FR

οἶκοι Θεοῦ, καὶ λελωβημένα σώματα πενήτων μετ- A
ανέστησαν· καὶ τὰ ὑπάρχοντα αὐτοῖς, ὡς πολεμίων
ἐδημοσιώθησαν λάφυρα· ἵνα τί γένηται; ἵνα ἡμεῖς
ἀνιάσωμεν· λίαν πικρῶς ἠνιάσαμεν· ἱλαστήριον γὰρ
ἡμῖν ἁμαρτημάτων, ἐκεῖνοί τε καὶ οἱ περὶ αὐτούς,
θεραπείᾳ Θεῷ a ἀφιέρωτο. Ἀλλ' ἔδει συννοεῖν, μή-
ποτε καὶ Θεὸς ἡμῖν ὁ ζημιούμενος, μᾶλλον συν-
αλγήσειεν· εἴπερ αὐτός ἐστιν, ὁ τὰ τῶν πενήτων
οἰκειούμενος. Σωμάτων μὲν κακώσεις, νόμοι Ῥω-
μαίων, τοῖς ἐπὶ κακουργίᾳ ἁλοῦσιν, εἰς κάθαρσιν
ψυχῆς ἐπενόησαν· ψυχῆς δὲ κακώσεις καὶ ἐπιβουλὰς,
οὐδὲ ἀκοῇ, μέχρι νῦν, παρά τισιν ἀνθρώπων ἐπιτη-
δευομένας παρειλήφαμεν· εἰ καὶ νῦν τῇ πείρᾳ μαν-
θάνομεν· τοῦτο γὰρ δῆλον ὅτι ποιεῖ, ἥ τε τῶν βιβλίων
ἀφαίρεσις, καὶ τοῦ λύτρου τῶν ἁμαρτημάτων ἡ κατα-
στροφὴ καὶ ἀναίρεσις· ἡ μὲν αὐτῆς τὸ ὄμμα τῆς B
θεωρίας ἐναποσβέννυσα καὶ διαφθείρουσα· ἡ δὲ τὸ
κάλλιστον τῶν πράξεων πρασσομένη καὶ καταλύουσα·
τίς ἤκουσεν ἐξ αἰῶνος, κατὰ ψυχῶν ἀνθρωπίνων,
πόλεμον ὑπὸ ἀνθρώπων ἐπινοούμενον; οὐ γὰρ ἱκαναὶ
κενῶσαι πᾶσαν ὀργὴν αἱ τιμωρίαι τοῦ σώματος, ὑπερ-
ορία, καὶ αἰχμαλωσία, καὶ λιμὸς, καὶ φρουρὰ, καὶ
θάνατος καθ' ἑκάστην ἐπαγόμενος, καὶ τοσούτῳ μόνον
τοῦ ζώου φειδόμενος, ὅσῳ μὴ συνανελεῖν καὶ τῶν ἀλ-
γεινῶν τὴν συναίσθησιν, ὅπερ ἐστὶ τὸ πικρότατον τοῦ
θανάτου κέντρον, καὶ ἡ ἀφόρητος βάσανος, ἵνα καὶ
τὰ τῶν θνησκόντων πάσχωμεν, καὶ τῷ θανάτῳ τὰ
πάθη μὴ συνδιαλύοιτο· ὃ μόνον ἦν, ὡς ἐν τηλικούτῳ
κακῷ, τοῖς θνήσκουσι παραμύθιον. Σκόπησον, ὦ
βασιλεῦ, ταῦτα κατὰ σεαυτόν· καὶ εἰ μὲν ἀθῳοῖ σε
τὸ σὸν συνειδὸς, πρόσθες καὶ ἕτερα καθ' ἡμῶν, ἂν C
ἄρα τι καὶ παραλέλειπται. Εἰ δὲ καταδικάζει, μὴ
ἀναμείνῃς τὴν ἐκεῖθεν καταδίκην, ὅτε καὶ ἡ μετα-
μέλεια ἄχρηστος. Ἐγὼ δέ σου δέομαι, καινὴν ἴσως
δέησιν, ἀλλ' ἐπὶ καινοτάτοις προσαγομένην· στῆ-
σον, ὦ βασιλεῦ, τὰ κακὰ, ᾧ βούλει τρόπῳ· ἢ τοῦ
βίου τάχιον ἡμᾶς καὶ μὴ μετὰ τῆς πολλῆς ταύτης
καὶ ἀφάτου ταριχείας, ἐξάγων· ἢ τὴν ὑπερβολὴν
ἀνακόπτων τῶν δυσχερῶν· μνήσθητι ὅτι ἄνθρωπος
εἶ, κἂν βασιλεύῃς· μνήσθητι ὅτι σάρκα περικεί-
μεθα τὴν αὐτὴν, καὶ βασιλεῖς καὶ ἰδιῶται, καὶ τῆς
αὐτῆς κοινωνοῦμεν φύσεως· μνήσθητι ὅτι κοινὸν
Δεσπότην ἔχομεν καὶ Πλάστην, καὶ κοινὸν Κριτήν b.
Τί τὴν σὴν ἐπιείκειαν, ταῖς καθ' ἡμῶν κακώσεσιν
ἐξελέγχεις; τί τὴν σὴν χρηστότητα, ταῖς εἰς ἡμᾶς
ἐπηρείαις διαβάλλεις; τί δὲ τὴν φιλανθρωπίαν, εἰς D
ὑπόκρισιν, καὶ σχῆμα πραότητος, τῇ καθ' ἡμῶν
ὀργῇ καὶ βαρύτητι διασύρεις; οὐκ αἰτοῦμεν θρόνους,
οὐ δόξαν, οὐκ εὐημερίαν· οὐκ εὐπάθειαν· ἀλλ' ἐκεῖνα
αἰτοῦμεν, ἃ καὶ τοῖς δεσμώταις παρέχεται, ὧν οὐδ'
οἱ αἰχμάλωτοι ἀποτυγχάνουσιν, ἃ καὶ βάρβαροι τοῖς
δεσμίοις παρέχειν φιλανθρωπεύονται· εἰς τοῦτο γὰρ
τὰ ἐμὰ περίεστηκε πράγματα, ἵνα παρὰ βασιλέως,
καὶ c τότε φιλανθρωποτάτου γένους τῶν Ῥωμαίων
τοιαῦτα αἰτῶ. Τί οὖν αἰτοῦμεν; ἢ ζῆν μὴ χαλεπω-
τέραν θανάτου ζωὴν, ἢ θᾶττον ἀπαλλαγῆναι τοῦ

smum colentibus: pro amicis, affinibus, monachis, psallentibus, ac pro cæteris omnibus, militum custodiæ, militaribus turmis trador: subversæ sunt Dei ædes, male multata pauperum corpora translata, facultates eorum non aliter quam belli spolia publicatæ: in quem finem? nempe ut ego excrucier; certe crudelem in modum ego excarnificor; qui pro peccatis meis cum propitiatorium, et illas ædes et ipsorum famulos destinaveram, a serviendo Deo illi abstrahuntur; sed cogitandum fuit an Deus damno a nobis afficiatur, et vehementius doleat. Certe quidem dolet si modo ille ipse est, qui pauperum statum in se recipit procurandum. Corporea tormenta civiles Romanorum leges in maleficos, ad purgandum animum adhibuerunt; animæ autem cruciatus, et in eam conspirationes, ne fando quidem, nisi nunc primum, apud aliquos intelleximus usurpatas: sed nos in præsenti eas experimur; satis enim patet quod hoc intendat librorum ablatio, redemptionis peccatorum catastrophe, et sublatio: harum duarum, altera theoriæ oculum exstinguit et depravat: altera autem pulcherrimas alias actiones in partes divellit et dissolvit. Ab omni retro memoria quis audivit bellum ab hominibus contra animam hominis indictum? quasi non sufficerent omnem iram penitus evacuare corporea supplicia, exsilium nempe, captivitas, fames, custodia, mors quotidie inferenda; ubi in eo tantum vitæ parcitur, ne cum vita simul sensus malorum auferatur; est hic acerbissimus mortis stimulus, carnificina intolerabilis, ut nimirum morientium patiamur dolores, et tamen sensum dolorum non in morte amittamus, quod tamen morientibus in tantis malis, solum est solatium. Considera in teipso hæc, domine rex; et si tua te excuset conscientia, adjice adhuc aliquid contra me, si tamen quidquam est a te prætermissum. Sin te illa condemnat, noli exspectare futuram condemnationem, cum frustra futura sit pœnitentia. Deprecor autem ego te nova fortassis deprecatione, sed rebus novatis accommodata; siste, imperator, malorum cursum quocunque modo poteris, aut volueris: vel me de vita hac sustollendo, idque quantocius, non cum multa et in explicanda mora, quasi sale conditum asservando; aut saltem tristitiarum mensuram qua premor imminuens. Memor sis quod mortalis exsistis, licet imperator; cogita quod uterque eadem carne amicimur, et ejusdem naturæ participes sumus, et reges et privatus quilibet. Memento quod communem Dominum, factorem et judicem habemus: tuam ipsius mansuetudinem, quid me affligendo convincis? quid tuam bonitatem injuriis meis accusas? Misericordiam in hypocrisin, et schema clementiæ odio in me et furore percitus gravi, ludibrio habes? Thronum non desidero, non glo-

VARIÆ LECTIONES.

a Isc. Θεοῦ. b Isc. ἔχομεν. c Isc. τούτου.

Digitized by Google Распознавание текста ABK/FR

riam, non dies bonos, non felices successus ; illa tantum rogo, quæ in vincula conjectis exhibentur, a quibus nec captivi excluduntur, quæ et barbaris catenatis exhiberi solent cum humanitate : eo enim statu res meæ constituuntur, ut a rege et Romanis clementissima natione hujusmodi deprecatione uti necesse mihi sit. Quæ est autem illa ? scilicet ut vel ne vita, quavis morte magis afflicta fruar, aut ut quam cito de corpore egredi liceat ; reverere naturam ut exoreris ; communes mortalitatis leges venerare ; communia Romani imperii jura noli committere, ut de te narretur novum te in vita exemplum intulisse : nempe istud, quod imperator qui misericordiam et clementiam pollicebatur, archiepiscopum quem amicum habebat et communem filium : a cujus manibus, cum ipse tum imperatrix regni susceperant unctionem, et potestatem induerant dignitatis : a quo vehementer diligebatur, apud quem juratus fidem interposuerat reverendam : quem valde diligere et amore complecti passim omnibus ostenderat : illum inedia, exsilio multavit, et sexcentis aliis malis liquefactum interim precibus pro ipso intercedentem morti dedit.

A σώματος· δυσωπήθητι τὴν φύσιν· αἰδέσθητι τοὺς κοινοὺς τῶν ἀνθρώπων νόμους· αἰδέσθητι τῆς Ῥωμαϊκῆς ἀρχῆς τὰ κοινὰ δίκαια· μηδὲ καινόν τι παραχωρήσῃς ἐπεισαχθῆναι τῷ βίῳ διήγημα· ὅτι ποτὲ βασιλεὺς, ἐπιεικίαν καὶ φιλανθρωπίαν ἐπαγγελλόμενος, φίλον ἀρχιερέα, καὶ σύντεκνον ποιησάμενος, ὑφ' οὗ χερσὶν, αὐτός τε καὶ ἡ βασιλὶς, τὸ χρίσμα τῆς βασιλείας ἐχρίσθη, καὶ τὸ ὄξίωμα ἐνεδύσαντο, ὑφ' οὗ λίαν ἐφιλήθη, καὶ πρὸς ὃν ὅρκια καὶ πίστεις φρικώδεις ἔθετο, ὃν ὑπεραγαπᾷν καὶ στέργειν ἐπεδείκνυτο ἅπασι· τοῦτον ἐξορίᾳ, καὶ λιμῷ πικρῷ παραδοὺς, καὶ μυρίοις ἄλλοις κατατήξας κακοῖς, εὐχόμενον ὑπὲρ αὐτοῦ, τῷ θανάτῳ παρέπεμψεν.

EPIST. XVII.

Eidem.

B

ΕΠΙΣΤ. ΙΖ'.

Τῷ αὐτῷ.

Edita a Montacutio (ep. 98, p. 141).

Ego quidem arbitrabar te ad regni fastigia promoto, mihi gratias agendi multiplices adfuturas occasiones, pro amicis, cognatis, familiaribus, cæteris quibuscunque, quibus te sine fastidio mihi gratificaturum in quantum posses, putavi ; eo me spei induxerat sincerus et sine fuco meus in te animus, nec dubitare sinebant promissiones sexcentæ juramentis confirmatæ ; quas me vel invito, ipse coram omnibus studiose propagabas. At nostræ jam tandem huc spes devenerunt, ut licet sero, nec satis opportune, tuo imperio gratificari habeam. Quorsum autem et in quo inquies? quod latronum et suspendiosorum hominum suppliciat cum quibus usque ad absumptionem conflictabar, in cursum temperantiorem convertere pollicearis. Vide autem sis, dilecte mihi, licet nolis, imperator, quod tentare tantum ut persuadeas hominibus, non modo nihil confert ad persuadendum Deum, sed in plane contrarium immutatur ; certe quæ sine ulto metu hic geruntur acerbiores pœnas olim justitiæ omnia lustranti dabunt.

Εγὼ μὲν ᾤμην, τῆς ὑμῶν κραταιουμένης βασιλείας πολλὰς αὐτῇ προσάγειν εὐχαριστίας ὑπὲρ τῆς εἰς ἡμᾶς εὐεργεσίας, ὑπὲρ φίλων, ὑπὲρ συγγενῶν, ὑπὲρ συνήθων, ὑπὲρ πάντων ἁπλῶς, ὅσα πράττων αὐτὸς εἰς τὴν ἡμῶν θεραπείαν κόρον οὐκ εἶχες χαρίζεσθαι. Εἰς τοῦτο γὰρ ἡμᾶς ἦγεν, ἥ τε καθαρὰ πρός σε καὶ ἀληθινὴ διάθεσις, καὶ τῶν μυρίων ὅρκων καὶ ὑποσχέσεων τὸ ἀνένδοτον· οὓς καὶ ἀκόντων ἡμῶν, αὐτὸς ὅμως, πρὸς ἅπαντας ὑποτείνων οὐ διέλιπες. Νῦν δὲ εἰς τοῦτο τὰ τῶν ἡμετέρων ἐλπίδων περιέστηκεν, ὅτι κἂν ὀψὲ τοῦ καιροῦ, ὅμως εὐχαριστίαν τῇ σῇ προσάγομεν βασιλείᾳ. Ἐπὶ τίνι, καὶ διὰ τί ; ὅτι C τὰς τῶν λῃστῶν καὶ κακουργῶν τιμωρίας, αἷς ἐναθλοῦντες ἡμεῖς καταδαπανώμεθα, εἰς τὸ μετριώτερον σχηματίζειν ἐπεχείρησας. Ἀλλ' ὅρα, φίλε, κἂν μὴ βούλει, βασιλεῦ, ὅτι τὸ πειρᾶσθαι πείθειν ἀνθρώπους, οὐ μόνον οὐδὲν συντελεῖ πρὸς τὸ πεῖσαι Θεὸν, ἀλλὰ καὶ εἰς τοὐναντίον περιτρέπεται· καὶ τῶν ἀδεῶς ἐνταῦθα πραττομένων, μᾶλλόν ἐστιν ἐκεῖθεν ἡ παντέφορος δίκη κριτής.

—

MONITUM

IN SEQUENTEM EPISTOLAM.

(Angelo Mai *Script. vet.* t. I, page XXI).

Vestiganti mihi in Vaticanis pluteis Photii scripta, ignotum quoddam præter spem se obtulit in codice vetere palimpsesto, breve equidem sed tamen non contemnendum. Prior palimpsesti scriptura quadrata est, continetque partes sacrarum rerum Leontii, de quo opere in alio volumine locuturus sum. Scriptura posterior, sæculi ferme XIII, habet opus Eusebii *De situ et nominibus Hebraicorum locorum* : et quidem ad normam hujus rarissimi codicis, qui fuit olim cardinalis Sirleti, textum operis Eusebiani fuisse refictum docet Vallarsius in Hieronymi editione, T. III. Sequntur in codice glossaria quædam, tum de mensuris ponderibusque opuscula, necnon theologicæ aliquot definitiones. Exin Photii canonica responsa quinque, cum eo titulo quem in nostra editione Græce scripsimus. Photium denique subsequuntur Gre-

Digitized by Google Распознавание текста ABK/FR

gorii Theologi quædam et pauca anonyma. Profecto et ipse palimpsestus in extremis codicis foliis a priore et maxima sui parte differt : habet enim Actuum apostolicorum fragmenta, vetustioribus, quam Leontii opus, litteris exarata. Sed enim, his interim omissis, de Photii scripto breviter mihi dicendum est, quod ad Leonem Calabriæ archiepiscopum mittitur. Calabriæ sedem episcopalem inter eas numeratam video, quæ patriarchæ Byzantino parebant, in novella Leonis Sapientis (1), qui Photii alumnus fuit : eique sedi honoris gradus inter Mocissum Larissamque tribuitur. Porro utrum Calabria intelligenda sit Argivorum insula, in qua olim Demosthenes venenum hausit, an potius Italiæ provincia, haud scio an merito dubitare liceat. Nam et Italiæ Calabriam in ea novella p. 100 appellari video, quo loco Severinæ Calabræ sedi subjiciuntur episcopi Calli politanus, Acerantinus, Castri veteris. Tum apud Porphyrogenitum them. lib. II, 10, oppidulum Sanctæ Severinæ prope Crotonem ponitur. Atque his in locis Græcæ ritum Ecclesiæ partim adhuc vigere docet Ughellius tom. IX, p. 475. Profecto ætate Photiana extremam illam Italiæ partem in Byzantini patriarchatus finibus fuisse comprehensam, multis documentis comprobatum est, et certe a dicta jam imperatoris novella. Imo vero Leonem hunc Calabriæ Italicæ archiepiscopum fuisse vix dubito, dum considero Photiani cujusdam inediti operis adversus Latinos (de quo opere mox) locum, ubi, enumeratis Italiæ et Occidentis variis populis qui pontifici Romano parebant, ab iis Photius excipit Calabros, quos ait cum Græcis consentire. Sed tamen Leo certe Rhegii episcopus octavæ synodo contra Photium celebratæ subscripsit (2) : idemque in pseudo-synodo Photiana apparuit (3) : quam rem Coletus in Ughellii (4) emendationibus sapienter notavit, atque ita Leonem non dubio ordine in Rheginorum episcoporum serie constituit. Sed ecce in prædicta novella p. 100 Rheginus episcopus a Calabro satis distinguitur. Porro ego auctor sum ut de finibus Byzantini patriarchatus legatur etiam perdoctus Bressius in *Melitæ antiquitatibus* (5), qui Leoninæ novellæ auctoritatem post alios criticos ventilat. Ad rem nostram quod attinet, constat Leonem Calabriæ archiepiscopum postulavisse a Photio patriarcha suo, atque a synodo, quæ apud ipsum celebrabatur, dubitationum quarumdam solutiones : cui honestæ petitioni occurrens Photius, capita quinque rescripsit : quæ ego ut de re canonica bene, ut spero, mererer, Latina feci, scholiis aliquot declaravi, et si cum Amphilochiis in hoc volumine ederem, pretium operæ fore judicavi.

—

PHOTII RESPONSA CANONICA

—

Τῷ θεοφιλεστάτῳ ὁσιωτάτῳ συλλειτουργῷ Λέοντι ἀρχιεπισκόπῳ Καλαβρίας Φώτιος ἀρχιεπίσκοπος Κωνσταντινουπόλεως.

Religiosissimo et sanctissimo Leoni Calabriæ archiepiscopo Photius archiepiscopus Constantinopolitanus.

Τὰ παρὰ τῆς ὑμῶν θεοφιλίας πρὸς ἡμᾶς ἀναπεμφθέντα κεφάλαια τοῖς θεοφιλεστάτοις ἡμῶν ἐπὶ δοθέντα μητροπολίταις (6) καὶ παρ' αὐτῶν δοκιμασθέντα τε καὶ βασανισθέντα, τοιαύτης ἔτυχε κρίσεώς τε καὶ ἐπιλύσεως.

Quæ vestra pietas ad nos misit capitula, cum religiosissimis nostris metropolitis exhibita fuerint atque ab illis in examen vocata, ejusmodi retulerunt judicium ac solutionem.

Α'. Περὶ μὲν τῶν χειροτονίαν ἱερατικὴν μηδὲ μίαν ἐχόντων, βαπτίσματα δὲ δι' ἑαυτῶν τελεσάντων, τοιοῦτόν τι ὥρισται. Ὡς εἰ μὲν ἐν ἐλευθέρᾳ γῇ καὶ Χριστιανῶν παῤῥησίᾳ ἱερέων τε εὐπορίᾳ, τοῦ τοιούτου κατετόλμησαν ἐγχειρήματος, τῶν ἱερῶν διακοσμήτεών τε καὶ προχειρήσεων τὸν θεσμὸν εἰς φαῦλον τιθέμενοι, μᾶλλον δὲ ἀλαζονίᾳ ἐμπορευσάμενοι, σφοδρῶς ἐπιτιμηθέντες ὑπὲρ τῶν ἤδη πλημμεληθέντων, καὶ τῆς μετὰ ταῦτα ἱερατικῆς προχειρήσεως δι' αὐτό γε τοῦτο ἀπειρχθήσονται· οἱ γὰρ τὴν τοῦ θείου Πνεύματος χάριν ἀποσυλῆσαι θελήσαντες, καὶ ἑαυτοῖς τὴν τιμὴν, ἀλλ' οὐχ ὑπὸ Θεοῦ καλούμενοι ἐπιτρέψαντες, ὡς τῆς θείας χάριτος κατα-

I. Quod ad eos homines attinet qui, nullo sacro ordine prædiți, baptismum manu sua administraverunt, hoc definitum fuit. Siquidem hi libera in regione et Christiana pace sacerdotumque copia, ejusmodi actui manum admovere ausi fuerint, sacrarum constitutionum ac ministeriorum legem flocci facientes, imo vero superbia sua elati ; hi, inquam, severe increpiti, ob id quod hactenus perpetrarunt a sacro etiam posthinc ministerio ob hanc noxam excludantur. Nam qui divini Spiritus gratiam usurpare voluerunt, sibique honorem absque Dei vocatione vindicare, veluti divinæ gratiæ contemptores, hac ipsa semet orbaverunt. Quam enim ante acci-

NOTÆ.

(1) Apud Leunclavium *De jur. Gr. Rom.* p. 88.
(2) Hard. Concil. t V, p. 929.
(3) Colet. Conc. t. XVII, p. 374.
(4) Tom IX, p. 324.
(5) Lib. VI. 15.
(6) Intellige patriarchalem synodum, cujusmodi permultas legimus apud Leunclavium in canonicorum responsorum libris. De Leone autem Calabriæ Italicæ archiepiscopi, ad quem hæc responsa scribit Photius, dixi supra in *Monito*.

Digitized by Google Распознавание текста ABK/FR

piendum spreverunt,eamdem etiamsi postea acceperint, aspernari non dubitabunt. Jam eos qui ab ipsis baptizati fuerunt, nequaquam Spiritus gratiam recepisse censemus: quare eos et aqua baptizari et sancto chrismate ungi atque ita consecrari decernimus. Nempe cum res ejusmodi contemptim et indigne antea peracta fuerit, sequimur apostolicos canones, qui magnopere objurgant, si quis minime baptizaverit eos, qui ab impiis baptismum receperint, ceu qui falsos a veris sacerdotibus non discreverint. At enim si qui in barbarica ditione degentes, in sacerdotum defectu baptismum administraverint, meretur veniam necessitas; ne videlicet, tyrannidis causa, vacui gratia dimittantur ii qui illa potiri postulant. Quare homines qui baptizaverunt etiamsi sacro ordine non insigniti fuissent, judicio vindici subjicere visum non est. Baptizatos autem iterum chrismate ungi omnino definimus, etiamsi a prædictis uncti fuerint: atque ita prorsus divino unguento consecrari in septenario dierum spatio: cæteroqui illum baptismum, qui urgente necessitate ministratus fuerat, non antiquari. Etsi enim is ritus imperfectus erat, tamen Trinitatis invocatione, et pio invocantium fine, et recipientium fide, satis honoratus fuit. Quare nec iterum aqua baptizari eos qui baptizati fuerant, decernimus, ne scilicet rebaptizare videamur. Nam et petentium fides, et initiantium pietatis studium, et tyrannicæ auctoritatis contemptus, et impendentium periculorum propter Christum neglectus, nec sancto Spiritu expertem nec profanum videntur sinere peractum baptismum. Multos enim antiquitus Ecclesia Dei comprobavit baptismos, propter temporum et locorum necessitatem ceu commode administratos. De hoc hactenus.

A φρονηταὶ, ταύτης ἑαυτοὺς ἀπεστέρησαν· ὧν γὰρ πρὸ τοῦ λαβεῖν κατεφρόνησαν, τούτων καὶ μετὰ τὸ λαβεῖν εἰκότως καταφρονῆσαι οὐ παραιτήσονται. τοὺς δέ γε παρ' αὐτῶν βαπτισθέντας, οὐδαμῶς δεξαμένους Πνεύματος χάριν ἡγούμεθα· δι' ὃ καὶ ἐν ὕδατι βαπτισθῆναι, καὶ τῷ ἁγίῳ μύρῳ χρισθῆναι, καὶ οὕτω τελειωθῆναι διοριζόμεθα· κἂν τε τοιοῦτον καταφρονητικῶς τε καὶ ἀναξίως προδιεπράχθη, ἑπόμενοι τοῖς ἀποστολικοῖς κανόσι σφοδρῶς ἐπιτιμῶσι τοὺς μὴ βαπτίζοντας τοὺς ὅσοι παρὰ τῶν ἀσεβῶν ἐδέξαντο βάπτισμα, ὡς μὴ διακρίναντας ἱερέας ψευδιερέων (7). Εἰ δ' ἐν βαρβαρικῇ τινες παροικοῦντες ἐπικρατείᾳ καὶ ἱερέων ἐπιλιπόντων, βάπτισμα ἱερὸν ἐπετέλεσαν, συγγνώμῃ τῇ ἀνάγκῃ, καὶ τὸ μὴ ἀγεύστους τῆς χάριτος διὰ τὴν τυραννίδα τοὺς ταύτην
B ἐπιδεομένους ἀποστραφῆναι· διὸ τοὺς βαπτίσαντας, κἂν ἄνευ χειροτονίας, ἐπιτίμῳ κρίσει οὐκ ἔδοξεν ἡμῖν καθυποβαλεῖν· τοὺς δέ γε βαπτισθέντας, ἀναμυρισθῆναι μὲν πάντως διοριζόμεθας κἂν εἰ παρ' αὐτῶν ἐμυρίσθησαν (8)· καὶ οὕτω διὰ τῆς τοῦ θείου μύρου ἅπαξ χρίσεως ἐν ἑπτὰ ἡμέραις (9) τελειωθῆναι· οὐ μὴν δὲ τὸ ὅπως οὖν γεγονὸς διὰ τὴν ἀνάγκην βάπτισμα μὴ συγχωρηθῆναι· κἂν γὰρ ἀτελὲς (10), ὅμως τῇ ἐπικλήσει τῆς παναγίας Τριάδος καὶ τῷ πιστῷ σκοπῷ τῶν ἐπικαλουμένων, τῇ τε πίστει τῶν ὑποδεχομένων τετίμηται· δι' ὃ οὐδὲ ἔμπαλιν βαπτίσαι τῷ ὕδατι τοὺς βαπτισθέντας ὁρίζω, ἵνα μὴ ἀναβαπτίσαι δοξωμεν· ἥ τε γὰρ τῶν αἰτουμένων πίστις, καὶ ὁ τῶν τελούντων περὶ τὴν εὐσέβειαν σπουδαῖος σκοπὸς· ἥ τε τῆς τυραννικῆς ἐπικρατείας παρόρασις, καὶ ἡ
C τῶν ἐπηρτημένων κινδύνων διὰ Χριστὸν καταφρόνησις, οὐκ ἀμοιρον τοῦ ἁγίου Πνεύματος οὐδ' ἀνίερον τὸ τελεσθὲν βάπτισμα δοκοῦσι καταλιπεῖν· πολλὰ γὰρ ἀνέκαθεν παρὰ τῇ τοῦ Θεοῦ Ἐκκλησίᾳ συνεχωρήθη βαπτίσματα, διὰ καιρῶν καὶ τόπων ἀνάγκην χρησίμως ἀποδειχθέντα. Καὶ περὶ μὲν τούτου τοσαῦτα.

NOTÆ.

(7) Canon est inter vulgo apostolicos quadragesimus septimus; quos sine dubio tribuisse apostolis auctoribus Photium jam vidimus p. 115. Atqui nemo jam ambigit, quin hi canones auctoritate atque ætate apostolica careant; et quidem etiam propter errores, quos continent, circa baptismum. Chrysostomi etiam (ut et hoc obiter notem) scripta complura spuria recensuit inter genuina Photius haud satis
D hac in re acutus criticus, fraude non agnita, uti nos admonet Montfauconius Chrysostomi editor, in præf. Jam ne miremur Photium tantopere, et præter veram sententiam, urgere ut baptismus a laico collatus, aliquando saltem habeatur invalidus, audiendus est Græcus Arcudius de bapt. 11 dicens: *Totam ferme Græciam, Russiam, Moscoviam, et alias provincias, quæ in fide Christi ritu Græco perseverant, in eo versari errore ac scrupulo, ut absente presbytero malint permittere ut infantes sine baptismo e vita decedant, quam eos salutari lavacro abluere, quod existiment sibi laicis nein necessitate quidem licere hoc munere fungi.* Photii sententia sine dubio innotuit Arcudio, a quo cap. cit. inter rebaptizantes ponitur Photius coryphæus schismatis, lingua et calamo, ut ait, ad lacessendum homo promptissimus. Hujusmodi fere errorem, jam inde a Cyprianicis temporibus repetitum, passim arguunt Latini theologi: quamobrem hic parcere verbis licet.

(8) Arcudius cap. 4 de neogræcorum erroribus agens ait: *Sacramentum confirmationis æque ac baptismum semel exhibitum veteres iterare nefas esse ducebant; recentes, si non iterarint, canones conciliorum violasse existimant.* Blastares apud eumdem Arcud. cap. 12 prorsus cum Photio conspirat dicens non esse rebaptizandum, sed tamen confirmationem repetendam. In eadem sententia est Zonaras cum Aristeno ad can. apost. Rursusque Zonaras ad can. Carth. Cypriani apud Beveregium t. I, p. 367. Sed et chrismatis repetitionem refutat Arcudius l. c. Denique Zonaras cum rebaptizantibus sentire videtur ad can. Carth. Aurelii t. I, p. 575. De re universa legendus omnino Blastares in syntagm. ubi de bapt., apud Bevereg. tom. II, p. 38. *sqq.*

(9) Intellige septenarium numerum dierum, post quos Græci solent puerum, qui in baptismo unctus fuerat, iterum deferre ad ecclesiam ut abluatur. Arcud. cap. 17, p. 55.

(10) Nimirum ex sententia Græcorum qui baptismum non sine confirmatione conferunt. Sic ergo loquitur imprudenter etiam Simeon Thessal. apud Arcudium cap. 13: Οὐκ ἔσται τελείως τις βαπτισθεὶς, ὁ μὴ τὸ μύρον δεξάμενος.

Digitized by Google Распознавание текста ABK/FR

ΚΕΦΑΛ. Β'. — Περὶ πρεσβυτέρων καὶ διακόνων ὧν αἱ γυναῖκες ὑπὸ Βαρβάρων διεφθάρησαν.

Περὶ δὲ τῶν πρεσβυτέρων καὶ διακόνων τῶν ἐκ βαρβαρικῆς ἁλώσεως τὰς οἰκείας ἀναδεξαμένων γυναῖκας, φθορὰν ἐν τοῖς Βαρβάροις ὑποστάσας, οὐχ ἁπλοῦν ὁρῶμεν τὸν νόμον, ἀλλὰ πρὸς τὰς διαφόρους ποικιλλόμενον πράξεις· εἰ μὲν γὰρ ἑκουσιότητι τὴν φθορὰν ὑπέστησαν, παντὶ τρόπῳ τοὺς ἄνδρας τούτων ἱερωμένους ὄντας, ἢ τούτων τῶν γυναικῶν ἐκστῆναι, ἢ βουλομένους ταύταις συνεῖναι, πεπαῦσθαι τῆς ἱερωσύνης (11)· οὕτω μὲν εἰ ἑκουσιότητι ὑπέστησαν τῇ φθορᾷ· τὸ μὲν οὖν πάθος πάλιν τέμνεται εἰς δύο· τὸ μὲν γὰρ αὐτοῦ μεμιγμένην ἔχει τὴν τοῦ ἠναγκασμένου συγκατάθεσιν· τὸ δὲ παντελῶς ὑπάρχει γνώμης καὶ συγκαταθέσεως ἐλεύθερον τοῦ ἐπηρεασθέντος· οἷόν τι λέγω· Ἐλπίδι φόβῳ ἢ μαστίγων τινὲς τῶν γυναικῶν, ἢ καὶ πρὸς πεῖραν τῆς τιμωρίας ἀφειγμέναι ἐξέδωκαν ἑαυτὰς εἰς φθοράν· συγγνώμης μὲν οὖν αὗται ἄξιαι, ἢ αἱ πρότερον, ἅτε δὴ βουληθεῖσαι διαφθαρῆναι, ὕστερον δὲ ὑπὸ τῆς ἀνάγκης πρὸς τοῦτο κατολισθήσασαι· οὐ μὴν δὲ οὐδὲ αὗται ἄξιαι τυγχάνουσιν ἱερωμένοις συνεῖναι ἀνδράσιν· συγγνώμης γὰρ ἐπὶ ῥυπάσμασι καὶ καθαρότητος πολὺ τὸ διάφορον· δι' ὃ καὶ οἱ βουλόμενοι αὐταῖς ἱερεῖς συνάπτεσθαι, καὶ οὗτοι τοῦ οἰκείου διαπεσοῦνται ἀξιώματος· τὸ δὲ λοιπὸν παρὰ ταῦτα ὡς τοῦ ἀκουσίου εἴδους ἐξῄρηται τῆς κοινωνίας τούτου· οἷόν τι λέγω· Εἴ τις βασάνων ἐπαγομένων ἢ καὶ μὴ ἐπαγομένων χεῖρας καὶ πόδας δεθείη, εἶτα περιφυλάξαι ἑαυτὴν τὰ μάλιστα σπουδάζει, πόρον οὐκ ἔχει αὐτή, κἂν δοκεῖ διεφθάρθαι, φθορᾶς τὴν ἑαυτῆς ψυχὴν ἐλευθέραν τῇ γε ἀληθείᾳ διατηρήσασα κρίνεται· ταῖς τοιαύταις οὖν γυναιξὶν εἴ τινες τῶν ἱερωμένων συνοικεῖν βούλοιντο, οὐδεμίαν ἐπ' αὐτῶν ὁρῶμεν ἀποτομίαν προβαίνουσαν· ἀγαπητὸν μὲν γὰρ καὶ ἐπαινετόν, εἰ καὶ κοινῇ γνώμῃ καὶ βουλῇ τὸ συνοικέσιον διαλύσουσι· οὐχ ὡς ῥυπάσματος ἢ κηλιδώσεως αἴτιον, ἀλλ' ἵνα τὰς τε τῶν πολλῶν ὑπολήψεις ἐπὶ τὸ μᾶλλον θαυμάζειν τὴν ἀρετὴν διεγείρωσιν, καὶ τῶν χαιρεκάκων παντελῶς τὰ στόματα ἀπορράψωσιν (12)· καὶ μαρτύριον ἐναργὲς παραστήσωσιν, ὅτι βίας μόνης ἦν ὅπερ ἐξ ἐπηρείας ὑπέστησαν· εἰ γὰρ ἐξὸν αὐτῇ ἀνδρὶ τῷ νομίμῳ κοινωνεῖν, ἡ δὲ Θεῷ μᾶλλον κολληθῆναι ᾑρετίσατο, πῶς ἂν τὴν γε-

A CAP. II. —*De presbyteris et diaconis quorum uxores a Barbaris violatæ fuerunt.*

De presbyteris ac diaconis, qui ex barbarica captivitate uxores suas receperunt, contumeliam a Barbaris passas, haud simplex decretum exstare videmus, sed pro rerum gestarum diversitate varium. Nam si illæ non invitæ vitiatæ fuerunt, omnino oportet viros earum sacris ordinibus præditos aut hujusmodi feminas deserere, aut si illarum convictu uti velint, a sacro ministerio cessare. Ita, inquam, si mulieres non invitæ violatæ fuerunt. Rursus ejus stupri duo genera esse possunt; quorum alterum mistum habet cum necessitate consensum; alterum voluntarium omnino est et consensionis plenum et injuria liberum. Exemplum esto. Spe, timore verberum, nonnullæ feminæ, vel B etiam cruciatuum experientia, vitiari se permiserunt. Hæ quidem venia magis dignæ sunt, quam illæ quæ antea quidem sponte stuprum passæ sunt, postea vero necessitate id admiserunt. Has quoque, inquam, feminas indignum et cum sacerdotibus viris vitam agitare. Quippe ingens inter labis indulgentiam et puritatem intervallum est. Quare si qui sacerdotes his copulari volent, ipsi quoque sua dignitate excident. Superest involuntarium stupri genus. quod in prædictorum societatem non venit, Exemplum esto. Si qua, admotis cruciatibus, aut sine his, manus pedesque devincta, nihilominus custodire se pro viribus nisa fuerit, nihil ipsa in rem contulit, etiamsi vitiari visa est: nam vitio puram animam revera conservavisse judicatur. Hisce C feminis si qui sacris præditi ordinibus cohabitare velint, nullam durioris divisionis necessitatem imponendam videmus. Optabile tamen est atque laudabile si mutuo consensu ac voluntate convictum dirimant: non quod inde macula aut labes sequatur, sed uti vulgi opinio ad virtutis admiratione mmagis excitetur, atque ut eorum, qui alieno malo gaudent, ora prorsus obstruantur: ac denique testimonium evidens fiat, vi tantummodo injuriam mulieri contigisse. Cum enim huic liceat legitimo cum viro vivere, ea si adhærere potius Deo optet, nonne barbaram contumeliam sine dubio involuntariam sibi atque inculpata accidisse demonstrat? Hoc

VARIÆ LECTIONES.

Cod εἰ.

NOTÆ.

(11) Idem decernit etiam Michael patriarcha contra sacerdotem qui adulteram uxorem retinere velit, Leuncl. tom. I, p. 263.

(12) Quippe apud Græcos sacerdotis uxor παπαδιὰ peculari honore fruitur, ferme ut veteres diaconissæ; eaque sanctior quodammodo habetur, pudicitiæ, modestiæ ac solitudini præcipue studens, candido velo distinguitur, et æquata prope cum sacerdote viro veneratione colitur. Qua de re lege Goarium in adnot. ad *Euchologium Gr.* p. 219. Cæteroquin Latini sacerdotes meliore conditione sunt (I *Cor.* VII, 38) qui, nuptiis omissis, omni hoc sanctifi- D candæ uxoris negotio curisque cæteris liberantur. Et quidem ex cælibatu majorem quoque virtutis admirationem creari in populo confirmat hoc loco Photius. Quare et in Græca Ecclesia episcopi, nodum monachi cælibem vitam degunt. Porro Græcorum majus fuisse obsequium erga sacerdotes cælibes quam erga uxoratos, testis est Nanzianzenus Gregorius in oratione *de baptismo*, dum ait quosdam differre solitos baptismum, donec hunc acciperent vel ab episcopo vel a sacerdote potius cælibe quam uxorato.

Digitized by Google Распознавание текста ABK/FR

dicimus, si vir de resolvendo convictu assentiatur: si minus, conjugium haudquaquam reum agimus.

A γενημένην εἰς αὐτὴν βάρβαρον πρᾶξιν ἀκούσιόν τε περιφανῶς καὶ ἀνεπιτίμητον μὴ [b] δείκνυσιν; τοῦτο δέ φαμεν, εἰ ἄρα τῷ ἀνδρὶ τὰ τῆς διαζεύξεως συνδοκεῖ· ἂν δὲ μή, οὐκ ἐν εὐθύναις τὴν ἕνωσιν ἀγωμεν.

CAP. III. — *Utrum baptizandi sint Saracenorum infantes in eorum regione ac domibus.*

Saracenorum infantes a matribus oblatos nequaquam a sacro baptismo arcendos decretum fuit. Neque enim vetitum est ab Ecclesia Dei, quominus teneræ adhuc mentes baptismi gratiam recipiant; etiamsi postea puberes facti partim bonam, partim improbam, vitam electuri sint. Nam quia futurum latet, absurdum sit nisi bona fundamenta præoccupentur ab eo qui vitæ ædificium arbitratu suo extollere potest. Quanquam vero barbarica institutio vanum baptismum reddiderit videtur, ejus rei baptismus ipse culpam non sustinet, sed is potius qui baptismum irritavit, vel certe irritare molitus est. Sicuti enim Christianæ fidei eruditio, licet hi qui erudiuntur male se gerant, irreprehensibilis est, ita etiam baptismus, etiamsi deinde baptizatorum vita improba evaserit atque incredula. Præstat igitur infantes baptizari, et fidei arrham interim accipere. Fortasse enim aliquando meminerint se Christum induisse, et gratia adjuti gratiam sequentur. Porro ubi spes ambigua est, bonum præstat eligere illique adhærere. Et sane oportet, etiamsi aliquis minime perficiatur, tamen initium boni facere. Tum quæ mulieres optaverunt ut sui liberi fidei arrham reciperent, si voti compotes fiant, ad perficiendam quoque eruditionem alacriores erunt: sin repellantur, non liberorum tantummodo, sed sui quoque ipsarum curam fortasse abjicient.

B ΚΕΦΑΛ. Γ'. — Περὶ τοῦ εἰ χρὴ βαπτίζεσθαι τὰ τῶν Σαρακηνῶν βρέφη ἐν τῇ αὐτῶν ὄντα χώρᾳ καὶ εἰς τοὺς ἑαυτῶν οἴκους.

Τὰ δέ γε τῶν Σαρακηνῶν βρέφη παρὰ τῶν μητέρων προσαγόμενα (13), μηδαμῶς ἀποστερεῖσθαι τοῦ θείου βαπτίσματος δεδοκίμασται· οὐδὲ γὰρ κεκώλυται παρὰ τῇ τοῦ Θεοῦ Ἐκκλησίᾳ τὸ καὶ ἐν ἀπαλαῖς ἔτι φρεσὶ τὴν θείαν χάριν τοῦ βαπτίσματος δέχεσθαι κἂν μετὰ ταῦτα ἡβάσκουσι, καὶ τὸ αὐτεξούσιον ἑκάστου τὸν βίον πῇ μὲν σπουδαῖον, πῇ δὲ φαῦλον διατίθησι· εἰ γὰρ τὸ μέλλον ἀόρατον, ἄτοπον μὴ καταλαβεῖν ἀγαθοὺς θεμελίους τῷ ἐξουσίαν ἔχοντι ἐπικοδομῆσαι τοῦ βίου τὸν οἶκον· εἰ δὲ καὶ ἡ βαρβαρικὴ παίδευσις, κενὸν ἀποδεικνύειν τὸ θεῖον βάπτισμα δοκεῖ, ἀλλ' οὐ τοῦ βαπτίσματος τὸ ἔγκλημα, τοῦ δὲ τὸ βάπτισμα ἀθετήσαντος ἢ ἀθετῆσαι παρασκευάσαντος· ὥσπερ γὰρ τὸ διδάσκειν τὴν εἰς Χριστὸν πίστιν, κἂν οἱ διδασκόμενοι καταραθυμοῦσιν, ἀνέγκλητον· οὕτω καὶ τὸ βαπτίζειν, κἂν ὁ μετὰ ταῦτα βίος τῶν βαπτισθέντων ἀδόκιμός τε καὶ ἄπιστος· μᾶλλον οὖν ἀγαθὸν βαπτίζεσθαι τὰ βρέφη, καὶ τὸν τῆς πίστεως ἀῤῥαβῶνα τέως ὑποδέχεσθαι· ἴσως ὑπομνησθέντα ποτὲ ὅτι Χριστὸν ἐνεδύσαντο (14), ἑλέσθαι βουληθῶσι τὴν χάριν διὰ τῆς χάριτος· ἐν οἷς γὰρ τὰ τῆς ἐλπίδος ἀμφίβολα, τὸ χρηστὸν μᾶλλον αἱρεῖσθαι χρὴ, κἀκείνῳ συγγίνεσθαι· δεῖ γὰρ, κἂν εἰ μὴ τελειωθῇ τις τῷ καλῷ, C ἀπάρξασθαι τοῦ καλοῦ· αἱ γὰρ τῆς πίστεως τὸν ἀῤῥαβῶνα ποθοῦσαι τὰ ἴδια τέκνα δέξασθαι μητέρες, εἰ μὲν τύχοιεν, προθυμότεραι καὶ πρὸς τὴν διδασκαλικὴν τελείωσιν ἔσονται· εἰ δ' ἀποτύχοιεν, οὐ μόνον τῶν τέκνων, ἀλλὰ καὶ ἑαυτῶν ἴσως καταμελήσουσιν.

CAP. IV. — *Utrum oporteat divina munera mulieribus deferenda concedere ad Christianos Saracenorum vinculis detentos.*

Quod attinet ad mulieres quæ sacram communionem ad Christianos in Barbarorum domibus conclusos deferunt, definitum fuit ut hæ bene moratæ sint, prope ut virgines, vel decora senectute ornatæ, dignæque quæ ad ministerium diaconissarumque gradum assumantur. Quod si feminæ ejus-

ΚΕΦΑΛ. Δ'. — Περὶ τοῦ, εἰ χρὴ γυναιξὶ διδόναι δῶρα (15) πρὸς τὸ ἀποκομίσαι ἐγκεκλεισομένοις Χριστιανοῖς ὑπὸ τῶν Σαρακηνῶν.

Περὶ δὲ γε τῶν τὴν κοινωνίαν διακομιζουσῶν γυναικῶν τοῖς βαρβαρικοῖς οἴκοις ἐγκεκλεισμένοις Χριστιανοῖς, τοῦτο διώρισται, ὡς εὐσχήμονας εἶναι χρὴ ταύτας, καὶ οἵαι δ' ἂν αἱ παρθενίᾳ ἢ σεμνῷ γήρᾳ κοσμούμεναι, καὶ ἄξιαι εἰς διακονίαν καὶ εἰς διακόνων παραδεχθῆναι βαθμόν (16)· εἰ δὲ τοιούτων

VARIÆ LECTIONES.

[b] Addendam sensui particulam μὴ.

NOTÆ.

(13) Cogitare licet Christianas mulieres in captivitatem abductas, de quibus agit Photius in superioribus, necnon sententia synodica infra citanda. Porro et nostri theologi docent, ut puer ex infidelibus parentibus genitus baptizari possit, sufficere alterutrius parentis consensum. Mirum tamen est quod in sententia synodica apud Leunclavium t. I, p. 226 dicitur, itemque apud Blastarem in *Arcud.* cap. 12, nempe alicubi Agarenorum nefariam superstitionem fuisse, ut non prius suos infantes circumciderent, quam qui in eorum ditione essent, Christiani sacerdotes, vel inviti eosdem baptizavissent. Jamvero Saracenorum Photianis temporibus in terras Christianorum crebras excensiones ac rapinas et D infinita damna cognoscere licet ex epistolis etiam papæ synchroni Joannis VIII, qui de Christianorum tutela, et de calamitate Saracenica pro viribus avertenda plurimum laboravit.

(14) Formula hæc cantari solita a Græcis post baptisma. *Phot. Amphiloch.* 43. p. 119, et apud *Arcud.* cap. 17, p. 55.

(15) Δῶρα vel δῶρον significare in ecclesiasticis scriptis sacram Eucharistiam satis compertum est, ex iis certe exemplis quæ Suicerus profert.

(16) Scilicet ætate Photii adhuc vigebant diaconissæ, quas duodecimo certe sæculo jam exolevisse scribebat Balsamon ad 15 can. Chalced. De diaconissis erudite scribit Blastares Græcus in syntagmate

Digitized by Google Распознавание текста ABK/FR

ἀπορία εἶναι δοκει, μηδὲ τὰς πίστεως ἀλλοτρίας βουλομένους εὐποιεῖν Χριστιανοῖς, ἀδελφοῖς καὶ ἐπὶ τοσοῦτον αὐταῖς τεθαρρηκέναι καὶ προσανατεθῆναι, μηδ' αὐτὰς ἐκείνας παρατηρεῖσθαι· ἀλλὰ καὶ δι' αὐτῶν εἰσκομίζειν τὴν τοῦ ἀγαθοῦ κοινωνίαν τοῖς μηδ' ὑπ' αὐτῆς τῆς τυραννίδος τῆς εἰς Χριστὸν κατωλιγωρηχόσι πίστεως· οὐδέποτε γὰρ κοινοῦται τὸ ἅγιον, μᾶλλον δὲ ἁγιάζει καὶ τοὺς κεκοινωμένους· εἰ μὴ ὑποπτά τινα πρόσωπα καταπαίζειν συνήθως ἔχοντα τῶν θείων, ταῦτα ἐγχειρισθῆναι προφασίζοιντο.

A modi desiderentur, tunc enimvero ne illæ quidem vitandæ sunt, quæ etsi fide alienæ, tamen ut Christianis fratribus bene faciant, tantopere audent tantumque oneris non recusant. Harum quoque, inquam, manibus deferendam censemus divini boni communionem ad eos qui ne sub tyrannidis quidem jugo Christianam fidem negligunt. Non enim sanctum polluitur, imo ipsum eos sanctificat qui se contingunt. Nisi forte suspectæ quædam personæ, quæ rebus sacris illudere solent, officium illud sibi commissum simulent.

ΚΕΦΑΛ. Ε'. Περὶ τοῦ, εἰ χρὴ κοινωνεῖν τοὺς ὑπὸ τῶν Σαρακηνῶν εἰς ἀσέλγειαν βιασθέντας παῖδας.

CAP. V.— *Utrum ad sacram communionem admittendi sint pueri quibus Saracenorum incontinentia vim attulit.*

Ἔτι δὲ καὶ περὶ τῶν παρὰ τῆς βαρβαρικῆς ἀσελγείας βιασθέντων παιδίων διὰ τὸ τῆς βίας ἐπάγαγόν τε καὶ ἀπαραίτητον, συγγνώμην τούτοις δοθῆναι, καὶ τῆς ζωοποιοῦ κοινωνίας μὴ ἀποκωλυθῆναι διώρισται· εἰ μήπω ἑκούσιον τὸ ἁμάρτημα κατειργάσαντο· τότε γὰρ καὶ αὐτοῖς τὰ ἐπὶ τοῖς ἑκουσίως τοιαῦτα πλημμελοῦσι προσφόρως ἐπιτίμια προσαρμόσει.

B Insuper decretum fuit, ne pueris quibus Barbarorum impudicitia vi stuprum obtulisset, habita ratione violentiæ et necessitatis, venia denegetur, neve ii divina ac vivifica communione prohibeantur. Nisi forte voluntarium peccatum perpetraverunt: tunc enim, non secus ac illos qui sponte culpis ejusmodi semet irretiunt, pœna merita pueros quoque decet.

Τοσαῦτα μὲν παρὰ τῆς σῆς θεοφιλείας προβληθέντα ζητήματα, ἄξια προφανῶς ἐρεύνης τυγχάνοντα, καὶ τῆς σῆς συνέσεως τὸ σπουδαῖον χαρακτηρίσαι δυνάμενα· καὶ τοιαύτη παρὰ τῶν θεοφιλεστάτων μητροπολιτῶν συμφώνως περὶ αὐτῶν ἐξανεστηκυῖα ψῆφος, ἥτις παρὰ τῆς ἡμῶν μετριότητος (17) ἐπισφραγισθεῖσα καὶ ἀποδεδεγμένη πρὸς τὴν σὴν θεοφιλῆ παραπέμπεται ὁσιότητα· δέχου τοίνυν τῶν σῶν προβλημάτων τὰς ἐπιλύσεις σαφεῖς ὡς ἐξήτησας, ἐν καιρῷ καὶ προσώπῳ τῷ ἐπιτηδείῳ ταύτας συντηρῶν καὶ παραφυλάττων· καὶ μή τι περὶ τὴν τούτων ἀποτυχίαν, ἀλλ' ὅτι ἀκηδία c κ... ἄλλῳ... τὰ δ' ἄλλῳ· ἐρρῶσθαι δὲ διὰ παντὸς κυ... λιπαροῦ μὴν ἐν ὁσιότητι καὶ δικαιοσύνῃ τὸ ἱερὸν ὑμῶν ποιμένοντα ποίμνιον ἴσον, καὶ τῶν ψυχολετήρων παθῶν διατηρ[ῆσαι πορρώ] τερον. — Τέλος τῶν κεφαλαίων.

C Atque hæ fuerunt a tua pietate quæstiones propositæ, consultatione prorsus dignissimæ, tuæque sapientiæ zelum satis demonstrantes. Hæc item a religiosissimis metropolitis concordi suffragio lata sententia est, quam nostra mediocritas ratam habens atque confirmans ad religiosam tuam sanctitatem mittit. Excipe igitur dubitationum tuarum, quas postulasti perspicuas solutiones, easque commodo in tempore personisque idoneis utens serva. Et necubi in his labaris, vel quia incuria... Valere te cupio, jugique sanctitate ac justitia sacrum vestrum regere gregem, atque a noxiis animæ vitiis procul avertere. *Finis capitulorum.*

EPISTOLÆ CANONICÆ AD EPISCOPOS.

ΕΠΙΣΤ. ΙΘ'.

EPIST. XIX.

Edita a Montacutio (p. 385).

D Πάντα τῆς ὑμῶν ἀρχιερατικῆς τελειότητος καὶ πνευματικῆς σοφίας γέμει, καὶ τῆς πολιτικῆς εὐνομίας τῇ ἀκριβείᾳ συγκέκραται. Τό τε γὰρ εἰς συνοδικὴν κρίσιν ἀγαγεῖν ἃ προὐβάλλετο τὴν ἀμφισβήτησιν· καὶ τὸ μὴ οἰκείᾳ ῥώμῃ τῆς συνέσεως, καίπερ ἱκανῶς ἐχούσῃ καὶ πολυπλάσιον βάρος ἀνέχειν ὀχλήσεων· καὶ τό, πρότερον τὰς ἐγκολπίους φιλονεικίας διαλυσάμενον, οὕτω χωρεῖν ἐπὶ τὴν κρίσιν τῶν ἐξω-

Omnia vestræ sacerdotis summi perfectionis et spiritualis sapientiæ plena sunt, cum exacta civilium rerum rite administrandarum peritia conjunctæ. Nam et ea quæ proponebantur ad disceptationem, ad synodicum judicium referre, nec solertiæ suæ robori fidere, quamvis sufficienti multiplex negotiorum pondus sustinere, et sopitis primum intestinis dissensionibus, ita demum ad

VARIÆ LECTIONES.

c In sequentibus lacunis vix tria vocabula amisimus, quæ legi nequeunt in oblitterato codice.

NOTÆ.

apud Beverigium tom. II, p. 70 sqq. Et quidem eas, excepto fortasse necessario casu, sanctiora mysteria attigisse, negat cum Blastare Arcudius de ord. cap. 10. Legendus quoque Goarius ad euchol. p. 219 sq. necnon Io. Pinius in peculiari tractatu. De diaconissis denique brevia quædam collectanea reliquit mss. Josephus Regius Vaticanæ bibliothecæ ante hos annos præfectus, quæ non sine aliquo fructu leguntur. De diaconis qui in carceres ad martyres submittebantur exstat Natalis Alexandri dissertatio in *Thesauro theol.* tom. XI, p. 584.

(17) Ita modeste semet appellare solent Græci patriarchæ in synodorum actis apud Leunclavium. Latini autem sæpe utuntur dictione *nostra mansuetudo*, cum Græca phrasi ferme conspirantes.

Digitized by Google Распознавание текста ABK/FR

ea quæ extra sunt dijudicanda procedere, quomodo non ejus sit qui ad divinæ sapientiæ regulam se comparet? Quatuor igitur initio statim ad examen propositi presbyteri, recte statim ex justo calculo, ab iniqua et præter rationem irrogata censura absoluti sunt; et vecordia irrationabilis in justam sententiam impegit. Non enim fas est, non est, inquam, fas, ex accusatione sola, sive exiguum, sive magnum, sive etiam maximum crimen sit, cujus intentio demonstrationem non habeat, ob illud vel sacerdotem gradu moveri, vel irrogari censuram. Multum sane lucrati essent sycophantæ, si quos intentorum criminum reos peragere non potuerunt, eorum pœnas pendere quasi convictos viderent. Quis enim exitus sit, si hæc ratio obtineat, quo immerito accusati manus sycophantarum evadant? Non convictos igitur de eis quorum accusabantur, mediocritas nostra, secundum vestram quæ ab initio processit sententiam, omnis condemnationis immunes dimittit. Qui autem intentis criminibus teneri deprehensi sunt, sive sæculares, sive in eadem causa versantes presbyteri, hos censuræ ad tempus inflictæ subjici, siquidem, ut diximus, crimen notum factum sit, etiam nos pronuntiamus. Quibus autem nulla indulta est venia, de eis non habemus quod judicemus, quibus de crimine non constat. De episcopo autem hoc, secundum rationem, et canones, et examen, et terminis processit examinis. Nos autem ad consternationem non mirari non possumus, quam prorsus alieno a præsenti sermone Amasiæ antistitis litteræ et narrent et subjiciant. Nam aliquem ex testimonio ordinare, etiamsi indignus postea deprehendatur, ordinantem culpæ obnoxium non reddit. Atqui nihil tale istæ litteræ demonstrabant, quin ejus contrarium narrabant. Rectum autem erit, adesse et eos qui testati sunt, cum ordinationem qui incusatur suscepit, ut innocente. et inculpati, etiam iniquius erga absolutionem fratrum affectis et omnino odio habentibus, demonstrentur: et Dei sacerdos, in nihilo eorum quæ antistiti conveniunt, innovationem sustineat Synodicum autem de dispensatione scriptum, quod archiepiscopum Cæsareæ inscriptum habet, et ex mente nostra scriptum, et ex nutu nostro missum est: nec quidquam, ut opinor, vel præter conscientiam, vel sacris Spiritus legibus adversum continet. Magna enim est differentia peccatorum ignorantiæ, ab eis quæ a scientibus contra jus fasque proficiscuntur. Sane, sacerdotum et Christianorum defunctorum neglecta cura, et Psalmodiæ sacræ omissum debitum officium, necessario nos, de exacto sacrorum canone ad id quod est benignius, remittere cogit. Sed hæc forte superfluum est scienti dicere. Capitula autem definitionis ut instanti tempore fieri potuit, formari decrevimus. Qui quidem ante rem contestatam digamis benedixerunt, tum propter ignorantiam, tum quod nihil ab episcopis de hac re constitutum fuerit, neque aliunde exactam

A θεν, πῶς οὐκ ἔστι μὲν θείας σοφίας ἀπευθυνομένου γνώμονι; Οἱ μὲν οὖν εἰς ἐξέτασιν κατ' ἀρχὰς προτεθέντες τέσσαρες πρεσβύτεροι, καλῶς εὐθὺς, τῆς ἀλόγου, καὶ πολὺ τὸ ἄδικον ἐχούσης ἐπιτιμίας ἀθωωθῆναι, δικαίαν ψῆφον ἀπέλαβον. Καὶ ἄνοιά τις ἀλόγιστος τῇ δικαίᾳ ψήφῳ ἀντέκρουσεν. Οὐ γάρ ἔστιν, οὐκ ἔστιν ἐκ κατηγορίας μόνης, κἂν μικρὸν, κἂν μέγα, κἂν τῶν μεγίστων εἴη τὸ αἰτίαμα, μηδὲ μιᾶς ἀποδείξεως τῇ αἰτίᾳ περιτεθείσης, οὐμενοῦν οὔτε ἱερέα τοῦ οἰκείου βαθμοῦ παρενεχθῆναι, οὔτε τινὰ ἐπιτιμίαν ἄλλην εἰσπραχθῆναι. Οὕτω γὰρ εἴη ἂν μέγα κέρδος τοῖς συκοφάνταις, ὅτι καὶ μὴ λαβόντες οἷς ἠτιῶντο τοὺς ἀναιτίους, ὡς ἁλωκότας εἶδον τὴν δίκην ἀπαιτηθέντας. Καὶ τίς ἂν εὑρεθείη πόρος, τῆς παραλόγου ταύτης φορᾶς κυρωθείσης, δι' οὗ τὸ μά-

B την κατηγορούμενον τὰς λαβὰς τῶν συκοφαντησάντων διαφεύξεται; Τοὺς οὖν ἐφ' οἷς κατηγορήθησαν μὴ ἐλεγχθέντας, ἀθώους τέως ἡ ἡμῶν μετριότης, ὡς καὶ ἡ κατ' ἀρχὰς ὑμῶν προελθοῦσα ψῆφος, πάσης καταδίκης ἀφίησιν· Ὅσοι δὲ τοῖς ἐγκλήμασιν ἁλωκότες κατάδηλοι καθεστήκασι, τούς τε κοσμικούς φημι, καὶ τοὺς σὺν αὐτοῖς ἐταζομένους πρεσβυτέρους, τούτους φυλάττειν τὸ πρόσκαιρον ἐπιτίμιον, ἂν ὡς ἔφημεν, γνωστὸν κατίστῃ τὸ αἰτίαμα, καὶ ἡμεῖς ἀποφαινόμεθα. Περὶ δὲ ὧν οὐδεμία συγγνώμη προέβη, οὐδὲν ἡμῖν παρίσταται φάναι, ἀδήλου ἡμῖν καθεστηκότος τοῦ ἀδικήματος. Καὶ περὶ ἐπισκόπου δὲ τοῦδε, ἀξιολόγως μὲν, καὶ κανονικῶς, καὶ ἡ ζήτησις, καὶ τὸ πέρας προῆλθε τῆς ἐξετάσεως. Ἡμᾶς δὲ ἐκπλήξεως παρέπεμψε θαύματι, ὅπως παντελῶς

C ἀλλότρια τῆς παρούσης διηγήσεως τὸ τοῦ Ἀμασείας γράμμα καὶ ἀπήγγειλε καὶ ὑπετίθετο. Τὸ γὰρ μετὰ μαρτύρων χειροτονῆσαί τινα, κἂν ὕστερον ὁ χειροτονηθεὶς ἀνάξιος ἀπελεγχθῇ, οὐδὲν πρόκριμα τῷ χειροτονήσαντι γίνεται. Ὧν οὐδὲν τὸ γράμμα ὑπεδήλου, ἀλλὰ καὶ τἀναντία διήγγειλε. Καλὸν δὲ παρουσιάσαι καὶ αὐτοὺς τοὺς τὴν μαρτυρίαν ὑποσχόντας, ὅτε τὴν χειροτονίαν ὁ ὑπαίτιος ἀνεδέχετο· ὡς ἂν πανταχόθεν τὸ καθαρὸν καὶ ἀνεπίληπτον, καὶ τοῖς ἀγνωμονέστερον περὶ τὴν ἀθώωσιν τῶν ἀδελφῶν διακειμένοις παντελῶς, καὶ μισοῦσιν, ἀποκαλυφθῇ, καὶ ὁ τοῦ Θεοῦ ἀρχιερεὺς, εἰ μηδὲν τῶν ἀνηκόντων ἀρχιερεῦσι τὴν καινοτιμίαν εἴη ὑποστάς. Τὸ δὲ συνοδικὸν τῆς οἰκονομίας γράμμα, ὃ τὸν ἀρχιεπίσκοπον ἔχει τῆς Καισαρείας προταττόμενον, γνώμῃ τε ἡμετέρᾳ ἐγρά-

D φη, καὶ δι' ἐπιτροπῆς ἀπεστάλη· καὶ οὐδὲν, οἶμαι, οὔτε παρὰ συνείδησιν ἔχει, οὔτε τοῖς ἱεροῖς μαχόμενον τοῦ Πνεύματος [νόμοις]. Πολλὴ γὰρ ἡ διαφορὰ τῶν ἐξ ἀγνοίας ἁμαρτημάτων, πρὸς τὰς ἐν γνώσει καὶ μετὰ καταφρονήσεως προϊούσας ἀθεμίτους πράξεις. Καὶ ἱερέων δὲ καὶ Χριστιανῶν ἀποιχομένων οὐδεμία φροντὶς, οὐδ' ὑμνολογίας ὀφειλομένης ἱερὰ τελετὴ, πῶς οὐκ ἂν ἐκδιάσαιτο, ἐπ' οἰκονομίαν, ἀπὸ τῆς ἀκριβείας τῶν θείων μυστηρίων ἀποκλίναι; Ἀλλ' ἴσως ταῦτα περιττὸν πρὸς εἰδότα λέγειν. Περὶ δὲ τῶν κεφαλαίων, ἐκεῖνα τέως ὡς ἐν καιρῷ κατεπιγοντι τυπωθῆναι διέγνωμεν. Ὅσοι μὲν πρὸ τῆς διαμαρτυρίας τοὺς δεύτερα γάμους ηὐλόγησαν, διά τε τὴν ἄγνοιαν, καὶ διὰ τὸ μηδὲν παρὰ τῶν ἐπισκόπων περ-

Digitized by Google Распознавание текста ABK/FR

τῆς τοιαυτης ἐξασφαλισθῆναι πράξεως, μὴτε μὴν τῶν κανόνων ἀλλαχόθεν ἀκρίβειαν μαθεῖν, καὶ διὰ ταῦτα τῷ τοιούτῳ ὠλίσθησαν πτώματι, οἱ τοιοῦτοι πάντως, εἰ μήτε ἄλλο, ἀλλ' ἐν ὅσῳ γε χρόνῳ τὸν δίγαμον τῆς κοινωνίας τῶν φρικτῶν μυστηρίων οἱ νόμοι τοῦ Πνεύματος ἀποκωλύουσιν, ἐν τοσούτῳ, καὶ ὁ παραλόγως τὴν εὐλογίαν τοῖς συναπτομένοις ἐπιτεθεὶς, τῆς ἱερουργίας ἐπισχεθήσεται. Εἰ μή τις ἄρα κατεπείγει χρεία ἀπαιραίτητος ἄλλη, καὶ παντελῶς ἀπραγμοσύνη, καὶ βίος ἄλλος ἐπίσημος τοῦ ἀνδρός. Ἃ πολλάκις παρὰ τοῖς Πατράσιν ἡμῶν, δι' οἰκονομίαν, τῆς ἀκριβείας ὤφθη περιγεγονότα, καὶ τὸν χρόνον τῆς ἐπιτιμίας συνάγοντα πρὸς τὸ ἔλαττον. Γυναῖκα δὲ παρὰ μὲν τοῦ θεσπεσίου Παύλου μεμα· θήκαμεν ἀποβαλοῦσαν τὸν ἄνδρα, δευτέροις γάμοις ὁμιλῆσαι συγγνώμην λαβοῦσαν. Πολλὰ γὰρ τὰ γυναικεῖα ἀῤῥωστήματα, καὶ δυσωπεῖν ἱκανὰ, μὴ πρὸς τὴν φύσιν τῶν ἀνδρῶν τὴν ἐκείνων ἀσθένειαν ἐκδιάζεσθαι. Ἄνδρα δὲ οὐκ ἴσμεν τῆς αὐτῆς συγγνώμης παρὰ τῶν ἀποστολικῶν ἀξιωθέντα σπλάγχνων, διὸ καὶ τὸ ἐπιτίμιον τοῦ μὲν γυναῖκα δίγαμον εὐλογήσαντος, ἢ οὐδ' ὅλως ἢ πολὺ κουφότερον ἔσται τοῦ δίγαμον ἄνδρα εὐλογήσαντος. Οἱ δὲ ἀπολελυμένως ἁρμοζόμενοι γυναιξὶν, ἐπείπερ ἡ πρᾶξις οὐχ ἁπλῆ, οὔτε τὸ ἐν αὐτοῖς ἐπιτίμιον πρόεισι μονοειδές· οὐ μὴν οὐδ' οἱ τούτους εὐλογοῦντες ὑπὸ μίαν τελοῦσι δίκην. Ὅσαι μὲν γυναῖκες ἀπελύθησαν τοῦ ἀνδρὸς, ἐκείνου τὴν αἰτίαν παρασχομένου, ἐφ' ᾧ τῆς φυσικῆς ὁμιλίας ἡ ἀσθένεια κατεκράτησεν, αὗται δὴ, αὗται, εἰ μὲν σωφρονεῖν ἕλοιντο, τοῦτο ἄμεινον· εἰ δὲ καὶ ἀνδρὶ συνάπτεσθαι βούλοιντο, καὶ τοῦτο ἀκατάγνωστον αὐταῖς τε, καὶ εἴ τινες εὑρεθεῖεν τῶν ἱερέων, διὰ τῆς εὐλογίας τὸν γάμον σεμνύνοντες. Καὶ τῆς γυναικὸς τὴν αὐτὴν παρεχομένης αἰτίαν, ἧς καὶ ὁ διαλυθεὶς ἀνὴρ τῆς αὐτῆς ἐλευθερίας ἠξίωτο, καὶ ἡ μικρῷ πρόσθεν εἰρημένη γυνὴ ἀπολαύσει. Κἂν παρὰ τὴν ἡλικίαν δέ τινες εἰς μνηστείαν ἔλθωσιν, εἶτα τούτους ὁ νόμος διὰ τὸ παράνομον ἀπ' ἀλλήλων διαστήσῃ, οὐδὲ τότε οὐδ' ἕτερον τῶν διισταμένων προσώπων, ἐν λαϊκῷ δηλονότι ἐξεταζόμενον τάγματι, πρὸς ἕτερον νόμιμον ἐρχόμενον γάμον εὐθύνας ὑφέξει. Ὁ δὲ τὴν ἐκβεβλημένην ἐπὶ μοιχείᾳ γυναῖκα θέμενος, εἴτε γεγαμηκὼς εἴη, εἴτε καὶ γάμων ἄγευστος, μοιχός τέ ἐστι, καὶ τῷ τῶν μοιχῶν ἐπιτιμίῳ ὑπόκειται, Εἰ δὲ διὰ μόνον ἄλογον μῖσος ὑπὸ τοῦ ἀνδρὸς καὶ ἄκουσα ἐξωσθεῖσα, ἄμεινον μὲν εἰ πάλιν πρὸς τὸν ἴδιον ἐπαναστρέψῃ ἄνδρα· εἰ δὲ μὴ, ἐκείνου πρὸς ἑτέραν γυναῖκα χωρήσαντος ἤδη, μοιχείας μὲν αὕτη, συνερχομένη ἀνδρὶ ἑτέρῳ, οὐκ ἂν ἐγκλήματι περιενεχθείη· οὐ μέντοι γε ὁ ἱερεὺς, τὰ νενομισμένα ἐπιτελῶν ἐν αὐτῇ, τὸ ἀκατάγνωστον ἕξει, ἀλλὰ τὴν τοῦ διγάμους εὐλογήσαντος ἀπαιτηθήσεται δίκην. Τὸ δὲ ἐξ ἀλόγου συμφωνίας διαλύεσθαι, ἐπεὶ νόμῳ κεκωλυμένη ἡ τοιαύτη τόλμα καθέστηκεν, οὔτε τὸν ἄνδρα, πρὸς ἕτερον συνερχόμενον συνοικέσιον, ἐᾷ ἀνεύθυνον, οὔτε τὴν γυναῖκα διαπραττομένην τὸ ἴσον. Μᾶλλον μὲν οὖν καὶ ποιναὶ βαρεῖαι κεῖνται τοῖς νόμοις, εἰ τοιαύτη πρᾶξις εἰς τόλμαν ἀχθήσεται· καὶ δῆλον ὡς ἐπὶ τοῖς τοιούτοις συνοικε-

A canonum disciplinam noverint, et propterea lapsi sint, hi omnino, si nihil aliud, saltem, quandiu digamum leges spirituales tremendorum mysteriorum communione prohibent, tandiu et ipsi, qui conjugibus præter rationem benedictionem imposuerunt, sacris faciendis abstinebunt. Nisi quæ alia implacabilis urgeat necessitas, et omnino vita hominis, tum tranquilla, tum notabilis : quæ sæpenumero apud Patres nostros æquitatis intuitu, præ exacto canone obtinuisse constat, et censuræ tempus abbreviasse. Mulierem autem, viro defuncto, novimus quidem a divinitus inspirato Paulo veniam adeptam secundas nuptias adeundi. Multæ enim sunt mulierum infirmitates, quæ pudorem incutiant, ad naturam virilem eorum imbecillitatem exigendi. B Virum autem a visceribus apostolicis eadem indulgentia dignari non novimus. Censura igitur ejus qui mulieri digamæ benedixerit, vel nulla omnino, vel mitior, quam ejus qui viro. Qui autem absolute conjunguntur mulieribus, quoniam non simplex actio est, proinde nec uniformis est censura, nec qui ipsis benedicunt sub unam pœnam cadunt. Quæ quidem mulier a viro dimissa est, ipso causam præstante, quod naturalis congressus impotentia teneretur, hæ si continere elegerint, melius fuerit; duod si vero jungi voluerint, nec illud condemnationem in ipsis habet, nec si quis sacerdos nuptias earum benedictione honoret. Quod si femina eamdem causam præstat, eadem libertate prædicta fruatur, qua prius solutum virum dignati sumus. C Quod si qui præter ætatem desponsati sint, deinde lex ipsos tanquam præter legem conjunctos separaverit, tunc neutra personarum discedentium, quæ quidem in ordine laico consentur, si ad alias legitimas nuptias accedat, censuram subibit. Qui autem ob adulterium ejectam uxorem fecerit, sive conjugatus sive cælebs, adulter est, et adulterii censuræ subjacet. Quod si solum propter odium citra rationem a viro invita expulsa sit, melius erit si ad suum virum revertatur : sin hoc, quod ipse ad alias se nuptias jam applicuerit, fieri non possit, adulterii ipsa crimini, cum alio viro juncta, obnoxia non erit : at vero sarcerdos, ipsi rite benedicens, super ipsa insons non erit, sed pœnam ejus præstabit qui digamis benedixerit. Citra rationem D autem a conjugio discedere, quod ausum lege prohibitum est, neque virum, ad alias nuptias accedentem, insontem dimittit, neque feminam quæ idem faciat. Quin potius graves pœnæ legibus constitutæ sunt, si quis hoc facere ausus fuerit. Et manifestum est sarcerdotem, qui adfuerit, et sacra rite celebraverit in hujusmodi nuptiis omnino honore suo juxta exactam canonum disciplinam excidere. Sed hæc festinate pronuntiata sint; quod quæ inopinatæ disceptationi proposita erant considerationis moram non ferrent : quod si quid aliud vestra solertia diligenti disquisitione perspexerit, obtineat quod melius est. Et

Digitized by Google Распознавание текста ABK/FR

nos etiam fortassis, laxiori tempore concesso, exactius aliquid dispiciemus.

σίοις εὑρισκόμενος ὁ ἱερεὺς, καὶ τὰ νενομισμένα τοῖς γάμοις τελῶν, παντελῶς τῆς ἰδίας τιμῆς κατὰ τὴν τῶν κανόνων ἐκπεσεῖται ἀκρίβειαν. Ἀλλὰ ταῦτα μὲν τὸ τάχος εἶπε· καὶ τὸ ἀμελέτητόν τε καὶ ἀπροσδόκητον τῶν προτεθέντων εἰς ζήτησιν· εἰ δέ τι ἄλλο ἐπιμελέστερον ἡ ὑμετέρα σύνεσις ἐπισκοποῦσα κατίδοι, νικάτω τὸ ἄμεινον. Καὶ ἡμεῖς δὲ ἴσως ἐν πλατυτέρῳ καιρῷ ἀκριβέστερόν τι ἄλλο ἐπιθεωρήσομεν.

EPIST. XX.

ΕΠΙΣΤ. Κ'.

Edita a Montacutio (p. 388).

Scripsit sanctitas tua de quibusdam, polluti cibi esu contaminatis: causa autem contaminationis erat ejusmodi. Iverant gentilis cujusdam monumentum refossuri ad inveniendas pecunias: cum autem incassum laborarent, nec quidquam invenirent, dixerunt inter sese, nisi canem mactemus, et de carnibus ejus gustemus, non reddet nobis terra quod quærimus. Statim factum est quod dictum erat. Cum itaque ad interdicti cibi conscientiam venissent, genibus episcopi accidentes medicinam petierunt, et commissi peccati indulgentiam. Hæc sunt quæ pietatis tuæ litteræ narrant. Et de hac re formula ab Ecclesia constituta est, quadraginta dierum pœnitentia, et precibus quibusdam absolvi, qui huic crimini innexi sunt. Præsens autem polluti cibi participatio alterius cujusdam impietatis misturam habet. Propterea enim contaminatum cibum attingere, ut terra placaretur, secundum insanam ipsorum opinionem, crimen in majus attollit: etiamsi sine gravioris impietatis cogitatione, ad hanc opinionem accesserunt. Verumtamen et hominum mores, et reliquus vitæ actæ tenor, et animi constitutio, tum mentis, sive simplicitas sive solertia, vel producere potest tempus vel curtare: cum fortasse post quadraginta dies imposita censura sit. Quod si secunda aliqua definitio producenda est, sepositis circumstantiis, quæ producendo vel curtando tempori causam præbent, ad tres dierum quadragenas multa eorum qui in hoc crimine deprehensi sunt, redigenda erit: præter reliquam victus austeritatem, et tremendorum mysteriorum abstinentiam.

Ἔγραψέ σου ἡ ὁσιότης περί τινων μιαροφαγησάντων. Ἡ δὲ αἰτία τῆς μιαροφαλίας ἔστι τοιαύτη· Τύμβον Ἑλληνικὸν ἀπῆλθον διορύξαι πρὸς ἀνεύρεσιν χρημάτων· ματαιοπονοῦντες δὲ καὶ μηδὲν εὑρίσκοντες, εἶπεν ἕκαστος πρὸς τὸν πλησίον αὐτοῦ, ὅτι Ἐὰν μὴ σφάξωμεν κύνα, καὶ ἐκ τῶν κρεῶν αὐτοῦ ἅψώμεθα, οὐ μὴ ἐπιδώσει ἡμῖν ἡ γῆ τὸ ζητούμενον. Αὐτίκα γοῦν ὁ λόγος εἰς ἔργον προέβη. Ἐλθόντων. οὖν εἰς αἴσθησιν τῆς ἀπηγορευμένης βρώσεως, τοῖς ποσὶ προσέπεσον τοῦ ἐπισκόπου, αἰτούμενοι ἰατρείαν, καὶ λύσιν τοῦ παραπτώματος. Ταῦτα διήγγειλε τὸ γράμμα τῆς σῆς εὐλαβείας· καὶ περὶ τούτου τύπος μὲν ἐστιν ἐκκλησιαστικὸς, διὰ τεσσαρακονθημέρου ἐπιτιμίου, καὶ τινων εὐχῶν, διαλύεσθαι τοὺς ἐαλωκότας τῷ ἐγκλήματι. Ἡ δὲ παροῦσα μιαροφαγία ἔχει καὶ ἑτέρας τινὸς ἀσεβείας ἐπιμιξίαν. Τὸ γὰρ ἕνεκα τούτου μιαροφαγῆσαι, ὥστε τὴν γῆν ἐκπαλίξασθαι, κατὰ τὴν ἐκείνων τῆς ἀπονοίας ὑπόνοιαν, αὔξει πλέον τὸ ἔγκλημα· κἂν ἄνευ λογισμῶν τινων δυσσεβεστέρων πρὸς τὴν τοιαύτην ὑπόληψιν κατηνέχθησαν. Πλήν γε καὶ τῶν ἀνδρῶν τὸ ἦθος, καὶ ἡ ἄλλη τοῦ βίου διαλωγὴ, καὶ κατάστασις, καὶ ἡ τῆς διανοίας ἁπλότης ἢ δεινότης, δύναται πολυπλασιάζειν καὶ συντέμνειν· εἴτε καὶ μετὰ τεσσαράκοντα ἡμέρας ἐπιτεθῇ αὐτοῖς ἐπιτίμιον. Εἰ δὲ δεῖ τε καὶ κεφάλαιον δεύτερον εἰπεῖν, ἄνευ τῶν ἐπιτεμνόντων ἢ μηκυνόντων τὸ πρᾶγμα περιστατικῶν αἰτιῶν, εἰς τρεῖς τεσσαρακοστὰς, ἡ ἐπιτιμία, τοὺς ἐπὶ τῇ εἰρημένῃ μιαροφαγίᾳ ἐαλωκότας, περιστήσει· ἅμα τῇ ἄλλῃ κατὰ τὴν δίαιταν σκληραγωγίᾳ, καὶ τῇ τῶν φρικτῶν μυστηρίων ἀποκωλύσει.

EPIST. XXI.

ΕΠΙΣΤ. ΚΑ'.

Edita a Montacutio (p. 389).

Non idcirco antistiti significavimus, ut certiores fieremus, num sciens episcopus adulterum, sacra facere permisisset, quod et grave esset; sed num ipsum, adulterum esse sciens ordinasset: quod gravius est. Ille autem, cujus nos certiores fieri velle significavimus, de eo nihil nos docuit, quod autem nemo quærebat, hoc renuntiavit. Verumtamen, siquidem ipsum adulterum esse sciens ordinavit, omnino et episcopatu et sacerdotio excidit: quod si ignorans adulterum esse eum ordinavit, tum certior factus, ad tempus quidem abstinuit, deinde sacra facere permisit, etiam ipsum quidem ad tempus sacris faciendis abstinere oportet. Aliud enim est Deum contemnere, aliud errore deceptum videri legem observasse etiamsi non observes. Cæterum, ad tempus abstinere ipsum decrevimus, si re-

Οὐχ οὕτως ἐμηνύσαμεν τῷ προέδρῳ, ἵνα μάθωμεν εἰ μετὰ γνώσεως παρεχώρησε τὸν μοιχὸν ἱερατεύειν ὁ ἐπίσκοπος· ἄτοπον γὰρ καὶ τοῦτο· ἀλλ' εἰ ἐγίνωσκε μοιχὸν αὐτὸν εἶναι, καὶ οὕτω αὐτὸν ἐχειροτόνησε· χαλεπώτερον γὰρ τοῦτο. Ὃ δὲ, ὃ μὲν ἐμηνύθη διδάξαι, οὐκ ἐδίδαξεν, ὃ δὲ οὐδεὶς ἐζήτησε τοῦτο ἀνήγγειλε. Πλὴν εἰ μὲν εἰδὼς αὐτὸν μοιχὸν ὄντα ἐχειροτόνησε, παντελῶς ἐστι καθῃρημένος τῆς ἀρχιερωσύνης τε καὶ ἱερωσύνης· εἰ δὲ ἀγνοῶν αὐτὸν μοιχὸν ὄντα ἐχειροτόνησεν, εἶτα μαθὼν, ἐπέσχε μὲν ἐπὶ χρόνον, ἀπέλυσε δὲ ἱερατεύειν, παυθήσεται μὲν καὶ αὐτὸς τοῦ ἱερουργεῖν ἐπὶ χρόνους τινάς. Ἄλλο γὰρ τὸ [κατα] φρονῆσαι Θεοῦ, καὶ ἄλλο τὸ ἀπαιτηθῆναι καὶ δόξαι φυλάξαι, κἂν οὐκ ἐφύλαξεν· ἐπὶ χρόνους δὲ τινας ἔφημεν ἐπισχεθῆναι αὐτὸν, ἐάνπερ τὰ ἄλλα αὐτοῦ προτερήματα καὶ ἡ τῆς ἄλλης περιουσία δύναται

Digitized by Google Распознавание текста ABK/FR

ἀντισταλαντεύθῆναι τῷ τοιούτῳ αὐτοῦ παραπτώματι, εἰ δὲ μή, διηνεκὴς τὸ ἐπιτίμιον ἕξει. Ταῦτα δὲ λέγομεν, οὐκ ἐὰν ὁ πρόεδρος αὐτοῦ λέγει ὅτι γινώσκων αὐτὸν μοιχὸν ἐχειροτόνησεν, ἢ ὅτι μετὰ τὸ χειροτονηθῆναι αὐτὸν μαθὼν μοιχὸν εἶναι, καὶ ἐπί τινα χρόνον ἐπισχὼν, εἶτα ἱερουργεῖν αὐτὸν ἀφῆκεν · ἀλλ' ἐὰν αὐτὸς διὰ μαρτύρων πιστῶν καὶ ἀδιαβλήτων ἠλέγχθη · ἢ καὶ μὴ ἐλεγχθεὶς, οἰκείῳ κατετέθετο καὶ ὡμολόγησε στόματι. Ταῦτα μὲν οὖν ἡ ἡμετέρα ἁρμόζειν ἔκρινε μετριότης · καὶ περὶ αὐτοῦ ὡς κελεύει διοικήσει ἡ ὑμῶν ἁγιότης. Σὺ δέ μοι ἐν Κυρίῳ ἔρρωσο.

liqua ejus merita, et virtutis copia, hujusmodi lapsum compensare videantur : sin, in perpetuum censuræ subjacebit. Hæc autem dicimus, non si antistes ipsius dicat quod ipsum adulterum esse sciens ordinavit, vel quod postquam ordinasset, certior factus adulterum esse, cum ipsum ad tempus abstinuisset, deinde sacris fungi permisit ; sed si ipse testibus fide dignis et inculpatis convictus, vel non convictus, sed ore suo assensus sit et confessus. Hæc igitur mediocritas nostra convenires censuit : de ipso autem sanctitas vestra quod hortatur, constituet. Tu vero mihi in Domino vale.

ΕΠΙΣΤ. ΚΒ'.

EPIST. XXII.

Edita a Montacutio (p. 390).

Θαῦμα μὲν ἡμᾶς κατέσχε καὶ ἔκπληξις, ἐπὶ τῇ τοσαύτῃ παροινίᾳ, καὶ ἀπονοίᾳ, καὶ ἀναισθησίᾳ, καὶ παρανομίᾳ τοῦ προέδρου, καίτοιγε τῶν τοιούτων παθῶν παλαιά τινα ἴχνη ἐν τῇ μνήμῃ φέροντας · ἀλλ' ἡ ἐπιμονὴ καὶ αὔξησις τῶν προλαβόντων, ὡς ἐπὶ παραδόξοις, τοῖς νῦν πεπραγμένοις, παρέσχε ταράττεσθαι. Πλὴν οὐκ ἔστιν ἀνενόχλητον τοῖς καθ' ἕκαστον τῶν κατὰ μέρος λόγων ἐπιστῆναι, ὃ πολλάκις ἔφαμεν καὶ νῦν φαμεν. Ὡς ἐπείπερ καὶ ἡμεῖς ἁμαρτωλοὶ τὰς ἁμαρτωλὰς ἡμῶν χεῖρας ἐπὶ τὴν σὴν ἐθέμεθα κεφαλὴν, τὴν τελεταρχικὴν τοῦ παναγίου Πνεύματος ἐπικαλούμενοι χάριν (καὶ πεπιστεύκαμεν οὐ ταῖς ἡμῶν χειροθεσίαις, ἀλλὰ τῇ τε ἄνωθεν εὐμενείᾳ, καὶ τῇ σῇ ἀρετῇ, τὴν ἐπιφοίτησιν αὐτοῦ πλουτίσαι ἡμᾶς), οὐ μόνον ὅσα ἐν τῇ Ἐκκλησίᾳ παρανόμως τε καὶ ἀκανονίστως παρὰ τοῦ ταύτης προέδρου πρόεισι, ἀλλὰ καὶ ὅσα παρ' ἑτέρου τὴν ὁμοίαν ἐπιδεικνυμένου γνώμην, ταῦτα πάντα τὴν σὴν ἀρχιερατικὴν παρεγγυώμεθα τελειότητα (ὡς ἡμῶν τῶν ταπεινῶν συμπαρόντων καὶ συνεφαπτομένων τοῖς νόμοις τοῦ Πνεύματος) ἀνακόπτειν τε καὶ ἀναχαιτίζειν, καὶ ἐπὶ τὸ βέλτιον καὶ ἄριστον μεταρυθμίζειν · οὐχ ἡμῶν νυνὶ τὴν τοιαύτην πνευματικὴν ἐξουσίαν χαριζομένων, ἀλλὰ τοῦ Πνεύματος τοῦ παναγίου, ἡνίκα καὶ τὴν ἀρχιερατικὴν ἐδίδου δωρεάν. Ἀπολυέσθωσαν γοῦν οἱ παραλόγως δεσμῷ ὑποβληθέντες τῆς ἀλόγου καταδίκης, καὶ πρὸς τὴν δικαίαν μεθαρμοζέσθωσαν θεραπείαν · καὶ οἱ τὴν παράνομον καθαίρεσιν ὑποστάντες, τῆς ἀνόμου ψήφου πεπαυμένης, ἐχέτωσαν τῆς ἱερωσύνης · καὶ ὁ ταῦτα πράξας ἀφρόνως, μάλιστά γε, ὅτι τὰ τοῦ σώματος πάθη καὶ τὴν τῆς ψυχῆς συνάφειαν ὑπογράφει, μανθανέτω, εἰ μὴ δύναται παραινέσεως λόγῳ, ἀλλ' οὖν αὐστηρότερον, μὴ παραφέρεσθαι τοῦ δικαίου. Διὰ τοῦτο καὶ ἡ πρὸς αὐτὸν ἐπιστολὴ καλὴ καὶ δικαία · καὶ εἰ μηδὲ μετὰ ταύτην σωφρονισθείη, ἱερουργεῖν μὲν, καὶ τῶν ἀψύχων τὴν διοίκησιν ἔχειν, τέως μὴ κωλυέσθω · ἐπιτιμᾷν δὲ καὶ κανονίζειν τοὺς ἐμψύχους, ἄψυχος αὐτὸς ὢν, διὰ τῆς ἐν Πνεύματι ἁγίῳ ἡμῖν δεδομένης ἐξουσίας, μὴ παραχωρείσθω.

Admiratio quidem nos invasit ac stupor super tanta deliratione et vecordia, necnon insulsitate atque enormitate antistitis, etiam vetera quædam vestigia ejusmodi affectuum, memoria recolentes. Verum duratio atque incrementum præcedentium de præsentibus, tanquam præter opinionem factis, perturbationis nobis materiam præbuerunt. Cæterum molestia non vacat, singulorum causis particulatim insistere, quod sæpius diximus, et nunc etiam dicimus. Quod cum peccatores nos peccatrices manus capiti tuo imposuimus, gratiam sancti Spiritus antistiti propriam implorantes (non nostræ manuum impositioni, sed supernæ benignitati, et tuæ ipsius virtuti confisi, superventum ipsius nos benedictione ditaturum), non solùm quæ in Ecclesia illegitime et contra canones ab ipsius antistite procedunt, sed quæ ab alio quopiam, similem animi sententiam demonstrante, hæc omnia a tua antistitis perfectione (tanquam humilitate nostra præsente, et spirituales leges adjuvante) reprimi, sufflaminari, et in meliorem, sive optimum statum reformari præcipimus : non nobis nunc hujusmodi spiritualem potestatem largientibus, sed sancto Spiritu tunc eam conferente, cum gratiam summi sacerdotii donaret. Absolvantur igitur præter rationem vinculo subjecti ab iniqua damnatione, et ad legitimum cultum reformentur : et qui degradationem legibus contrariam passi sunt, iniquo decreto cessante, in sacerdotio administrando pergant : et qui hæc imprudenter admisit, maxime quidem, quia corporis passiones congruos animi affectus exprimunt, discat si potest sermonis exhortatione, sin minus severitate, ab eo quod justum est, non recedere. Idcirco ad eum epistola jure et recte destinabitur : postquam nisi sanior evadat, sacra quidem facere, et inanimata administrare nondum prohibeatur, censuras autem irrogare, et animatos ad regulas exigere, ipse inanimis, potestate nobis a Spiritu sancto indulta ne permittatur.

Digitized by Google Распознавание текста ABK/FR

EPIST. XXIII. ΕΠΙΣΤ. ΚΓ'

Edita a Montacutio (p. 391).

Mœrores insensatos enumeras in præsentium malorum diffusione, perinde ac si sensus voluntarie occluseras, neque animus esset oculis usurpare. Universa pene Asia intestina concutitur seditione; civitates cum tota incolarum multitudine malo feruntur involuti, et suffocati undis. Qui ruinam hanc concepta spe suffulciturus credebatur, non modo nihil auxilii præstat, sed in præcipitium res deturbat, atque eam ob rem gloriose de se sentit. Exercituum ductores, omisso in hostes capessendorum armarum actu (nec refero quantopere in proprium ipsorum caput et imperium conjurent) in semet mutuo, barbarorum more, castra movent, nil leges Dei veriti, nil humanos reveriti mores. Quomodo putas, urbs, imperatores ipsi, etiam nos, si velis, afficimur hac tanta calamitate? Quod si commune hoc quiescat malum, omnino autem conquiescat (ita enim ut loquamur persuadet justitia), simul etiam evanituræ sunt, quæ quemlibet privatim urgent calamitates; veterem vim et debitam obtinebunt leges; de iis qui injusti aliquid patrarunt, et injuste patrare volentibus, supplicium sumetur. Vale.

ΕΠΙΣΤ. Ζ'.

Θεοδώρῳ μητροπολίτῃ Λαοδικείας.

EPIST. VII.

Theodoro metropolitæ Laodiceæ.

Montacut. (ep. 40, p. 98).

Εἰ στάδιόν ἐστιν ὁ παρὼν βίος, ἐπάθλων δὲ ἡ ἐκεῖθεν πολιτεία · μὴ θαύμαζε εἰ τῶν δικαίων τινὲς ἐνταῦθα ταλαιπωρίαις παλαίουσι, ἀλλὰ μᾶλλον εἰ τινες τῶν ἀγώνων καὶ ἄθλων καὶ καιρὸν καὶ τόπον στεφάνων, ἡμέραν καὶ ἀναῤῥήσεως βῆμα νομίζουσιν·

Si stadium vita præsens fuerit, præmiorum, quæ ventura est, politia erit. Noli mirari si justorum aliqui cum miseriis hic colluctentur: magis autem multo, si qui rentur idem esse tempus certaminum et locum coronarum, diem manifestationis et judicii tribunal.

ΕΠΙΣΤ. Η'.

Ἰγνατίῳ ἐπισκόπῳ Λόφων.

EPIST. VIII.

Ignatio Lophorum episcopo.

Montacut. (ep. 69, p. 120).

Δυσφορεῖς καὶ θρηνεῖς καὶ τὰ ἄνω κάτω ποιεῖς, ὅτι σε ταχέως οὕτως καὶ ἀφειδῶς, ὡς νομίζεις,

Male te habet, deploras, sursum deorsum omnia misces, quod te tam cito, et tam vehementer (ut

VARIÆ LECTIONES.

[d] Ἰσ. ὧδε.

Digitized by Google Распознавание текста ABK/FR

reris) sine respectu taxaverim. Ego te non minus A incuso, qui te dignum dederis hisce reprehensionibus, et nos adegeris ut ad ista dicenda, præter consuetudinem, accederemus. Si autem revera percussus fueris, et profundius penetraverit reprehensionum cuspis, tute declarabis, dum illa averseris, quæ telum hoc a nobis extorserunt. Ita plagam tibi ingestam, per Dei misericordiam, non modo persanaturi sumus, sed deinceps te ut membrum nostri corporis confovebimus.

ἐπλήξαμεν. Ἐγὼ δέ οὐδὲν ἧττον, ὅτι σεαυτὸν τοιούτων ἄξιον παρεσκεύασας, καὶ ἡμᾶς ἐλθεῖν, παρὰ τὸ ἡμέτερον ἦθος, εἰς τοὺς περὶ σὲ λόγους ἠνάγκασας. Εἰ δ' ἀληθῶς ἐπλήγης, καὶ μέχρι βάθους ἡ τῶν ἐλέγχων ἀκμὴ ἔφθασεν, δείξεις ἐκεῖνα φυγών, δι' ἃ τὸ βέλος ἀφήκαμεν· καὶ σοῦ τὴν πληγὴν σὺν εὐμενείᾳ θεοῦ οὐ μόνον ἐξιασόμεθα, ἀλλὰ καὶ τὸ λοιπὸν ὡς μέλους ἀντιποιησόμεθα.

EPIST. IX.

Theodoro metropolitæ Laodiceæ.

ΕΠΙΣΤ. Θ'.

Θεοδώρῳ μητροπολίτῃ Λαοδικείας.

Montacut. (ep. 70, p. 120).

Occasio nunc, o amice, offertur, si ipse volueris, B et noster filius exsistas, vel minime reformidare mortalium minas, dum immotum te præstes veritatis athletam, illustre laudum præconium de cœlo consequi, et victorem ibidem declarari : vel dum veritatem prodis, et proditor censeris, temporali et fluida voluptate et gloria frui.

Νῦν καιρός, ὦ φίλε, εἰ βούλει δὲ, καὶ τέκνον ἡμέτερον, ἢ τὰς ἐξ ἀνθρώπων ἀπειλὰς οὐ δεδιότα, στερρὸν ὀφθῆναι τῆς ἀληθείας ὑπέρμαχον, καὶ λαμπρᾶς τυχεῖν τῆς ἐκεῖθεν εὐφημίας καὶ ἀναῤῥήσεως· ἢ προσκαίρῳ καὶ ῥευστῇ ἡδονῇ καὶ δόξῃ προδότην τῆς ἀϊδίου καὶ εἶναι καὶ ὀνομάζεσθαι.

EPIST. X.

Eidem.

ΕΠΙΣΤ. Ι'.

Τῷ αὐτῷ.

Montacut. (ep. 71, p. 120).

Si finis doctrinæ et institutionis sit pudore suipsius teneri, extremæ fuerit ineruditionis necessse est, nullo aliorum pudore moveri. At gloriari de iis quæ occultanda potius fuerant, terminos excedit humanæ improbitatis.

Εἰ τέλος παιδείας τὸ ἑαυτὸν αἰσχύνεσθαι, ἐσχάτης ἀπαιδευσίας τὸ μηδὲ τοὺς ἄλλους αἰσχύνεσθαι· τὸ δὲ καὶ ἐφ' οἷς ἐγκαλύπτεσθαι προσῆκεν, ἐγκαλλωπίζεσθαι, ὑπερόριον καὶ τῆς ἀνθρωπίνης κακίας.

EPIST. XI.

Theodoro metropolitæ Laodiceæ.

C

ΕΠΙΣΤ. ΙΑ'.

Θεοδώρῳ μητροπολίτῃ Λαοδικείας.

Montacut. (ep. 87, p. 132).

Quæ de te fando accepimus, si vera sunt, tardor quidem, et vix tu qualis sis, intellexi ; sin falsa, quis fueras ab initio cognovi. In quantum ergo virum decet esse bonum et honestum, non malum et improbum, et me gaudere, non ægre ferre, quod te amicum mihi conciliavi ; in tantum te oportet evitare illa, quæ rumor est te perpetrare ; esto autem omnis hæc fama, precor, veritate destituta.

Ἅπερ ἀκούομεν περὶ σοῦ, εἰ μὲν ἀληθῆ εἰσιν, ὀψὲ καὶ μόλις γινώσκομεν ὅστις εἶ· εἰ δὲ ψευδῆ, ἀπαρχῆς ἔγνωμεν ἄρα ὅστις εἶ. Ὅσῳ οὖν διαφέρει καλὸν καὶ ἀγαθὸν εἶναι τοῦ φαῦλον καὶ μοχθηρὸν γίνεσθαι· κἀμὲ χαίρειν ἀντὶ τοῦ δυσφορεῖν, ἐφ' ᾧ σε φίλον ἐποιησάμην, τοσοῦτον δεῖ σε φυγεῖν ἃ σέ φασί ποιεῖν· εἴη δὲ, πάντων ἕνεκα, τῆς ἀληθείας ἥρεμος ἡ φήμη.

EPIST. XII.

Eulampio archiepiscopo et sceuophylaci.

ΕΠΙΣΤ. ΙΒ'.

Εὐλαμπίῳ ἀρχιεπισκόπῳ καὶ σκευοφύλακι.

Montacut. (ep. 95, p. 135).

Non possunt tenebræ una cum luce adesse, odit D enim veritas congressum mendacii. Post tuum a nobis discessum, qui titulum mentitur affuit Emmanuel, qui ea nobis manifestavit quæ par et probabile fuit acturum illum, et quæ mores ipsius decebant.

Οὐκ ἐθέλει τῷ φωτὶ συμπαρεῖναι τὸ σκότος· μισεῖ δὲ καὶ τὴν σύνοδον τοῦ ψεύδους ἡ ἀλήθεια. Μετὰ τὴν σὴν ἀφ' ἡμῶν ἀναχώρησιν, ὁ τὴν κλῆσιν ψευδόμενος ἐφέστηκεν Ἐμμανουήλ, οἷα εἰκὸς ἦν πράττειν αὐτὸν καὶ τῶν οἰκείων τρόπων ἀξίως, ἐπιδεικνύμενος.

EPIST. XIII.

Antonio Bosphori archiepiscopo.

ΕΠΙΣΤ. ΙΓ'.

Ἀντωνίῳ ἀρχιεπισκόπῳ Βοσφόρου.

Montacut. (ep. 96, p. 136).

Olim erat Axinus Scythicus pontus. Nam advenas intrantes, quod fando horribile, devorabant. Milesii vero in Euxinum transformarant per comitatem et civilitatem introductam, cicurata barbarica et bestiali consuetudine. In præsenti per te et tuos pro virtute susceptos labores et certamina et multi-

Ἦν ποτε Ἄξεινος ὁ Σκυθικὸς πόντος. Ἐποιεῖτο γὰρ βορὰν, φρικτὸν ἀκοῦσαι, καὶ τοὺς ἐμπλέοντας τῶν ξένων. Μιλήσιοι δὲ φιλανθρωπίᾳ καὶ ἡμέρῳ πολιτείᾳ, τό τε θηριῶδες καὶ βάρβαρον ἐξημέρωσαν ἦθος, καὶ εἰς Εὔξεινον αὐτὸν μετεποίησαν. Νῦν δὲ διὰ σοῦ, καὶ τοὺς σοὺς ὑπὲρ ἀρετῆς ἀγῶνας καὶ

Digitized by Google Распознавание текста ABK/FR

πόνους καὶ τὴν ἄλλην περὶ τὸ Θεῖον θεραπείαν, οὐκ Εὔξεινος μόνον, ἀλλὰ καὶ Εὐσεβὴς, μετὰ τοῦ εἶναι, καὶ ὀνομάζεται [f]. Πόσης οἴει με, ταῦτα καὶ ἐννοοῦντα καὶ γράφοντα, χαρᾶς καὶ εὐφροσύνης πληροῦσθαι; Εἰ δὲ καὶ τοὺς αὐτόθι Ἰουδαίους, εἰς τὴν ὑπακοὴν Χριστοῦ αἰχμαλωτίσας, ἀπὸ τῆς σκιᾶς καὶ τοῦ γράμματος, ἐπὶ τὴν χάριν, ὡς ἔγραψας, μεταστήσεις [g], ἀπέχω, καὶ περισσεύω τῶν καλῶν ἐλπίδων τοὺς ὡραίους καρποὺς, ἃς ἐπὶ σοὶ διαπαντὸς ἔτρεφον.

A plicem Numinis cultum, non Euxinus sed et Eusebes, cum talis exsistat, nominatur. Quanto me gaudio, qua jucunditate, dum hoc ipsum scribo repletum arbitraris? Quod si Judæos qui inibi sunt captivos in Christi obedientian duxeris, ab umbra et littera, quemadmodum scribis, in gratiam transtuleris, abstineo, et cum abundantia fobevo, maturos illosce optimæ spei fructus, quos continuo de temet ipso foveo.

ΕΠΙΣΤ. ΙΔ'.

Ζαχαρίᾳ μητροπολίτῃ Χαλκηδόνος.

EPIST. XIV.

Zachariæ Chalcedonis metropol.

Montacut. (op. 106, p. 151).

Εἰ ἐγὼ τὸν ἐμὸν Ζαχαρίαν ἀγνοῶ, καὶ ἐμαυτοῦ ἐπιλέλησμαι· ἀλλ' ἡμῶν, ὡς ἔοικεν, ἐκεῖνος (οὐ γὰρ ἔχω τί μετριώτερον εἴπω [h]) ἐπιλέλησται. Οὐ γὰρ ἂν ἡμᾶς ὑπετόπαζεν, ἀνθρώπων λόγοις, τῆς περὶ αὐτὸν δόξης, ἣν ἐν παλαιοῦ φυλάττομεν, παρασύρεσθαι. Ὁ δὲ καὶ φοβεῖται διὰ ταῦτα φόβον, ἐν οἷς οὐ μόνον οὐκ ἔστι φόβος, ἀλλ' οὐδέ τις φόβου, τοῖς ἡμᾶς ἐγνωκόσιν, ὑπόνοια. Εἰ γὰρ ἡμᾶς ὁ μακρὸς, ὃν ἐκ παιδὸς σχεδὸν ἐγνωμέν σε, χρόνος. καὶ ὁ πολὺς καὶ οὗ μέγα κλέος ὑπὲρ ἡμῶν, μᾶλλον δὲ Χριστοῦ καὶ τῶν αὐτοῦ θεσπισμάτων, ἀγὼν καὶ δρόμος, οὔπω πεῖραν ἔχειν τῆς σῆς ἐνεγύμνασεν ἀρετῆς, οὐκ οἶδα ὅπως ἡμεῖς τε οὐχὶ κακοὶ, μετὰ τοῦ ἀνοήτου, δόξαιμεν ἄν· καὶ οἱ δεδιότες μή τι πάθοιμεν τοιοῦτον, τὸ μὴ ἀγνοεῖν ἡμᾶς, οὐ φυγόντες ἀλλ' ὅτι [i] πλὴν τοῦ χειρίστους εἰπεῖν, εὐπορήσουσιν. Ἀλλὰ τούτων τε ἕνεκα θαῤῥεῖ, καὶ ἡμᾶς, ὥσπερ τοῖς ἄλλοις, οὕτω καὶ τὸ [j] μὴ παρασύρεσθαι τοὺς λογισμοὺς, ὑφ' ἑτέρων, ἐπιγίνωσκε· ἵνα μὴ διὰ μιᾶς, οὐ προσηκούσης ὑπολήψεως, ἡμᾶς τε καὶ σαυτὸν μᾶλλον, ἐναιτίᾳ [k] ποιήσῃς μεγάλῃ· καὶ τοὺς ἀδελφοὺς, εἴ τι ἄρα καὶ ἀνθρώπινον αὐτοῖς ὑποτρέχει πάθος [l], τοῖς σοῖς ἀνερεθιζομένους προτερήμασιν ἀδελφικῶς φέρε καὶ διαβάσταζε· οὐ γὰρ ἐφ' οἷς ἡμᾶς εὐχαριστεῖν δεῖ, ἄλλοις ἀπεχθάνεσθαι χρὴ οὐδ' ἐξ ὧν ἔστι λαβεῖν ἀπόδειξιν λαμπρὰν τοῦ πρωτεύειν ἡμᾶς, διὰ τούτων ὑφείλομεν πρὸς τοὺς αἰτίους δυσκνασχετεῖν, καὶ τὸ ἄλογον πάθος, εἰς εὔλογον αὐτοῖς ἀπολογίαν μεταποιεῖν. Ἀλλὰ καὶ [m] τῶν εἰρημένων, ἄλλον ἴσθι τοῦτο· ὅτι ὀφείλομεν ἡμεῖς, οἱ δυνατοὶ τὰ ἀσθενήματα τῶν ἀδυνάτων [n] βαστάζειν. καὶ πάντων δὲ μάλιστα ἐκεῖνο διὰ βίου μελέτην ποιοῦ· τὸ ποῖον; Ὅτι ἡ ἀγάπη οὐκ ἀσχημονεῖ. Ἐρεύνα καλῶς τί ποτέ ἐστι τὸ, οὐκ ἀσχημονεῖ· βάθος γὰρ ἄφατον εὑρήσεις ὠφειλείας. Εἶτα, διὰ τί οὐκ ἀσχημονεῖ. Ὅτι οὐ ζητεῖ, φησὶ, τὰ ἑαυτῆς· ἀλλὰ καὶ πάντα στέγει πάντα ἐλπίζει [o]· ὑψηλὰ μὲν [καὶ] ταῦτα ἀνέχεσθαι βάρη, καὶ βελτίωσιν ἀεὶ καὶ μεταβολὴν ἐπὶ τὸ κρεῖττον, ἐλπίζειν τοῦ πλησίον. Τί δὲ ἄλλο, ὦ Παύλου σοφία, πλοῦτος, καὶ χάρις, ἡ ἀγάπη; φησὶν, οὐδέποτε ἐκπίπτει. Ὦ μακαρίας φωνῆς, καὶ μακαριωτέρου στόματος, καὶ κρείσσων ἐγκωμίων, καὶ θαύματος, γνώμη· οὐδέποτε, φησὶν, ἐκπίπτει. Κἂν στασιάζωσιν ἄλλοι· κἂν χαίρωσι μάχαις· κἂν

B Si meum ignorem Zachariam, et meimet oblivisci rem; sed ille mei (neque enim effari quid moderatius possum) ut videtur oblitus est: nec suspicetur me vulgi sermone, ab illa quam jam olim de eo fovi opinionem abstractum. At ille ibi valde timet ubi non tantum non est timor, sed nec timoris aliqua, ab iis qui me noverant, suspicio. Si enim diuturnum illud tempus in quo te a pueris cognovi, magnum, et cujus magna gloria, certamen pro nobis, aut Christo potius, susceptum, et in ipsius mandatis cursus, nondum de tua virtute me confirmatum reddidit, certe non video quomodo non, cum insipiente, iniquissimus videar; et qui metuerint, ne quid tale patiamur nos, eo quod ipsi nos non noverimus, satis justam habebunt causam,

C ut inter pessimos me recenseant. Sed tu hisce de rebus sis persuasissimus, et que cognoscas velim, sicut aliis notis, ita quod mentem aliorsum per alios pertrahi nolo: noli ergo ob nudam nec congruam satis suspicionem et me et te potius ipsum insigniter reos statuere; sed et fratres etiam nostros, si qui humano more patiantur, tuis excitatos præeminentiis fraterne tolerato et sufferto, neque enim par est ut aliis succenseamus pro iis de quibus nobis agendæ sunt gratiæ; nec e quibus demonstrari liquido poterit, nos obtinere principatum, tenemur ob illa succensere iis qui culpabiles sunt, ut sic irrationalem passionem in rationabilem apologiam commutemus. Sed et aliud edictis te intelligere velim, hoc nempe, quod debemus nos qui

D validiores sumus, infirmitates infirmorum portare et sustinere. Imprimis per totæ vitæ cursum illius habeto curam, quod nihil indecore faciat cautus amor; sedulo inquire quid sibi velit. Nihil facit indecore, (certe immensam et innarrabilem utilitatis invenies profunditatem.) Nimirum quod non quærit quæ sua sunt, sed omnia tegit, sperat omnia, sublimia sunt ista onera sufferenda, emendatio semper et conversio in melius speranda est de proximo. Quid aliud vult Pauli sapientia, divitiæ, gratia? Charitas, inquit, nunquam excidit: beata plane vox, magis beatum os, sententia laudes et admirationem omnem excedens. Nunquam ait, excidit,

VARIÆ LECTIONES.

[f] γρ ὀνομαζέτω, [g] ἴσ. καὶ τὸ σῶμα. [h] εἰπεῖν. [i] ἴσ. ἄλλο τι. [j] τῷ. [k] ἴσ. ἐν αἰτίᾳ. [l] subrepit πάθος. [m] ἴσ. ἐκ [n] ἀδυνατούντων. [o] πάντα πιστεύει.

Digitized by Google Распознавание текста ABK/FR

EPIST. XIX.

Euschemoni et Georgio metrop.

ΕΠΙΣΤ. ΙΘ'.

Εὐσχήμονι καὶ Γεωργίῳ μητροπολίταις.

Montacut. (ep. 126, p.166).

Non despondeo animum, dum intueor tempestatem malorum, et tyrannidis intensionem ; audio enim vos per fidem in Deo certam, et pietatem efflorescentes et vernantes ; imo lætitia afficior eo quod illorum summa impudentia, qui dedecus vobis et turpitudinem volebant affricare, vos et pulchriores reddidit, et probatiores. Sed, o vos amici, filii, fratres, et si quid nomen filiali amore et naturali affectione magis familiare sit, usque ad finem consummatum in Deum hunc animum et affectum conservemus : et quemadmodum Jobus ille generosus, ipsorum ducem diabolum, per stupendam illam patientiam et fortitudinem triumpho duxit, ita vos ut Christi populus ille sanctus, regaleque sacerdotium, ut et olim, ita etiamnum istosce illius germanos primipilares discipulos, cum lessis et lamentis, nec quo se conferant scientes, publice spectandos exhibebimus. Nam quod vos probe nostis æque atque ego, brabia et coronæ exspectant eos, qui usque ad finem decertant.

Οὐκ ἀθυμῶ, τὴν χειμῶνα τῶν κακῶν καὶ τῆς τυραννίδος ἐπιτεινόμενον βλέπων. Ταῖς γὰρ εἰς Θεὸν ἐλπίσι, καὶ τῇ εὐσεβείᾳ ἀνθοῦντας ὑμᾶς καὶ ἐκρίζοντας ἀκούω · μᾶλλον δὲ καὶ χαίρω, ὅτι καὶ ὡραιοτέρους καὶ δοκιμωτέρους ἡ τῶν καταισχῦναι καὶ ἀσχημονῆσαι σπουδασόντων ὑμᾶς ἔδειξεν ἀναισχυντία. Ἀλλ', ὦ φίλοι καὶ τέκνα καὶ ἀδελφοὶ, καὶ εἴ τι στοργῆς καὶ σχέσεως φυσικῆς οἰκειότερον, ἕως τέλους Θεῷ τὴν αὐτὴν εὐγνωμοσύνην καὶ τὸ φίλτρον διασώσωμεν · καὶ ὅπερ Ἰὼβ ὁ γενναῖος τὴν καθηγητὴν αὐτῶν πεπονθότα [r], διὰ τῆς θαυμασίας ἐκείνης ὑπομονῆς καὶ ἀνδρείας ἐθριάμβευσε · τοῦτο καὶ ὑμεῖς, καὶ λαὸς ἅγιος τοῦ Χριστοῦ, καὶ βασίλειον ἱεράτευμα, ὥσπερ μέχρι νῦν, οὕτω καὶ διαπαντὸς, τουτουσὶ τοὺς ἐκείνου γνησίους καὶ κορυφαίους μαθητὰς, ὀδυρομένους καὶ ἀμηχανοῦντας ἐπιδείξομεν. Καὶ γὰρ, ὡς καὶ ὑμεῖς συνεπίστασθε, τῶν εἰς τέλος ἀγωνιζομένων ἐστὶ τὰ βραβεῖα καὶ οἱ στέφανοι.

EPIST. XX.

Theodoro metropol. Laodiceæ.

ΕΠΙΣΤ. Κ'.

Θεοδώρῳ μητροπολίτῃ Λαοδικείας.

Montacut. (ep. 140, p. 198).

Scio plurimos fidelium ita affectos esse, ut occasionem omnem quærant, qua possint propriæ virtutis illustre quoddam specimen exhibere ; et martyres felices prædicare, quod barbaram tyrannorum crudelitatem nacti fuerant, qua possint in æternum, suam ipsorum animi magnitudinem quasi columnæ insculptam stabilire. Sane adest hæc ipsa occasio, vel major potius, quam speraret etiam valentissimus. Confido, autem quod qui contra tuam generositatem insurrexit, ultimam, maximam, et perpetuo memorandam confusionem incurret, in opprobrium propriæ cum infirmitatis tum audaciæ. Ita ut immota tua formidine perculsus, ulterius aliquid attentare cessabit. Ita per hanc unicam concertationem, duo egregia consequere trophæa, cum ut victor proclamare, tum ut fratribus malorum impendentium gravitate, et labores multos, propriis tuis certaminibus allevies.

Οἶδα πολλοὺς τῶν πιστῶν ἀνδρῶν, καιρὸν ζητοῦντας, ἐφ' ὃν τῆς οἰκείας ἀρετῆς τὸ μέγεθος ἐπιδείξαιντο · καὶ τοὺς μάρτυρας μακαρίζοντας, ὅτι τυράννων ἔσχον ὠμότητα τὴν ἀνδρείαν αὐτῶν εἰς αἰῶνα στηλιτεύουσαν. Ἐφίστηκεν οὗτος ὁ καιρὸς, εἰ καὶ πλέον, ἢ ὅσον ἂν καὶ ὁ γενναιότατος ἤλπισε · πείθομαι δὲ, ὡς τελευταῖον καὶ μέγιστον τῆς ἰδίας ἀσθενείας, καὶ τοῦ θράσους, ὁ τῇ σῇ γενναιότητι ἐπαρθεὶς προσενεχθῆναι, ἀείμνηστον τὸν ἔλεγχον δώσει · καὶ τὴν σὴν στερρότητα καταπλαγείς, καὶ τῶν λοιπῶν ἐκτραπήσεται τὴν πεῖραν · ὡς ἅμα δύο τὰ μέγιστά σε, δι' ἑνὸς ἀγῶνος, κατορθῶσαι, νικηφόρον τε ἀναρρηθῆναι · καὶ τοῖς ἀδελφοῖς τῶν ἐπικρεμαμένων κακῶν τὴν ὑπερβολὴν, καὶ τοὺς πολλοὺς [s] πόνους, ἰδίοις ἄθλοις, κουφίσαι.

EPIST. XXI.

Eidem.

ΕΠΙΣΤ. ΚΑ'.

Τῷ αὐτῷ.

Montacut. (ep. 141. p. 199).

Generosos plane stadium exspectat : nemo feminea teneritudine emollitus, introeat. Quod si quis sit qui exsilierit, recedat quantocius ; vel a sua sententia, vel a colluctatione. Neque enim labores talibus congruunt. Sed neque ab auro onustis : nec ambitione inflatis. Omnino qui corporeis voluptatibus inhiat, ut mihi stat ententia, ne se componat ad certamen : velim ego longe removeri, si non præveniat is, et impleat votum meum.

Γενναίων ὄντως ἀνδρῶν τὸ στάδιον δεῖται · μηδεὶς εἰσίτω θηλυδρίας · ἂν δ' εἰσεπήδησε, θᾶττον ἀποστήτω · ἢ τῆς γνώμης, ἢ τῶν παλαισμάτων. Οὐ γὰρ τῶν τοιούτων οἱ πόνοι. Ἀλλὰ μηδ' ὁ χρυσῷ τὸν βίον βεβαρημένος · μηδ' ὁ πρὸς κενὰς δόξας ἀνεπτερωμένος. Τὸν γὰρ πρὸς τὰς τοῦ σώματος ἡδονὰς ἐπτοημένον, οὐδ' ἀποδύσασθαι πρὸς τὸν ἀγῶνα νομίζω. Ἀλλὰ καὶ εὔχομαι πόρρω καθεστάναι, εἰ μὴ προλαβὼν ἐπλήρωσεν [s] ἐκεῖνος τὴν εὐχήν.

VARIÆ LECTIONES.

[r] ἴσ. γεγονότα. [s] πολλῶν. [s'] ἡμῶν.

Digitized by Google Распознавание текста ABK/FR

νατὸς ὢν οἰκείοις θρήνοις τηλικαύτης ἐρημίας ἐκτραγῳδῆσαι καὶ παραστῆσαι μέγεθος; ἀλλὰ ταῦτα μὲν καὶ σιωπώμενα κέκραγεν. Σὺ δέ μοι τὰ τε ἄλλα ἔρρωσο, καὶ τῆς ἡμῶν ὑπερεύχου μετριότητος.

A chritudine qua prius Romana respublica florebat, et Christianismus tantum non ex imis subruitur fundamentis. Ingemiscere ad hæc, pro meritis quis alius suffecerit quam Jeremias, qui propriis suis lessis et lamentis, tantæ vastitatis et desolationis magnitudinem et exprimere possit, et tragice deplorare? sed hæc silentio pressa exclamant tamen. Tu cætera vale, et pro mea mediocritate apud Deum precibus intercede.

ΕΠΙΣΤ. ΙΖ'.

Ἰγνατίῳ μητροπολίτῃ Κλαυδιουπόλεως.

EPIST. XVII.

Ignatio metrop. Claudiopolitano.

Montacut. (ep. 115, p. 156).

Ἦν ποτε φευκτὸν καὶ φοβερὸν τὸ ἀνάθεμα, ὅτε κατὰ τῶν ἐνόχων τῆς ἀσεβείας, ὑπὲρ τῶν της εὐσεβείας κηρύκων, ἐφέρετο. Ἀφ' οὗ δὲ ἡ τολμηρὰ καὶ ἀναίσχυντος τῶν ἀλαστόρων ἀπόνοια, παρὰ πάντα θεσμὸν θεῖόν τε καὶ ἀνθρώπινον, καὶ παρὰ πάντα λόγον Ἑλληνικόν τε καὶ βάρβαρον, τὸ οἰκεῖον ἀνάθεμα κατὰ τῶν προμάχων τῆς ὀρθοδοξίας ἀναστρέφειν ἐφρυάξατο, καὶ τὴν βαρβαρικὴν μανίαν ἐκκλησιαστικὴν παρανομίαν ἐφιλονείκησαν ἀπεργάσασθαι, αὐτίκα καὶ τὸ φρικτὸν ἐκεῖνο καὶ ποινῆς ἁπάσης πέρας ἔσχατον, εἰς μύθους καὶ παίγνια μεταπέπτωκε· μᾶλλον δὲ, τοῖς εὐσεβέσι καὶ αἱρετὸν παρεσκεύασται. Οὐδὲ γὰρ οὐδ' ἡ πάντολμος τῶν ἐχθρῶν τῆς ἀληθείας γνώμη, τὰς ποινὰς, καὶ μάλιστα τὰς ἐκκλησιαστικὰς, ποιεῖ φοβερὰς, ἀλλὰ τῶν πασχόντων τὸ ὑπεύθυνον, ὡς τό γε ἀνευθυνον καὶ εἰς χλεύην τὰς ἐκείνων τιμωρίας ἕρπει, καὶ κατ' ἐκείνων τὸ δικαίωμα τῆς τιμωρίας ἀναστρέφει, καὶ τῷ ὑπ' αὐτων τιμωρουμένῳ στεφάνους ἀκηράτους, καὶ ἀθάνατον δοξαν, ἀντὶ ποινῆς, ἀπεργάζεται. Δι' ὃ καὶ ἕκαστος τῶν εὐσεβῶν καὶ ἁγίων, ὑπ' αὐτῶν ἠλλοτριωμένων Χριστοῦ, μυριάκις αἱρεῖται προπηλακίζεσθαι, καὶ ἀναθεματίζεσθαι ἢ τοῖς αὐτῶν μισοχρίστοις καὶ θεστυγέσιν μετὰ λαμπρᾶς τῆς εὐφημίας κοινωνῆσαι πονηρεύμασιν.

Erat olim terribile anathema, et fugiendum; nempe cum a veritatis præconibus, contra reos et improbos ferebatur. Ex quo vero audax et impudens alastorum quorumdam vesania, contra leges omnes divinas et humanas; contra omnem rationem Græcam, barbaram, ipsorum anathema in propugnatores orthodoxæ pietatis jaciat insolenter, et furores barbaricos, ecclesiasticas transgressiones magna contentione habendas contendunt; e vestigio illud formidandum, et omnium suppliciorum extremum, in fabulam et ludibrium evasit: potius viri pii illud exoptaverint; non enim sententia per audacissimos veritatis hostes lata pœnas saltem ecclesiasticas formidabiles facit, sed reatus eorum in quos intorquentur. Quod si innocens quis fuerit, ridendas illorum pœnas propinat, et in ipsorummet judicium mutat, illi autem quem multarunt coronam immarcescibilem, et immortalem gloriam pro suppliciis procurat. Quocirca quisque pius et sanctus vir mille modis optaverit, potius ab iis qui a Christo alieni sunt contumeliis affici, et anathemate feriri, quam cum splendore et applausu de ipsorum impietatibus participare, qui Christo odiosi, et Deo invisi sunt.

ΕΠΙΣΤ. ΙΗ'.

Μιχαὴλ μητροπολίτῃ Μιτυλήνης.

EPIST. XVIII.

Michaeli Mitylenes metropolitæ.

Montacut. (ep. 116, p. 157).

Ὥσπερ τοὺς τοῦ Δεσπότου μαθητὰς τὸ μισόχριστον τῶν Ἰουδαίων συνέδριον ἀποσυναγώγους ποιήσαντες, ἐκείνους μὲν μᾶλλον τῷ Διδασκάλῳ καὶ Δεσπότῃ προσῳκείωσαν, ἑαυτοὺς δὲ τέλεον καὶ τῆς θείας μυσταγωγίας, καὶ τῆς οὐρανῶν βασιλείας ἠλλοτρίωσαν. Οὕτω καὶ νῦν οἱ τῶν Ἰουδαίων μιμηταὶ, τοὺς τῶν ἀποστόλων ζηλωτὰς, ἀποσυναγώγους ποιήσαντες, ἡμᾶς μὲν τοῖς θεσπεσίοις ἐκείνοις καὶ αὐτόπταις τοῦ Λόγου, συνῆψάν τε μᾶλλον καὶ συνήνωσαν. Ἡ γὰρ κοινωνία τῶν παθῶν ἀκριβεστέραν ποιεῖται τὴν ἐν βίῳ καὶ πίστει συνάφειαν· ἑαυτοὺς δὲ καὶ τῆς ἐκείνων διδασκαλίας, καὶ τῆς ἡμετέρας ὀρθοδοξίας, ἐλεεινῶς τε καὶ ἀθλίως ἐναπέτεμον· καὶ τῆς Χριστιανῶν ὅλως καὶ κλήσεως καὶ πολιτείας τὴν ἑαυτῶν μοῖραν διῳκάσαντες, εἰς τὴν τῶν Ἰουδαίων, οὓς παρεζήλωσαν, καὶ χριστομαχίαν καὶ μιαιφονίαν φερόμενοι ἐκπεπτώκασιν.

Quemadmodum discipulos Domini nostri Judæorum Christiosorum synedrium e synagogis ejicientes, illos eo facto, magis magistro et Domino dedere copulatos, at seipsos penitus a cœlesti mystagogia et regno cœlorum alienos reddidere. Ad eumdem modum et nunc Judæorum imitatores apostolorum zelotas nos e synagogis ejicientes, eo facto divinis illis, et Verbi incarnati spectatoribus nos magis conjunctos adunierunt; siquidem communes passiones, exactissimam vitæ et fidei conjunctionem operantur; semet autem ipsos ab eorum doctrina, et orthodoxa nostra fide, miserum et miserandum in modum absciderunt; et cum separati sunt omnino a Christianorum nomine et politia, in Judæorum quos zelo imitantur, oppositionem contra Christum, et homicidii pollutionem abrepti exciderunt.

Digitized by Google Распознавание текста ABK/FR

licet tumultuentur alii, licet concertationibus gaudeant, licet primaria quærant, licet ipsos exstimulet invidia, licet manus injuste violentas injiciant, licet susque habeant deque; nunquam charitas de sua statione dejicitur, nec deficit a virtute, non desperat, non aversatur dolentes; semper occasiones quærit, semper omnem movet lapibem, omnem init methodum ut extra se desultores in proprium conjunctionis et unionis pratum reducat. Hæc, o fili mi, in Christo meditare, et hisce te conforma, tibi concinens. Certe bene noris quod nihil his panariis magis utile reperire poteris : cæterum vale, et precibus nostram mediocritatem commendatam habe.

A τὰ πρῶτα ζητῶσι · κἂν φθόνος αὐτοῖς ἀνερεθίζῃ · καὶ χειρῶν ἄρχωσιν ἀδίκων · κἂν τὰ ἄνω στρέφωσι κάτω · οὐδέποτε ἡ ἀγάπη τῆς οἰκείας ἕδρας καὶ ἀρετῆς ἐκπίπτει, οὐδ' ἀπογινώσκει, οὐδ' ἀποστρέφεται τοὺς λελυπηκότας · ἀλλ' ἀεὶ προφάσεις ἐπιζητεῖ, καὶ πάντα κινεῖ, καὶ μεθοδεύει, δι' ὧν αὐτοὺς καὶ ἐπεσκιρτῶντας εἰς τὸν οἰκεῖον τῆς συναφείας καὶ ἑνώσεως συναγελάζῃ λειμῶνα. Ταῦτα, τέκνον ἡμέτερον ἐν Κυρίῳ, μελέτα · καὶ τούτοις ἑαυτὸν ῥύθμιζε, κατεπᾴδων. Οὐδὲν γὰρ, εὖ ἴσθι, τῶν παναρίων τούτων εὑρήσεις ὠφελιμώτερον · τὰ δ' ἄλλα ἔρρωσο, ἱερώτατε, τῆς ἡμῶν ὑπερευχόμενος μετριότητος.

EPIST. XV.

Eidem.

ΕΠΙΣΤ. ΙΕ'.

Τῷ αὐτῷ.

Montacut. (ep. 107, p. 152).

Gratia Christo vero Deo nostro qui in omnibus nos consolatur, qui naturas generosas si vel aliquatenus ab innata virtute exorbitent, potestate donat, ut quantocius suum lapsum intelligant, et ad suam nobilitatem et dignitatem regrediantur ; qui etiam nunc, non mearum rationum et orationum, ut tute putes, vi et admonitione, gratiam largitus est, ut viles et humiles cum despectu habitas cogitationes abjicias, sed facultate et robore tuæ ipsius quam possides magnanimitatis. Si autem innata et apposita propriæ voluntatis amplitudo quæ optima est, et cæteræ tuæ conversationis, sine difficultate reduxit, utcunque rerum contingentium occasio, multiplici me alea jactatum turbaverit, tu tamen usque in immotæ amicitiæ institutione solidatus persistes. Vale, mi fili sacratissime.

B Χάρις Χριστῷ τῷ ἀληθινῷ Θεῷ ἡμῶν, τῷ ἐπὶ πᾶσι παρακαλοῦντι ἡμᾶς, τῷ καὶ τὰς γενναίας τῶν φύσεων (ἐπειδ' ἂν τῆς οἰκείας ἀρετῆς μικρὸν ἀποκλίνωσι] θᾶττόν τε συνορᾷν δυναμοῦντι P τὸ ὀλίσθημα, καὶ πρὸς τὸ οἰκεῖον καὶ εὐγενὲς ἐπανατρέχειν ἀξίωμα. Ὃς καὶ νῦν, οὐ τῇ τῶν ἡμετέρων λόγων, ὡς ἂν αὐτὸς φαίης, δυνάμει καὶ παραινέσει · ἀλλὰ τῇ σῇ οἰκοθεν, καὶ ἐξ αὐτοῦ σοι παρασχεσθείσῃ μεγαλονοίας, τῇ ῥώμῃ τὸ χυδαῖον μὲν καὶ ταπεινὸν τῶν λογισμῶν ἐκβαλεῖν σε διαπτύσασθαι. Εἰ δὲ τὸ προσφυὲς καὶ καταλληλον μέγεθος τῆς ἀρίστης προαιρέσεως, καὶ τῆς ἄλλης πολιτείας, ἐκ τοῦ ῥᾴστου ἐπανήγαγεν, ἐν οἷς εἴης μοι κἂν μυρίους κύδους ἡ τῶν πραγμάτων ἀναρρίπτοι περιπέτεια, αὐτὸς διαπαντὸς ἐν ἀκλονήτῳ τῆς ἀγάπης ἑστηριγμένος φρονήματι. Ἔρρωσο, τέκνον ἡμέτερον ἱερώτατον.

C

EPIST. XVI.

Gregorio Syracusæ archiepisc.

ΕΠΙΣΤ. ΙϚ'.

Γρηγορίῳ ἀρχιεπισκόπῳ Συρακούσης.

Montacut. (ep. 111, p. 154).

Quæcunque archiepiscopalis tua sanctitas ad constitutionem Dei ecclesiæ operatur, ab ipso principio mea mediocritas tecum in iis conspirat : ut frequentius tibi in memoriam revocare non sit opus ; nunc temporis præcipue, cum voce quacumque clarius et consommatius nos id doceant quæ mutuo nobis contigerunt, ac utriusque statum æqualem, eumdem animum, cogitationes easdem suggerant, communis nostra in Christo causa, persecutio, communes passiones, ineffabiles quibus meremur conflictari propter observationem, et custodiam mandatorum Domini nostri. Intende autem porro, et recto tramite incedito, manus imponens, sacra peragens, Christi gregem multiplicans et adaugens, templa veneranda construens et dedicans ; præcipue cum tempora sint ejusmodi, in quibus sacerdotes et sacerdotium, magnam partem, miserandum in modum silentio obruuntur, et ex hominibus eliminantur ; cum templa passim desolata jaceant, et demolita sint aut expilata, pro illo ordine et pul-

D

Ὅσα πρὸς καταρτισμὸν τῆς τοῦ Θεοῦ Ἐκκλησίας ἡ ἀρχιερατικὴ ὑμῶν διαπράττεται ὁσιότης, ἄνωθεν καὶ ἐξαρχῆς τὴν ἡμετέραν ἔχεις συμφωνοῦσαν μετριότητα · διόπερ οὐ δεῖται συνεχοῦς ἐπὶ τούτοις ὑπομνήσεως · μᾶλιστά γε νῦν, ὅτε φωνῆς ἁπάσης λαμπρότερόν τε καὶ τελειότερον, ἀναδιδάσκουσιν ἡμᾶς τὰ ἀλλήλων, καὶ εἰς μίαν γνώμην καὶ τὸ αὐτὸ συνάπτουσι φρόνημα · ὅτε κοινὸς ὑπὲρ Χριστοῦ διωγμός, καὶ τὰ κοινὰ πάθη καὶ ἀνιστόρητα, οἷς ἐναθλεῖν διὰ τὴν συντήρησιν τῶν δεσποτικῶν ἐντολῶν καὶ παραφυλακὴν, ἀξιούμεθα. Ἔνθεινε τοίνυν καὶ κατευοδοῦ χειροθετῶν τε καὶ ἱεροτελῶν, καὶ τὸ πείμενιον αὔξων καὶ πληθύνων Χριστοῦ, ναούς τε σεπτοὺς ἐγείρων καὶ τελεσιουργῶν · ἀλλ' ὥστε q καὶ καιροῖς τοιούτοις ἐν οἷς ἱερεῖς τε καὶ ἱερωσύνη, τὸ μέρος ἐκείνων τῶν τρισαθλίων, σεσίγηται καὶ ἐξ ἀνθρώπων ἠφάνισται · ναῶν τε ἐρημία καὶ πόρθησις ἀντὶ τῆς πρὶν εὐκοσμίας, τὸ Ῥωμαϊκὸν κατέχει πολίτευμα, καὶ μονονουχὶ τὰ Χριστιανῶν ἐκ βάθρων αὐτῶν ἀνατέτραπται · οἷς, τίς ἀξίως ἄλλος ἢ Ἱερεμίας ἐπιστενάξειε δυ-

VARIÆ LECTIONES.

b *καὶ ἐνδυναμοῦντι.* q ἄλλως τε.

Digitized by Google Распознавание текста ABK/FR

νατὸς ὢν οἰκείοις θρήνοις τηλικαύτης ἐρημίας ἐκτραγῳδῆσαι καὶ παραστῆσαι μέγεθος; ἀλλὰ ταῦτα μὲν καὶ σιωπώμενα κέκραγεν. Σὺ δέ μοι τὰ τε ἄλλα ἔρρωσο, καὶ τῆς ἡμῶν ὑπερεύχου μετριότητος.

A chritudine qua prius Romana respublica florebat, et Christianismus tantum non ex imis subruitur fundamentis. Ingemiscere ad hæc, pro meritis quis alius suffecerit quam Jeremias, qui propriis suis lessis et lamentis, tantæ vastitatis et desolationis magnitudinem et exprimere possit, et tragice deplorare? sed hæc silentio pressa exclamant tamen. Tu cætera vale, et pro mea mediocritate apud Deum precibus intercede.

ΕΠΙΣΤ. ΙΖ'.

Ἰγνατίῳ μητροπολίτῃ Κλαυδιουπόλεως.

EPIST. XVII.

Ignatio metrop. Claudiopolitano.

Montacut. (ep. 115, p. 156).

Ἦν ποτε φευκτὸν καὶ φοβερὸν τὸ ἀνάθεμα, ὅτε κατὰ τῶν ἐνόχων τῆς ἀσεβείας, ὑπὲρ τῶν τῆς εὐσεβείας κηρύκων, ἐφέρετο. Ἀφ' οὗ δὲ ἡ τολμηρὰ καὶ ἀναίσχυντος τῶν ἀλαστόρων ἀπόνοια, παρὰ πάντα θεσμὸν θεῖον τε καὶ ἀνθρώπινον, καὶ παρὰ πάντα λόγον Ἑλληνικόν τε καὶ βάρβαρον, τὸ οἰκεῖον ἀνάθεμα κατὰ τῶν προμάχων τῆς ὀρθοδοξίας ἀναστρέφειν ἐκφρυάξατο, καὶ τὴν βαρβαρικὴν μανίαν ἐκκλησιαστικὴν παρανομίαν ἐφιλονείκησαν ἀπεργάσασθαι, αὐτίκα καὶ τὸ φρικτὸν ἐκεῖνο καὶ ποινῆς ἁπάσης πέρας ἔσχατον, εἰς μύθους καὶ παίγνια μεταπέπτωκε· μᾶλλον δὲ, τοῖς εὐσεβέσι καὶ αἱρετὸν παρεσκεύασται. Οὐδὲ γὰρ οὐδ' ἡ πάντολμος τῶν ἐχθρῶν τῆς ἀληθείας γνώμη, τὰς ποινὰς, καὶ μάλιστα τὰς ἐκκλησιαστικὰς, ποιεῖ φοβερὰς, ἀλλὰ τῶν πασχόντων τὸ ὑπεύθυνον, ὡς τό γε ἀνεύθυνον καὶ εἰς χλεύην τὰς ἐκείνων τιμωρίας ἕρπει, καὶ κατ' ἐκείνων τὸ δικαίωμα τῆς τιμωρίας ἀναστρέφει, καὶ τῷ ὑπ' αὐτῶν τιμωρουμένῳ στεφάνους ἀκηράτους, καὶ ἀθάνατον δόξαν, ἀντὶ ποινῆς, ἀπεργάζεται. Διʼ ὃ καὶ ἕκαστος τῶν εὐσεβῶν καὶ ἁγίων, ὑπ' αὐτῶν ἠλλοτριωμένων Χριστοῦ, μυριάκις αἱρεῖται προπηλακίζεσθαι, καὶ ἀναθεματίζεσθαι ἢ τοῖς αὐτῶν μισοχρίστοις καὶ θεστυγέσιν μετὰ λαμπρᾶς τῆς εὐφημίας κοινωνῆσαι πονηρεύμασιν.

Erat olim terribile anathema, et fugiendum; nempe cum a veritatis præconibus, contra reos et improbos ferebatur. Ex quo vero audax et impudens alastorum quorumdam vesania, contra leges omnes divinas et humanas; contra omnem rationem Græcam, barbaram, ipsorum anathema in propugnatores orthodoxæ pietatis jaciat insolenter, et furores barbaricos, ecclesiasticas transgressiones magna contentione habendas contendunt; e vestigio illud formidandum, et omnium suppliciorum extremum, in fabulam et ludibrium evasit: potius viri pii illud exoptaverint; non enim sententia per audacissimos veritatis hostes lata pœnas saltem ecclesiasticas formidabiles facit, sed reatus eorum in quos intorquentur. Quod si innocens quis fuerit, ridendas illorum pœnas propinat, et in ipsorum met judicium mutat, illi autem quem multarunt coronam immarcescibilem, et immortalem gloriam pro suppliciis procurat. Quocirca quisque pius et sanctus vir mille modis optaverit, potius ab iis qui a Christo alieni sunt contumeliis affici, et anathemate feriri, quam cum splendore et applausu de ipsorum impietatibus participare, qui Christo odiosi, et Deo invisi sunt.

ΕΠΙΣΤ. ΙΗ'.

Μιχαὴλ μητροπολίτῃ Μιτυλήνης.

EPIST. XVIII.

Michaeli Mitylenes metropolitæ.

Montacut. (ep. 116, p. 157).

Ὥσπερ τοὺς τοῦ Δεσπότου μαθητὰς τὸ μισόχριστον τῶν Ἰουδαίων συνέδριον ἀποσυναγώγους ποιήσαντες, ἐκείνους μὲν μᾶλλον τῷ Διδασκάλῳ καὶ Δεσπότῃ προσῳκείωσαν, ἑαυτοὺς δὲ τέλεον καὶ τῆς θείας μυσταγωγίας, καὶ τῆς οὐρανῶν βασιλείας ἠλλοτρίωσαν. Οὕτω καὶ νῦν οἱ τῶν Ἰουδαίων μιμηταὶ, τοὺς τῶν ἀποστόλων ζηλωτὰς, ἀποσυναγώγους ποιήσαντες, ἡμᾶς μὲν τοῖς θεσπεσίοις ἐκείνοις καὶ αὐτόπταις τοῦ Λόγου, συνῆψάν τε μᾶλλον καὶ συνήνωσαν. Ἡ γὰρ κοινωνία τῶν παθῶν ἀκριβεστέραν ποιεῖται τὴν ἐν βίῳ καὶ πίστει συνάφειαν· ἑαυτοὺς δὲ καὶ τῆς ἐκείνων διδασκαλίας, καὶ τῆς ἡμετέρας ὀρθοδοξίας, ἐλεεινῶς τε καὶ ἀθλίως ἐναπέτεμον· καὶ τῆς Χριστιανῶν ὅλως καὶ κλήσεως καὶ πολιτείας τὴν ἑαυτῶν μοῖραν διῳκάσαντες, εἰς τὴν τῶν Ἰουδαίων, οὓς παρεζήλωσαν, καὶ χριστομαχίαν καὶ μιαιφονίαν φερόμενοι ἐκπεπτώκασιν.

Quemadmodum discipulos Domini nostri Judæorum Christiosorum synedrium e synagogis ejicientes, illos eo facto, magis magistro et Domino dedere copulatos, at seipsos penitus a cœlesti mystagogia et regno cœlorum alienos reddidere. Ad eumdem modum et nunc Judæorum imitatores apostolorum zelotas nos e synagogis ejicientes, eo facto divinis illis, et Verbi incarnati spectatoribus nos magis conjunctos adunierunt; siquidem communes passiones, exactissimam vitæ et fidei conjunctionem operantur; semet autem ipsos ab eorum doctrina, et orthodoxa nostra fide, miserum et miserandum in modum absciderunt; et cum separati sunt omnino a Christianorum nomine et politia, in Judæorum quos zelo imitantur, oppositionem contra Christum, et homicidii pollutionem abrepti exciderunt.

Digitized by Google Распознавание текста ABK/FR

EPIST. XIX.

Euschemoni et Georgio metrop.

ΕΠΙΣΤ. ΙΘ'.

Εὐσχήμονι καὶ Γεωργίῳ μητροπολίταις.

Montacut. (ep. 126, p.166).

Non despondeo animum, dum intueor tempestatem malorum, et tyrannidis intensionem ; audio enim vos per fidem in Deo certam, et pietatem efflorescentes et vernantes ; imo lætitia afficior eo quod illorum summa impudentia, qui dedecus vobis et turpitudinem volebant affricare, vos et pulchriores reddidit, et probatiores. Sed, o vos amici, filii, fratres, et si quid nomen filiali amore et naturali affectione magis familiare sit, usque ad finem consummatum in Deum hunc animum et affectum conservemus : et quemadmodum Jobus ille generosus, ipsorum ducem diabolum, per stupendam illam patientiam et fortitudinem triumpho duxit, ita vos ut Christi populus ille sanctus, regaleque sacerdotium, ut et olim, ita etiamnum istosce illius germanos primipilares discipulos, cum lessis et lamentis, nec quo se conferant scientes, publice spectandos exhibebimus. Nam quod vos probe nostis æque atque ego, brabia et coronæ exspectant eos, qui usque ad finem decertant.

Οὐκ ἀθυμῶ, τὴν χειμῶνα τῶν κακῶν καὶ τῆς τυραννίδος ἐπιτεινόμενον βλέπων. Ταῖς γὰρ εἰς Θεὸν ἐλπίσι, καὶ τῇ εὐσεβείᾳ ἀνθοῦντας ὑμᾶς καὶ ἐαρίζοντας ἀκούω · μᾶλλον δὲ καὶ χαίρω, ὅτι καὶ ὡραιοτέρους καὶ δοκιμωτέρους ἡ τῶν καταισχῦναι καὶ ἀσχημονῆσαι σπουδασόντων ὑμᾶς ἔδειξεν ἀναισχυντία. Ἀλλ', ὦ φίλοι καὶ τέκνα καὶ ἀδελφοί, καὶ εἴ τι στοργῆς καὶ σχέσεως φυσικῆς οἰκειότερον, ἕως τέλους Θεῷ τὴν αὐτὴν εὐγνωμοσύνην καὶ τὸ φίλτρον διασώσωμεν · καὶ ὅπερ Ἰὼβ ὁ γενναῖος τὴν καθηγητὴν αὐτῶν πεπονθότα [r], διὰ τῆς θαυμασίας ἐκείνης ὑπομονῆς καὶ ἀνδρείας ἐθριάμβευσε · τοῦτο καὶ ὑμεῖς, καὶ λαὸς ἅγιος τοῦ Χριστοῦ, καὶ βασίλειον ἱεράτευμα, ὥσπερ μέχρι νῦν, οὕτω καὶ διαπαντὸς, τουτουσὶ τοὺς ἐκείνου γνησίους καὶ κορυφαίους μαθητὰς, ὀδυρομένους καὶ ἀμηχανοῦντας ἐπιδείξομεν. Καὶ γὰρ, ὡς καὶ ὑμεῖς συνεπίστασθε, τῶν εἰς τέλος ἀγωνιζομένων ἐστὶ τὰ βραβεῖα καὶ οἱ στέφανοι.

EPIST. XX.

Theodoro metropol. Laodiceæ.

ΕΠΙΣΤ. Κ'.

Θεοδώρῳ μητροπολίτῃ Λαοδικείας.

Montacut. (ep. 140, p. 198).

Scio plurimos fidelium ita affectos esse, ut occasionem omnem quærant, qua possint propriæ virtutis illustre quoddam specimen exhibere ; et martyres felices prædicare, quod barbaram tyrannorum crudelitatem nacti fuerant, qua possint in æternum, suam ipsorum animi magnitudinem quasi columnæ insculptam stabilire. Sane adest hæc ipsa occasio, vel major potius, quam speraret etiam valentissimus. Confido, autem quod qui contra tuam generositatem insurrexit, ultimam, maximam, et perpetuo memorandam confusionem incurret, in opprobrium propriæ cum infirmitatis tum audaciæ. Ita ut immota tua formidine perculsus, ulterius aliquid attentare cessabit. Ita per hanc unicam concertationem, duo egregia consequere trophæa, cum ut victor proclamare, tum ut fratribus malorum impendentium gravitate, et labores multos, propriis tuis certaminibus allevies.

Οἶδα πολλοὺς τῶν πιστῶν ἀνδρῶν, καιρὸν ζητοῦντας, ἐφ' ὃν τῆς οἰκείας ἀρετῆς τὸ μέγεθος ἐπιδείξαιντο · καὶ τοὺς μάρτυρας μακαρίζοντας, ὅτι τυράννων ἔσχον ὠμότητα τὴν ἀνδρείαν αὐτῶν εἰς αἰῶνα στηλιτεύουσαν. Ἐφίστηκεν οὗτος ὁ καιρὸς, εἰ καὶ πλέον, ἢ ὅσον ἂν καὶ ὁ γενναιότατος ἤλπισε · πείθομαι δὲ, ὡς τελευταῖον καὶ μέγιστον τῆς ἰδίας ἀσθενείας, καὶ τοῦ θράσους, ὁ τῇ σῇ γενναιότητι ἐπαρθεὶς προσενεχθῆναι, ἀείμνηστον τὸν ἔλεγχον δώσει · καὶ τὴν σὴν στερρότητα καταπλαγείς, καὶ τῶν λοιπῶν ἐκτραπήσεναι τὴν πεῖραν · ὡς ἅμα δύο τὰ μέγιστά σε, δι' ἑνὸς ἀγῶνος, κατορθῶσαι, νικηφόρον τε ἀναῤῥηθῆναι · καὶ τοῖς ἀδελφοῖς τῶν ἐπικρεμαμένων κακῶν τὴν ὑπερβολὴν, καὶ τοὺς πολλοὺς [s] πόνους, ἰδίοις ἄθλοις, κουφίσαι.

EPIST. XXI.

Eidem.

ΕΠΙΣΤ. ΚΑ'.

Τῷ αὐτῷ.

Montacut. (ep. 141. p. 199).

Generosos plane stadium exspectat : nemo feminea teneritudine emollitus, introeat. Quod si quis sit qui exsilierit, recedat quantocius ; vel a sua sententia, vel a colluctatione. Neque enim labores talibus congruunt. Sed neque ab auro onustis : nec ambitione inflatis. Omnino qui corporeis voluptatibus inhiat, ut mihi stat ententia, ne se componat ad certamen : velim ego longe removeri, si non præveniat is, et impleat votum meum.

Γενναίων ὄντως ἀνδρῶν τὸ στάδιον δεῖται · μηδεὶς εἰσίτω θηλυδρίας · ἂν δ' εἰσεπήδησε, θᾶττον ἀποστήτω · ἢ τῆς γνώμης, ἢ τῶν παλαισμάτων. Οὐ γὰρ τῶν τοιούτων οἱ πόνοι. Ἀλλὰ μηδ' ὁ χρυσῷ τὸν βίον βεβαρημένος · μηδ' ὁ πρὸς κενὰς δόξας ἀνεπτερωμένος. Τὸν γὰρ πρὸς τὰς τοῦ σώματος ἡδονὰς ἐπτερωμένον, οὐδ' ἀποδύασθαι πρὸς τὸν ἀγῶνα νομίζω. Ἀλλὰ καὶ εὔχομαι πόῤῥω καθεστάναι, εἰ μὴ προλαβὼν ἐπλήρωσεν [s*] ἐκεῖνος τὴν εὐχήν.

VARIÆ LECTIONES.

[r] ἴσ. γεγονότα. [s] πολλῶν. [s*] ἡμῶν.

Digitized by Google Распознавание текста ABK/FR

ΕΠΙΣΤ. ΚΒ'.

Εὐθυμίῳ μητροπολίτῃ Κατάνης.

Montacut. (ep. 148, p. 205).

Γενέσθαι μὲν ἐμοὶ σχολὴν, ὥστε τὰ σὰ διηγεῖσθαι, ἀπεύχομαι [1] · γενέσθαι δὲ, ὥστε μηδ' ἀκοῦσαι, προέλαβες. Τί οὖν αἰτιᾷς, ὅτι μηδ' ἅπερ ἤλπισα, ἠκουσα. καὶ ὅτι σιγὴν ἐθέμην, οἷς μηδὲ τὴν ἀκοὴν ἡδέως ἠνέῳξα. Ἀλλ' εἰ, διότι ὅλως τὴν ἀκοὴν τῶν τοιούτων ὑπέμεινα, τῆς περὶ φίλους ὀλιγωρίας γράφὴν ἔνοχος γράφεσθαι · τί ἂν δράσειαν οἱ τοιαῦτα δεδρακότες, δι' ὧν καὶ τοὺς φίλους τῆς ὑπὲρ αὐτῶν ἐν τῷ λέγειν παῤῥησίας, ἀπεστέρησαν, καὶ τῶν δυσμενῶς ἐχόντων τὰς γλώσσας, οὐ καθ' ἑαυτῶν μόνον, ἀλλὰ καὶ κατ' ἐκείνων οἳ ποτε τῶν πεπλησιακότων ἦσαν, ἠκόνησαν. Τί οὖν δεῖ ποιεῖν ; σὸν ἐστιν, (ὦ πῶς σε προσείπω) καὶ ἡμῖν ὑπὲρ σοῦ, εἰθ' ἑῶφελες, τὴν παῤῥησίαν, ἣν εἴχομεν, ἀποδοῦναι · καὶ μηδὲν ἀκούειν ἀηδὲς περὶ σοῦ · ἀλλὰ καὶ τοὺς κακῶς σε λέγοντας νῦν, ἐπιστομίσαι, εἰς τὴν ἀρχαίαν ἐπαναδραμόντα κατάστασιν.

EPIST. XXII.

Euthymio Catanensi metropol.

Esse mihi otium, ut res tuas enarrem, opto ; at ne eas intelligam præveniendo cavisti. Quid causaris ergo, quod quæ non sperabam, audiam ; et quod silentio texerimus, quæ libens fando non acciperem? Quod si autem, quia fando necessaria accepi, dignus sum cui dicam scribatur contemptæ amicitiæ. Quid et illi faciant, qui talia faciunt, quæ et amicos libertate privent pro ipsis dicendi, et malevolas linguas non tantum in ipsos, sed in eos etiam quibus olim utebantur familiariter, exacuunt. Quid ergo faciendum? Hoc ad te spectat (o quo te nomine compellem !) et, mihi libertatem condonare, si id placuerit, satis abunde jam olim habui ; et ut nihil de te audiam quod minime placet ; sed tu ad priorem constitutionem revolvendo, eorum ora qui te nunc lacerant, obturabis.

ΕΠΙΣΤ. ΚΓ'.

Γεωργίῳ μητροπολίτῃ Νικομηδείας.

Montacut. (ep. 169, p. 243).

Εἴθε μοι τῶν σῶν ἦν ἐνάμιλλα λόγων τὰ ἔργα · οὐχ ἵνα κλέος ὄντες ἀκεστορίδων Γαληνὸς καὶ Ἱπποκράτης, ὡς αὐτὸς ἡμᾶς θειάζων γράφεις, Ὑπεξίστανταί μοι τῶν πρωτείων · οὐδ' ἵνα τῶν Ἀσκληπιαδῶν τὸ μέγα ὄνομα τῷ ἡμετέρῳ καταχωσθείη · ἀλλ' ὡς ἂν εἴην, εἰ καὶ μὴ πρὸς ἕτερόν τινα, ἀλλ' οὖν ἐν τούτῳ γε τῷ μέρει μικρά τις κατὰ τῶν σωματικῶν παθῶν τοῖς φίλοις καὶ συνάθλοις ἐπικουρία.

EPIST. XXIII.

Georgio metropolitæ Nicomediensi.

Utinam ex æquo verbis tuis opera mea responderent, non ut Acestoridum gloria, Galenus et Hippocrates, ut tute me encomiis ornans scribis, mihi cedentes primas darent nec ut ingens illud Asolepiadarum nomen nostro nomine obrueretur, sed ut præstetur, licet non ad aliud quidpiam, saltem hac in parte exiguum quid quoad corporis passiones amicis et synathletis auxilium.

ΕΠΙΣΤ. ΚΔ'.

Θεοδώρῳ μητροπολίτῃ Λαοδικείας.

Montacut. (ep. 171, p. 244).

Ἀρότρῳ μὲν, ὡς ἡ παροιμία φησὶν, ἀκοντίζεις, ἀντὶ τοῦ μετανοεῖν θρασυνόμενος. Οὐ γὰρ μετανοίας ἀλλ' ἀπονοίας, ἑαυτῷ τῶν ἐσφαλμένων ἐπιτρέπειν τὴν συγγνώμην. Εἰ δέ σοι καὶ ληρεῖν δόξαιμι, ἔσται σοι οὐκ εἰς μακρὰν τὸ παροιμιῶδες, συνεχῶς ἐπ' ἔργοις ᾀδόμενον, Ἄρτι μῦς πίττης γεύεται.

EPIST. XXIV

Theodoro metropolitæ Laodiceno.

Aratro, quod proverbiis usurpatur, jacularis, qui cum debeas pœnitere, audaciam urges. Nec enim pœnitentis, sed insanientis est sibimet permittere errorum condonationem. Quod si tibi videro delirare, in te proverbium quod non ita dudum sæpe jactatum quadravit : Mus scilicet picem gustavit.

ΕΠΙΣΤ. ΚΕ'.

Εὐσχήμονι ἀρχιεπισκόπῳ Καισαρείας.

EPIST. XXV.

Euschemoni Cæsareæ archiepiscopo.

Montacut. (ep. 173, p. 245).

Οὐδὲν θαυμαστὸν, εἰ μὴ τοῖς δικαίοις ἅπαντες χαίρουσιν · ἀλλ' ἐκεῖνο θαυμαστὸν ἂν ἦν καὶ λίαν ἐνδίκως, εἰ πάντες ὑπ' ὀφθαλμοῖς τῆς δίκης ἐπολιτεύοντο. Ἀγαπητὸν δ' ἐμοὶ, κἂν οἱ πλείους εἶησαν (ὅπερ οὐκ ἐστὶ) φίλοι τοῦ δικαίου. Μερίδα μὲν γὰρ ὀλίγην ὁρῶ ῥέπουσαν εἰς δικαιοσύνην, τὸ δὲ πλῆθος ἐπισύρεται ἡ ἀδικία. Ὅτε τοίνυν οὕτως ἔχει ταῦτα τί δήποτε ἀλύεις σὺ καὶ ἀσχάλλεις, ὅτι τὸ δίκαιον, οἷς ἐστιν οἰκεῖον, ἀπονέμων, ὑπὸ τῶν τὰ δίκαια μισούντων τὴν ἴσην ὕβρι ὑπομένεις. Τοὐναντίον γὰρ ἐχρῆν σε σκυθρωπάζειν καὶ ζητεῖν λύσιν εὑρεῖν τοῦ

Mirum non est, si justis hominibus plerique omnes haud plane delectantur. Illud autem mirandum magis, si tanquam in conspectu justitiæ, omnes et singuli vitæ cursum instituant. Mihi sufficit si plusculi sint ; ut certe pauci sunt tales, qui justitiam consectantur. Partem sane non magnam ad justitiam colendam propensos video, multitudinem ad se rapit injustitia. Hæc ita se habere, quid tute hæsitas, qui cum juste justitiam cui debetur administras, ab illis quibus justum quod est, odiosum est, pariter reportas contumeliam. Omnino te decuit contrario

VARIÆ LECTIONES.

[1] ἐπεύχομαι.

Digitized by Google Распознавание текста ABK/FR

modo affectum esse, torvo vultu eos intueri, et id agere sedulo ut solamen invenias illius quod te contristatum reddet, si modo hostes qui se justos profitentur, linguam tibi amicam largiri vellent.

λυποῦντος εἰ οἱ τῆς δίκης ἐχθροί σοι φίλην ἐχαρίζοντο γλῶσσαν.

EPIST. XXVI.

Paulo Cæsareæ archiepiscopo lapso.

ΕΠΙΣΤ. ΚϚ'.

Παύλῳ γεγονότι ἀρχιεπισκόπῳ Καισαρείας καὶ ἀποστήσαντι.

Montacut. (ep. 175, p. 262).

Arcadiam me flagitas, quispiam diceret, nec injuria, proverbialiter. Ego autem exhibeo, sed non e plaustro, nec a Scythis mutuatum verbum, sed quale amet charitas. Improbus exstitisti erga amicos divinæ legis proditor, hostis propriæ confessionis : et tamen rogitas cur te ut improbum diffugiunt homines, nec congressu suo communi dignantur ? Nimirum ideo (o quo te titulo jure designem!) quod terribile arbitrantur, vel per *salve* communionem habere cum operibus tuis impiis.

Ἀρκαδίαν με αἰτεῖς, εἴποι ἄν τις, καὶ μάλα εἰκότως, παροιμιαστὴς ἀνήρ · ἐγὼ δέ σοι δώσω, οὐ τὰ ἐξ ἁμάξης, οὐδὲ τὴν ἀπὸ Σκυθῶν ῥῆσιν, ἀλλ' ἅπερ ἂν φιλεῖ ἡ ἀλήθεια · κακὸς ἐγένου φίλοις, καὶ θείου προδότης δόγματος, καὶ τῆς σῆς ὁμολογίας πολέμιος. εἶτα διερωτᾷς τί δήποτέ σε οἱ εὐσεβεῖς ὡς ἐναγῆ ἀποστρέφονται, μηδὲ τῆς κοινῆς ἀξιοῦντες προσρήσεως ; (ὦ, τί σε δικαίως προσείπω ;) φοβερὸν ἡγοῦνται καὶ τὸ διὰ τοῦ χαίρειν κοινωνῆσαι τοῖς ἔργοις σου τοῖς πονηροῖς.

EPIST. XXVII.

Zachariæ metropol. Chalcedonis.

ΕΠΙΣΤ. ΚΖ'.

Ζαχαρίᾳ μητροπολίτῃ Χαλκηδόνος.

Montacut. (ep. 179, p. 267).

Misi tibi amaram potionem, præparatione confectionequenovam, stomacho inservientem roborando ab eadem arte qua prius profectam, sed tempore antiquiorem. Horum medicamentorum prius mane recipies cum tertia parte ejus quod una mittitur, sumatur in aqua tepida aut melicrato, prout alterutrum magis ferre possis : et post amari illius medicamenti potionem, sumas alterum licet per mensem integrum continuatum, usque ad nucis Ponticæ quantitatem, ternis porro bolis distributum sumito. Illam ante solis exortum, alteram ad occasum solis post cœnam, stomachi cachexiam ita in melius reformabis, et aurium dolorem sedabis. Non possum tibi promittere totalem sanationem : nam morbi inveterati vix ad tempus breve sanantur. Atque ut alibi, ita imprimis in promissionibus medicamentalibus id quod turgescit reprobandum : sed divino facile aspirante auxilio mitigatum magis statum consequeris et habitudinem.

Ἔπεμψά σοι πικράν, τῇ τε κατασκευῇ, καὶ τῇ ἐπινοίᾳ νέαν · καὶ βοήθημα στομαχικὸν, τέχνης μὲν τῆς αὐτῆς, ἡλικίας δὲ πρεσβυτέρας. Τούτων τὴν μὲν ὑπὲρ ἡμέραν ὄρθρου προσφερόμενος κατὰ τριτημόριον τοῦ σταλέντος, ὕδατι χλιαρῷ, ἢ καὶ μελικράτῳ, ὡς ἂν ᾖ σοι ἀλυπώτερον · τὸ δὲ, μετὰ τὴν τῆς πικρᾶς ποσιν, καθ' ὅλον ἡμερῶν μῆνα, Ποντικοῦ καρύου κατὰ μέγεθος, ἐς τρία τῷ πλήθει λαμβάνων. τὰ μὲν, ἡλιακῶν αὐγῶν πρωϊαίτερον · τὸ δὲ λοιπὸν, δυομένου καὶ ἐπισείπνιον · τήνδε στομαχικὴν καχεξίαν ἐπὶ τὸ ἄμεινον ἕξεις μεθισταμένην σοι, καὶ τὴν τοῦ ὠτὸς περιωδυνίαν. Οὐκ ἂν δὲ φαίην εἰς ἀπαλλαγὴν παντελῆ · βραχεῖά τε γὰρ θεραπεία χρονιωτέρων ἥττᾶται νοσημάτων, καὶ ὥσπερ πανταχοῦ, οὕτω μάλιστα ταῖς ἰατρικαῖς ὑποσχέσεσι νεμέσητον τὸ ὑπέρογκον. Ἀλλ' οὖν τῆς ἄνω ῥοπῆς, εἰς εὐμένειαν ὁρώσης, εἰς πολὺ ῥᾴονα συγκαθισταμένην σοι διάθεσιν.

EPIST. XXVIII.

Eulampio archiepiscopo et sceuophylaci.

ΕΠΙΣΤ. ΚΗ'.

Εὐλαμπίῳ ἀρχιεπισκόπῳ καὶ σκευοφύλακι.

Montacut. (ep. 184, p. 275).

Adversatur virtuti improbitas, nec in amicitiam coalescent aliquando : utraque proprium subjectum habet, et amplectitur cui innititur : fieri non potest ut, subjectis pugnantibus, ea quæ incubant, inducias agant : si hoc ita se habet mirari noli, si is, qui minister est impietatis, bellum iis denuntiat cum magno statu, qui virtutem ipsi ex adverso constitutam repræsentant.

Ἔστιν ἐναντίον τῇ ἀρετῇ ἡ κακία, καὶ οὐκ ἂν εἰς φιλίαν συνέλθοιεν · ἑκατέρα δὲ ὑποκείμενον οἰκεῖον, ἐφ' ᾧ ἵδρυται, καταλαμβάνουσα ἔχει · οὐκ ἔστιν οὖν, μαχομένης, τῆς ἐφιδρυμένης, σπένδεσθαι τὸν ἑδράζοντα · εἰ δὲ τοῦτο, μηδὲν θαυμάζῃς, εἰ ὁ τῆς κακίας ὑπηρέτης, κατὰ τῶν ἀντιπρόσωπον αὐτῷ τὴν ἀρετὴν προβεβλημένων, μέγα πνεῖ τὸ πολέμιον.

EPIST. XXIX.

Euschemoni archiepiscopo Cæsareæ.

ΕΠΙΣΤ. ΚΘ'.

Εὐσχημόνι ἀρχιεπισκόπῳ Καισαρείας.

Montacut. (ep. 186, p. 274).

Improbitas (neque hac videatur tibi paradoxum quid, cum satis testetur verum quotidiana per vitam experientia) si non velo virtutis opposito vele-

Ἡ κακία (καὶ μηδέν σοι δόξει παράδοξον, ἡ γὰρ τῶν ἐν βίῳ πεῖρα σαφῆς τῶν τοιούτων διδάσκαλος) ἂν μηδὲ τῆς ἀρετῆς ὑπέλθοι τὸ σχῆμα, τάχιστα διέλ-

Digitized by Google Распознавание текста ABK/FR

λυται · μὴ τοίνυν ἀθύμει ταύτην ὁρῶν, τὸ λεγόμενον, γυμνῇ τῇ κεφαλῇ θρασυνομένην καὶ ἀπηρυθριασμένῳ προσώπῳ κατὰ πάντων ἀσελγαίνουσαν· βραχὺς ὁ χρόνος, καὶ εἰς διαφθορὰν αὐτὴν ὄψει, σὺν μεγάλῳ ἤχῳ καταστρέφουσαν· ἔχεις δὲ καὶ τὸν Προφήτην ἐμοὶ συμφθεγγόμενον· Εἶδον τὸν ἀσεβῆ ὑπερυψούμενον καὶ ἐπαιρόμενον, ὡς τὰς κέδρους τοῦ Λιβάνου, καὶ παρῆλθεν [a], καὶ ἰδοὺ οὐκ ἦν· ἐζήτησα αὐτόν, καὶ οὐχ εὑρέθη ὁ τόπος αὐτοῦ.

tur, quantocius dissipatur. Noli quocirca despondere animum, si quod dici solet, aperte et nudato capite, audaciam illam videas insolescentem, et in conspectu contra omnes non erubescente vultu lascivientem. Tempus breve interveniet, cum illam videbis cum ingenti sonitu in perniciem præcipitatam. Atque hic mihi consentientem Prophetam habes. *Vidi*, aiebat ille, *impium in sublimi exaltatum, et tanquam e cedris Libani elatum ; præteribam vero, et ecce non erat : quærebam eum, et non est inventus locus ejus* [1].

ΕΠΙΣΤ. Λ'.

Ζαχαρίᾳ μητροπολίτῃ Ἀντιοχείας.

EPIST. XXX.

Zachariæ metropolitæ Antiocheno.

Montacut. (ep. 191, p. 289).

Ὁ μακάριος καὶ θεῖος Παῦλος, ὁ τῶν ἐθνῶν ἀπόστολος, καὶ τῆς οἰκουμένης διδάσκαλος, ὁ τὸν γύρον ἅπαντα τῆς γῆς περιλαβὼν τῷ κηρύγματι, οὗτος ὁ τῷ οὐρανίῳ παιδευθεὶς διδασκαλείῳ καὶ τῶν ἀπορρήτων ἐκείνων ῥημάτων, πρῶτος ἀνθρωπίνην ἀκοὴν ἐπιδείξας κατήκοον, πολλαχοῦ τοὺς μαθητὰς τῆς μετὰ τῶν φαύλων διατριβῆς ἀπείργων, αὐτὸς οὐ μόνον συνῆν καὶ συνανεστέφετο, ἀλλὰ καὶ τοῖς ἀνόμοις ὡς ἄνομος συνδιετίθετο. Τί τοῦτο ; Μὴ γὰρ ἅπερ ἑτέροις ἀπέτρεπεν, αὐτὸς καθ' ἡδονὴν ἔπραττεν ; ἢ τῶν μαθητῶν μὲν τὸ ἀσφαλὲς διετίθετο, ἑαυτῷ δὲ τὴν βλάβην εἰσέφερεν ; ἢ λήθην ἔχων ὧν ἄλλους ἐπαίδευεν, αὐτὸς τἀναντία ἔστεργε ; μὴ γένοιτο ! ἀλλ' ἑκάτερον τούτων ἀκριβῶς συνεπίστατο, καὶ τὸ καθ' ἑαυτὸν τέλειον, καὶ πρὸς κακίαν ἀμετακίνητον, καὶ τῶν πολλῶν τὸ ἀτελὲς καὶ πρὸς τὰ χείρω εὐέμπτωτον. Ταῦτα δὲ καλῶς εἰδὼς καὶ συνεπιστάμενος, ἐκείνοις μὲν τὰς ἐκ τῶν ἐπισφαλῶς βιούντων βλαβὰς ἀνακόπτων καὶ ἀποκρουόμενος τῆς μετ' αὐτῶν διαίτης καὶ ἀναστροφῆς διεκώλυεν· ἑαυτὸν δὲ καὶ εἰς μέσους φέρων ἦιει, καὶ ὁμορρόφιος αὐτοῖς πολλάκις, καὶ ὁμοδίαιτος ἐχρημάτιζεν · οὐ δεδίως μετασχεῖν κηλῖδος τῆς παρ' αὐτῶν · θαρρῶν δὲ καὶ μεταδώσειν τῆς ἐνούσης καθαρότητος · οὕτω τοιγαροῦν ὁ αὐτὸς σκοπός, ἡ τῶν ψυχῶν, φημὶ, σωτηρία, διὰ τῶν ἐναντίων τῷ μακαρίῳ Παύλῳ ἐπεραίνετο· αὐτοῦ μὲν τῶν οὐκ εὐαγῶς βιούντων τὴν σύνοδον, ἐπὶ διορθώσει τῶν συνόντων οὐ παραιτουμένου · τοὺς δὲ μαθητὰς οὐκ ἐῶντος παραπλησίως πράττειν, ἵνα μὴ χρηστὸν ἦθος κακαῖς ὁμιλίαις ἐνδιαφθείροιντο. Πρὸς τί δέ μοι ἀφορᾷ ὁ λόγος, καὶ τί βούλεται ; ἢ δῆλον ὅτι τὸ παρὰ τῆς ὑμῶν τελειότητος διαλύει προτεινόμενον. Ὥσπερ γὰρ οὐκ ἦν μὲν τοῖς ἀτελέσιν ἐπ' ἐξουσίας ἔχειν, μετὰ τῶν φαύλων συναναφύρεσθαι · Παῦλος δὲ πράττων, ὅπερ ἀπεῖργε, καὶ διοικονομούμενος κατεφαίνετο, κερδαίνων μᾶλλον ἐξ ὧν ἄλλοις ὑπῆρχε τὸ ἐπιζήμιον · οὕτω χρὴ καὶ περὶ τοῦ διορισμοῦ τῆς τριετίας λογίζεσθαι, ἣν ἐπὶ τῶν προσιόντων τῷ μονάδι βίῳ ὁ ἀκριβὴς λόγος διωρίσατο. Τοὺς μὲν γὰρ πολλοὺς καὶ δεομένους προκαθάρσεως, ἄμεινον ἐκεῖθεν

Beatus et divinus Paulus, gentium apostolus, mundi doctor, qui totos terræ angulos prædicando circumiit : ille cœlesti magisterio edoctus, et inenarrabilium sermonum princeps, humanas aures audientes habens, multis in locis discipulos a conversatione impiorum excludens, non tantum versatus est ipse cum ejuscemodi, sed et *sine lege exsistentibus velut exlex convixit* [2]. Quid autem ? An ut ipse libenter ageret, quod reliquis non permisit ? an discipulorum securitati ut provideret, ipse sibi damnum creavit ? an oblitus eorum quæ suggesserat, aliis contraria obivit ? absit ! utrumque optime noverat, se perfectionem assecutum immobilem ad malum, aliorum imperfectiones et quam labiles ad deteriora : horum conscius et intelligens, discipulis inhibuit congressum et conversationem cum improbis, præcidens nempe damna et amoliens exinde futura : seipsum medius intulit, sub eodem sæpe tecto cum iis, et eadem mensa familiarius versatus : neque enim maculam ab iis metuebat : imo communicaturum se confidens de puritate sua : atque ita contrariis viis ad eumdem finem contendebat Paulus, nec declinavit convictum improbe viventium, ob correctionem secum versantium, paria admittere non sinens discipulos, ne boni mores malis conversationibus corrumperentur. Quo spectat, quid vult sibi hæc oratio ? certe solvit a vestra perfectione quæstionem propositam. Nam ut imperfecti facultatem non habebant libere cum improbis miscendi se : at Paulus faciens quod prohibebat, et quod facere cernebatur, ut lucrifaceret eo, quod aliis damnum crearet : ita oportet et de trienni exploratione statuere, quam statuit exacta disciplina erga monasticam professionem facturos : multos, utpote purificatione indigentes, melius est subire illam explorationem ; at qui se prius purgantes vitam ineunt philosophicam, non necesse habent præcise illud tempus observare : quemadmodum in iis qui hanc vitam instituunt, multa et magna differentia invenitur, et diversa eapropter

[1] Psal. XXXVI, 35. [2] I Cor. IX, 21.

VARIÆ LECTIONES.

[a] Isc. παρῆλθον.

Digitized by Google Распознавание текста ABK/FR

tante communi utilitate oblectari. Itinera quamvis longa, ubi alis amoris dilectio instruitur, et quamvis difficillima, expedite et leviter transmeantur. Quod cætera attinet, Patrum et fratrum optime, vale; scias nos tuam exspectare præsentiam, interim desiderii ardorem, spe futuræ consecutionis refocillemus. Vale.

A καὶ τῆς αὐτόθεν ἀναφυομένης κοινῆς ὠφελείας κατεντρυφήσαι. Ὁδὸς γὰρ καὶ μῆκος, οἷς ὁ τῆς ἀγάπης ἔρως διεπτέρωται, κἂν δυσχερέστατα εἴη, ῥᾷστα καὶ κούφως διεπεραίνεται. Τὰ δὲ ἄλλα, Πατέρων καὶ ἀδελφῶν ἄριστε, ἔρρωσο, εἰδὼς ἀπεκδεχομένους ἡμᾶς τὴν σὴν παρουσίαν, καὶ τὸ διακαὲς τοῦ ποθου, τῇ ἐλπίδι τῆς ἐπιτυχίας ἀναψύχοντας. Ἔρρωσο.

Propria manu exarabatur.

Ἐγράφη αὐτοχειρίᾳ.

EPIST. III.

Joanni metropolitæ Nicomediæ.

ΕΠΙΣΤ. Γ'.

Ἰωάννῃ μητροπολίτῃ Νικομηδείας.

Montacut. (ep. 17, p. 77).

Nec illudere novi, nec ferre illudentes possum. Si tu homo antiqui adeo moris, et simplex fueris, ut cum simus affecti contumeliis, ejus sensu non tangi debere nos, opineris, haud æquum erat, ut tu nos læderes, eo fine quasi morum tuorum simplicitas culpam extenuaret, et leviorem redderet. Cum vero per illa, quæ ausus es facere, studiose id egeris; ut sensum omnem a nobis suffurari posses, hac tua rusticitate duxisti ingestam nobis calumniam: nec resilire poteris ad illam quam in scenam producis nobis levitatem. Verumtamen ne non tam corrigendi, quam puniendi causa videar reprehensionem struere, cum justitiæ omnia scrutanti et pervidenti satisfecisse deprehenderis pro injuriis et contumeliis quibus sumus affecti, tum temet ego injuria me afficientem libens merito immunem dimittam a supplicio, hoc tantum commonefaciens, cujus oportet meminisse, nempe pœnam et supplicium te subterfugisse non propter morum tuorum vel scævitatem, vel malam consuetudinem, (unde fortassis, altum sapis), sed per nostram, quibus insidiabaris, bonitatem, quippe qui simus Christi discipuli et sectatores.

B Οὔτε παίζειν οἶδα, οὔτε παιζόντων ἀνέχεσθαι. Εἰ οὖν οὕτως ἦς αὐτὸς ἀρχαῖος καὶ ἁπλοῦς, ὥστε μηδ' ἡμᾶς προπηλακιζομένους αἰσθάνεσθαι οἴεσθαι, οὐκ ἔδει σε κακουργεῖν, ἵνα σοῦ τὸ ἁμάρτημα ἡ τῶν ἠθῶν ἁπλότης ἐδείκνυ κουφότερον. Ἐπεὶ δὲ καὶ τὴν αἴσθησιν ἡμῶν, δι' ὧν ἐτόλμησας, μελέτην ἔθου λῆστεῦσαι, καὶ δυστροπίᾳ τὴν καθ' ἡμῶν ὕβριν ἠύξησας· οὐδεμίαν ἔχεις ἀναχώρησιν εἰς τὴν νυνὶ παρὰ σοῦ σκηνοποιουμένην κουφότητα. Πλὴν ἵνα μὴ δόξω τὸν ἔλεγχον ἐπάγειν, οὐ διορθώσεως ἀλλὰ κολάσεως ἕνεκα, ὅτε τῇ παντεφόρῳ δίκῃ δίκας εἰσπράττεσθαι τῆς εἰς ἡμᾶς κακουργίας καὶ ὕβρεως, ὡς αὐτὸς ὁρᾷς, ἐάλως· τότε σε τῆς σῆς δικαίας ποινῆς ἐκὼν ἀδικοῦντα ἀφίημι, τοῦτο μόνον ἐπειπών, ὡς μεμνῆσθαί σε χρὴ, ὅτι μὴ τῇ σῇ τῶν τρόπων κακοηθείᾳ καὶ C δεινότητι, [ἐφ' οἷς ἴσως μέγα φρονεῖς) τῇ δ' ἡμετέρᾳ τῶν ἐπιβουλευθέντων χρηστότητι (Χριστοῦ γάρ ἐσμεν μαθηταὶ), τὴν τιμωρίαν διέφυγες.

EPIST. IV.

Ignatio Lophorum episcopo.

ΕΠΙΣΤ. Δ'.

Ἰγνατίῳ ἐπισκόπῳ Λόφων.

Montacut. (ep. 23, p. 84).

Dolet tibi quod inhibeam tibi injuste agere; at mihi magis juste dolere debet, quod non impediverim hæc ipsa exordiri. Sin dolorem meum occultum necesse est effari, quod ipse tibi causam exhibuerim, unde cum fieri volebas improbus, improbus revera esse possis, vides ut memetipsum auctorem tuis improbitatibus ascribam. Quid reris de me dicturi sunt alii, cum de tuis factis ringantur, neque habent elabendi facultatem? quomodo laturum illorum afflictiones, quarum tu es architectus, communem Dominum reris? Annon infestum experiere, qui hominem evexerit dignitate eum, quem par erat cum infimis subditorum accenseri? hoc modo me in te animatum puta: quod si non libenter et quantocius improbe agere desiveris, scito mihi incumbere necessitatem, ut te penitus a meiipsius et Ecclesiæ communione abscindam.

Ἀλγεῖς, ὅτι σε νῦν ἀδικοῦντα διακωλύω· ἐγὼ δὲ μᾶλλον καὶ δικαιότερον, ὅτι μὴ πάλαι μηδ' ἄρχειν [a] τοιαύτης πράξεως. Εἰ δὲ καὶ τὸ ἐμὸν κρύφιον ἄλγος δέον ἐξειπεῖν ὅτι σοι παρέσχον ἀφορμὴν, δι' ἧς κακῶς [b] βουληθεὶς, ἐδυνήθης γενέσθαι, ὁρᾷς, ὡς τῶν D σῶν ἀδικημάτων, αὐτὸς ἐμαυτὸν αἴτιον ἐγὼ γράφω. Τί ἂν οὖν οἴει τοὺς ἄλλους λέγειν περὶ ἐμοῦ, ὅταν τοῖς σοῖς ἀνιῶνται, καὶ φυγεῖν οὐκ ἔχουσι, τὸ μὴ δυαρορεῖν [c]; πῶς δὲ τοῖς ἐκείνων, ἅπερ αὐτὸς διέθου, παθήμασιν, οὐ τὸν κοινὸν Δεσπότην εὑρήσειν δυσμενῆ, ἀρχὴν ἐγχειρήσαντα ἀνδρὶ, ᾧ κρεῖσσον ἦν τοῖς τῶν ἀρχομένων ἐσχάτοις ἀντεξετάζεσθαι; Οὕτω μελογίζεσθαι νόμιζε περὶ σοῦ· καὶ εἰ μὴ θᾶττον καὶ ἡδέως σαυτοῦ τὰ ἀδικήματα περικόψῃς, ἀνάγκην εἶναί μοι, ἐμοῦ τε καὶ τῆς ὅλης Ἐκκλησίας, τέλεόν σε διακόψαι.

EPIST. V.

Georgio Nicomediæ metropolitæ.

ΕΠΙΣΤ. Ε'.

Γεωργίῳ μητροπολίτῃ Νικομηδείας.

Montacut. (ep. 24, p. 84).

Virum probum et honestum te prædicant, qui

Καλόν σε καὶ ἀγαθὸν οἱ αὐτόθεν φρονίζουσιν ἥκον-

VARIÆ LECTIONES.

[a] Ἴσ. ἄρχοντα. [b] Ἴσ· κακός. [c] Ἴσ. δυσαρεστεῖν.

Digitized by Google Распознавание текста ABK/FR

τες · καὶ οἱ μὲν ἄλλοι θαυμάζουσι χαίροντες. Ἔσθ' ὅτε γὰρ, ὑπνοῦντος τοῦ φθόνου, οὐδὲν ἧττον ἄνθρωποι τοῖς ἀλλήλων, ἢ τοῖς αὐτῶν, ἡδύνονται κατορθώμασιν. Ἐγὼ δὲ χαίρω μόνον, τὸ θαυμάζειν ἐφέμενος. Οὐ γὰρ ἠγνόουν σε τοιοῦτον ὄντα, οὐδ' ἀνομοίους πάλαι τὰς ἐλπίδας εἶχον ὅσγε καὶ θείαις τελεταῖς μυσταγωγήσας ἱέρωσα · θαυμάζειν δ' ἂν οἶμαι προαχθείην, εἴ τί σου τῶν τρόπων, καὶ τοῦ ἐγνωσμένου ἦθους, ἀλλοτριώτερον διακούσαιμι. Εἰ δὲ, μὴ φεύγειν τὴν ἐφορίαν, ἐφ' ᾗ νῦν ἐτάχθης, καλῶς κατορθώσῃς, λειποταξίαν κρίνων τὴν ἐπαινουμένην πάλαι ἡσυχίαν · εὖ ἴσθι, ὡς τοῦτο ἂν ἅμα χαίρων, καὶ σὺν ὅτι μάλιστα ἐπαίνῳ θαυμάσαιμι.

A ad nos a vobis accedunt. Alii quidem cum admiratione gaudent ; ita enim interdum fit, ut sopito livore, non minus aliorum recte factis quam suismet ipsorum oblectantur homines. Ego mirari quidem mitto, tantum gaudeo. Neque enim te, qualis eras, ignorabam, nec dissimiles jam olim spes fovebam ; quippe qui sacris Christianorum institutis episcopum ordinavi. Ad mirandum vero, arbitror, procederem, si quid accepissem fando immutatum de moribus, et mihi nota satis conditione, tuis. Quod si non subterfugere provinciam, in qua constitutus es, recte tecum statuas, desertionem ordinis existimans laudatam tibi olim tranquillitatem, notum tibi sit quod affectum istum cum gaudio, et magna etiam cum laude admirarer.

ΕΠΙΣΤ. ϛ'.

Ἰωάννῃ μητροπολίτῃ Ἡρακλείας, τῆς ἐπαναστάσεως τῆς κατὰ τὴν Ἀρμενίαν συνισταμένης.

B

EPIST. VI.

Joanni Heracleensi metropolitæ, cum per Armeniam defectio agitaretur.

Montacut. (ep. 28, p. 87).

Ἀπηλγημένας λύπας ἀριθμεῖς ἐπὶ τῇ φορᾷ τῶν παρόντων κακῶν, ὥσπερ ἑκὼν τὰς αἰσθήσεις μύων, καὶ οὐκ ἐθέλων ὁρᾷν. Σείεται σχεδὸν ἡ Ἀσία πᾶσα ἐμφυλίῳ στάσει, καὶ πόλεις αὐτανδροι ὑποβρύχιοι φέρονται τῷ κακῷ, ὁ δὲ [d] τὴν φορὰν ταύτην ἐπισχεῖν ἐλπίδες ἦσαν, οὐχ ὅτι οὐδὲν ἐπικουρεῖ, ἀλλὰ καὶ πρὸς τὸ βάραθρον συνωθῶν, οὐ μικρὰ ἐπὶ τούτῳ φρονεῖ. Οἱ γὰρ καθηγούμενοι τοῦ στρατοῦ, αὐτοὶ κατὰ τῶν δυσμενῶν τὰ ὅπλα φέρειν μεθέντες (ἐῶ δὲ νῦν, ὡς κατὰ τῆς ἰδίας κεφαλῆς καὶ ἀρχῆς ἐπανετείναντο), ἀλλ' οὖν κατ' ἀλλήλων φέρειν τὸ στρατιωτικὸν ἐβαρβάρωσαν, οὔτε θεσμοὺς θείους, οὔτε ἀνθρωπίνους ἐν λόγῳ ποιησάμενοι. Πῶς οἴει τὴν πόλιν καὶ τοὺς βασιλεῖς αὐτοὺς, εἰ βούλει δὲ καὶ ἡμᾶς, ἐπὶ τηλικούτῳ διακεῖσθαι πάθει ; Ἂν δὲ τὸ κοινὸν λωφήσῃ κακὸν, λωφήσει δὲ, (τοῦτο γὰρ τὸ εὐθὺ τῆς δίκης καὶ λέγειν ἀναπείθει, καὶ ἐννοεῖν) οἰκήσεται καὶ τὰ ἐνοχλοῦντα ἑκάστῳ καὶ ἰδίᾳ λυπηρὰ, τῶν νόμων ἐπὶ τὴν ἰδίαν ἰσχὺν ἀνενεγκόντων, καὶ τῶν ἀδικεῖν ἐπιχειρούντων, ἢ καὶ ἀδικησάντων, τὴν δίκην ἀπαιτουμένων. Ἔρρωσο.

C

Mœrores insensatos enumeras in præsentium malorum diffusione, perinde ac si sensus voluntarie occluseras, neque animus esset oculis usurpare. Universa pene Asia intestina concutitur seditione ; civititates cum tota incolarum multitudine malo feruntur involuti, et suffocati undis. Qui ruinam hanc concepta spe suffulciturus credebatur, non modo nihil auxilii præstat, sed in præcipitium res deturbat, atque eam ob rem gloriose de se sentit. Exercituum ductores, omisso in hostes capessendorum armarum actu (nec refero quantopere in proprium ipsorum caput et imperium conjurent) in semet mutuo, barbarorum more, castra movent, nil leges Dei veriti, nil humanos reveriti mores. Quomodo putas, urbs, imperatores ipsi, etiam nos, si velis, afficimur hac tanta calamitate ? Quod si commune hoc quiescat malum, omnino autem conquiescat (ita enim ut loquamur persuadet justitia), simul etiam evanituræ sunt, quæ quemlibet privatim urgent calamitates ; veterem vim et debitam obtinebunt leges ; de iis qui injusti aliquid patrarunt, et injuste patrare volentibus, supplicium sumetur. Vale.

ΕΠΙΣΤ. Ζ'.

Θεοδώρῳ μητροπολίτῃ Λαοδικείας.

EPIST. VII.

Theodoro metropolitæ Laodiceæ.

Montacut. (ep. 40, p. 98).

Εἰ στάδιόν ἐστιν ὁ παρὼν βίος, ἐπάθλων δὲ ἡ ἐκεῖθεν πολιτεία · μὴ θαύμαζε εἰ τῶν δικαίων τινὲς ἐνταῦθα ταλαιπωρίαις παλαίουσι, ἀλλὰ μᾶλλον εἴ τινες τῶν ἀγώνων καὶ ἄθλων καὶ καιρὸν καὶ τόπον στεφάνων, ἡμέραν καὶ ἀναῤῥήσεως βῆμα νομίζουσιν·

Si stadium vita præsens fuerit, præmiorum, quæ ventura est, politia erit. Noli mirari si justorum aliqui cum miseriis hic colluctentur : magis autem multo, si qui rentur idem esse tempus certaminum et locum coronarum, diem manifestationis et judicii tribunal.

ΕΠΙΣΤ. Η'.

Ἰγνατίῳ ἐπισκόπῳ Λόφων.

EPIST. VIII.

Ignatio Lophorum episcopo.

Montacut. (ep. 69, p. 120).

Δυσφορεῖς καὶ θρηνεῖς καὶ τὰ ἄνω κάτω ποιεῖς, ὅτι σε ταχέως οὕτως καὶ ἀφειδῶς, ὡς νομίζεις,

Male te habet, deploras, sursum deorsum omnia misces, quod te tam cito, et tam vehementer (ut

VARIÆ LECTIONES.

[d] Ἴσ. ὧδε.

Digitized by Google Распознавание текста ABK/FR

reris) sine respectu taxaverim. Ego te non minus incuso, qui te dignum dederis hisce reprehensionibus, et nos adegeris ut ad ista dicenda, præter consuetudinem, accederemus. Si autem revera percussus fueris, et profundius penetraverit reprehensionum cuspis, tute declarabis, dum illa averseris, quæ telum hoc a nobis extorserunt. Ita plagam tibi ingestam, per Dei misericordiam, non modo persanaturi sumus, sed deinceps te ut membrum nostri corporis confovebimus.

A ἐπλήξαμεν. Ἐγὼ δέ οὐδὲν ἧττον, ὅτι σεαυτὸν τοιούτων ἄξιον παρεσκεύασας, καὶ ἡμᾶς ἐλθεῖν, παρὰ τὸ ἡμέτερον ἦθος, εἰς τοὺς περὶ σὲ λόγους ἠνάγκασας. Εἰ δ' ἀληθῶς ἐπλήγης, καὶ μέχρι βάθους ἡ τῶν ἐλέγχων ἀκμὴ ἔφθασεν, δείξεις ἐκεῖνα φυγών, ὅτ' ἀ τὸ βέλος ἀφήκαμεν· καὶ σοῦ τὴν πληγὴν σὺν εὐμενείᾳ θεοῦ οὐ μόνον ἰξιασόμεθα, ἀλλὰ καὶ τὸ λοιπὸν ὡς μέλους ἀντιποιησόμεθα.

EPIST. IX.

Theodoro metropolitæ Laodiceæ.

ΕΠΙΣΤ. Θ'.

Θεοδώρῳ μητροπολίτῃ Λαοδικείας.

Montacut. (ep. 70, p. 120).

Occasio nunc, o amice, offertur, si ipse volueris, et noster filius exsistas, vel minime reformidare mortalium minas, dum immotum te præstes veritatis athletam, illustre laudum præconium de cœlo consequi, et victorem ibidem declarari : vel dum veritatem prodis, et proditor censeris, temporali et fluida voluptate et gloria frui.

B Νῦν καιρός, ὦ φίλε, εἰ βούλει δὲ, καὶ τέκνον ἡμέτερον, ἢ τὰς ἐξ ἀνθρώπων ἀπειλὰς οὐ δεδιότα, στιβαρὸν ὀφθῆναι τῆς ἀληθείας ὑπέρμαχον, καὶ λαμπρᾶς τυχεῖν τῆς ἐκεῖθεν εὐφημίας καὶ ἀναῤῥήσεως· ἢ προσκαίρῳ καὶ ῥευστῇ ἡδονῇ καὶ δόξῃ προδότην τῆς ἀϊδίου καὶ εἶναι καὶ ὀνομάζεσθαι.

EPIST. X.

Eidem.

ΕΠΙΣΤ. Ι'.

Τῷ αὐτῷ.

Montacut. (ep. 71, p. 120).

Si finis doctrinæ et institutionis sit pudore suipsius teneri, extremæ fuerit ineruditionis necessse est, nullo aliorum pudore moveri. At gloriari de iis quæ occultanda potius fuerant, terminos excedit humanæ improbitatis.

Εἰ τέλος παιδείας τὸ ἑαυτὸν αἰσχύνεσθαι, ἐσχάτης ἀπαιδευσίας τὸ μηδὲ τοὺς ἄλλους αἰσχύνεσθαι· τὸ δὲ καὶ ἐφ' οἷς ἐγκαλύπτεσθαι προσῆκεν, ἐγκαλλωπίζεσθαι, ὑπερόριον καὶ τῆς ἀνθρωπίνης κακίας.

C

EPIST. XI.

Theodoro metropolitæ Laodiceæ.

ΕΠΙΣΤ. ΙΑ'.

Θεοδώρῳ μητροπολίτῃ Λαοδικείας.

Montacut. (ep. 87, p. 132).

Quæ de te fando accepimus, si vera sunt, tardor quidem, et vix tu qualis sis, intellexi ; sin falsa, quis fueras ab initio cognovi. In quantum ergo virum decet esse bonum et honestum, non malum et improbum, et me gaudere, non ægre ferre, quod te amicum mihi conciliavi ; in tantum te oportet evitare illa, quæ rumor est te perpetrare ; esto autem omnis hæc fama, precor, veritate destituta.

Ἅπερ ἀκούομεν περὶ σοῦ, εἰ μὲν ἀληθῆ εἰσιν, οὐδὲ καὶ μόλις γινώσκομεν ὅστις εἶ· εἰ δὲ ψευδῆ, ἀπαρχῆς ἔγνωμεν ἄρα ὅστις εἶ. Ὅσῳ οὖν διαφέρει καλὸν καὶ ἀγαθὸν εἶναι τοῦ φαύλου καὶ μοχθηρὸν γίνεσθαι· κἀμὲ χαίρειν ἀντὶ τοῦ δυσφορεῖν, ἐφ' ᾧ σε φίλον ἐποιησάμην, τοσοῦτον δεῖ σε φυγεῖν ἃ σέ φασί ποιεῖν· εἴη δὲ, πάντων ἕνεκα, τῆς ἀληθείας ἤρεμος ἡ φήμη.

EPIST. XII.

Eulampio archiepiscopo et sceuophylaci.

ΕΠΙΣΤ. ΙΒ'.

Εὐλαμπίῳ ἀρχιεπισκόπῳ καὶ σκευοφύλακι.

Montacut. (ep. 95, p. 135).

Non possunt tenebræ una cum luce adesse, odit enim veritas congressum mendacii. Post tuum a nobis discessum, qui titulum mentitur affuit Emmanuel, qui ea nobis manifestavit quæ par et probabile fuit acturum illum, et quæ mores ipsius decebant.

D Οὐκ ἐθέλει τῷ φωτὶ συμπαρεῖναι τὸ σκότος· μισεῖ δὲ καὶ τὴν σύνοδον τοῦ ψεύδους ἡ ἀλήθεια. Μετὰ τὴν σὴν ἀφ' ἡμῶν ἀναχώρησιν, ὁ τὴν κλῆσιν ψευδόμενος ἐφέστηκεν Ἐμμανουὴλ, οἷα εἰκὸς ἦν πράττειν αὐτὸν καὶ τῶν οἰκείων τρόπων ἀξίως, ἐπιδεικνύμενος.

EPIST. XIII.

Antonio Bosphori archiepiscopo.

ΕΠΙΣΤ. ΙΓ'.

Ἀντωνίῳ ἀρχιεπισκόπῳ Βοσφόρου.

Montacut. (ep. 96, p. 136).

Olim erat Axinus Scythicus pontus. Nam advenas intrantes, quod fando horribile, devorabant. Milesii vero in Euxinum transformarant per comitatem et civilitatem introductam, cicurata barbarica et bestiali consuetudine. In præsenti per te et tuos pro virtute susceptos labores et certamina et multi-

Ἦν ποτε Ἄξεινος ὁ Σκυθικὸς πόντος. Ἐποιεῖτο γὰρ βορὰν, φρικτὸν ἀκοῦσαι, καὶ τοὺς ἐμπλέοντας τῶν ξένων. Μιλήσιοι δὲ φιλανθρωπίᾳ καὶ ἡμέρῳ πολιτείᾳ, τό τε θηριῶδες καὶ βάρβαρον ἐξημέρωσαν ἦθος, καὶ εἰς Εὔξεινον αὐτὸν μετεποίησαν. Νῦν δὲ διὰ σοῦ, καὶ τοὺς σοὺς ὑπὲρ ἀρετῆς ἀγῶνας καὶ

Digitized by Google Распознавание текста ABK/FR

πόνους καὶ τὴν ἄλλην περὶ τὸ Θεῖον θεραπείαν, οὐκ Εὔξεινος μόνον, ἀλλὰ καὶ Εὐσεβὴς, μετὰ τοῦ εἶναι, καὶ ὀνομάζεται [f]. Πόσης οἴει με, ταῦτα καὶ ἐννοοῦντα καὶ γράφοντα, χαρᾶς καὶ εὐφροσύνης πληροῦσθαι; Εἰ δὲ καὶ τοὺς αὐτόθι Ἰουδαίους, εἰς τὴν ὑπακοὴν Χριστοῦ αἰχμαλωτίσας, ἀπὸ τῆς σκιᾶς καὶ τοῦ γράμματος, ἐπὶ τὴν χάριν, ὡς ἔγραψας, μεταστήσεις [g], ἀπέχω, καὶ περισσεύω τῶν καλῶν ἐλπίδων τοὺς ὡραίους καρποὺς, ἃς ἐπὶ σοὶ διαπαντὸς ἔτρεφον.

plicem Numinis cultum, non Euxinus sed et Eusebes, cum talis exsistat, nominatur. Quanto me gaudio, qua jucunditate, dum hoc ipsum scribo repletum arbitraris? Quod si Judæos qui inibi sunt captivos in Christi obedientian duxeris, ab umbra et littera, quemadmodum scribis, in gratiam transtuleris, abstineo, et cum abundantia fobevo, maturos illosce optimæ spei fructus, quos continuo de temet ipso foveo.

ΕΠΙΣΤ. ΙΔ'.

Ζαχαρίᾳ μητροπολίτῃ Χαλκηδόνος.

EPIST. XIV.

Zachariæ Chalcedonis metropol.

Montacut. (op. 106, p. 151).

Εἰ ἐγὼ τὸν ἐμὸν Ζαχαρίαν ἀγνοῶ, καὶ ἐμαυτοῦ ἐπιλέλησμαι· ἀλλ' ἡμῶν, ὡς ἔοικεν, ἐκεῖνος (οὐ γὰρ ἔχω τί μετριώτερον εἴπω [h]) ἐπιλέλησται. Οὐ γὰρ ἂν ἡμᾶς ὑπετόπαζεν, ἀνθρώπων λόγοις, τῆς περὶ αὐτὸν δόξης, ἣν ἐν παλαιοῦ φυλάττομεν, παρασύρεσθαι. Ὃ δὲ καὶ φοβεῖται διὰ ταῦτα φόβου, ἐν οἷς οὐ μόνον οὐκ ἔστι φόβος, ἀλλ' οὐδέ τις φόβου, τοῖς ἡμᾶς ἐγνωκόσιν, ὑπόνοια. Εἰ γὰρ ἡμᾶς ὁ μακρὸς, ὃν ἐκ παιδὸς σχεδὸν ἔγνωμέν σε, χρόνος, καὶ ὁ πολὺς καὶ οὗ μέγα κλέος ὑπὲρ ἡμῶν, μᾶλλον δὲ Χριστοῦ καὶ τῶν αὐτοῦ θεσπισμάτων, ἀγὼν καὶ δρόμος, οὔπω πεῖραν ἔχειν τῆς σῆς ἐνεγύμνασεν ἀρετῆς, οὐκ οἶδα ὅπως ἡμεῖς τε οὐχὶ κακοὶ, μετὰ τοῦ ἀνοήτου, δύξαιμεν ἄν· καὶ οἱ δεδιότες μή τι πάθοιμεν τοιοῦτον, τὸ μὴ ἀγνοεῖν ἡμᾶς, οὐ φυγόντες ἀλλ' ὅτι [i] πλὴν τοῦ χειρίστους εἰπεῖν, εὐπορήσουσιν. Ἀλλὰ τούτων τε ἕνεκα θαῤῥεῖ, καὶ ἡμᾶς, ὥσπερ τοῖς ἄλλοις, οὕτω καὶ τὸ [j] μὴ παρασύρεσθαι τοὺς λογισμοὺς, ὑφ' ἑτέρων, ἐπιγίνωσκε· ἵνα μὴ διὰ μιᾶς, οὐ προσηκούσης ὑπολήψεως, ἡμᾶς τε καὶ σαυτὸν μᾶλλον, ἐναιτίᾳ [k] ποιήσῃς μεγάλῃ· καὶ τοὺς ἀδελφοὺς, εἴ τι ἄρα καὶ ἀνθρώπινον αὐτοῖς ὑποτρέχει πάθος [l], τοῖς σοῖς ἀνερεθιζομένους προτερήμασιν ἀδελφικῶς φέρε καὶ διαβάσταζε· οὐ γὰρ ἐφ' οἷς ἡμᾶς εὐχαριστεῖν δεῖ, ἄλλοις ἀπεχθάνεσθαι χρὴ οὐδ' ἐξ ὧν ἔστι λαβεῖν ἀπόδειξιν λαμπρὰν τοῦ πρωτεύειν ἡμᾶς, διὰ τούτων ὀφείλομεν πρὸς τοὺς αἰτίους δυσκνασχετεῖν, καὶ τὸ ἄλογον πάθος, εἰς εὔλογον αὐτοῖς ἀπολογίαν μεταποιεῖν. Ἀλλὰ καὶ [m] τῶν εἰρημένων, ἄλλον ἴσθι τοῦτο· ὅτι ὀφείλομεν ἡμεῖς, οἱ δυνατοὶ τὰ ἀσθενήματα τῶν ἀδυνάτων [n] βαστάζειν. καὶ πάντων δὲ μάλιστα ἐκεῖνο διὰ βίου μελέτην ποιοῦ· τὸ ποῖον; Ὅτι ἡ ἀγάπη οὐκ ἀσχημονεῖ. Ἐρεύνα καλῶς τί ποτέ ἐστι τὸ, οὐκ ἀσχημονεῖ· βάθος γὰρ ἄφατον εὑρήσεις ὠφελείας. Εἶτα, διὰ τί οὐκ ἀσχημονεῖ. Ὅτι οὐ ζητεῖ, φησὶ, τὰ ἑαυτῆς· ἀλλὰ καὶ πάντα στέγει πάντα ἐλπίζει [o]· ὑψηλὰ μὲν [καὶ] ταῦτα ἀνέχεσθαι βάρη, καὶ βελτίωσιν ἀεὶ καὶ μεταβολὴν ἐπὶ τὸ κρεῖττον, ἐλπίζειν τοῦ πλησίον. Τί δὲ ἄλλο, ὦ Παύλου σοφία, πλοῦτος, καὶ χάρις, ἡ ἀγάπη; φησὶν, οὐδέποτε ἐκπίπτει. Ὦ μακαρίας φωνῆς, καὶ μακαριωτέρου στόματος, καὶ κρείσσων ἐγκωμίων, καὶ θαύματος, γνώμη· οὐδέποτε, φησὶν, ἐκπίπτει. Κἂν στασιάζωσιν ἄλλοι· κἂν χαίρωσι μάχαις· κἂν

Si meum ignorem Zachariam, et meimet oblivisci rem; sed ille mei (neque enim eftari quid moderatius possum) ut videtur oblitus est: nec suspicetur me vulgi sermone, ab illa quam jam olim de eo fovi opinionem abstractum. At ille ibi valde timet ubi non tantum non est timor, sed nec timoris aliqua, ab iis qui me noverant, suspicio. Si enim diuturnum illud tempus in quo te a pueris cognovi, magnum, et cujus magna gloria, certamen pro nobis, aut Christo potius, susceptum, et in ipsius mandatis cursus, nondum de tua virtute me confirmatum reddidit, certe non video quomodo non, cum insipiente, iniquissimus videar; et qui metuerint, ne quid tale patiamur nos, eo quod ipsi nos non noverimus, satis justam habebunt causam, ut inter pessimos me recenseant. Sed tu hisce de rebus sis persuasissimus, et que cognoscas velim, sicut aliis notis, ita quod mentem aliorsum per alios pertrahi nolo: noli ergo ob nudam nec congruam satis suspicionem et me et te potius ipsum insigniter reos statuere; sed et fratres etiam nostros, si qui humano more patiantur, tuis excitatos præeminentiis fraterne tolerato et sufferto, neque enim par est ut aliis succenseamus pro iis de quibus nobis agendæ sunt gratiæ; nec e quibus demonstrari liquido poterit, nos obtinere principatum, tenemur ob illa succensere iis qui culpabiles sunt, ut sic irrationalem passionem in rationabilem apologiam commutemus. Sed et aliud edictis te intelligere velim, hoc nempe, quod debemus nos qui validiores sumus, infirmitates infirmorum portare et sustinere. Imprimis per totæ vitæ cursum illius habeto curam, quod nihil indecore faciat cautus amor; sedulo inquire quid sibi velit. Nihil facit indecore, (certe immensam et innarrabilem utilitatis invenies profunditatem.) Nimirum quod non quærit quæ sua sunt, sed omnia tegit, sperat omnia, sublimia sunt ista onera sufferenda, emendatio semper et conversio in melius speranda est de proximo. Quid aliud vult Pauli sapientia, divitiæ, gratia? Charitas, inquit, nunquam excidit: beata plane vox, magis beatum os, sententia laudes et admirationem omnem excedens. Nunquam ait, excidit,

VARIÆ LECTIONES.

[f] γρ ὀνομαζέτω, [g] ἴσ. καὶ τὸ σῶμα. [h] εἰπεῖν. [i] ἴσ. ἄλλο τι. [j] τῷ. [k] ἴσ. ἐν αἰτίᾳ. [l] subrepit πάθος. [m] ἴσ. ἐκ [n] ἀδυνατούντων. [o] πάντα πιστεύει.

Digitized by Google Распознавание текста ABK/FR

licet tumultuentur alii, licet concertationibus gaudeant, licet primaria quærant, licet ipsos exstimulet invidia, licet manus injuste violentas injiciant, licet susque habeant deque; nunquam charitas de sua statione dejicitur, nec deficit a virtute, non desperat, non aversatur dolentes; semper occasiones quærit, semper omnem movet lapidem, omnem init methodum ut extra se desultores in proprium conjunctionis et unionis pratum reducat. Hæc, o fili mi, in Christo meditare, et hisce te conforma, tibi concinens. Certe bene noris quod nihil his panariis magis utile reperire poteris : cæterum vale, et precibus nostram mediocritatem commendatam habe.

A τὰ πρῶτα ζητῶσι · κἂν φθόνος αὐτοῖς ἀνερεθίζῃ · καὶ χειρῶν ἄρχωσιν ἀδίκων · κἂν τὰ ἄνω στρέφωσι κάτω · οὐδέποτε ἡ ἀγάπη τῆς οἰκείας ἕδρας καὶ ἀρετῆς ἐκπίπτει, οὐδ' ἀπογινώσκει, οὐδ' ἀποστρέφεται τοὺς λελυπηκότας · ἀλλ' ἀεὶ προφάσεις ἐπιζητεῖ, καὶ πάντα κινεῖ, καὶ μεθοδεύει, δι' ὧν αὐτοὺς καὶ ὑποσκιρτῶντας εἰς τὸν οἰκεῖον τῆς συναφείας καὶ ἑνώσεως συναγελάζῃ λειμῶνα. Ταῦτα, τέκνον ἡμέτερον ἐν Κυρίῳ, μελέτα · καὶ τούτοις ἑαυτὸν ῥύθμιζε, κατεπᾴδων. Οὐδὲν γὰρ, εὖ ἴσθι, τῶν παναρίων τούτων εὑρήσεις ὠφελιμώτερον · τὰ δ' ἄλλα ἔρρωσο, ἱερώτατε, τῆς ἡμῶν ὑπερευχόμενος μετριότητος.

EPIST. XV.

Eidem.

ΕΠΙΣΤ. ΙΕ'.

Τῷ αὐτῷ.

Montacut. (ep. 107, p. 152).

Gratia Christo vero Deo nostro qui in omnibus nos consolatur, qui naturas generosas si vel aliquatenus ab innata virtute exorbitent, potestate donat, ut quantocius suum lapsum intelligant, et ad suam nobilitatem et dignitatem regrediantur ; qui etiam nunc, non mearum rationum et orationum, ut tute putes, vi et admonitione, gratiam largitus est, ut viles et humiles cum despectu habitas cogitationes abjicias, sed facultate et robore tuæ ipsius quam possides magnanimitatis. Si autem innata et apposita propriæ voluntatis amplitudo quæ optima est, et cæteræ tuæ conversationis, sine difficultate reduxit, utcunque rerum contingentium occasio, multiplici me alea jactatum turbaverit, tu tamen usque in immotæ amicitiæ institutione solidatus persistes. Vale, mi fili sacratissime.

B Χάρις Χριστῷ τῷ ἀληθινῷ Θεῷ ἡμῶν, τῷ ἐπὶ πᾶσι παρακαλοῦντι ἡμᾶς, τῷ καὶ τὰς γενναίας τῶν φύσεων (ἐπειδ' ἂν τῆς οἰκείας ἀρετῆς μικρὸν ἀποκλίνωσι] θᾶττόν τε συνορᾷν δυναμοῦντι p τὸ ὀλίσθημα, καὶ πρὸς τὸ οἰκεῖον καὶ εὐγενὲς ἐπανατρέχειν ἀξίωμα. Ὃς καὶ νῦν, οὐ τῇ τῶν ἡμετέρων λόγων, ὡς ἂν αὐτὸς φαίης, δυνάμει καὶ παραινέσει · ἀλλὰ τῆς οἰκοθεν, καὶ ἐξ αὐτοῦ σοι παρασχεσθείσης μεγαλονοίας, τῇ ῥώμῃ τὸ χυδαῖον μὲν καὶ ταπεινὸν τῶν λογισμῶν ἐχαρίτωσέ σε διαπτύσασθαι. Εἰ δὲ τὸ προσφυὲς καὶ καταλληλον μέγεθος τῆς ἀρίστης προαιρέσεως, καὶ τῆς ἄλλης πολιτείας, ἐκ τοῦ ῥᾴστου ἐπανήγαγεν, ἐν οἷς εἰης μοι κἂν μυρίους κύδους ἡ τῶν πραγμάτων ἀναρρίπτοι περιπέτεια, αὐτὸς διαπαντος ἐν ἀκλονήτῳ τῆς ἀγάπης ἐστηριγμένος φρονήματι. Ἔρρωσο, τέκνον ἡμέτερον ἱερώτατον.

EPIST. XVI.

Gregorio Syracusæ archiepisc.

C

ΕΠΙΣΤ. Ις'.

Γρηγορίῳ ἀρχιεπισκόπῳ Συρακούσης.

Montacut. (ep. 111, p. 154).

Quæcunque archiepiscopalis tua sanctitas ad constitutionem Dei ecclesiæ operatur, ab ipso principio mea mediocritas tecum in iis conspirat : ut frequentius tibi in memoriam revocare non sit opus ; nunc temporis præcipue, cum voce quacumque clarius et consommatius nos id doceant quæ mutuo nobis contigerunt, ac utriusque statum æqualem, eumdem animum, cogitationes easdem suggerant, communis nostra in Christo causa, persecutio, communes passiones, ineffabiles quibus meremur conflictari propter observationem, et custodiam D mandatorum Domini nostri. Intende autem porro, et recto tramite incedito, manus imponens, sacra peragens, Christi gregem multiplicans et adaugens, templa veneranda construens et dedicans ; præcipue cum tempora sint ejusmodi, in quibus sacerdotes et sacerdotium, magnam partem, miserandum in modum silentio obruuntur, et ex hominibus eliminantur ; cum templa passim desolata jaceant, et demolita sint aut expilata, pro illo ordine et pul-

Ὅσα πρὸς καταρτισμὸν τῆς τοῦ Θεοῦ Ἐκκλησίας ἡ ἀρχιερατικὴ ὑμῶν διαπράττεται ὁσιότης, ἄνωθεν καὶ ἐξαρχῆς τὴν ἡμετέραν ἔχεις συμφωνοῦσαν μετριότητα · διόπερ οὐ δεῖται συνεχοὺς ἐπὶ τούτοις ὑπομνήσεως · μᾶλιστά γε νῦν, ὅτε φωνῆς ἁπάσης λαμπρότερόν τε καὶ τελειότερον, ἀναδιδάσκουσιν ἡμᾶς τὰ ἀλλήλων, καὶ εἰς μίαν γνώμην καὶ τὸ αὐτὸ συνάπτουσι φρόνημα · ὅτε κοινὸς ὑπὲρ Χριστοῦ διωγμός, καὶ τὰ κοινὰ πάθη καὶ ἀνιστόρητα, οἷς ἐναθλεῖν διὰ τὴν συντήρησιν τῶν δεσποτικῶν ἐντολῶν καὶ παραφυλακὴν, ἀξιούμεθα. Ἔντεινε τοίνυν καὶ κατευοδοῦ χειροθετῶν τε καὶ ἱεροτελῶν, καὶ τὸ πείμενιον αὔξων καὶ πληθύνων Χριστοῦ, ναούς τε σεπτοὺς ἐγείρων καὶ τελεσιουργῶν · ἀλλ' ὥστε q καὶ καιροὶς τοιούτοις ἐν οἷς ἱερεῖς τε καὶ ἱερωσύνη, τὸ μέρος ἐκείνων τῶν τρισαθλίων, σεσίγηται καὶ ἐξ ἀνθρώπων ἠφάνισται · ναῶν τε ἐρημία καὶ πόρθησις ἀντὶ τῆς πρὶν εὐκοσμίας, τὸ Ῥωμαϊκὸν κατέχει πολίτευμα, καὶ μονονουχὶ τὰ Χριστιανῶν ἐκ βάθρων αὐτῶν ἀνατέτραπται · οἷς, τίς ἀξίως ἄλλος ἢ Ἱερεμίας ἐπιστενάξειε δυ-

VARIÆ LECTIONES.

b *καὶ ἐνδυναμοῦντι.* q *ἄλλως τε.*

Digitized by Google Распознавание текста ABK/FR

νατὸς ὢν οἰκείοις θρήνοις τηλικαύτης ἐρημίας ἐκτραγῳδῆσαι καὶ παραστῆσαι μέγεθος; ἀλλὰ ταῦτα μὲν καὶ σιωπώμενα κέκραγεν. Σὺ δέ μοι τὰ τε ἄλλα ἔρρωσο, καὶ τῆς ἡμῶν ὑπερεύχου μετριότητος.

A chritudine qua prius Romana respublica florebat, et Christianismus tantum non ex imis subruitur fundamentis. Ingemiscere ad hæc, pro meritis quis alius suffecerit quam Jeremias, qui propriis suis lessis et lamentis, tantæ vastitatis et desolationis magnitudinem et exprimere possit, et tragice deplorare? sed hæc silentio pressa exclamant tamen. Tu cætera vale, et pro mea mediocritate apud Deum precibus intercede.

ΕΠΙΣΤ. ΙΖ'.

Ἰγνατίῳ μητροπολίτῃ Κλαυδιουπόλεως.

EPIST. XVII.

Ignatio metrop. Claudiopolitano.

Montacut. (ep. 115, p. 156).

Ἦν ποτε φευκτὸν καὶ φοβερὸν τὸ ἀνάθεμα, ὅτε κατὰ τῶν ἐνόχων τῆς ἀσεβείας, ὑπὲρ τῶν της εὐσεβείας κηρύκων, ἐφέρετο. Ἀφ' οὗ δὲ ἡ τολμηρὰ καὶ ἀναίσχυντος τῶν ἀλαστόρων ἀπόνοια, παρὰ πάντα θεσμὸν θεῖόν τε καὶ ἀνθρώπινον, καὶ παρὰ πάντα λόγον Ἑλληνικόν τε καὶ βάρβαρον, τὸ οἰκεῖον ἀνάθεμα κατὰ τῶν προμάχων τῆς ὀρθοδοξίας ἀναστρέφειν ἐφρυάξατο, καὶ τὴν βαρβαρικὴν μανίαν ἐκκλησιαστικὴν παρανομίαν ἐφιλονείκησαν ἀπεργάσασθαι, αὐτίκα καὶ τὸ φρικτὸν ἐκεῖνο καὶ ποινῆς ἁπάσης πέρας ἔσχατον, εἰς μύθους καὶ παίγνια μεταπέπτωκε· μᾶλλον δὲ, τοῖς εὐσεβέσι καὶ αἱρετὸν παρεσκεύασται. Οὐδὲ γὰρ οὐδ' ἡ πάντολμος τῶν ἐχθρῶν τῆς ἀληθείας γνώμη, τὰς ποινὰς, καὶ μάλιστα τὰς ἐκκλησιαστικὰς, ποιεῖ φοβερὰς, ἀλλὰ τῶν πασχόντων τὸ ὑπεύθυνον, ὡς τό γε ἀνεύθυνον καὶ εἰς χλεύην τὰς ἐκείνων τιμωρίας ἕρπει, καὶ κατ' ἐκείνων τὸ δικαίωμα τῆς τιμωρίας ἀναστρέφει, καὶ τῷ ὑπ' αὐτῶν τιμωρουμένῳ στεφάνους ἀκηράτους, καὶ ἀθάνατον δόξαν, ἀντὶ ποινῆς, ἀπεργάζεται. Δι' ὃ καὶ ἕκαστος τῶν εὐσεβῶν καὶ ἁγίων, ὑπ' αὐτῶν ἠλλοτριωμένων Χριστοῦ, μυριάκις αἱρεῖται προπηλακίζεσθαι, καὶ ἀναθεματίζεσθαι ἢ τοῖς αὐτῶν μισοχρίστοις καὶ θεστυγέσιν μετὰ λαμπρᾶς τῆς εὐφημίας κοινωνῆσαι πονηρεύμασιν.

Erat olim terribile anathema, et fugiendum; nempe cum a veritatis præconibus, contra reos et improbos ferebatur. Ex quo vero audax et impudens alastorum quorumdam vesania, contra leges omnes divinas et humanas; contra omnem rationem Græcam, barbaram, ipsorum anathema in propugnatores orthodoxæ pietatis jaciat insolenter, et furores barbaricos, ecclesiasticas transgressiones magna contentione habendas contendunt; e vestigio illud formidandum, et omnium suppliciorum extremum, in fabulam et ludibrium evasit: potius viri pii illud exoptaverint; non enim sententia per audacissimos veritatis hostes lata pœnas saltem ecclesiasticas formidabiles facit, sed reatus eorum in quos intorquentur. Quod si innocens quis fuerit, ridendas illorum pœnas propinat, et in ipsorum met judicium mutat, illi autem quem multarunt coronam immarcescibilem, et immortalem gloriam pro suppliciis procurat. Quocirca quisque pius et sanctus vir mille modis optaverit, potius ab iis qui a Christo alieni sunt contumeliis affici, et anathemate feriri, quam cum splendore et applausu de ipsorum impietatibus participare, qui Christo odiosi, et Deo invisi sunt.

ΕΠΙΣΤ. ΙΗ'.

Μιχαὴλ μητροπολίτῃ Μιτυλήνης.

EPIST. XVIII.

Michaeli Mitylenes metropolitæ.

Montacut. (ep. 116, p. 157).

Ὥσπερ τοὺς τοῦ Δεσπότου μαθητὰς τὸ μισόχριστον τῶν Ἰουδαίων συνέδριον ἀποσυναγώγους ποιήσαντες, ἐκείνους μὲν μᾶλλον τῷ Διδασκάλῳ καὶ Δεσπότῃ προσῳκείωσαν, ἑαυτοὺς δὲ τέλεον καὶ τῆς θείας μυσταγωγίας, καὶ τῆς οὐρανῶν βασιλείας ἠλλοτρίωσαν. Οὕτω καὶ νῦν οἱ τῶν Ἰουδαίων μιμηταὶ, τοὺς τῶν ἀποστόλων ζηλωτὰς, ἀποσυναγώγους ποιήσαντες, ἡμᾶς μὲν τοῖς θεσπεσίοις ἐκείνοις καὶ αὐτόπταις τοῦ Λόγου, συνῆψάν τε μᾶλλον καὶ συνήνωσαν. Ἡ γὰρ κοινωνία τῶν παθῶν ἀκριβεστέραν ποιεῖται τὴν ἐν βίῳ καὶ πίστει συνάφειαν· ἑαυτοὺς δὲ καὶ τῆς ἐκείνων διδασκαλίας, καὶ τῆς ἡμετέρας ὀρθοδοξίας, ἐλεεινῶς τε καὶ ἀθλίως ἐναπέτεμον· καὶ τῆς Χριστιανῶν ὅλως καὶ κλήσεως καὶ πολιτείας τὴν ἑαυτῶν μοῖραν διῳκάσαντες, εἰς τὴν τῶν Ἰουδαίων, οὓς παρεζήλωσαν, καὶ χριστομαχίαν καὶ μιαιφονίαν φερόμενοι ἐκπεπτώκασιν.

Quemadmodum discipulos Domini nostri Judæorum Christiosorum synedrium e synagogis ejicientes, illos eo facto, magis magistro et Domino dedere copulatos, at seipsos penitus a cœlesti mystagogia et regno cœlorum alienos reddidere. Ad eumdem modum et nunc Judæorum imitatores apostolorum zelotas nos e synagogis ejicientes, eo facto divinis illis, et Verbi incarnati spectatoribus nos magis conjunctos adunierunt; siquidem communes passiones, exactissimam vitæ et fidei conjunctionem operantur; semet autem ipsos ab eorum doctrina, et orthodoxa nostra fide, miserum et miserandum in modum absciderunt; et cum separati sunt omnino a Christianorum nomine et politia, in Judæorum quos zelo imitantur, oppositionem contra Christum, et homicidii pollutionem abrepti exciderunt.

Digitized by Google Распознавание текста ABK/FR

EPIST. XIX.

Euschemoni et Georgio metrop.

A

ΕΠΙΣΤ. ΙΘ'.

Εὐσχήμονι καὶ Γεωργίῳ μητροπολίταις.

Montacut. (ep. 126, p.166).

Non despondeo animum, dum intueor tempestatem malorum, et tyrannidis intensionem ; audio enim vos per fidem in Deo certam, et pietatem efflorescentes et vernantes ; imo lætitia afficior eo quod illorum summa impudentia, qui dedecus vobis et turpitudinem volebant affricare, vos et pulchriores reddidit, et probatiores. Sed, o vos amici, filii, fratres, et si quid nomen filiali amore et naturali affectione magis familiare sit, usque ad finem consummatum in Deum hunc animum et affectum conservemus : et quemadmodum Jobus ille generosus, ipsorum ducem diabolum, per stupendam illam patientiam et fortitudinem triumpho duxit, ita vos ut Christi populus ille sanctus, regaleque sacerdotium, ut et olim, ita etiamnum istosce illius germanos primipilares discipulos, cum lessis et lamentis, nec quo se conferant scientes, publice spectandos exhibebimus. Nam quod vos probe nostis æque atque ego, brabia et coronæ exspectant eos, qui usque ad finem decertant.

Οὐκ ἀθυμῶ, τὴν χειμῶνα τῶν κακῶν καὶ τῆς τυραννίδος ἐπιτεινόμενον βλέπων. Ταῖς γὰρ εἰς Θεὸν ἐλπίσι, καὶ τῇ εὐσεβείᾳ ἀνθοῦντας ὑμᾶς καὶ ἐαρίζοντας ἀκούω · μᾶλλον δὲ καὶ χαίρω, ὅτι καὶ ὡραιοτέρους καὶ δοκιμωτέρους ἡ τῶν καταισχῦναι καὶ ἀσχημονῆσαι σπουδασόντων ὑμᾶς ἔδειξεν ἀναισχυντία. Ἀλλ', ὦ φίλοι καὶ τέκνα καὶ ἀδελφοί, καὶ εἴ τι στοργῆς καὶ σχέσεως φυσικῆς οἰκειότερον, ἕως τέλους Θεῷ τὴν αὐτὴν εὐγνωμοσύνην καὶ τὸ φίλτρον διασώσωμεν · καὶ ὅπερ Ἰὼβ ὁ γενναῖος τὴν καθηγητὴν αὐτῶν πεπονθότα [r], διὰ τῆς θαυμασίας ἐκείνης ὑπομονῆς καὶ ἀνδρείας ἐθριάμβευσε · τοῦτο καὶ ὑμεῖς, καὶ λαὸς ἅγιος τοῦ Χριστοῦ, καὶ βασίλειον ἱεράτευμα, ὥσπερ μέχρι νῦν, οὕτω καὶ διαπαντὸς, τουτουσὶ τοὺς ἐκείνου γνησίους καὶ κορυφαίους μαθητὰς, ὀδυρομένους καὶ ἀμηχανοῦντας ἐπιδείξομεν. Καὶ γὰρ, ὡς καὶ ὑμεῖς συνεπίστασθε, τῶν εἰς τέλος ἀγωνιζομένων ἐστὶ τὰ βραβεῖα καὶ οἱ στέφανοι.

B

EPIST. XX.

Theodoro metropol. Laodiceæ.

ΕΠΙΣΤ. Κ'.

Θεοδώρῳ μητροπολίτῃ Λαοδικείας.

Montacut. (ep. 140, p. 198).

Scio plurimos fidelium ita affectos esse, ut occasionem omnem quærant, qua possint propriæ virtutis illustre quoddam specimen exhibere ; et martyres felices prædicare, quod barbaram tyrannorum crudelitatem nacti fuerant, qua possint in æternum, suam ipsorum animi magnitudinem quasi columnæ insculptam stabilire. Sane adest hæc ipsa occasio, vel major potius, quam speraret etiam valentissimus. Confido, autem quod qui contra tuam generositatem insurrexit, ultimam, maximam, et perpetuo memorandam confusionem incurret, in opprobrium propriæ cum infirmitatis tum audaciæ. Ita ut immota tua formidine perculsus, ulterius aliquid attentare cessabit. Ita per hanc unicam concertationem, duo egregia consequere trophæa, cum ut victor proclamare, tum ut fratribus malorum impendentium gravitate, et labores multos, propriis tuis certaminibus allevies.

C

Οἶδα πολλοὺς τῶν πιστῶν ἀνδρῶν, καιρὸν ζητοῦντας, ἐφ' ὃν τῆς οἰκείας ἀρετῆς τὸ μέγεθος ἐπιδείξαιντο · καὶ τοὺς μάρτυρας μακαρίζοντας, ὅτι τυράννων ἔσχον ὠμότητα τὴν ἀνδρείαν αὐτῶν εἰς αἰῶνα στηλιτεύουσαν. Ἐφίστηκεν οὗτος ὁ καιρὸς, εἰ καὶ πλέον, ἢ ὅσον ἂν καὶ ὁ γενναιότατος ἤλπισε · πείθομαι δὲ, ὡς τελευταῖον καὶ μέγιστον τῆς ἰδίας ἀσθενείας, καὶ τοῦ θράσους, ὁ τῇ σῇ γενναιότητι ἐπαρθεὶς προσενεχθῆναι, ἀείμνηστον τὸν ἔλεγχον δώσει · καὶ τὴν σὴν στερρότητα καταπλαγείς, καὶ τῶν λοιπῶν ἐκτραπήσεσθαι τὴν πεῖραν · ὡς ἅμα δύο τὰ μέγιστά σε, δι' ἑνὸς ἀγῶνος, κατορθῶσαι, νικηφόρον τε ἀναρρηθῆναι · καὶ τοῖς ἀδελφοῖς τῶν ἐπικρεμαμένων κακῶν τὴν ὑπερβολὴν, καὶ τοὺς πολλοὺς [s] πόνους, ἰδίοις ἄθλοις, κουφίσαι.

EPIST. XXI.

Eidem.

D

ΕΠΙΣΤ. ΚΑ'.

Τῷ αὐτῷ.

Montacut. (ep. 141. p. 199).

Generosos plane stadium exspectat : nemo feminea teneritudine emollitus, introeat. Quod si quis sit qui exsilierit, recedat quantocius ; vel a sua sententia, vel a colluctatione. Neque enim labores talibus congruunt. Sed neque ab auro onustis : nec ambitione inflatis. Omniuo qui corporeis voluptatibus inhiat, ut mihi stat ententia, ne se componat ad certamen : velim ego longe removeri, si non præveniat is, et impleat votum meum.

Γενναίων ὄντως ἀνδρῶν τὸ στάδιον δεῖται · μηδεὶς εἰσίτω θηλυδρίας · ἂν δ' εἰσεπήδησε, θᾶττον ἀποστήτω · ἢ τῆς γνώμης, ἢ τῶν παλαισμάτων. Οὐ γὰρ τῶν τοιούτων οἱ πόνοι. Ἀλλὰ μηδ' ὁ χρυσῷ τὸν βίον βεβαρημένος · μηδ' ὁ πρὸς κενὰς δόξας ἀνεπτερωμένος. Τὸν γὰρ πρὸς τὰς τοῦ σώματος ἡδονὰς ἐπτοημένον, οὐδ' ἀποδύκασθαι πρὸς τὸν ἀγῶνα νομίζω. Ἀλλὰ καὶ εὔχομαι πόρρω καθεστάναι, εἰ μὴ προλαβὼν ἐπλήρωσεν [s] ἐκεῖνος τὴν εὐχήν.

VARIÆ LECTIONES.

[r] ἴσ. γεγονότα. [s] πολλῶν. [s'] ἡμῶν.

Digitized by Google Распознавание текста ABK/FR

ΕΠΙΣΤ. ΚΒ'.

Εὐθυμίῳ μητροπολίτῃ Κατάνης.

EPIST. XXII.

Euthymio Catanensi metropol.

Montacut. (ep. 148, p. 205).

Γενέσθαι μὲν ἐμοὶ σχολὴν, ὥστε τὰ σὰ διηγεῖσθαι, ἀπεύχομαι [1] · γενέσθαι δὲ, ὥστε μηδ' ἀκοῦσαι, προέλαβες. Τί οὖν αἰτιᾷς, ὅτι μηδ' ἅπερ ἤλπισα, ἠκουσα. καὶ ὅτι σιγὴν ἠθέμην, οἷς μηδὲ τὴν ἀκοὴν ἡδέως ἠνέῳξα. Ἀλλ' εἰ, διότι ὅλως τὴν ἀκοὴν τῶν τοιούτων ὑπέμεινα, τῆς περὶ φίλους ὀλιγωρίας γραφὴν ἔνοχος γράφεσθαι · τί ἂν δράσειαν οἱ τοιαῦτα δεδρακότες, δι' ὧν καὶ τοὺς φίλους τῆς ὑπὲρ αὐτῶν ἐν τῷ λέγειν παῤῥησίας, ἀπεστέρησαν, καὶ τῶν δυσμενῶς ἐχόντων τὰς γλώσσας, οὐ καθ' ἑαυτῶν μόνον, ἀλλὰ καὶ κατ' ἐκείνων οἳ ποτε τῶν πεπλησιακότων ἦσαν, ἠκόνησαν. Τί οὖν δεῖ ποιεῖν ; σὸν ἐστιν, (ὦ πῶς σε προσείπω) καὶ ἡμῖν ὑπὲρ σοῦ, εἰθ' ἑῶφελες, τὴν παῤῥησίαν, ἣν εἴχομεν, ἀποδοῦναι · καὶ μηδὲν ἀκούειν ἀηδὲς περὶ σοῦ · ἀλλὰ καὶ τοὺς κακῶς σε λέγοντας νῦν, ἐπιστομίσαι, εἰς τὴν ἀρχαίαν ἐπαναδραμόντα κατάστασιν.

Esse mihi otium, ut res tuas enarrem, opto ; at ne eas intelligam præveniendo cavisti. Quid causaris ergo, quod quæ non sperabam, audiam ; et quod silentio texerimus, quæ libens fando non acciperem? Quod si autem, quia fando necessaria accepi, dignus sum cui dicam scribatur contemptæ amicitiæ. Quid et illi faciant, qui talia faciunt, quæ et amicos libertate privent pro ipsis dicendi, et malevolas linguas non tantum in ipsos, sed in eos etiam quibus olim utebantur familiariter, exacuunt. Quid ergo faciendum? Hoc ad te spectat (o quo te nomine compellem !) et, mihi libertatem condonare, si id placuerit, satis abunde jam olim habui ; et ut nihil de te audiam quod minime placet ; sed tu ad priorem constitutionem revolvendo, eorum ora qui te nunc lacerant, obturabis.

ΕΠΙΣΤ. ΚΓ'.

Γεωργίῳ μητροπολίτῃ Νικομηδείας.

EPIST. XXIII.

Georgio metropolitæ Nicomediensi.

Montacut. (ep. 169, p. 243).

Εἴθε μοι τῶν σῶν ἦν ἐναμιλλα λόγων τὰ ἔργα · οὐχ ἵνα κλέος ὄντες ἀκεστορίδων Γαληνὸς καὶ Ἱπποκράτης, ὡς αὐτὸς ἡμᾶς θειάζων γράφεις, Ὑπεξίστανταί μοι τῶν πρωτείων · οὐδ' ἵνα τῶν Ἀσκληπιαδῶν τὸ μέγα ὄνομα τῷ ἡμετέρῳ καταχωσθείη · ἀλλ' ὡς ἂν εἴην, εἰ καὶ μὴ πρὸς ἕτερόν τινα, ἀλλ' οὖν ἐν τούτῳ γε τῷ μέρει μικρά τις κατὰ τῶν σωματικῶν παθῶν τοῖς φίλοις καὶ συνάθλοις ἐπικουρία.

Utinam ex æquo verbis tuis opera mea responderent, non ut Acestoridum gloria, Galenus et Hippocrates, ut tute me encomiis ornans scribis, mihi cedentes primas darent nec ut ingens illud Asolepiadarum nomen nostro nomine obrueretur, sed ut præstetur, licet non ad aliud quidpiam, saltem hac in parte exiguum quid quoad corporis passiones amicis et synathletis auxilium.

ΕΠΙΣΤ. ΚΔ'.

Θεοδώρῳ μητροπολίτῃ Λαοδικείας.

EPIST. XXIV

Theodoro metropolitæ Laodiceno.

Montacut. (ep. 171, p. 244).

Ἀρότρῳ μὲν, ὡς ἡ παροιμία φησὶν, ἀκοντίζεις, ἀντὶ τοῦ μετανοεῖν θρασυνόμενος. Οὐ γὰρ μετανοίας ἀλλ' ἀπονοίας, ἑαυτῷ τῶν ἐσφαλμένων ἐπιτρέπειν τὴν συγγνώμην. Εἰ δέ σοι καὶ ληρεῖν δόξαιμι, ἔσται σοι οὐκ εἰς μακρὰν τὸ παροιμιῶδες, συνεχῶς ἐπ' ἔργοις ἀδόμενον, Ἄρτι μῦς πίττης γεύεται.

Aratro, quod proverbiis usurpatur, jacularis, qui cum debeas pœnitere, audaciam urges. Nec enim pœnitentis, sed insanientis est sibimet permittere errorum condonationem. Quod si tibi videro delirare, in te proverbium quod non ita dudum sæpe jactatum quadravit : Mus scilicet picem gustavit.

ΕΠΙΣΤ. ΚΕ'.

Εὐσχήμονι ἀρχιεπισκόπῳ Καισαρείας.

EPIST. XXV.

Euschemoni Cæsareæ archiepiscopo.

Montacut. (ep. 173, p. 245).

Οὐδὲν θαυμαστὸν, εἰ μὴ τοῖς δικαίοις ἅπαντες χαίρουσιν · ἀλλ' ἐκεῖνο θαυμαστὸν ἂν ἦν καὶ λίαν ἐνδίκως, εἰ πάντες ὑπ' ὀφθαλμοῖς τῆς δίκης ἐπολιτεύοντο. Ἀγαπητὸν δ' ἐμοὶ, κἂν οἱ πλείους εἶησαν (ὅπερ οὐκ ἐστὶ) φίλοι τοῦ δικαίου. Μερίδα μὲν γὰρ ὀλίγην ὁρῶ ῥέπουσαν εἰς δικαιοσύνην, τὸ δὲ πλῆθος ἐπισύρεται ἡ ἀδικία. Ὅτε τοίνυν οὕτως ἔχει ταῦτα τί δήποτε ἀλύεις σὺ καὶ ἀσχάλλεις, ὅτι τὸ δίκαιον, οἷς ἐστιν οἰκεῖον, ἀπονέμων, ὑπὸ τῶν τὰ δίκαια μισούντων τὴν ἴσην ὕβριν ὑπομένεις. Τοὐναντίον γὰρ ἐχρῆν σε σκυθρωπάζειν καὶ ζητεῖν λύσιν εὑρεῖν τοῦ

Mirum non est, si justis hominibus plerique omnes haud plane delectantur. Illud autem mirandum magis, si tanquam in conspectu justitiæ, omnes et singuli vitæ cursum instituant. Mihi sufficit si plusculi sint ; ut certe pauci sunt tales, qui justitiam consectantur. Partem sane non magnam ad justitiam colendam propensos video, multitudinem ad se rapit injustitia. Hæc ita se habere, quid tute hæsitas, qui cum juste justitiam cui debetur administras, ab illis quibus justum quod est, odiosum est, pariter reportas contumeliam. Omnino te decuit contrario

VARIÆ LECTIONES.

[1] ἐπεύχομαι.

Digitized by Google Распознавание текста ABK/FR

modo affectum esse, torvo vultu eos intueri, et id agere sedulo ut solamen invenias illius quod te contristatum reddet, si modo hostes qui se justos profitentur, linguam tibi amicam largiri vellent.

λυποῦντος εἰ οἱ τῆς δίκης ἐχθροί σοι φίλην ἐχαρίζοντο γλῶσσαν.

EPIST. XXVI.

Paulo Cæsareæ archiepiscopo lapso.

ΕΠΙΣΤ. ΚϚ'.

Παύλῳ γεγονότι ἀρχιεπισκόπῳ Καισαρείας καὶ ἀποστήσαντι.

Montacut. (ep. 175, p. 262).

Arcadiam me flagitas, quispiam diceret, nec injuria, proverbialiter. Ego autem exhibeo, sed non e plaustro, nec a Scythis mutuatum verbum, sed quale amet charitas. Improbus exstitisti erga amicos divinæ legis proditor, hostis propriæ confessionis : et tamen rogitas cur te ut improbum diffugiunt homines, nec congressu suo communi dignantur ? Nimirum ideo (o quo te titulo jure designem!) quod terribile arbitrantur, vel per *salve* communionem habere cum operibus tuis impiis.

Ἀρκαδίαν με αἰτεῖς, εἴποι ἄν τις, καὶ μάλα εἰκότως, παροιμιαστὴς ἀνήρ· ἐγὼ δέ σοι δώσω, οὐ τὰ ἐξ ἁμάξης, οὐδὲ τὴν ἀπὸ Σκυθῶν ῥῆσιν, ἀλλ' ἅπερ ἂν φιλεῖ ἡ ἀλήθεια· κακὸς ἐγένου φίλοις, καὶ θείου προδότης δόγματος, καὶ τῆς σῆς ὁμολογίας πολέμιος. εἶτα διερωτᾷς τί δήποτέ σε οἱ εὐσεβεῖς ὡς ἀναγῆ ἀποστρέφονται, μηδὲ τῆς κοινῆς ἀξιοῦντες προσρήσεως ; (ὦ, τί σε δικαίως προσείπω ;) φοβερὸν ἡγοῦνται καὶ τὸ διὰ τοῦ χαίρειν κοινωνῆσαι τοῖς ἔργοις σου τοῖς πονηροῖς.

EPIST. XXVII.

Zachariæ metropol. Chalcedonis.

ΕΠΙΣΤ. ΚΖ'.

Ζαχαρίᾳ μητροπολίτῃ Χαλκηδόνος.

Montacut. (ep. 179, p. 267).

Misi tibi amaram potionem, præparatione confectionequenovam, stomacho inservientem roborando ab eadem arte qua prius profectam, sed tempore antiquiorem. Horum medicamentorum prius mane recipies cum tertia parte ejus quod una mittitur, sumatur in aqua tepida aut melicrato, prout alterutrum magis ferre possis : et post amari illius medicamenti potionem, sumas alterum licet per mensem integrum continuatum, usque ad nucis Ponticæ quantitatem, ternis porro bolis distributum sumito. Illam ante solis exortum, alteram ad occasum solis post cœnam, stomachi cachexiam ita in melius reformabis, et aurium dolorem sedabis. Non possum tibi promittere totalem sanationem : nam morbi inveterati vix ad tempus breve sanantur. Atque ut alibi, ita imprimis in promissionibus medicamentalibus id quod turgescit reprobandum : sed divino facile aspirante auxilio mitigatum magis statum consequeris et habitudinem.

Ἔπεμψά σοι πικράν, τῇ τε κατασκευῇ, καὶ τῇ ἐπινοίᾳ νέαν· καὶ βοήθημα στομαχικὸν, τέχνης μὲν τῆς αὐτῆς, ἡλικίας δὲ πρεσβυτέρας. Τούτων τὴν μὲν ὑπὲρ ἡμέραν ὄρθρου προσφερόμενος κατὰ τριτημόριον τοῦ σταλέντος, ὕδατι χλιαρῷ, ἢ καὶ μελικράτῳ, ὡς ἂν ᾖ σοι ἁλυπώτερον· τὸ δὲ, μετὰ τὴν τῆς πικρᾶς πόσιν, καθ' ὅλον ἡμερῶν μῆνα, Ποντικοῦ καρύου κατὰ μέγεθος, εἰς τρία τῷ πλήθει λαμβάνων. τὰ μὲν, ἡλιακῶν αὐγῶν πρωϊαίτερον· τὸ δὲ λοιπὸν, δυομένου καὶ ἐπισείπνιον· τήνδε στομαχικὴν καχεξίαν ἐπὶ τὸ ἄμεινον ἕξεις μεθισταμένην σοι, καὶ τὴν τοῦ ὠτὸς περιωδυνίαν. Οὐκ ἂν δὲ φαίην εἰς ἀπαλλαγὴν παντελῆ· βραχεῖά τε γὰρ θεραπεία χρονιωτέρων ἥττᾶται νοσημάτων, καὶ ὥσπερ πανταχοῦ, οὕτω μάλιστα ταῖς ἰατρικαῖς ὑποσχέσεσι νεμέσητον τὸ ὑπέρογκον. Ἀλλ' οὖν τῆς ἄνω ῥοπῆς, εἰς εὐμένειαν ὁρώσης, εἰς πολὺ ῥᾴονα συγκαθισταμένην σοι διάθεσιν.

EPIST. XXVIII.

Eulampio archiepiscopo et sceuophylaci.

ΕΠΙΣΤ. ΚΗ'.

Εὐλαμπίῳ ἀρχιεπισκόπῳ καὶ σκευοφύλακι.

Montacut. (ep. 184, p. 275).

Adversatur virtuti improbitas, nec in amicitiam coalescent aliquando : utraque proprium subjectum habet, et amplectitur cui innititur : fieri non potest ut, subjectis pugnantibus, ea quæ incubant, inducias agant : si hoc ita se habet mirari noli, si is, qui minister est impietatis, bellum iis denuntiat cum magno statu, qui virtutem ipsi ex adverso constitutam repræsentant.

Ἔστιν ἐναντίον τῇ ἀρετῇ ἡ κακία, καὶ οὐκ ἂν εἰς φιλίαν συνέλθοιεν· ἑκατέρα δὲ ὑποκείμενον οἰκεῖον, ἐφ' ᾧ ἵδρυται, καταλαμβάνουσα ἔχει· οὐκ ἔστιν οὖν, μαχομένης, τῆς ἐφιδρυμένης, σπένδεσθαι τὸν ἐδράζοντα· εἰ δὲ τοῦτο, μηδὲν θαυμάζῃς, εἰ ὁ τῆς κακίας ὑπηρέτης, κατὰ τῶν ἀντιπρόσωπον αὐτῷ τὴν ἀρετὴν προβεβλημένων, μέγα πνεῖ τὸ πολέμιον.

EPIST. XXIX.

Euschemoni archiepiscopo Cæsareæ.

ΕΠΙΣΤ. ΚΘ'.

Εὐσχημόνι ἀρχιεπισκόπῳ Καισαρείας.

Montacut. (ep. 186, p. 274).

Improbitas (neque hac videatur tibi paradoxum quid, cum satis testetur verum quotidiana per vitam experientia) si non velo virtutis oppanso vele-

Ἡ κακία (καὶ μηδὲν σοι δόξει παράδοξον, ἡ γὰρ τῶν ἐν βίῳ πείρα σαφὴς τῶν τοιούτων διδάσκαλος) ἂν μηδὲ τῆς ἀρετῆς ὑπέλθοι τὸ σχῆμα, τάχιστα διελ-

Digitized by Google Распознавание текста ABK/FR

λυται· μὴ τοίνυν ἀθύμει ταύτην ὁρῶν, τὸ λεγόμενον, γυμνῇ τῇ κεφαλῇ θρασυνομένην καὶ ἀπηρυθριασμένῳ προσώπῳ κατὰ πάντων ἀσελγαίνουσαν· βραχὺς ὁ χρόνος, καὶ εἰς διαφθορὰν αὐτὴν ὄψει, σὺν μεγάλῳ ἤχῳ καταστρέφουσαν· ἔχεις δὲ καὶ τὸν Προφήτην ἐμοὶ συμφθεγγόμενον· Εἶδον τὸν ἀσεβῆ ὑπερυψούμενον καὶ ἐπαιρόμενον, ὡς τὰς κέδρους τοῦ Λιβάνου, καὶ παρῆλθεν [u], καὶ ἰδοὺ οὐκ ἦν· ἐζήτησα αὐτόν, καὶ οὐχ εὑρέθη ὁ τόπος αὐτοῦ.

tur, quantocius dissipatur. Noli quocirca despondere animum, si quod dici solet, aperte et nudato capite, audaciam illam videas insolescentem, et in conspectu contra omnes non erubescente vultu lascivientem. Tempus breve interveniet, cum illam videbis cum ingenti sonitu in perniciem præcipitatam. Atque hic mihi consentientem Prophetam habes. *Vidi*, aiebat ille, *impium in sublimi exaltatum, et tanquam e cedris Libani elatum ; præteribam vero, et ecce non erat : quærebam eum, et non est inventus locus ejus* [1].

ΕΠΙΣΤ. Λ'.

Ζαχαρίᾳ μητροπολίτῃ Ἀντιοχείας.

EPIST. XXX.

Zachariæ metropolitæ Antiocheno.

Montacut. (ep. 191, p. 289).

Ὁ μακάριος καὶ θεῖος Παῦλος, ὁ τῶν ἐθνῶν ἀπόστολος, καὶ τῆς οἰκουμένης διδάσκαλος, ὁ τὸν γύρον ἅπαντα τῆς γῆς περιλαβὼν τῷ κηρύγματι, οὗτος ὁ τῷ οὐρανίῳ παιδευθεὶς διδασκαλείῳ καὶ τῶν ἀπορρήτων ἐκείνων ῥημάτων, πρῶτος ἀνθρωπίνην ἀκοὴν ἐπιδεῖξας κατήκοον, πολλαχοῦ τοὺς μαθητὰς τῆς μετὰ τῶν φαύλων διατριβῆς ἀπείργων, αὐτὸς οὐ μόνον συνῆν καὶ συνανεστέφετο, ἀλλὰ καὶ τοῖς ἀνόμοις ὡς ἄνομος συνδιετίθετο. Τί τοῦτο ; Μὴ γὰρ ἅπερ ἑτέροις ἀπέτρεπεν, αὐτὸς καθ' ἡδονὴν ἔπραττεν ; ἢ τῶν μαθητῶν μὲν τὸ ἀσφαλὲς διετίθετο, ἑαυτῷ δὲ τὴν βλάβην εἰσέφερεν ; ἢ λήθην ἔχων ὧν ἄλλους ἐπαίδευεν, αὐτὸς τἀναντία ἔστεργε ; μὴ γένοιτο ! ἀλλ' ἑκάτερον τούτων ἀκριβῶς συνεπίστατο, καὶ τὸ καθ' ἑαυτὸν τέλειον, καὶ πρὸς κακίαν ἀμετακίνητον, καὶ τῶν πολλῶν τὸ ἀτελὲς καὶ πρὸς τὰ χείρω εὐέμπτωτον. Ταῦτα δὲ καλῶς εἰδὼς καὶ συνεπιστάμενος, ἐκείνοις μὲν τὰς ἐκ τῶν ἐπισφαλῶς βιούντων βλαβὰς ἀνακόπτων καὶ ἀποκρουόμενος τῆς μετ' αὐτῶν διαίτης καὶ ἀναστροφῆς διεκώλυεν· ἑαυτὸν δὲ καὶ εἰς μέσους φέρων ἤιει, καὶ ὁμορρόφιος αὐτοῖς πολλάκις, καὶ ὁμοδίαιτος ἐχρημάτιζεν· οὐ δεδίως μετασχεῖν κηλῖδος τῆς παρ' αὐτῶν· θαρρῶν δὲ καὶ μεταδώσειν τῆς ἐνούσης καθαρότητος· οὕτω τοιγαροῦν ὁ αὐτὸς σκοπός, ἡ τῶν ψυχῶν, φημὶ, σωτηρία, διὰ τῶν ἐναντίων τῷ μακαρίῳ Παύλῳ ἐπεραίνετο· αὐτοῦ μὲν τῶν οὐκ εὐαγῶς βιούντων τὴν σύνοδον, ἐπὶ διορθώσει τῶν συνόντων οὐ παραιτουμένου· τοὺς δὲ μαθητὰς οὐκ ἐῶντος παραπλησίως πράττειν, ἵνα μὴ χρηστὸν ἦθος κακαῖς ὁμιλίαις ἐνδιαφθείροιντο. Πρός τί δέ μοι ἀφορᾷ ὁ λόγος, καὶ τί βούλεται ; ἢ δῆλον ὅτι τὸ παρὰ τῆς ὑμῶν τελειότητος διαλύει προτεινόμενον. Ὥσπερ γὰρ οὐκ ἦν μὲν τοῖς ἀτελέσιν ἐπ' ἐξουσίας ἔχειν, μετὰ τῶν φαύλων συναναφύρεσθαι· Παῦλος δὲ πράττων, ὅπερ ἀπεῖργε, καὶ διοικονομούμενος κατεφαίνετο, κερδαίνων μᾶλλον ἐξ ὧν ἄλλοις ὑπῆρχε τὸ ἐπιζήμιον· οὕτω χρὴ καὶ περὶ τοῦ διορισμοῦ τῆς τριετίας λογίζεσθαι, ἣν ἐπὶ τῶν προσιόντων τῷ μονάδι βίῳ ὁ ἀκριβὴς λόγος διωρίσατο. Τοὺς μὲν γὰρ πολλοὺς καὶ δεομένους προκαθάρσεως, ἄμεινον ἐκεῖθεν

Beatus et divinus Paulus, gentium apostolus, mundi doctor, qui totos terræ angulos prædicando circumiit : ille cœlesti magisterio edoctus, et inenarrabilium sermonum princeps, humanas aures audientes habens, multis in locis discipulos a conversatione impiorum excludens, non tantum versatus est ipse cum ejuscemodi, sed et *sine lege exsistentibus velut exlex convixit* [2]. Quid autem ? An ut ipse libenter ageret, quod reliquis non permisit ? an discipulorum securitati ut provideret, ipse sibi damnum creavit ? an oblitus eorum quæ suggesserat, aliis contraria obivit ? absit ! utrumque optime noverat, se perfectionem assecutum immobilem ad malum, aliorum imperfectiones et quam labiles ad deteriora : horum conscius et intelligens, discipulis inhibuit congressum et conversationem cum improbis, præcidens nempe damna et amoliens exinde futura : seipsum medius intulit, sub eodem sæpe tecto cum iis, et eadem mensa familiarius versatus : neque enim maculam ab iis metuebat : imo communicaturum se confidens de puritate sua : atque ita contrariis viis ad eumdem finem contendebat Paulus, nec declinavit convictum improbe viventium, ob correctionem secum versantium, paria admittere non sineus discipulos, ne boni mores malis conversationibus corrumperentur. Quo spectat, quid vult sibi hæc oratio ? certe solvit a vestra perfectione quæstionem propositam. Nam ut imperfecti facultatem non habebant libere cum improbis miscendi se : at Paulus faciens quod prohibebat, et quod facere cernebatur, ut lucrifaceret eo, quod aliis damnum crearet : ita oportet et de trienni exploratione statuere, quam statuit exacta disciplina erga monasticam professionem facturos : multos, utpote purificatione indigentes, melius est subire illam explorationem ; at qui se prius purgantes vitam ineunt philosophicam, non necesse habent præcise illud tempus observare : quemadmodum in iis qui hanc vitam instituunt, multa et magna differentia invenitur, et diversa eapropter

[1] Psal. XXXVI, 35. [2] I Cor. IX, 21.

VARIÆ LECTIONES.

[u] Ἰσ. παρῆλθον.

Digitized by Google Распознавание текста ABK/FR

exploratio conceditur : ita et quod eos tangit, qui præponuntur et informationi aliorum præficiuntur, non eadem prudentia aut facultas erudiendi ostendatur : quocirca præstaret ut simpliciores, nihil a suo ingenio faciant, sed omnia agant, canonis judicium intuentes et eo collimantes : præpositi vero, qui, vel per rerum humanarum experientiam et exercitium, vel per gratiam et adjutorium cœleste, satis instructi sunt ad discernendum affectus et dispositiones admittendorum, iis, ut mea fert sententia, non est opus ut triennii terminus præcise expleatur injunctus, nec a regula deficiet multum, qui sic judicaverit, judicii et conscientiæ cujusque calculus et discretio, in iis qui omnia ad salutem administrare volunt et gratiam de cœlo insuper ac sapientiam acceperunt ab experientia : et quid imprimis causæ mutationi favet, et veniam meretur, hujus temporis necessitate constringantur, in quo *volucres et vulpes*, si vis lupi, dracones, pardales, et, ut verbo dicam, belluinis moribus homines præditi, illustres et amplas domos incolunt, et licentiam sibi assumunt, quidquid placuerit agendi : discipuli vero et imitatores Filii hominis *non habeant ubi reclinent capita* [3], nec ullius rei usum liberum, sine quo vita non est vitalis. Is qui rebus necessariis privatur, qui nec libere aerem spirare permittitur, quomodo ad integrum triennium, virtutem addiscere volentes præstruet, et exercitium illis describet asceticæ futuræ ? sufficit vel quocunque modo de nequitia multiplici extractum vitæ philosophicæ copulare. Ubi erit illud phrontisterium, in quo per triennium quis versari possit, cum passim diffusa sit persecutio : cum nec in montibus, speluncis, terræ foraminibus sine vexatione vivere piis permittatur ? Ubi ordo et obsequium, quibus monachi labores asceticos subeunt, cum torrente malorum tam ingenti omnia corripiantur ? Rebus sane ad voluntatem fluentibus, nec aliqua urgente necessitate, exactam disciplinam impediente, præstaret, opinor, formam præscriptam cuicunque observare : sed cum in proverbio est : *Retro flumina, omnia subversa sint*, melius fuerit, in quantum est possibile, et in quantum res patitur, salutem quovis modo procurare, quam nudo nomini exactæ disciplinæ adhærendo, proditores animarum humanarum, et malos dispensatores prodire : quocirca archiepiscopalis vestra perfectio cum sufficiat judicare quæ conveniunt, et tempestates istas consideret omnia contra accurationem promoventes, omnino ad tuum judicium rem integram deferendam sentio, ut ea facias potestatem sanctificando, quæ conscientia tibi pura, aut potius Spiritus gratia per immaculatam conscientiam operata suggesserit.

A τὴν δοκιμασίαν ἐπιδέχεσθαι · ὅσοι δὲ αὐτοὺς προκαθάραντες, οὕτως πρὸς τὸν φιλόσοφον βίον διαβαινοῦσιν, οὐκ ἀναγκαίαν ἔχουσι τὴν ὁμοίαν παρατήρησιν. Ὥσπερ δὲ ἐπὶ τῶν προσιόντων τῇ φιλοσόφῳ πολιτείᾳ ταύτῃ, πολλὴ καὶ μεγάλη καθορᾶται ἡ διαφορὰ, καὶ διὰ τοῦτο διάφορος συγχωρεῖται ἡ δοκιμασία, οὕτω καὶ ἐπ' αὐτῶν τῶν προτεταγμένων, καὶ καταρρυθμίζειν τοὺς ἄλλους ἀξιωμένων, οὐχ ἡ αὐτὴ δύναμις καὶ σοφία τοῦ παιδαγωγεῖν ἐπιδείκνυται. Διὸ τοὺς ἁπλούστερόν πως διακειμένους βέλτιον ἂν εἴη μηδὲν παρ' ἑαυτῶν προσεπινοεῖν, πάντα δὲ πράττειν πρὸς τὴν τοῦ κανόνος κρίσιν ἀφορῶντας καὶ ἀπευθύνοντας. Ὅσοι δὲ τῶν προεστηκότων, τοῦτο μὲν τῶν ἀνθρωπίνων πείρα πολλῇ καὶ συγγυμνασίᾳ · τοῦτο δὲ τῇ ἄνωθεν χάριτι καὶ ἐπικουρίᾳ, ἱκανῶς B ἔλαχον κρίνειν τε καὶ διακρίνειν τὰς ὁρμάς τε, καὶ τὰς διαθέσεις τῶν εἰσαγουμένων · τούτοις οὐκ ἂν εἴη πολὺ τῆς εὐθύτητος ἀπολειπόμενον κριτήριον, οἶμαι, κἂν ὁ τῆς τριετίας οὐ συμπαρεκτείνοιτο χρόνος, ἡ τῆς οἰκείας γνώμης καὶ συνειδήσεως ψῆφος καὶ ἐπὶ τῇ τῶν ἀνθρώπων σωτηρίᾳ οὐ μόνον σκοπὸν τιθεμένοις, ἀλλὰ καὶ χάριν ἄνωθεν, καὶ σοφίαν ἐξ ἐμπειρίας προσειληφόσι. Καὶ τὸ δὴ μέγιστον καὶ ἀναγκαιότατον εἰς μεθάθεσιν αἰτίας, καὶ παραίτησιν συγγνώμης, ὁ παρὼν καιρὸς, ὡς τὰ μὲν πετεινὰ καὶ τὰς ἀλώπηκας, εἰ βούλει δὲ καὶ τοὺς λύκους, καὶ τοὺς δράκοντας, καὶ τὰς παρδάλεις, καὶ ἁπλῶς τοὺς θηριοτρόπους τῶν ἀνθρώπων λαμπραῖς καὶ περιφανέσιν οἰκίαις ἐγκατοικίζει, καὶ πᾶσαν αὐτοῖς ἐλευθερίαν πράττειν ἃ ἂν ἕλοιντο, παρέχει · τοῖς δὲ μαθηταῖς καὶ μιμηταῖς τοῦ Υἱοῦ τοῦ ἀνθρώπου, οὐδ' ἔχειν ὅπου C κλῖναι τὴν κεφαλὴν, οὐδ' ὧν ἄνευ οὐδὲ ζῆν ἔστιν οὐδενὸς, οὐδεμίαν ἄδειαν ἐπιτρέπει. Πῶς οὖν, ὁ καὶ αὐτῶν τῶν ἀναγκαίων ἀπεστερημένος, καὶ μηδὲ σπᾷν ἀδεῶς τὸν ἀέρα συγκεχωρημένος, ἐφ' ὅλα τρία ἔτη τὸν μαθεῖν ἐθέλοντα τὴν ἀρετὴν προκαταρτίσει, καὶ γυμνάσιον αὐτῷ τῆς μελλούσης ἀσκήσεως προδιαχήσει ; Ἀγαπητὸν γὰρ καὶ ὁτῳδήποτε τρόπῳ τῆς πολλῆς ἐξελκύσας γε κακίας, τῇ φιλοσόφῳ συνηθείᾳ ζωῇ ἐνδεσμῆσαι. Ποῦ γὰρ τὸ φροντιστήριον, ἐν ᾧ ἡ τοῦ τριετοὺς χρόνου διατριβὴ, ἅπαντα τοῦ διωγμοῦ καταλαβόντος, καὶ οὐδὲ τοῖς ὄρεσιν, ἢ τοῖς σπηλαίοις, ἢ ταῖς ὀπαῖς τῆς γῆς ἀνεπηρεάστως παροικεῖν τοὺς εὐσεβεῖς συγχωροῦντος ; ποῦ δὲ ἡ ἄλλη τάξις καὶ ἀκολουθία, καθ' ἣν τὸ μοναδικὸν τοὺς τῆς ἀσκήσεως ὑπεδύετο πόνους, ἁπάντων τῷ τοσούτῳ ῥεύματι τῶν D κακῶν συγκεχυμένων ; Τῶν μὲν γὰρ πραγμάτων κατὰ ῥοῦν φερομένων, καὶ μηδεμιᾶς περιστάσεως τὴν ἀκρίβειαν παραποδιζούσης, ἄμεινον οἶμαι παντὶ τοὺς τεθέντας φυλάττεσθαι τύπους · Ἄνω δὲ ποταμῶν, ὡς ἡ παροιμία, πάντων ἀνατετραμμένων, πῶς οὐκ ἄμεινον, καθ' ὅσον οἷόν τε, καὶ ἐ ὅσον ἐγχωρεῖ, τὴν [v] σωτηρίαν διεικονομεῖσθαι, ἢ ψιλῷ τῷ τῆς ἀκριβείας ὀνόματι περικαθημένους, προδότας ψυχῶν ἀνθρωπίνων καὶ κακοὺς οἰκονόμους ἀπελεγχθῆναι ; διὸ καὶ τὴν ὑμετέραν ἀρχιερατικὴν τελειότητα, ἱκανήν τε οὖσαν κρίνειν τὰ δέοντα ἐπι-

[3] Matth. VIII, 20.

VARIÆ LECTIONES.

[v] ἴσ. ἑαυτῶν.

Digitized by Google Распознавание текста ABK/FR

στάμενος, καὶ τὸν καιρὸν ὁρῶν τἀναντία πάντα τῆς ἀκριβείας ἀναφθεγγόμενον, ὅλην ἐπὶ σοὶ τοῦ προκειμένου τὴν κρίσιν ἀνατίθημι ἐκεῖνα πράττειν τὴν ἐξουσίαν ἀφιερῶν ἅπερ ἂν τὸ καθαρὸν συνειδὸς, μᾶλλον δὲ ἡ τοῦ ἁγίου Πνεύματος χάρις διὰ τοῦ καθαροῦ συνειδότος ἐνεργοῦσα ἐπιτρέψειν.

ΕΠΙΣΤ. ΛΑ'. A EPIST. XXXI.

Θεοδώρῳ μητροπολίτῃ Λαοδικείας *Theodoro metropolitæ Laodicensi.*

Montacut. (ep 194, p. 293).

Μελέτη μὲν μήτηρ εὐπραξίας· ὁρμὴ δ' ἀπερίσκεπτος ἐγγὺς ἁμαρτίας. Οὐ χρὴ τοιγαροῦν ἀφέντας τὸ βουλεύεσθαι ἐπ' ἐκεῖνο δραμεῖν, δι' οὗ μετὰ τοῦ μηδὲν, ὧν σπουδάζομεν ἀνύειν καὶ ἀνοίας ἔλεγχον ἁλισκόμεθα διδόντες.

Meditatio mater est operationis rectæ, impetus improvisus cum peccato hæret. Quocirca neglecto consilio non oportet in illud procurrere, unde, præterquam quod nihil eorum perficiemus, quæ studiose sategimus, insipientiæ culpam incurrisse videbimur.

ΕΠΙΣΤ. ΛΒ'.

Ἀμφιλοχίῳ μητροπολίτῃ Κυζίκου.

EPIST. XXXII.

Amphilochio metropolitæ Cyzici.

Montacut. (ep. 198, p. 295).

Ἡ δικαία πειθὼ, οὐ τῆς τοῦ λέγοντός ἐστι δυνάμεως, μᾶλλον ἡ τῆς τοῦ ἀκούοντος διαθέσεως. Οὐκοῦν οὐκ ἐγὼ κινήσω γέλωτα τὸν ἀπειθῆ νουθετῶν, εἰ μὴ πείσω, ἀλλ' ὁ ἀπειθῶν, εἴθε γέλωτα, ἀλλὰ μὴ καί τὴν ἰσχάτην ἐκεῖθεν προσοφλήσῃ τιμωρίαν. B

Justa persuasio non tam procedit a dicentis facultate, quam dispositione audientis. Nolo risum movere iudocilem informans, si non persuasero, sed indocilis, utinam risum tantummodo incurrat, te non in futuro supremo supplicio luat !

ΕΠΙΣΤ. ΛΓ'.

Γεωργίῳ μητροπολίτῃ Νικομηδείας.

EPIST. XXXIII.

Georgio metropolitæ Nicomediæ.

Montacut. (ep. 199, p. 295).

Εἰ δῆλόν ἐστιν, ὡς εἴ τις νουθετεῖ, δόξης θήραν πραγματευόμενος, ἄξιός ἐστι μεγάλης μέμψεως· οὐδὲν καινὸν οὐδ' ἀνέλπιστον εἴ τις νουθετῶν κακῶς ἀκούει καὶ διασύρεται. Διὰ τοῦτο, μηδ' αὐτὸς θαυμάσῃς, εἰ Πετρώνιος νουθετούμενος τραχυτέρους λόγους κατὰ τῆς σῆς ἀφίησι τελειότητος· μηδὲ διὰ τούτου μήτε τῆς εἰς ἐκεῖνον, μήτε τῆς εἰς ἄλλους ὀφειλομένης ὑπερορᾷ παραινέσεως. Ἐπεὶ δόξομεν ἂν πρὸ ἐκείνων αὐτοὶ ἑαυτοὺς ἀξίους ἀποφαίνειν ἐπιτιμήσεως, καὶ τὴν ἄλογον αὐτῶν μομφὴν εἰς αἰτίαν μεταποιεῖν ἀξιόλογον. C

Si patet illud, quod si quis consilium dat, ut gloriam venetur, reprehensione acerbiore dignus: sed quod quis pro consilio dato male audiat, et deridetur, nec novum, nec inexspectatum est. Quocirca mirari desine, si Petronius admonitus asperioribus verbis tuam perfectionem excepit : sed noli tu idcirco exhortationem debitam, vel erga illum, vel alium omittere. Ita enim videbimur nos ipsi, priusquam illi id faciant, dignos exhibere reprehensione, et incusationem ipsorum alias minime rationabilem in rationabilem transformare.

ΕΠΙΣΤ. ΛΔ'.

Γεωργίῳ μητροπολίτῃ Νικομηδείας, τελευτήσαντος αὐτῷ ἐν τῇ ὑπερορίᾳ κληρικοῦ, μετὰ τὴν γενομένην ἐπ' αὐτῷ τοῦ πρεσβυτέρου χειροτονίαν.

EPIST. XXXIV.

Georgio metropolitano Nicomediæ cujus clericus peregre diem clauserat extremam, post ordinationem ipsius ad presbyteratum.

Montacut. ep. (201, p. 296).

Ἐβουλόμην ἀπαρχῆς τῆς σκυθρωπῆς ἀγγελίας (ὡς εἴθε μὴ ὄφελεν ἐμοῖς ὠσὶν ἐπελθεῖν), λόγοις παρακλήσεως τὸ ἐν σοὶ πραῦνειν ἄλγος, καὶ τὸ λυποῦν ἀφαιρεῖν, αἷς ἐνῆν μοι παρηγορίαις. Ἐπεὶ δὲ ταῖς ἴσαις αὐτὸς (οὐ γὰρ ἂν εἴποιμι πλέον· οὐ τὴν ἀλήθειαν, τὴν δ' ἀπιστίαν εὐλαβούμενος, κατεστεινόμην ἀλγηδόσιν, καὶ τὴν ψυχὴν χαλεπῶς ἔπασχον) ἀμβλύτερός πως κατέστην ἑτέρων λύπας ἀφαιρεῖν, ὧν αὐτὸς παραμύθιον οὐχ εὗρισκον. Ὀψὲ δὲ καὶ μόλις τοὺς λογισμοὺς ἀνενεγκών, κἀκεῖνο πρὸ τῶν ἄλλων ἐνθυμηθεὶς, ὡς ὅτι περίεστιν ἡ ἀρχιερατικὴ καὶ ἁγία χεὶρ ἐκείνη (καὶ περιείη γε ἐπὶ πλέον, ἢ ὅσον διεγέγονεν, ἡ τοιούτους ἡμῖν διαπλάττουσα καὶ διαμορφοῦσα τοὺς τῆς ἱερᾶς ἡμῶν ὑπηρέτας ἁγιστίας), ἔτι μᾶλλον ἐγενόμην ἐμαυτοῦ, καὶ τοῦ δυσφορεῖν ὑπερανέσχον, καὶ πρὸς τὴν αὐτὴν λοιπὸν διάθεσιν τὴν ὑμετέραν μεθέλκειν ἐθάρρησα τελειό- D

Cupiebam ab accepto amaro nuntio, quod utinam in meas aures non venisset, consulentibus verbis dolorem tuum mitigare, et quibus possem solatiis afflictionem tuam lenire. At cum iisdem ego ipse hebetior essem redditus malis nec aliorum tristitias auferendo, cum ipse meis solatium reperire nequirem : ita enim tam mecum erat revera ne quid gravius dicam : nec vereor ne fides mihi non adhibeatur, qui veritatem dico : certe excruciabar doloribus : et animo male affectus eram. Cumque sero ac vix tandem ad animum redieram illud imprimis cogitabam : adhuc superstes est archiepiscopalis et sancta illa manus (et diu adhuc supersit precor, quæ tales nobis defingit et efformat sacerdotes rerum administros sacrarum) magis memetipsum recollegi, nec ulterius graviter patiebar, et ad eamdem mecum dispositionem perfectionem

Digitized by Google Распознавание текста ABK/FR

vestram volui deducere : ubi tamen absurdi quid mihi occurrebat : tamen nescio quid novi passus sum : membrum divulsum abstrahitur ; sed Deo dicatur, et nos qui per Deum divitiis illis abundavimus, illi primitias offerre debebamus : antiqua lex hæc obtinet, ut rerum pretiosarum primitias datori et communi Domino offeramus : germen præclarum, et fructus ferens maturos diffractum est : sed manet radix, germinabit denuo non inferiora : si is qui ablatus est mœrore afficiat, progerminet alios, ut ne ita demum tristitia percellatur, si ramos quosdam ad se transferat hortulanus ; sed per reliquorum oblectationem ablati sensum absconditum voluit. Abiit præclara et admirabilis virtutis imago ; sed idem pictor manum adhuc exercere potest, et qui præclaras ejus dotes diligebat, proculdubio plures tales imagines describet. At mihi quidem mali medicinam facit istud ; puto quemlibet religiosum prudenter sumpturum : sed Ecclesiæ corpus, ad quod vocati sumus, non opinor, ipse justificabis, non esse tibi compassionis solatium archipræsuli. Nam quid est ? ante tempus auferebatur : et quis, quæso, melius de temporibus judicare, et eadem observare novit, quam is, qui secundum rationem et ordinem disposuit omnia ? Sed raptus est in ætate vigente, et qui tales exsistunt, certamina subeunt viriliter : verum ad senectutem usque protendi interruptionem plerumque fortitudinis operatur. Ad virtutem nobiscum concurrebat : non oportet invidere, si stadium suum prior confecerit. At solamen erat urgentium afflictionum : sed nec omnes secum abstulit consolationis modos : imo plures nunc præstat, et quidem primo per generosas vitæ actiones : secundo per intercessionem apud Deum ; utpote jam vicinior ei factus, et cœleste adjumentum in partes assumens, cum ad succurrendum, tum ad vindicandum. Silent labra : clamant actiones. Lingua tacet, sed contra legum violatores ejus redargutiones ipsorum consilia perpetuo flagellant, et religiosum quemlibet ad oblectationem excitant et fortitudinem. Quid tandem ? in persecutione, afflictione, miseria, vitam clausit. At hæc me summopere consolantur. Non enim delictiis affluere illum decuit, qui ad regnum cœlorum anhelabat, et illam ibi adire hæreditatem voluit : luctatorem quiescere non decebat ; nec certamini destinatum in umbraculis arborum paradisi recubare, ac dulcem somnum capere : sed inter certamina, per tribulationes, inter persequentium gladios explorari decuit : et sic approbari ab agonotheta, sudore madentem e colluctatione, et sic de cursu, laboribus anhelum, felicem prædicari : id quod ego coronis prætulerim : nam coronæ donantur ab athlotheta : hæc certantis labores clamant et lemniscos : inter medias et illas extremas persecutiones, abivit ad coronatorem. Quorsum enim in infinitam agonistam durare oportuit, ac non statim potius illa consequi propter ea quæ pertulit, et sic obduravit : hostium sane vota mihi istud

A τητα · καὶ τι γὰρ ἐνενόουν νῶν ἀτοπωτέρων · τί δὲ τῶν καινοτέρων πεπόνθαμεν, οὐκ οἶδα · ἀφῃρέθη μέλος, ἀλλὰ Θεῷ ἀφιέρωται · ἀλλ' ἀπαρχὴν ἔδει δοθῆναι τῶν καλῶν, ὧν ἐκεῖθεν ἐπλουτίσαμεν · ἀρχαῖος οὗτος νόμος ἀπαρχὰς τῶν τιμίων τῷ δωτῆρι, καὶ κοινῷ προσφέρειν Δεσπότῃ. Κλάδος εὐθαλὴς, καὶ καρπὸν ὡραῖον φέρων, περιῄρηται · ἀλλ' ἡ ῥίζα μένει · οἴσει πάλιν οὐκ ἐλάττονα. Εἰ δὲ πλέον ὁ περιῃρημένος λυπεῖ, βλαστανέτω καὶ πλείονας · ἵνα μὴ πάλιν ἔχοι χαλεπῶς ἀλγεῖν τοῦ φυτοκόμου πρὸς ἑαυτόν τινα τῶν κλάδων λαμβάνοντος, ἀλλ' ἐν τῇ τῶν ὑπολειπομένων τέρψει, τοῦ ἀφῃρημένου λανθάνειν ἔχοι τὴν συναίσθησιν. Ἀπῆλθεν ἡ καλὴ καὶ θαυμασία τῆς ἀρετῆς εἰκών · ἀλλ' ὁ γραψεὺς ἔτι τὴν χεῖρα κινεῖ, καὶ γράψει γε πάντως, ἐραστὴς ὢν
B τοῦ καλοῦ, οὐκέτι μίαν, ἀλλὰ καὶ πλείονας. Ἀλλ' ἐμοὶ μὲν τοῦτο τῆς ἀθυμίας φάρμακον · οἶμαι δ' ἂν αὐτὸ λαβεῖν προθύμως, καὶ τῶν εὐσεβούντων ἕκαστον · τὸ δὲ κοινὸν τῆς Ἐκκλησίας, ἐφ' ᾧ γε παρακεκλήμεθα, οὐκ ἂν οὐχὶ δικαιώσαις καὶ αὐτὸς, καὶ τῆς σῆς ἀρχιερατικῆς συμπαθείας μὴ γενέσθαι παράκλησιν. Τί γάρ ; πρὸ ὥρας ἁπῆρεν · καὶ τίς ἀκριβέστερος ὥρας συντηρεῖν καὶ κρίνειν, τοῦ πάντα λόγῳ καὶ εἱρμῷ τάξαντος ; Ἀλλ' ἐν ἀκμῇ τῆς ἡλικίας, οἱ τοιοῦτοι τοὺς ἄθλους γενναίως φέρουσι · τὸ δὲ εἰς γῆρας παραταθῆναι, ἐγκοπὴ, τὰ πολλὰ, τῆς πολλῆς καθίσταται γανναιότητος. Σύνδρομος ἦν πρὸς
C ἀρετήν · οὐ χρὴ φθονεῖν εἰ τὸ στάδιον προκατείληφεν. Ἀλλ' ἦν τῶν θλιβερῶν παραμύθιον · οὐ συναπῆρεν τοὺς λόγους τῆς παρακλήσεως · καὶ πλέον δὲ ἔσται νῦν, οἷς τε διὰ βίου ἀνδρικῶς ἐνεκαρτέρησε, καὶ ταῖς πρὸς τὸ Θεῖον ἐντεύξεσιν · ἅτε δὴ πλησιαίτερον γεγονὼς, καὶ τὴν ἐκείθεν ἕλκων μᾶλλον ῥοπὴν, εἰς ἐπικουρίαν καὶ ἐκδίκησιν. Σιγᾷ τὰ χείλη · ἀλλὰ βοῶσιν αἱ πράξεις · ἡ γλῶσσα τέως ὠρεμεῖ · ἀλλ' οἱ κατὰ τῶν παρανομούντων ἔλεγχοι αὐτῶν τ' ἐκείνων τοὺς λογισμοὺς ἀθάνατα μαστιγοῦσι, καὶ τῶν εὐσεβούντων ἕκαστον, εἰς θυμηδίαν καὶ ἀνδρείαν διεγειστῶσιν. Τί λοιπὸν ; ἐν διωγμοῖς καὶ θλίψεσι καὶ ταλαιπωρίαις τὸν βίον ἀπέλιπε. Τὸ μέγιστόν μοι λέγεις παραμύθιον. Οὐ γὰρ ἔδει τρυφᾷν τὸν τὴν βασιλείαν τῶν οὐρανῶν ἐπιζητοῦντα, καὶ τὸν ἐκεῖσε κλῆρον διώκοντα. Οὐκ ἔδει τὸν ἀθλητὴν ἡσυχάζειν · οὐδὲ τὸν ἀγωνιστὴν ὑπὸ σκιαῖς καὶ δένδροις καὶ παραδείσοις ἀνεκκλίσθαι καὶ ἀναπαύεσθαι · ἀλλ' ἐν
D μέσοις ἔδει τοῖς ἀγῶσιν, ἐν αὐτοῖς τοῖς πειρασμοῖς, ἐν μέσῳ τῆς τῶν διωκόντων μιαιφονίας δοκιμάζεσθαι, καλὸν ἐμφανισθῆναι τῷ ἀγωνοθέτῃ, ἱδρῶσιν ἀθλητικοῖς ἔτι περισταζόμενον · μακάριον ὀφθῆναι τῶν δρόμων καὶ καμάτων ἀσθμαίνοντα. Τοῦτο τῶν στεφάνων ἐγὼ φημι μακαριώτερον. Τὸ μὲν γὰρ ἐστι τοῦ ἀθλοθέτου, τὸ δὲ τῆς τοῦ ἀγωνιζομένου σπουδῆς καὶ εὐδοκιμήσεως. Ἐν αὐτῇ μέσῃ τῇ τῶν διωγμῶν ἀκμῇ, πρὸς τὸν στεφοδότην ἀπέδραμεν. Τί δὲ ἀπέραντα κάμνειν ἐβούλου τὸν ἀγωνιστὴν καὶ μὴ τάχιον τυχεῖν ἐφ' ᾧ ταῦτα διεκαρτέρει καὶ ὑπέφερεν ; Ἐχθρῶν εὐχὴν μοι λέγεις, ἀλλ' οὐχὶ πρόνοιαν φίλων · οὐδὲ πόνον, οὐδὲ ἔλεον. Ἐξῆλθε κοινῶν ὀμμάτων τὸ κοινὸν τῆς Ἐκκλησίας τέκνον, ὁ καλὸς

Digitized by Google Распознавание текста ABK/FR

ἐμοὶ καὶ τοῦ Θεοῦ ἄνθρωπος· ἀλλ' εἰς οὐρανὸν, ἀλλ' εἰς τὸν κοινὸν Δεσπότην, ἀλλὰ μετ' ἀγγέλων χορεύσων, ἀλλ' ἱερουργός. Ὦ πόσην εὗρον ἐν τούτῳ παραψυχήν! Ἔδει γὰρ, ἔδει καὶ τὴν ἡμῶν ἀπαρχὴν ὑπὲρ ἱερᾶς δόξης, καὶ νόμων ἱερῶν διωκομένων, ἱερουργὸν Θεῷ προσταχθῆναι· ἱερουργὸς, ἐμφράττων μετὰ πλείονος τῆς παῤῥησίας στόματα βεβήλων, καὶ χαλινῶν γλώσσας κενὰ ἐπισταμένας x· ἱερουργὸς, κἂν μὴ τὸ ἀνίερον βούλοιτο. Τί ἔτι; Ἐπήνθει αὐτῷ τὰ τῆς ἀρετῆς ἅπαντα· διὰ τοῦτο γὰρ θᾶττον εἰς τὴν ἀμάραντον ἀπεφοίτησεν τοῦ παραδείσου πολιτείαν, ἵνα μηδὲν αὐτῷ τῶν κατορθωθέντων ἀπομαρανθῇ. Εἰ γὰρ οὐδεὶς ἀπὸ ῥύπου καθαρὸς, οὐδ' ἂν ἡμέρα μία ὁ βίος αὐτοῦ, ὁ θᾶττον τὸν διαυλον τοῦ βίου ἐξελθὼν, τὸ πλεῖστον ἔφθη τοῦ ῥύπου ἐκφυγών. Κοινὸν ἦν τῶν εὐσεβούντων στήριγμα· καλὸν αὐτοῖς ἀπολέλοιπε κανόνα καὶ τύπον ἐν τοῖς ὑπὲρ εὐσεβείας πόνοις τὸ ζῆν ἐκλιπών. Οὐκ εἶδεν τὴν τῆς Ἐκκλησίας, ὑπὲρ ἧς ἐνήθλει, ἀποκατάστασιν· διὰ τοῦτο ἀκεραίους ἐκεῖθεν ἔχει τῶν πόνων τοὺς μισθούς. Τὸ γὰρ ἀνθ' ὧν ἀγωνίζεταί τις, εὐφροσύνης ἐνταῦθα τυχεῖν, ὑποτέμνεται τῆς ἐκεῖθεν μακαριότητος τὰς ἀμοιβάς. Οὐκ εἶδε τὴν ἀποκατάστασιν αἰσθητοῖς ὀφθαλμοῖς, ἀλλ' ὁρᾷ νυνὶ τοῖς νοητοῖς· ἀλλ' ἴσως πλησιαίτερον γεγονὼς Θεοῦ, ταύτην, τοῖς ἐν αἰσθήσει στρεφομένοις, ἔτι ἂν ἄρα συμφέρον ἐπιταχυνεῖ. Ἔχει τάφος τὸ σῶμα, ἀλλ' οὐράνιοι θάλαμοι τὴν ψυχήν· ἡ γῆ τὴν κόνιν, ἀλλ' Ἀβραμιαῖοι κόλποι τὸ πνεῦμα. Φίλων ἐστερήθη, ἀλλ' εὗρε τοὺς κρείττους· εὑρήσει δὲ καὶ οὓς ἔλιπε μετ' ὀλίγον, ἂν τῷ εἶναι μείνωσιν φίλοι Θεοῦ. Ἐχθρῶν ἐξῆλθεν ἐπιβουλὰς αἰσθητῶν, νοητῶν, φανερὰς, ὑφάλους, ἔξωθεν, ἔνδον, ἀϊδεῖς ὑπ' ἐνέδρᾳ. Εἶδεν, εἰ καὶ ὡς ἐν ἐσόπτρῳ (τοῦτο γὰρ ἔγωγε τὸ ἐν τοῖς θεοπέμπτοις ὀνείροις ὁρῶ) ἃ ἐπόθει, καὶ ὧν ἀδιαλείπτως ἐγλίχετο· οἷς τὴν ψυχὴν ἀνεπτέρωτο, καὶ πρὸς ἃ καὶ τῷ σκήνει βαρυνόμενος ἀνεφέρετο. Εἶδεν τὸν καλοῦντα Βασιλέα, τοὺς ὑπηρετουμένους φαιδροὺς ἀγγέλους τῇ κλήσει, τὸν ἱερὸν ἐκεῖνον καὶ βεβήλοις ἄψαυστον καὶ ἀθέατον, ἐν ᾧ παρεπέμπετο χορὸν τὴν ἄφραστον ἐκείνην καὶ ἀτελεύτητον δοξαν καὶ τρυφήν. Ὦ γλυκείων ἀπολαυσις, καὶ πρὸ τῆς ἀπολαύσεως, θεσμάτων· ὡ μακαρίας ἀποδημίας· ὡ ἀξίας θαυμάζεσθαι· ἀλλ' οὐχὶ δάκρυα προκαλεῖσθαι ζηλοῦσθαι, οὐχὶ πενθεῖσθαι· μετὰ λαμπρῶν ἐνταφιων τῶν οὐρανίων ἀνέδη πυλῶν· μετὰ λαμπρᾶς τῆς λαμπάδος οὐκ ἐλαίῳ μόνῳ φαιδρυνομένης, ἀλλὰ καὶ τοῖς ἀπὸ τῶν ἄθλων ἱδρῶσιν ἀρδευομένης· οὐ παρθενείᾳ μόνῃ λαμπρυνομένης, ἀλλὰ καὶ ἱερωσύνης ἀξιώματι κλεϊζομένης· οὐδὲ τούτοις μόνον, ἀλλὰ καὶ ταῖς ἄλλαις ἀρεταῖς δι' ὧν τὸ δαψιλὲς καὶ ἀένναον τῆς φωτοχυσίας κατεπλουτίσθη. Ταῦτά μοι γέγονε ψυχαγωγία, ταῦτα παραμύθιον, μᾶλλον δὲ ἀπὸ τῆς παραμυθίας ἀρξόμενα, εἰς πνευματικὴν μετέστησεν εὐφροσύνην καὶ ἀγαλλίασιν. Ταῦτα καὶ τῇ σῇ ἀρχιερατικῇ τελειότητι γινέσθω καὶ παραμυθία, καὶ χαρᾶς καὶ θυμηδίας

narras, non pavidam amicorum curam, nec toleratorum commiserationem. Ab oculis omnium abiit publicus Ecclesiæ filius : præclarus ille Dei, et noster homo : sed in cœlos, ad communem Dominum abiit, sed choros cum angelis concelebraturus, sed sacerdos. Ego autem quantum in hoc uno solatii adinveni ! Ita enim par fuit ut sacerdos Deo offerretur, primitiarum loco, divinis legibus, pro Dei gloria passus persecutionem : sacerdos autem is, qui cum multa libertate profanis hominibus os obstruere potest, et frenum injicere linguis meditantium vana : sacerdos, velint nolint profani. Quid ulterius ? Virtute florebat undique. Quocirca citius hinc abivit ad immarcescibilem paradisi politiam, ut ne quid illi a rectis factis defloresceret : si enim denuo sit a sordibus purus, ne quidem si vel unius diei spatium vinceret, certe qui *diaulum* vitæ quantocius excessit, plurimas ille sordes abluit. Pietatis erat commune quoddam stabilimentum : præclaram ipsis regulam, et formam reliquit, qui in patiendo pro pietate excessit e vita. Ecclesiæ illius, pro qua certavit, restitutionem non vidit : quocirca, impermistam laborum mercedem in cœlis habet. Nam si oblectamentum laborum hic perceperat, privaretur beatitudinis ibidem retributione : oculis sensitivis restaurationem non vidit : sed intellectus oculis nunc intuetur ; utpote Deo vicinior factus, eo properare et illis conducet, qui adhuc versantur in sensibilibus. Corpus sepulcrum continet, thalami autem cœlestes animam, pulverem habet terra, spiritum vero sinus Abrahæ : privabatur amicis, reperit meliores, et quos dereliquit, haud diu erit cum rursus inveniet, si permanserint, statu quo, amici Dei : hostium insidias evasit sensibilium, intellectualium, apertas, occultas, internas, externas, manifestas et clancularias. Vidit hic, sed ut in speculo (quod et ego per somnia a Deo immissa video), quæ cupiebat, et continue anhelabat, quibus animæ dedit alas, ad quæ licet tabernaculo prægravatus ferebatur. Vidit Regem annuentem, angelos claritate conspicuos administros vocationis, sacrum illum, profanis intactum, et invisibilem locum, in explicabilem gloriam et oblectationem interminabilem quo transferebatur. Hæc est dulcedinis fruitio, et visionis illius ante fruitionem : certe, excessus felix et admirandus, non lacrymis decorandus, sed æmulatione operandus, non lugendus. Illustri modo tumulatus cœlestes sedes ascendit, cum lampade clara, non oleo tantum illuminata, sed certaminis sudoribus diffluente, non sola virginitate exculta, sed sacerdotali dignitate quoque diffusa ; nec istis solis, sed et aliis virtutibus unde abundantia perennis effuso lumine dilatatur : hæc sunt illa, quæ animum meum reficiunt ; hæc quæ consolantur : imo potius hinc initio consolationis derivato, ad spiritualem referebatur oblectationem exaltationemque. Hæc et tuam

VARIÆ LECTIONES.

x Ἰσ. μελετᾷν.

Digitized by Google Распознавание текста ABK/FR

archiepiscopalem perfectionem solentur : hæc in gaudii et consolationis argumentum cedant, eoque magis quod tuæ disciplinæ curæ et instructioni translati hinc illius res præclare olim gestæ ascribi debeant.

EPIST. XXXV.

Euschemoni Cæsareæ archiepiscopo.

Montacut. (ep. 202, p. 299).

Suscepit quidam prophetam, aut justorum aliquem, eo quod multos illum admirationi habentes observat, qui ex illa sua admiratione, gloriam non mediocrem venabantur. Alius spem concipit, quod e tali susceptione, eximia divitiarum affluentium copia abundavit : vel statum aliquem bonum corporalem consequetur. At nemo plane istorum, vel *prophetæ mercedem* consequetur, vel *justi veri retributionem*. Quis autem recepturus eam est ? Is nimirum, qui, quod Dei servus, et propheta quis exsistat (hoc enim vult illud, *In nomine prophetæ, in nomine justi*), et non cauponando, vel commodum captando recipit, et quo potest obsequio eam demeretur, e pura conscientia et honesto animo. Certe, dignus omnino talis divina retributione, et redhostimento. Illud porro, *Mercedem justi, mercedem prophetæ recipiet*[4], duplicem habet sententiam : vel enim sinceræ hospitalitatis et puræ mercedem illi recipient, certo certius, qui prophetam vel justum recipiunt : nec honore illo privari possunt, qui dignos se per res a se gestas præstiterunt ; vel quod illam non recipient simpliciter mercedem hospitalitatis, sed similem aut æqualem justis et prophetis. Magnum quid hospitalitas est : magnam conducet mercedem, imprimis, si honesti et legem Dei sectantes recipiantur. Hanc tu rationem si recte institueris, ac propter nomen ac titulum servorum Dei, non ob aliam ullam causam hospitio susceperis, oraculi Evangelici mentem tenebis, unde commodum percipies : felix omnium magis illa beatitudo, quam quæ verbis poterit ullis explicari.

EPIST. XXXVI.

Paulo metropolitæ Laodiceæ.

Montacut. (ep. 206, p. 304).

Defatigatus sum serenos dies numerando, dum tuum adventum exspectem : sed sudum, ut videtur, tempestas tibi fuit : quem ergo terminum sortientur tempestates tuæ.

EPIST. XXXVII.

Paulo metropolitæ Laodiceæ.

Montacut. (ep. 215, p. 317).

Si hiems non erat, de qua dicebat Servator, *Orate ne fuga vestra per hiemem fiat*[5], verborum in te hiemem concitarem : Non novi ego, dicam more minime amici, tam longinquam peregrinationem, quæ propius accedat, ad antiqui illius corvi fugam incusare. Sin alæ tibi adsint castæ, puræ et velocis columbæ, sartum tectum amorem habeo, hiems plane nihili est, nec quid aliud grave : sin colli-

[4] Matth. x, 41. [5] Marc. XIII, 18.

A ὑπόθεσις, ὅσῳ καὶ μᾶλλον εἰς τὴν σὴν ἀνήκει διδασκαλίαν καὶ σπουδήν, τὰ τοῦ μεταστάντος κατορθώματα.

ΕΠΙΣΤ. ΛΕ'.

Εὐσχήμονι ἀρχιεπισκόπῳ Καισαρείας.

B Ἐδέξατό τις προφήτην, ἢ ὅλως τινὰ τῶν δικαίων, ὅτι πολλοὺς εἶδε τὸν ἄνδρα θαυμάζοντας, καὶ δόξαν οὐ μικρὰν ἐκ τοῦ θαυμάσαι θηράσαντας. Ἕτερον πάλιν ἐλπίδας τρέφων, ὡς ἐκ τῆς ὑποδοχῆς πλούτου περιβαλεῖται λαμπρότητα, ἢ τινος ἄλλης σωματικῆς εὐπαθείας ἐπιτεύξεται. Οὐδεὶς οὐδαμῶς τῶν εἰρημένων οὔτε προφήτου μισθόν, οὔτε τινὸς δικαίου λήψεται Τίς δὲ λήψεται ; Ὅτι αὐτὸ τὸ εἶναι προφήτην καὶ Θεοῦ θεράποντα · (τοῦτο γάρ ἐστιν, Εἰς ὄνομα προφήτου, καὶ εἰς ὄνομα δικαίου ·) ἀλλὰ μηδ' ἐμποριάν, ἢ τοιαύτην τινὰ χρείαν τὸν ἄνδρα δεχόμενος, καὶ τὴν δυνατὴν θεραπείαν εἰς αὐτὸν καθαρότητι καρδίας καὶ σπουδαίᾳ γνώμῃ ἐνδεικνύμενος. Ἄξιος γὰρ ὡς ἀληθῶς ἄξιος ὁ τοιοῦτος θείας ἀντιμισθίας καὶ ἀντιδόσεως. Τὸ δὲ, Μισθὸν προφήτου, καὶ μισθὸν δικαίου λήψεται, διττὴν ἔχει τὴν διάνοιαν · ἢ γὰρ ὅτι τῆς εἰλικρινοῦς καὶ καθαρᾶς φιλοξενίας τὸν μισθὸν, οἱ τοὺς προφήτας, καὶ ὅλως, οἵ τινας τῶν δικαίων ὑποδεχόμενοι, πάντως γε λήψονται, καὶ οὐκ ἔστιν αὐτοὺς τῶν γερῶν στερηθῆναι, C ὧν ἀξίους ἑαυτοὺς, δι' ὧν ἔπραξαν, ἔδειξαν · ἢ ὅτι καὶ οὗτοι οὐχ ἁπλῶς μισθὸν φιλοξενίας, ἀλλὰ τὸν ἴσον καὶ ὅμοιον τοῖς προφήταις καὶ δικαίοις ἀπολήψονται. Μέγα γὰρ φιλοξενία, καὶ μεγάλους μισθοὺς προξενοῦσα, καὶ μάλιστα σπουδαίων ἀνδρῶν, καὶ ὑπὲρ θείων νόμων διωκομένων ἢν σὺ κατορθῶν καὶ εἰς ὄνομα Θεοῦ θεραπόντων, ἀλλὰ μὴ δι' ἄλλο τι τοὺς αὐτοῦ ξενίζων φίλους, μᾶλλόν τε συνήσεις τὸν εὐαγγελικὸν χρησμὸν, κἀκεῖθεν εὑρήσεις τὸ κέρδος (ὦ μακαριότητος !) πολὺ μεῖζον ἢ κατὰ διήγησιν λόγου.

ΕΠΙΣΤ. ΛϚ'.

Παύλῳ μητροπολίτῃ Λαοδικείας.

D Ἔκαμον, τὰς εὐδίας ἀναμετρῶν, καὶ τὴν σὴν περιβλεπόμενος ἄφιξιν · ἀλλ', ὡς ἔοικε, χειμῶνές σοι αἱ εὐδίαι γεγόνασιν. Εἰς ποῖον οὖν ἆρα πέρας τὰ τῶν χειμώνων σοι ἀποκριθήσεται ;

ΕΠΙΣΤ. ΛΖ'.

Παύλῳ μητροπολίτῃ Λαοδικείας.

Εἰ μὴ χειμὼν ἦν, περὶ οὗ ὁ Σωτὴρ ἔλεγεν, Εὔχεσθε μὴ γενέσθαι τὴν φυγὴν ὑμῶν ἐν χειμῶνι · χειμῶνα ἂν σοι λόγων δικαίως ἐπήγειρα · οὐκ οἶδα, τὸν ἄφιλον ἐρῶ τρόπον ἢ τὴν οὕτω μακρὰν ἀποδημίαν, καὶ τοῦ παλαιοῦ κόρακος ἐκείνου ἐγγὺς γενέσθαι φιλονικήσασαν, αἰτιώμενος. Ἀλλ' εἰ μὲν τὸ πτερόν σοι τῆς ἀγνῆς καὶ καθαρᾶς καὶ ὀξυπόρου περιστερᾶς, ἔρρωται τῆς ἀγάπης, οὐδὲν ὁ χειμὼν,

Digitized by Google Распознавание текста ABK/FR

ὥσπερ οὐδέ τι ἄλλο. Εἰ δέ τινα θραῦσιν, ἀλλ' οὐκ ἂν πεισθείην ἐκεῖνο, πεπόνθοι, ἀνάγκη κάτω μένειν ἕως ἂν ὁ τάρσος πάλιν ἄνωθεν βλαστήσῃ, καὶ μηδ' ἐν εὐδίᾳ πρὸς ἡμᾶς μετεωρίζεσθαι. Ἀλλ' ἔρρωσό μοι τὸν θεῖον ἔρωτα μᾶλλον ἐπὶ τοῖς προτέροις πτεροφυῶν, ἢ τοὺς ἀρχῆθεν καὶ καλῶς προβεβλημένους τάρσους ῥᾳθυμίᾳ περιθραυόμενος.

A sionem et anfractionem, quod non puto, illud perpeti, necesse est deorsum ut consistas, donec alæ excreverint, et ne ad nos advoles, ne per sudum quidem. Sed valeas, Dei amorem magis adhuc magisque adurgendo, potius quam ut alæ quæ ab initio optime excreverant per socordiam collisæ diffringantur.

ΕΠΙΣΤ. ΑΗ'.

Παύλῳ μητροπολίτῃ Λαοδικείας.

EPIST. XXXVIII.

Paulo Laodicensi metropolitæ.

Montacut. (ep. 220, p. 328).

Οὔτε τοὺς ἐν λόγοις ἀγνώμονας εὐεργετεῖν οἶδα B λόγῳ, καίπερ ἐν τοῖς ἄλλοις (ὡς ἂν αὐτὸς φαίης) φιλοσοφώτερον αὐτὸ θεωρήσας, οὔτε σολοικίζουσι (νῦν γὰρ εἴ ποτε, καιρὸς καὶ τοῦ παίξαι) συνήθης εἰμὶ πείθεσθαι· ἕως ἂν οὖν εὐχάριστοί μὲν οἱ ἀγνώμονες καταστῶσιν· οἱ δὲ τοὺς καλοὺς κακῇ προφορᾷ ῥημάτων αἰκιζόμενοι λόγους, Ἑλλάδα γλῶτταν τῇ ἀμουσίᾳ ἀλλάξωνται, οὐκ ἂν ἐκών γε εἶναι τῶν τῆς ῥητορίας καινῶν μυστηρίων ἐπόπτας ποιήσωμαι· διὸ σὺ μὲν τὴν γλῶτταν Ἀττικαῖς, μελέταις, ὁ δὲ σὸς φίλος εὐγνωμοσύνης τελεταῖς, τὴν γνώμην καθάρας, σὺν Θεῷ φάναι τεύξοισθε τῶν ποθουμένων.

Nec benefacere dictis improbos scio, licet (ut tute affirmas) qui magis philosophice rem complecteris in aliis: neque solœcismum admittentibus (nunc enim, si alias, occasio jocandi ministratur) mihi in more ponitur obtemperare: quandiu grati exsistant, qui sunt tam perverse affecti, ut et male productis verbis orationem lædant, ita ut linguam Græcam illiterati permutent, haud ego libenter admittam eos novorum rhetoricæ mysteriorum epoptas. Tu igitur linguam tuam Atticismorum meditationibus, amicus autem tuus bonæ dispositionis mysteriis ubi animum purgaveritis, cum bono Deo consequemini id quod concupiscitis.

ΕΠΙΣΤ. ΑΘ'.

Ζαχαρίᾳ μητροπολίτῃ Χαλκηδόνος.

EPIST. XXXIX.

Zachariæ metropolitæ Chalcedonis.

Montacut. (ep. 221, p. 329).

Γράφεις ἡμᾶς γραφὴν, ἣν κἂν ἑτέρου γράφοντος, δίκαιος αὐτὸς ἦσθα τοῦτον διώκειν ἀδίκου γραφῆς· καὶ γράφεις ἀπολογίαν, μηδενὸς διώξαντος δίκην· καί τοι συγγνώμη πᾶσα καὶ ἀπολογία, μακρῷ τῷ μέτρῳ τῆς κατηγορίας διέστηκεν· οὐ γάρ ἐστιν, οὐκ ἔστιν ἔλεον αἰτεῖν, καὶ λόγον ἀδικημάτων ἀπαιτεῖν, ὥστε μὴ πρότερον αἰτίαν ἔχων· εὖρες ἀπολογούμενος, δι' ὧν σεαυτὸν μακροτάτων λόγων ἔδειξας χρεώστην· οὐκ ἐπεκαλεσάμην ὅλως· καὶ τῶν Αἰσώπου λόγων οὐδὲν μετριωτέραν ὁρῶ τὴν ἀπολογίαν. Οὐχ ἥμαρτον, οἶμαι καὶ τῶν εἰς Σωκράτην ἐμπαροινησάντων ἀναισχυντοτέραν ὁρῶ τὴν κατηγορίαν· καὶ ὑπὲρ μὲν σαυτοῦ εἰς ἀέρα δέρων ἐπύκτευσας, καθ' ἡμῶν δὲ ὀξὺν μὲν καὶ σφοδρὸν τὸν δρόμον, ἀλλ' ἐπισφαλῆ καὶ ἀναίτιον διηγώνισαι. Ἡ γὰρ τῶν ἐπαίνων αὔξησις οὐ μόνον οὐδὲν παραιτεῖσθαι, ὧν ὑβρίσμεθα, ἀλλὰ καὶ ἐπὶ τὸ μεῖζον ἄγει τὰ ἐγκλήματα. Πίπτουσι μὲν γὰρ γεωργοὶ, καὶ ναῦται, καὶ στρατιῶται, καὶ παλιγκάπηλοι· ἀλλ' ἐάν τις τὸ ἐκείνων πτῶμα φίλῳ ἀληθείας περιάπτοι, ἢ στρατηγῷ, ἢ ἀρχιερεῖ Θεοῦ, ἢ ἁπλῶς ἀνδρὶ τῶν πολλῶν ταῖς ἀρεταῖς τὸ ἐξαίρετον ἔχοντι, βαθαὶ, ἡλίκον οὗτος διὰ μηχανῆς κατασκευάζων ἀποφαίνει τὸ ἀτόπημα. Οὕτω τοῖς ἐπαίνοις, ὡς ἀνωτάτω φέρων ἡμᾶς, εἰς τὸ βαθύτατον ἔρριψας· ἄνδρας ἐπηρεάζειν ἡμᾶς, καὶ κακῶς ποιεῖν, αἰτιώμενος, οἷς οὐδὲν αἰτίας διαπέπρακται· καὶ τότε συμφοραῖς μυρίαις, καὶ τὸ βαρύτατον, ὑπὲρ ἀληθείας, περιαντλουμένους, καὶ πάντας, τῶν παθῶν τῷ μεγέθει, καὶ αὐτοὺς τοὺς ἐπιτιθεμένους εἰς ἔλεον ἕλκοντας. Τίς γὰρ ὁ τοῖς τηλικούτοις, οὐ λέγω θλίψεις ἐπινοῶν, ἀλλὰ μὴ καὶ σφόδρα καμπτόμενος, οὐκ ἄδικος; οὐκ ὠμὸς, οὐ τὸν νοῦν καὶ τὴν

Dicam nobis inscribis, quam si alius inscripserat, de lite injuste intentata illum non immerito accusares; et apologiam scribis dicæ, cum te nemo accuset; certe venia quam longissime ab accusatione distinguitur: non potest misericordiam expetere, qui rationem exigit acceptæ injuriæ, nisi prius reatum contraxerat. Tu apologiam contexendo, reum te prodis, et longissimæ rationis reddendæ debitorem. Omnino te non appellavi, apologiam nihilo moderatiorem Æsopi fabulis video: opinor haud deliqui, accusationem institutam video vehementiorem, quam illorum erat, qui in Socratem debacchabantur. Tu ergo aerem verberans pro teipso, concertas adversus me, cursu veloci, sed lubrico et incerto contendisti valide: laudationum siquidem excrescentia non modo nihil excusat contumelias in me jactas, sed accusationes institutas adauget. Concidunt coloni, nautæ, milites, caupones: si quis eorum lapsus ante veritatem amat, duci vel sacerdoti Dei appendat, aut cuicunque virtute præstanti viro, papiæ, quam absurdum ille et machinatur, et machinari convincitur: tu sic laudibus me in sublime efferens, in profundum mergis, causans me homines conviciis afficere et in eo malefacere, qui tamen extra culpam sum, qui innumeris calamitatibus, quod dolens dico, pro veritate exhaurior, qui omnium passiones gravitate vicerim, et ipsos inimicos mihi insultantes in misericordiam flexerim. Quis talibus, non dicam afflictiones excogitans, non valde inflectetur, si injustus, crudus, crudelis, barbarus non sit, si non omnem illi rationalem et humanum sensum potestas non exspectoravit? Ita sit, inquies,

Digitized by Google Распознавание текста ABK/FR

sed te oportuit me vocatum consolari : aut, saltem in secundis, si non illud, permittere ut avolem e vestigio. Horum neutrum cum succedat, cur non me summis malis immergat, et vivendi odium ac timorem faciat ? Ast, o bone, tu et virtuose, si ignoras, quod me persequentium furor in me effunditur, si quas struunt ubique soli et sali insidias forte ad alios prætextus convertere possis orationem, quod tute tibi struere volueris, et non insimulare, cum quod diligar non redamem : at cum experientia hæc scias, et litteris ea tragice persequaris, tum demum causam sciscitari cur te non advocarim, nec annuerim ut accedas, cum id cuperes ; non est hominis causam vere requirentis, sed veritatem ob oculos versantem negligentis et prætextus excogitantis, per quos non impudenter videaris me et de justa causa tractare. Sed scena et theatrum in nos commotum ita consedit : cætera quod attinet, sedulitatem video pueriliter libantem ; dejectionem in risum versam lacrymas chorum comicum cantitantes : nam quæ contigerunt plangere, et ad passiones, morbos, fortunam referre animæ indicium est deplorantis, et sincere satagentis, ut labes contractas eluat : at affirmare, hunc deliquisse, alium eum defendere conantem, ne dicam : Quorsum te exagitas pro alio, quid res prosperæ illius te respiciunt, qui non relationem habet ad te ? Permitte illum reatui suo : et si tibi torqueri, verberari, pati quæ dignum est eum pati, qui in te malitiem exercuit, et virtutem ipsam contumeliis affecit : ne aliquid hujusmodi proferam (in ludicris serio agendum non est), tamen congruum est, ut id omnes affirment, sapientiam illam decere, tales admittere apologias, quas suavis ille Aristophanes ut coryphæus texat. At enim non est hoc jucundum, utcunque per ipsas gratias Philistionem referat : illud autem summe delectabile ludentem contexere apologiam, tanquam in re valde seria et splendide justa : quin offerre juramentum, et sciscitari, an aliquis sit, qui cum unus captaverit, alium culpa teneri justum putet. Certe tuum hoc philosophice usurpatum, non modo sapientiam Aristophaneam, et universi poetici generis, artes et methodos novitate sua obscurat : quod si oblatum non esset juramentum, me in admiratione comicæ lusionis et dramatum sistere voluissem. Cum vero, quod non oportuit fieri, Deus jocis intermedius veniat, certe qui veritatem non vult dicere, reum te culpæ peractæ non peraget, sed nec omni culpa eximet ; usquedum perspicue magis mentem tuam per verba tua intellexerit. Neminem olim, arbitror, similis jocandi modus reatu exemit, idque constanter ego affirmo, uti et neminem esse culpæ obnoxium propter jocandi usum, qui, cum alius revera peccaverit, mereatur pœnas subire, aut rationi reddendæ subjacere. Nec inter judices repertus est,

φύσιν βάρβαρος, οὐ πᾶσαν περιῃρημένος λογικήν τε καὶ ἀνθρωπίνην, μετὰ τῆς δυνάμεως αἴσθησιν ; εἶεν. Ἀλλ' ἔδει σε, φησὶ, μετακαλεσάμενόν με ψυχαγωγῆσαι· ἢ εἰ μὴ τοῦτο, τὸ γοῦν δεύτερον, ὡρμημένον ἐπιτρέψαι παραγενέσθαι· τὸ δὲ μηδέτερον προδῆναι τούτων, πῶς οὐ τοῖς ἐσχάτοις με περιβάλλει κακοῖς, καὶ πρὸς μῖσος ἀπάγει καὶ αὐτοῦ τοῦ ζῆν ; Ἀλλ', ὦ καλὲ καὶ ἀγαθὲ, εἰ μὲν ἠγνόεις, ὅση καθ' ἡμῶν ἡ κοινὴ τῶν διωκόντων κέχυται λύσσα, καὶ οἵας πανταχοῦ γῆς σχεδὸν καὶ θαλάσσης, τὰς ἐπιβουλὰς ἱστῶσι, καὶ τὰ ἔνεδρα, τάχα ἂν εἰς ἄλλας προφάσεις ἔσχες λόγον ἀναφέρειν, ὧν ἐβούλου, τὴν ἀποτυχίαν καὶ ἐπαιτιᾶσθαι γ, ὅτι μὴ στέργω στεργόμενος· τὸ δὲ καὶ γινώσκειν αὐτῇ πείρᾳ ταῦτα, καὶ ἐκτραγῳδεῖν κἀν τοῖς γράμμασιν, εἶτα ζητεῖν αἰτίαν ἄλλην, διὰ τί μὴ μετάπεμπτόν σε πεποίημεθα, μηδ' ἐλθεῖν ἐζητηκότι κατενεύσαμεν· οὐ ζητοῦντός ἐστιν αἰτίαν, ἀλλὰ τὴν ἀληθεστάτην καὶ πρὸ ὀφθαλμῶν παρορῶντος, καὶ προφάσεις ἐκμηχανωμένου, δι' ὧν οὐ μὲν οὖν οὐκ ἔχοντας αἰτίαν δόξαις, οὐκ ἂν ἀναισχύντως λίαν κακῶς ἡμᾶς εἰπεῖν. Ἀλλ' ἡ μὲν περὶ ἡμᾶς σκηνὴ, καὶ τὸ θέατρον, τοιαύτην ἔλαχε τὴν ὑποβάθραν· τὰ δ' ἄλλα, σπουδὴν ὁρῶ παιδίᾳ σπενδομένην, καὶ κατήφειαν γέλωτι, καὶ κωμικὸν χορὸν ᾄδοντα δάκρυα. Τὸ μὲν γὰρ ὀδύρεσθαι τὰ συμβεβηκότα, καὶ πρὸς πάθη καὶ νόσους καὶ τύχας καταφεύγειν, ψυχῆς ἐστιν ὀλοφυρομένης, καὶ σπουδαζούσης ἀληθῶς· εἴ τι καὶ προσείληφε τῶν κηλίδων ἀπονίψασθαι. Τὸ δ' ἄλλον μὲν λέγειν τὸν ἁμαρτηκότα, ἕτερον δὲ τὸν ὑπὲρ ἐκείνου λέγοντα, ἵνα μὴ λέγω τέως. Τί οὖν ὑπὲρ ἑτέρου κόπτεις σεαυτόν ; τί δέ σοι μέλει τοῦ κατὰ μηδέν σοι προσήκοντος ; Ἔα τοῦτον ἐν αἰτίαις εἶναι, καὶ εἰ δέ σοι στρεβλοῦσθαι, καὶ μαστιγοῦσθαι, καὶ πάσχειν, ἃ πάσχειν ἄξιος, κακὸν περὶ σὲ φανέντα, καὶ μικροῦ τὴν ἀρετὴν ἐνυβρίσντα. Ἵνα οὖν μηδὲν τῶν τοιούτων λέγω (ἴσως γὰρ οὐδὲ δεῖ σπουδάζειν ἐν παικτοῖς), ἀλλ' ἐκεῖνο πάντως εἰπεῖν πρεπωδέστατον, ὡς ἐκείνης ἐστὶ τῆς σοφίας, τοιαύτας φέρειν τὰς ἀπολογίας, ἧς Ἀριστοφάνης ὁ καλὸς κορυφαῖος καθέστηκεν. Ἀλλ' οὔπω τοῦτο χαρίεν, καὶ τοι νὴ τὴν χάριν, Φιλιστιώνιον ὄν· ἀλλ' ἐκεῖνο χαριέστατον, τὸ παίξαντα τὴν ἀπολογίαν, ὡς ἐπὶ λίαν ἐσπουδασμένοις, καὶ τὸ δίκαιον λαμπρὸν ἐπιδεδειγμένοις, ὅρκον τε ἐπάγειν, καὶ διαπυνθάνεσθαι, ὡς ἄρ' ἐστί τις ἀνθρώπων, ἄλλου πταίσαντος, ἕτερον τὴν δίκην ἀξιῶν πράττεσθαι. Οὐ γὰρ τὴν Ἀριστοφάνους μονον σοφίαν, ἀλλὰ καὶ παντὸς ἐκείνου τοῦ γένους, τέχνας πάσας, καὶ πάσας μεθόδους, τῇ καινοπρεπείᾳ, τοῦτο δὴ τὸ σὸν ἀποκρύπτεται φιλοσόφημα· ἀλλ' εἰ μὲν ἦν μὴ προτεθειμένος ὅρκος, μέχρι τοῦ θαυμάζειν τὴν κωμικὴν παιδιὰν, ἐμαυτὸν ἐδίδουν ἂν καὶ τὰ δράματα Ἐπεὶ δὲ καὶ Θεὸς, οὐ δέον μέσῳ παιδιᾶς συμπροτέθειται, ἀνάγκη καὶ μὴ βουλόμενον λέγειν τἀληθῆ, ἐνοχον μὲν οὖν προηγησαμένης αἰτίας οὐκ ἂν σε φαίην, οὐδ' ἂν πάλιν παντελῶς ἀνυπαίτιον, ἕως ἂν τὴν σὴν διάνοιαν, διὰ τῶν σῶν φωνῶν, λευ-

VARIÆ LECTIONES.

γ Ισ. μὴ ἐπαιτίαισθαι.

Digitized by Google Распознавание текста ABK/FR

κότερον ἀναμάθωμεν. Ὅτι δὲ οὐδένα ποτὲ τῶν πώποτε ἀνθρώπων ἡ τοιαύτη · παιδιὰ δίκης ἐρρύσατο, καὶ μάλιστα ἂν διαβεβαιωσαίμην · καὶ ὡς οὐκ ἔστιν οὐδεὶς τῶν ἡμαρτηκότων, ἐκ τοῦ παίζειν, ὡς ἄλλος μὲν ἥμαρτεν, ἄλλος δὲ τὰς ποινὰς οὐκ ἔστι δίκαιος ὑπέχειν, μὴ δεδωκὼς, ἃς ὤφλεν, εὐθύνας · οὐ μὴν ἀλλ' οὐδὲ τῶν κρινόντων εἴη ἂν τις ὅλως, ὃς ἀφῆκε τὸν τοιαύτην σκηνὴν ἀντὶ τοῦ στένειν ἐφ' οἷς ἥμαρτε, προβεβληκότα. Καὶ μοι, πρὸς αὐτῆς δίκης, καὶ ἱερῶν ἀληθείας ὀργίων, ῥίψας τὴν σκηνὴν, καὶ τὰ ὄντα λέγων (ἐμοὶ γὰρ μᾶλλον οἰκειότερον ἢπερ ἄλλοις τοιαῦτα προτείνειν), ἄρα φήσαις ἂν, ἐνοχῆς εἶπε δικαίας αὐτὸς, [a], τὸν, εἴ τις, ὑπὲρ ὧν ἐξυβρίσοι, ταύτην τὴν σὴν προβαλλόμενον δικαιολογίαν ; ἀλλ' οὐκ ἂν φαίης, οὐδ' ἂν φαίης. Ἀλλὰ ταυτα μὲν, ἵνα τε μὴ δῴξωμεν ὁρκωθέντες σιγᾷν, καὶ τὰ ψεύδη πρὸ τῆς ἀληθείας τιμᾷν · καὶ ἵνα μᾶλλον ἐπιγνῷς, ὡς ἡδέως τε, καὶ οὐ παρέργως, τὴν σὴν ἀνελεξάμην ἐπιστολὴν · δι' ὃ καὶ τὴν σὴν γραμματικὴν ἀκρίβειαν παραινῶ, μηκέτι τὸ ῥῆμα τοῦτο δοτικῇ συντάσσειν, πλὴν εἰ μή πω περιπεποιημένην ἡ ἔννοια σύνταξιν ἀπαιτοίη · τότε γὰρ ἔξεστι καὶ πρὸς δοτικὴν ἀποδιδόναι, δηλοῦντα τῷ λόγῳ, ὡς οὐχί σε παραινεῖν, ἕτερον δὲ διὰ τῆς παραινέσεως, τὸ σοι ποιῶν κεχαρισμένον, προῆγμαι βελτιοῦν · καὶ δὴ καὶ τὸ δίκην ὑφ' ἑτέρου εἰσπράττεται, ἀντὶ τοῦ παρ' ἑτέρου, παραφυλακτέον. Βάρβαρα μὲν γὰρ οὐ λέγω τὰ τοιαῦτα · βαρβαρικὰ δὲ, καὶ αὐτὸς συνήσεις ἐπιστήσας. ἃ καὶ τὴν ἐπιστολὴν κεκαλλιεπημένην οὖσαν, ὑπενόθευεν. Ἀλλ' ἐπὶ τοσοῦτον μὲν ταυτα. Ἐγὼ δὲ Ζαχαρίαν τὸν ἐμὸν οὐκ ἀρχόμενος νῦν, ἄπαγε, φείδεσθαι, οὐδὲ τοῦ κολάζειν πεπαυμένος, οὐδὲ δυσωπηθεὶς νόσους καὶ πάθη καὶ τύχας καὶ περιστάσεις, οὐδ' ἐπιβουλάς τε καὶ κακώσεις μικροῦ τὰς Φαλάριδος ἀνεκτοτέρας δεικνύσας, ἀλλὰ τὴν ἔμφυτον ἐμοὶ καὶ ἀρχαίαν διασώζων γνώμην, καὶ τὸ καθαρὸν καὶ ἀκήρατον περὶ τοὺς ἐμοὺς οὐκ ἐπιλελησμένος φίλτρον, καὶ περιπτύσσομαι πατρικῶς, καὶ ἐναγκαλίζομαι ἱεροπρεπῶς · οὔτε τῷ πάλαι σφαλέντι, ὡς σὺ γράφεις, ἐπεμβαίνων, καὶ τὸν ἄσειστον διαμεμενηκότα στέργων καὶ κατασπαζόμενος ἐν σπλάγχνοις Χριστοῦ καὶ δέχομαι προσίοντα χαίρων, καὶ πάντας κινδύνους ὑπερορῶν, οὐ τραγικῶν ἡμῖν διηγημάτων ἄγοντα φόρτον, ἀλλὰ τὸν οἰκεῖον νοῦν, καὶ τὴν ἑαυτοῦ ψυχὴν, προστύλου πάσης ἀχλύος φέροντα καθαράν · ἐν ᾗ τὸ βέβαιόν τε καὶ ἀμετακίνητον διὰ βίου ἔχοντά τε καὶ ἱδρυσάμενον, τοῖς ἐκεῖθεν στεφάνοις λαμπρὸν, λαμπρῶς εὔχομαι παραπεμφθηναι.

A qui absolverit eum cui talis scena obvenit, propterea quod doleat se peccasse : quin te rogo per justitiam ipsam, per sacra veritatis orgia, detrahe hanc scenam, rem ut est enuntia (certe magis mei interest quam aliorum hanc conditionem offerre), igitur dices juste reatu teneri illum qui, pro calumniis a se inflictis, tuam hanc in medium proferet accusationem ; sed ne dixeris ita, licet ita dixeris. Hæc autem hactenus, ne videar adjuratus siluisse, et mendacium prætulisse veritati, et ut adhuc magis agnoscas quam jucunde nec perfunctorie epistolam tuam legerim, in qua grammaticalem tuam accurationem laudo, neutiquam hoc verbum dativo conjungendum, nisi ubi sensus syntaxin requirat circumlocutionis. Licebit ita cum dativo jungere, sermone docens, quod non ut te laudem, sed ut alium tua causa meliorem reddam, Et certe illud δίκην ὑφ' ἑτέρου εἰσπράττεται pro παρ' ἑτέρου, cavendum est dicere ; barbara non dixero hujusmodi at barbarica, quæ epistolam, quod intelligere potes, alias scitulam adulterarunt. Sed hæc hactenus. Ego certe meum Zachariam non nunc primum incipio, Deus meliora, vel parcere, vel non ulterius punire desino, nec quod morbos et passiones declinem, fortunam, et calamitates, insidias et nequitias Phalaridis illis non minus tolerabiliores, sed animitus insidentem et antiquum affectum conservans, amicitiæque ergo meæ sinceræ et puræ non oblitus, et paterno more amplector, et sacro veneratu foveo. Non quod tu scribis, errori pristino insultans, verum cum immotum permanentem diligam et in visceribus Christi recipiam cum gaudio accedentem, ita omnia pericula de sublimi despicio, nec tragicarum narrationum onus onustum, verum mentem propriam, et animam tenebrarum materiæ immersam, defæcatam, in quo stabilitas vitæ immobilis consistat, splendido cum apparatu hinc transmittendam optem, ad cœlestem coronam recipiendam.

ΕΠΙΣΤ. Μ'.

Παύλῳ μητροπολίτῃ Λαοδικείας.

EPIST. XL.

Paulo metropolitæ Laodiceæ.

Montacut. (ep. 222, p. 332).

Οἱ δράπεται, τοὺς ποτε τὴν πρᾶξιν αἰτιωμένους, πείθοντες συνδραπετεύειν, οὐ μόνον οὐδενὸς, ὧν αἰτιῶνται, ἀφίενται, ἀλλὰ καὶ διπλῆς αἰτίας σφᾶς αὐτοὺς, μᾶλλον δὲ πολλαπλῆς ἐνόχους δεικνύουσιν. Οὐ γὰρ ἡ κοινωνία τοῦ ἀδικήματος τὴν ἐλευθερίαν πραγματεύεται τῷ κατάρχοντι, ἀλλ' ἡ τῶν παραζηλούντων μίμησις, αὔξησίς ἐστιν ἀδυσώπητος τοῦ ἐξαρχῆς ἀδικήματος, λιποταξίου δίκην ὀφλων, καὶ φυγὰς, καὶ ἀρχηγὸς, καὶ πείθων ἄλλους μιμεῖσθαι, καὶ τὸ βαρύτερον, καὶ τοὺς ὅσοις ἦν ἡ τοιαύτη πρᾶ-

Fugitivi, actionem illam aliquando vituperantes una secum esse fugitivos induxere, illi non modo liberi sunt ab illa culpa, sed duplici se aut multiplici reatu prædicant teneri : Non enim communicatio injuriæ libertatem procurat eam auspicandi, sed imitatio male agentium in immenusm acceptum crimen ; nam desertor ordinis, fugitivus, princeps, et inducens alios est, et quod gravius est, eos qui illa patrare, priusquam captivarentur, dejerassent : videsis autem, videsis, inquam, quin videritis potius

VARIÆ LECTIONES.

[a] Ἴσ. εἶναι αὐτόν.

Digitized by Google Распознавание текста ABK/FR

omnes (comitem enim, consilii, fugæ tuæ comitem socium adjungo discipulum) quid sis dicturus, cum ratio tui facti a te exigetur. Sed vale : nec deinceps fugitivi animum mentemque fove, nec alios una fugere allicito : et terribile judicium illud, ac indeclinabile, ultra comminationem non procedet.

ξις, πρὶν ὑπανδραποδισθῆναι, μέγα ὅρκιον. Ὅρα δὴ λοιπὸν, ὅρα, μᾶλλον δὲ συνορᾶτε (δίδωμι γὰρ σοι κοινωνὸν τῆς βουλῆς τὸν γνήσιον τῆς φυγῆς μαθητὴν) τίνα μέλλεις λόγον ἔχειν, ὅτε σε τῶν τηλικούτων τὰς εὐθύνας βουληθείη μὲν πράττεσθαι[b]. Ἀλλ' ἐρώσο· καὶ μηκέτι μήτε σὺ δραπέτην ἔχε λογισμὸν, μήτε δραπετεύειν ἄλλους ὑπόθελγε· καὶ τὰ τῆς ἀφύκτου καὶ φοβερᾶς δίκης εἰς μόνας ἀπειλὰς διαλέλυται.

EPIST. XLI.

Zachariæ metropolitæ Chalcedonis.

Montacut. (ep. 223, p. 333).

Inveni, opinor, sanguinis ablationem, licet per æstatem, tui corporis habitudini congruam. Quod quamvis sit contra opinionem medicorum qui nunc ubique abundant, non est paradoxum tamen. Nam ne alios ipsorum errores persequar, quibus hipparis habetur polygonum ; seselis, herculeum panaces, qui batrachion parvum chelidonium putant ; et pro peplio tithymallus habetur; quibus potamogiton est leimonium; et niger chamæleon tanquam albus ; qui pro anemone proferunt argemonem ; apud quos infinitæ herbarum species et naturæ peregrinis subserviunt temporibus, usibus, nominibus : nam quæ jam dixi, præ manibus sunt, quæ sine quæstione certa debebant esse vel iis, qui a portu medicinam salutarunt. Quid mirum, si phlebotomia tibi conducens ab illis deputetur aliena ? Tu si consilium meum admiseris, cum bono Deo, illorum pudore, experientia profuturum invenies.

ΕΠΙΣΤ. ΜΑ'.

Ζαχαρίᾳ μητροπολίτῃ Χαλκηδόνος.

Εὗρον, οἶμαι, τὴν τοῦ αἵματος ἀφαίρεσιν, καὶ θερίας οὔσης, τῇ τοῦ σώματός σου διαθέσει συμφέρουσαν. Εἰ δὲ παρὰ δοξαν ἐστὶ τῶν νῦν ἐπιπολαζόντων ἰατρῶν, παράδοξον οὐδέν. Οἷς γὰρ ἵνα μὴ νῦν τὰς ἄλλας αὐτῶν περὶ τὴν τέχνην ἁμαρτάδας, οἵ μοι λέγω, ἀλλ' ἱππουρὶς μὲν νομίζεται τὸ πολύγονον· σέσελις δὲ τὸ ἡράκλειον πάνακες· καὶ οἷα δὴ βατράχιον τὸ μικρὸν, κρίνεται χελιδόνιον· καὶ ὡτὶ μὲν πεπλίου, τιθύμαλλος· ὡς ποταμογείτων δὲ, τὸ λειμώνιον· καὶ ὁ μὲν μέλας χαμαιλέων, ὡς λευκὸς παραλαμβάνεται· ἀντὶ δὲ τῆς ἀνεμώνης, ἡ ἀργεμώνη· καὶ μυρίων ἄλλων φύσεις βοτανῶν ξένοις ὑπηρετοῦσι καὶ καιροῖς, καὶ χρείαις, καὶ ὀνόμασι. (Ταῦτα δὴ ταῦτα τὰ πρόχειρα, καὶ ἃ μηδὲ τοῖς ἐν προθύροις ἰατρικῆς προσῆκον ἦν ἐν ἀμφισβητήσει καθίστασθαι.) Τί θαυμαστὸν κἂν ἡ φλεβοτομία, χρειώδης οὖσά σοι, τούτοις νομισθείη ξενίζουσα, αὐτὸς δὲ τὴν συμβουλὴν δεχόμενος, σὺν Θεῷ Σωτῆρι φάναι, καὶ τὸν ἔλεγχον ἐκείνων, τῇ πείρᾳ, καὶ τὸ σὸν εὑρήσεις κέρδος.

EPIST. XLII.

Michaeli Mitylenes metropolitæ.

Montacut. (ep. 225, p. 334).

Quæ tu passus es a persecutoribus, alii forte excedere solatium dicent, ego cum tua bona venia dixerim laude omni majora esse : opportune ergo considerandum est utrum inter eos velis esse qui miseratione, an felicitate excipiuntur. Si cum grato animo patiaris (scio quod sic patieris), optarim adhuc magis tuarum passionum et coronarum particeps fieri : sin, quod deprecor, nec efferam ; quia me ineptire persuasum habeo ; dicam communia denuo sint tua mecum certamina, remunerationesque. Vale.

ΕΠΙΣΤ. ΜΒ'.

Μιχαὴλ μητροπολίτῃ Μιτυλήνης.

Τὰ μὲν εἰς σὲ τῶν διωκόντων πάθη, ἄλλος ἂν τις εἴποι μείζω παραμυθίας· ἐγὼ δὲ σοῦ βουλομένου φαίην ἂν μείζω εὐφημίας. Ὥρα οὖν ἐπισκοπεῖν σε, πότερον ἂν ἕλοιο τῶν σφόδρα ἐλεουμένων, ἢ τῶν σφόδρα μακαριζομένων, εἶναι. Ἂν μὲν γὰρ εὐχαρίστως φέρεις (οἶδα δ' ὅτι φέροις), εὔχομαί σου τῶν στεφάνων, καὶ τῶν παθῶν, ἐπὶ πλέον κοινωνῆσαι· ἂν δ' ὅπερ ἀπεύχομαι, ἀλλ' οὐκ ἂν ἐρῶ· καὶ γὰρ πέπεισμαι ματαιολογήσειν· διό μοι πάλιν εἰησαν κοιναὶ, καὶ οἱ ἆθλοι, καὶ τὰ ἔπαθλα. Ἐρώσο.

EPIST. XLIII.

Michaeli metropolitæ Mitylenes.

Montacut. (ep. 227, p. 334).

Alius optaret tuarum coronarum participare ; sed non tuas passiones, ac pro pietate certamina subire : mihi honorandæ sunt passiones tuæ, licet nemo manu extenta capiti meo coronam imponat. Virum tantopere æmulandum et felicem, tam illustrem et conspicuum in ipsis pathemasi despondere non decet animum. Rerum enim præsentium, licet legis-

ΕΠΙΣΤ. ΜΓ'.

Μιχαὴλ μητροπολίτῃ Μιτυλήνης.

Ἄλλος ἂν τις ηὔξαιτο τυχεῖν στεφάνων τῶν σῶν, ἄνευ τοῦ τὰ σὰ πάθη, καὶ τοὺς σοὺς ὑπὲρ εὐσεβείας ἆθλους, ὑπελθεῖν. Ἐμοὶ δὲ τίμια τὰ πάθη τὰ σὰ, κἂν μήπω τις ἐκτείνων τὴν χεῖρα, στεφάνους τῇ ἐμῇ προσάπτῃ κεφαλῇ. Οὐ δεῖ, τοιγαροῦν, ἀθυμεῖν οὕτω ζηλωτὸν καὶ μακάριον, καὶ ἐν αὐτοῖς τοῖς κινδύνοις, καὶ τοῖς παθήμασι, ἀναφανέντα, καὶ ἀνα-

VARIÆ LECTIONES.

[b] ἴσ. ὁ Θεὸς εἰσπράττεσθαι·

Digitized by Google Распознавание текста ABK/FR

λάμψαντα. Τὰ μὲν γὰρ ἐνταῦθα, κἂν νομοθετῶν, κἂν προφητῶν, κἂν εὐσεβῶν βασιλέων, κἂν ἄλλως ἀνδρῶν ἀληθείας φίλων, σιγῷεν ἅπαντα τὰ στόματα, τὴν ἐν αὐτοῖς ἐκτραγῳδοῦντα ματαιότητα· ἀλλ' οὖν ὁρᾷς, ὅπως τῇ διηνεκεῖ ῥεύσει καὶ μεταβολῇ, οὐκ ἠρέμει ἀλλοιούμενα· ἀλλ' ἄνω καὶ κάτω φέρεται δόξα πᾶσα, καὶ πλοῦτος, καὶ τύχαι, καὶ λαμπρότητες, καὶ οὐδέν ἐστι τῶν παρόντων, ὅπερ τὸν σώφρονα νοῦν ἐπισπασάμενον ὑποθέλξειε. Τῶν δὲ ἐκεῖθε, τά τε ἄλλα ὑπὲρ διήγησιν ὄντων, καὶ τῷ ἀναλλοιώτῳ καὶ ἀῤῥεύστῳ τὴν τῶν ἀγαθῶν ἀπόλαυσιν τοῖς ἀξίοις παρεχομένων· τίς πρὸς τὰ ἐκεῖθε τὰς ἐλπίδας ἔχων ἱσταμένας, καὶ τοὺς ὀφθαλμοὺς ἠνεῳγμένους, τοῖς παροῦσι κακοῖς συμπεσεῖται, ὀνείροις ἴσα λυποῦσι, καὶ ἐξαθυμήσει τοῖς, δι' ὧν ἔστι λαμπρύνεσθαι, ἀγωνίσμασιν; Ἄμεινον οὖν, οἶμαι, καὶ κρεῖττον λόγου παντὸς, ἐν ὀνείροις ἔχοντα τὰ χείρω, τῶν καθ' ὕπαρ ἀγαθῶν, καὶ ἀνεκλαλήτων, ἐν ἀπολαύσει γενέσθαι μὴ λυγούσῃ ἢ ὀνείροις μικρὰ καὶ πρόσκαιρα πλανηθέντα, καὶ παίξαντα, τῶν ἀδιαδόχων πειρᾶσθαι κακῶν.

latorum, prophetarum, regum piorum, vivorum veritatis amantium acta, omnia omnino ora reticerent, ea est conditio, ut suam futilitatem tragice exponant : annon vides ut fluxu continuo et mutatione alterantur sine sensu, susque deque fertur gloria omnis, divitiæ, fortunæ, splendores, nec quidquam in rebus præsentibus, quod mentem sobriam alliciat aut ad se trahat ? Quæ in cœlis sunt, cum omnem excedant explicationem, inalterabilia, nec fluxa sunt ; atque ita æternam præstant bonorum fruitionem iis qui merentur : ecquis est, cui oculi sunt aperti respectu stabilium illorum quæ sperantur ibi, cum malis præsentibus coincidet, quæ similia sunt insomniis dolorem inferentibus ? Quis in medio certaminum contristabitur, unde par est eum magnificari ? Quocirca, præstat, arbitror, et majori cum ratione conjunctum est, pejora pro insomniis habere vigilantem, vero bona ineffabilia et non diffundenda per fruitionem consequi, quam somniorum, exigua, temporalia, errantia, ludentia bona eligentem, malis interminabilibus permutare.

ΕΠΙΣΤ. ΜΔ'.

Ἀμφιλοχίῳ μητροπολίτῃ Κυζίκου.

EPIST. XLIV.

Amphilochio Cyrici metropolitæ.

Montacut. (ep. 207, p. 304).

Οἱ μὲν ἄλλοι τοῦ Πλάτωνος λόγοι τοῦ πολιτικοῦ λόγου πεφύκασι γνώμονες, πλὴν εἴ τι κατ' ἐκλογὴν ὀνομάτων ἐνιαχοῦ παρημέληται· αἱ δὲ τούτου ἐπιστολαὶ ἴσον τε τῆς ἐκείνου λογιότητος, καὶ τοῦ ἐπιστολιμαίου τύπου ἀπολείπονται. Αἱ δέ γε τοῦ Ἀριστοτέλους, τῶν μὲν ἄλλων αὐτοῦ γραμμάτων εἰσί πως λογωδέστεραι· πλὴν οὐδὲ ταῖς Πλατωνικαῖς ἐξισάζουσι. Δημοσθένους δὲ οἱ μὲν ἄλλοι, πόνοι, καὶ ῥητόρων καὶ κριτικῶν ἐγκωμίοις πληροῦσι τὰ στόματα. Τὰς ἐπιστολὰς δὲ, οὐδὲν ἀμείνους εὑρήσεις τῶν Πλάτωνος. Τίσιν οὖν ἐπιστολαῖς ὁμιλητέον, καὶ τίσι τὸν ἐπιγνωσθέντα ἡμῖν διὰ τῆς τέχνης χαρακτῆρα ἐφαρμόζοντες τὴν γυμνασίαν συλλεξόμεθα; Ἔστι μὲν καὶ ἄλλο πλῆθος ἄπειρον· ἔχεις δ', ἵνα μηδὲ μακρὸν ᾖ σοι τὸ τῆς γυμνασίας στάδιον, τὰς εἰς Φάλαριν ἐκεῖνον, οἶμαι, τὸν Ἀκραγαντῖνον τύραννον ἀναφερομένας ἐπιστολὰς, καὶ αἷς Βροῦτος, ὁ Ῥωμαίων στρατηγὸς, ἐπιγράφεται· καὶ τὸν ἐν βασιλεῦσι φιλόσοφον, καὶ τὸν σοφιστὴν ἐν ταῖς πλείσταις Λιβάνιον. Εἰ δὲ βούλει σὺν τῷ χαρακτῆρι, καὶ πολλῶν ἄλλων καὶ μεγάλων συλλέξαι ὠφέλειαν, ἀρκήσει σοι Βασίλειος ὁ γλυκὺς, καὶ ὁ κάλλους, εἴ τις ἄλλος, ἐργάτης Γρηγόριος, καὶ ἡ ποικίλη καὶ τῆς ἡμετέρας c αὐλῆς μοῦσα Ἰσιδωρος· ὃς ὥσπερ λόγων, οὕτω δὲ καὶ ἱερατικῆς καὶ ἀσκητικῆς πολιτείας κανών ἐστι χρηματίζειν ἀξιόχρεως· καὶ εἴ τις ἕτερος μετὰ τῆς ὁμοίας προαιρέσεως, τὴν ἐκείνων ἰδέαν ταῖς ἰδίαις ἐπιστολαῖς ἐνεδυναμώθη μορφώσασθαι.

Cæteri Platonis sermones gnomones quidam sunt politici sermonis, nisi quod verborum electio nonnunquam negligitur. At epistolæ ejus ex æquo fortassis deficiunt, cum ab ipsius conditione, tum a forma epistolari. Aristotelis autem fere sunt cæteris ejus operibus accuratiores : et tamen Platonicas non exæquant. Demosthenis opera cætera et rhetorum et criticorum ora implent ; sed nihilo meliores quam Platonis ejus epistolas reperies. Quænam igitur epistolæ lectitandæ : et a quibus exercitium adhibebimus, ut artificiosum, quem didicimus, charactera exprimamus ? Certe ingens est earum numerus : habes autem, ne elongatius tibi stadium figas, epistolas quæ Phalaridis esse dicuntur Acragantini Tyranni et quibus Bruti Romanorum ducis nomen præscribitur : et qui apud imperatores philosophus erat, sophista apud vulgus, Libanium. Quod si una cum epistolari charactere, rerum multarum et magnarum utilitatem acquirere cupias, sufficiat suavis ille, si quis alius, Basilius : et inter omnes præcipuus pulchritudinis artifex Gregorius : et variata illa Isidori musa, qui, ut nos, monachus fuit. Ille ut orationis, ita quoque sacerdotalis et asceticæ vitæ canon dignissime inscribitur : his adjungas, si qui alii sint, qui eodem animo, eorum ideam, propriis suis epistolis expresserunt.

VARIÆ LECTIONES.

c Ἰσ. ὑμετέρας·

Digitized by Google Распознавание текста ABK/FR

EPIST. XLV. A ΕΠΙΣΤ. ΜΕ'.

Joanni metropolitæ Heracleæ. Ἰωάννῃ μητροπολίτῃ Ἡρακλείας.

Montacut. (ep. 218, p. 324).

Videtur mihi Christus Deus et Rex noster cum sit, et Dominus rerum exsistentium, propter multas alias inexplicabiles causas, et mentis intuitum transcendentes, per voluntatem potius passionem subiisse, et non per potentiam absolutam totius mundi salutem operatus. Imprimis ob hoc ipsum, ut ita magnum, eximium et apparens solatium iis qui in hac vita affliguntur, et extrema omnia patiuntur, relinqueret suas ipsius passiones, et mortem contumeliosam. Hæc tu intuitus, lætare potius, eo quod habeas, servus cum sis, in quibus magistrum tuum imiteris : noli murmurare, ob illa quæ cedent tibi in argumentum coronarum, si a veritatis hostibus, licet invitis contribuleris.

Ἐμοὶ μὲν οοκεῖ, καὶ δι' ἄλλας πολλὰς ἀῤῥήτους τε, καὶ ὑπὲρ νοῦν, θεωρίας, τὸν Χριστὸν καὶ Θεὸν ἡμῶν, Βασιλέα, καὶ τοῦ παντὸς ὑπάρχοντα Κύριον, δι' ἑκουσίου μᾶλλον παθήματος, ἀλλὰ μὴ δεσποτικῇ καὶ αὐτοκράτορι ἐξουσίᾳ, τὴν παγκόσμιον σωτηρίαν ἀπεργάσασθαι· οὐδὲν δὲ ἧττον, οἶμαι, καὶ διὰ τοῦτο ὡς ἂν μάλιστα μέγα καὶ σαφὲς παραμύθιον τοῖς ἐν βίῳ ταλαιπωροῦσι, καὶ τὰ ἔσχατα πάσχουσι, καταλείποι τὰ οἰκεῖα πάθη, καὶ τὸν ἐπονείδιστον αὐτοῦ θάνατον. Πρὸς ἃ καὶ σὺ ἀφορῶν, χαῖρε μᾶλλον, οἷς ἔχεις, ὁ διοῦλος μιμεῖσθαι τὸν δεσπότην· ἀλλὰ μὴ δυσφόρει πρὸς τὰς τῶν στεφάνων ὑποθέσεις, ὑπὸ τῶν τῆς ἀληθείας ἐχθρῶν, καὶ ἀκόντων, παισθοτριβούμενος.

—

SERIES SECUNDA. — AD ABBATES.

EPIST. XLVI. B ΕΠΙΣΤ. ΜΣ'.

Sabæ Pissadorum hegumeno. Σάβᾳ ἡγουμένῳ τῶν Πισσάδων.

Montacut. (ep. 15, pag. 76).

De tua dispositione et natura quid dicam nescio. Vidi quidem ego te pelliculam indutum ovilem, et perinde, quod illa tegebatur, simplex arbitrabar, sine malitia, Christi grege dignum. Vulgo autem aiunt, pellem illam vulpem obtegere ; quæ mortua et olentia nutrit corpora, cujusmodi nempe in cœtu putrefacta ecclesiastico, dæmonibus pabulum atque eorum ministris fiunt. Ego certe te audivi longum errorem prædicantem, frustraneum errorem tuum deplorantem, antiquum scilicet errorem tuum. Aiunt autem, eumdem te adhuc errare errorem ; neque aliter affectum quam insani Corybantes. In faciem tu nos benedixisti, servatores appellasti, qui te de puteo perditionis deceptionisque illius extraximus : ast in absentes aiunt te nos obmurmurare, et non secus quam in scena solent lascivire. Recordare an hæc omnino Christianum, nedum monachum deceant. Quod si hæc commentitia sint, deplorare me oportet oggannientes, *quod deficit sanctus, depauperata est veritas a filiis hominum*[6] : sin quæ reniuntiantur vera sunt, deflendi plane sunt peccatores, eo quod stulta loquatur omnis apud proximum suum, et labiis dolosis osculatur. Omni autem modo dolendum est mihi : ad meum etenim et Christi gregem spectant, velint nolint, infecti lepra, et cum Paulo de ipsis angimur, utcunque simul sensu tangi nolint.

Οὐκ οἶδ' ὅ τι καὶ εἴπω περὶ τῆς ὑμῶν διαθέσεως· Ἐγὼ μὲν γὰρ εἶδον προβάτου σε δορὰν περικείμενον, καὶ ἐδοκουν ἁπλοῦν καὶ ἄκακον, τῆς Χριστοῦ ἀγέλης ἄξιον εἶναι τὸ καλυπτόμενον. Οἱ δέ φασι, τὴν δορὰν ἀλώπεκα κρύπτειν· ἢ νεκρὰ καὶ ὀδωδότα τρέφει [d] σώματα, ὅσα τοῦ ἐκκλησιαστικοῦ διασπέντα πληρώματος δαίμοσι τροφὴ καὶ τοῖς αὐτῶν θεράπουσι γίνεται. Καὶ ἐγὼ μὲν ἤκουόν σε πλάνην λέγοντα μακρὰν, καὶ παταίαν πλάνην ἀπολοφυρόμενον, τὴν πάλαι σου πλάνην. Οἱ δὲ σέ φασιν ἐκείνην ἔτι περιπλανᾶσθαι, μηδὲν ἧττον τῶν κορυβαντιώντων διακείμενον. Καὶ σὺ μὲν κατὰ πρόσωπον ἡμᾶς εὐλόγεις, καὶ σωτῆρας ἡμᾶς ὠμολόγεις, ὅτι σὲ τοῦ βόθρου τῆς παρατροπῆς ἐκείνης καὶ ἀπάτης ἀνειλκύσαμεν· οἱ δέ σέ φασιν, ἀπόντων ἡμῶν, καταγογγύζειν ὅμοια τοῖς ἐπὶ σκηνῆς ἀσελγαίνοντα. Ἐννόει δὴ ταῦτα εἰ ὅλως Χριστιανῶν, μή τι γε μοναζόντων, δύναται εἶναι. Ἀλλ' εἰ μὲν ἐπλάσαντο ταῦτα, ὀδύρεσθαί με δεῖ τῶν κατειπόντων, ὅτι ἐκλέλοιπεν ὅσιος, ὅτι ὠλιγώθησαν αἱ ἀλήθειαι ἀπὸ τῶν υἱῶν τῶν ἀνθρώπων· εἰ δ' ἀληθῆ τὰ ἀπηγγελμένα, θρηνεῖν προσῆκε τοὺς ἡμαρτηκότας, ὅτι μάταια λαλεῖ ἕκαστος πρὸς τὸν πλησίον αὐτοῦ, καὶ δολίοις περιπτύσσεται χείλεσι. Πάντως δὲ δεῖ με ἀνιᾶσθαι· τῆς ἐμῆς γὰρ καὶ Χριστοῦ ποίμνης, κἂν μὴ βούλωνται, καὶ τὰ λεπρωθέντα, καὶ περὶ αὐτῶν μετὰ Παύλου διαμεριμνῶμεν, κἂν μὴ θέλωσι συναισθάνεσθαι.

C

EPIST. XLVII. ΕΠΙΣΤ. ΜΖ'.

Theoctisto hegumeno. Θεοκτίστῳ ἡγουμένῳ.

Montacut. (ep. 32, p. 94).

Virtutes lauda ; coram vero et in facie discipulos ne laudes, qui sequuntur eas ; instigare, et adhortari, boni operis pars est ; laudare coram, nec

Ἐπαίνει τὰς ἀρετάς· μὴ θαύμαζε δὲ κατὰ πρόσωπον τοὺς σοὺς μαθητὰς μετιόντας αὐτάς. Τὸ μὲν γὰρ, προτροπὴ καὶ παράκλησις, ἀγαθοεργίας ἐστί,

[6] Psal. XII, 2.

VARIÆ LECTIONES.

[d] Ἴσ. σκίπει.

Digitized by Google Распознавание текста ABK/FR

τὸ δὲ, καὶ σὲ κολακείας οὐχ ἵστησι μακρὰν, καὶ πρὸς οἴησιν τοὺς θαυμασθέντας ἢ μαλακίαν τοῦ τόνου τῆς ἀρετῆς εἴωθεν ὑποχαλᾶν· δι' ὧν τὸ γλυκὺ τῶν κατὰ Θεὸν πόνων πέφυκεν ἐπικαταῤῥεῖν, καὶ αἱ τῆς σαρκὸς ἀναζωπυροῦνται ἡδοναί.

te submovet longe ab adulatione, et cum admiratione laudatos, vel ad sui opinionem perducere, vel virtutis tonum in mollitiem animi relaxare solet; hinc fit ut laborum secundum Deum susceptorum dulcedo defluat, et carnis excitentur, velut igne afflato, voluptates.

ΕΠΙΣΤ. ΜΗ'.

Θεοδώρῳ ἡγουμένῳ.

EPIST. XLVIII.

Theodoro hegumeno.

Montacut. (ep. 142, p. 199).

Οὐχ ὁ τὸ ῥεῦμα τῶν λόγων ἐν γλώσσῃ πηγάζων ἤδη, καὶ χεῖρα δραστήριος· ὥσπερ οὐδ' ὁ πράξει κρατῶν, καὶ τὴν τῶν ῥημάτων πειθὼ σοβαρευομένην ἔχει τοῖς χείλεσι. Καὶ πολλὰ μὲν ἄλλοις εἰπεῖν ἔχω καὶ παντοδαπὰ παραδείγματα· πρὸς σὲ δὲ γράφων τὸν ὁμηρίζοντα, ἓν ὑποδείξας ἀρκεῖν ἡγοῦμαι, Λιμὸς ἐπόνει τὸ στρατιωτικὸν, οἱ τὴν σὴν Τροίαν πολιορκοῦντες περιεκάθηντο· καὶ ὁ μὲν Ὀδυσσεὺς σίτον αἰτήσων, πρὸς Ἄνιον ἀπεστέλλετο· ἐθάῤῥει γὰρ αὐτοῦ τῇ γλώσσῃ τὸ Ἀχαικόν. Ὁ δὲ παραγεγονὼς, ἔπεα νιφάδεσσιν ἐοικότα χειμερίοισι, πλεῖστα ἐπομβρήσας, καὶ τούτοις κατακλύσας τὸν ἄνθρωπον, οὐ μόνον, ὧν ἤλπισεν, οὐδὲν ἐγεώργησεν, ἀλλὰ καὶ ὀχληρὸς εἶναι δόξας, ὑπέστρεψεν· ἄπορον [e] τὴν ζωὴν τοῖς εἰς αὐτὸν κεχηνόσι ποιησάμενος. Παλαμήδης δὲ ἐκεῖνος (οἶδας τὸν ἄνθρωπον, ὅσον Ὀδυσσέως ἀφωνότερος) τὴν πρεσβείαν μετὰ τὸν λιγὺν ἐκεῖνον ἀγορητὴν ἐθάῤῥησεν ὑποδύσασθαι· καὶ καταλαβὼν τὸν Ἄνιον, ἐργαζόμενον, εἶπε μὲν οὐδὲν· ἀποβαλὼν δὲ τὸ ἱμάτιον, κοινωνὸς τοῦ ἔργου ἐγίνετο. Ἐπεὶ δὲ μετὰ τοὺς πόνους, τὸ δεῖπνον ἐκάλει, τῷ ἀνθρώπῳ συνηρίστησε· καὶ τότε βραχὺ ῥῆμα προήνεγκεν [f], ὡς ἦκε σῖτον αἰτήσων στρατῷ, φίλῳ καὶ λιμώττοντι· καὶ τυχὼν ἀπῆει χαίρων, καὶ φέρων τοῖς ὁμοφύλοις, ἀντὶ λόγων, τὴν ὠφέλειαν. Καὶ σὺ τοίνυν μὴ πάντα θαῤῥεῖ τοῖς λόγοις· βραχὺ γὰρ ἔργον σιγῶντος μετὰ συνέσεως, μακροὺς ἐπιστομίζει λόγους πολλάκις, καὶ οὐδὲν τῶν ψόφων, καὶ τῶν ἀσήμων φωνῶν πλέον ἔχειν, ἐπιδείκνυσιν.

Non est ille statim manu promptus habendus, qui torrentes verborum, lingua veluti fonte immittit: ita nec rebus gestis clarus, verborum suadelam labiis cum pompa insidentem semper habet. Apud alios, ego multis hoc effatum et mutiplicibus probare possem exemplis: sed cum ad te scribam, qui Homerizantium unus es, unicum si suggeram, sufficturum arbitror. Fame laborabat exercitus Trojam circumobsidentium: Ulysses, frumentum impetraturus, ad Anium mittitur. Linguæ enim ejus confidebant Græci. Ille ubi Anium advenit, verba grandinis aut nivis instar depluebat, atque illis hominem inundabat; sed non modo nihil eorum quæ sperabat obtinuit, verum molestus ei visus inanis reversus est; et vitam sine fructu, sine victu reddidit Græcis qui in illum inhiabant. Verum Palamedes (de quo fando audisti, minus exstitisse illum quam Ulysses erat, loquacem) legationem, post illum rhetoricum declamatorem, obire ausus; cum operi intentum rustico invenisset Anium, nihil prorsus dixit, sed exuta veste, operi se accinxit laboris socium. Cum finito opere ad cœnam vocaretur, cœnavit una: et inter cœnandum breviter exposuit adventus sui causam, ut frumentum exercitui impetraret, fame nimis quam laboranti. Quo impetrato, lætus revertitur; pro verbis, contribulibus suis utilitatem ferens. Noli ergo tu nimium verbis fidere: nam taciturnitas prudentis viri logos longos sæpe obturat: necnon omnibus manifestum facit, esse illos inanes strepitus, et præter voces nihil.

ΕΠΙΣΤ. ΜΘ'.

Τῷ αὐτῷ.

EPIST. XLIX.

Eidem.

Montacut. (ep. 143, p. 200).

Τὴν Αἰσώπου γνωμην, ἣν ἀπέδωκε, διερωτήσαντος τοῦ Λακεδαιμονίου Χείλωνος (ἐξ ὧν γὰρ ποθεῖς ναμάτων, τὸν τῆς παραινέσεώς σοι κιρνῶ κρατῆρα), μὴ μόνον εὐστόχως καὶ σοφῶς εἰρημένην, ἀλλὰ καὶ χρησιμωτάτην λίαν νόμιζε. Ἔστι γὰρ, ἔστιν, ἐπ' αὐτῶν τῶν πραγμάτων ἰδεῖν ἐναργῶς, ὡς ὁ ἄῤῥητος [g] καὶ ἀναλλοίωτος νοῦς, ἐπαίρει μὲν συνεχῶς (ὅπερ ἐκεῖνος ἔφησεν) εἰς ὕψος [h] ταπεινά· κατάγει δὲ εἰς ταπεινότητα, τὰ ὑψηλά· καὶ τοῦτο συνεχῶς διαμελετῶν, κἂν ἄνω δοκῇς ἑστάναι, σκόπει τὰ κάτω καὶ ταπεινά· ἵνα μὴ ἀθρόον, καὶ παρ' ἐλπίδας πεσὼν, εἰς ἀμηχανίαν ὅλως καταστῇς, καὶ ἰλιγγιῶντι

Æsopi sententiam, quam Chiloni Spartano interroganti protulit, non modo apposite et prudenter prolatam, sed valde commodam arbitrare (ut e rivulis, quibus oblectaris, admonitionis tibi poculum propinam). Certe e re ipsa manifeste licet animadvertere, quod firma et immota mens sæpenumero attollit (quemadmodum ille loquebatur) humilia in sublime, et deprimit sublimia in humilitatem. Hoc tuo animo recolens sæpe, licet in excelso elatus exsistere videaris, quæ deorsum sunt, intuere; ne præter exspectationem tuam, subito et confertim deturbatus excidas, et quo te vertas

VARIÆ LECTIONES.

[e] ἄσπορον. [f] προσ. [g] ἄῤῥητος. [h] τά.

Digitized by Google Распознавание текста ABK/FR

nescius, similis fias vertiginoso et circumacto, ita ut risum moveas (quæ est deploranda hominum conditio) iis qui per adulationem nunc te beatum prædicant : nobis autem dolorem procures, qui libere nunc optima tibi suggerimus. Et lutcunque temet tunc vehementer incuses, quia suspectos aliquando habebas eos qui bene suadebant, nihil inde referes emolumenti, tantum post oblatam occasionem neglectam, pœnitentiam frustra ages, atque feres ægerrime.

A καὶ περιδινουμένῳ ἐοικώς, γέλωτα μὲν κινήσεις ἴ (ὦ φύσις ἀνθρώπων τάλαινα) τοῖς σε νῦν ἐν κολακείᾳ μακαρίζουσιν, ὥσπερ λύπην ἡμῖν, τοῖς ἐν παῤῥησίᾳ συμβουλεύουσι τὰ χρηστά· πολλὰ δὲ καταγνώσκων ἑαυτὸν τῆς προτέρας τῶν παραινούντων ὑπεροψίας, οὐδὲν πλέον ἀνύσεις, πλὴν τοῦ, τῶν καιρῶν ὀπίσω μεταγινώσκειν, καὶ δυσφορεῖν.

EPIST. L.

Nicolao hegumeno monasterii Sancti Nicephori.

Montacut. (ep. 159, p. 213.

ΕΠΙΣΤ. Ν'.

Νικολάῳ ἡγουμένῳ μονῆς τοῦ ἁγίου Νικηφόρου.

Amicus est res necessaria : quidni enim ? sed magis necessarius sermo justi. Optaram utramque concurrere in eo pro quo intercedis, amicitiam nempe et justitiam. Ita enim cum gaudio gratificabor amico. Sin id minus, non jam ego culpandus, sed is qui amicitiam disjunxit a justitia. Animo certe haud feres, me amantem cum justitia, ei qui sine ea diligit, non præferri. Quin scio, quod hoc ante illud animo recoles, quod haud tibi libitum est, ut ego qui olim in futuro judicio pœnas pendam pro judicio necæquo, nec recto, et ille duplici pœna plectatur. Nimirum quod injuste fecit primum ; secundo, quod cum justitiam violasset, et solutus esset crimine, aliam rem injustam perpetravit, quod cum pœnam luere debuerat, illi non erat inflicta.

B Ἀναγκαῖος μὲν ὁ φίλος· πῶς γὰρ οὔ ; ἀναγκαιότερος δὲ ὁ τοῦ δικαίου λόγος. Εὔχομαι ἀμφότερα συνδραμεῖν ὑπὲρ οὗ πρεσβεύεις, καὶ τὴν φιλίαν, καὶ τὴν δικαιοσύνην. Οὕτω γὰρ ἂν ἡδέως φίλῳ χαρισαίμην. Εἰ δ' οὖν, μηκέτι ἡμᾶς, ἀλλὰ τὸν διχάσαντα τὴν ἑαυτοῦ φιλίαν τῆς δικαιοσύνης, αἰτιατέον. Πάντως γάρ, οὐδ' αὐτὸς ἀνέξῃ, ἐμὲ φιλοῦντα μετὰ τῆς δικαιοσύνης, τοῦ χωρὶς ταύτης ἀγαπηθέντος, μὴ προκρίνεσθαι. Ἐκεῖνο δὲ μοι, καὶ πρὸ τούτου, εὖ οἶδ' ὅτι, σκοπήσαις· ὡς οὐκ ἂν θελήσαις ἐμέ τι δίκην ὀφείλειν ἐκεῖθεν, τῆς οὐκ ὀρθῆς, οὐδὲ ἴσης κρίσεως, ἐκεῖνόν τε διπλᾶς ὑπέχειν ποινὰς, τοῦ τε πρώτου ἀδικήματος· καὶ τοῦ, ἐφ' ᾧ τὴν δίκην διαφθείρας, καὶ φυγών, δεύτερον ἀδίκημα, τῷ δίκην ὀφείλοντι, παρὰ τοῦ λαβεῖν, ἤνεγκεν.

EPIST. LI.

Dorotheo hegumeno monasterii Cedronorum.

Montacut. (ep. 220, p. 344).

ΕΠΙΣΤ. ΝΑ'.

Δωροθέῳ ἡγουμένῳ μονῆς Κεδρώνων.

Tu quidem plangis et lacrymaris, eo quod a nostro olim in Christo amore separabare; recte facis : non enim est minus cum virtute conjunctum, amoris jacturam deflere ; et non modo velle emendare, verum acerbe ferre, quod aliquando lapsus invaluit. Tantum abest ut ego alienationem priorem vituperem, propter præsentis concordiæ sinceritatem, aut ut tarde veniam concedam, ut gratias divinæ Providentiæ omnia administrandi ferendas tibi asseram. Qui enim tum profitebantur amicitiam, satis numerabiles generosam sane mentem tenuere : cæteros vel adulationem simulasse tempus convicit : quosdam, quod dum experirer, non metuebam, audacia exarmavit in contrarium ; et tamen factum est, ut qui cum illis staret, ab illorum suspicione non esset purus ; verum per istiusmodi tempora sinceram amicitiam viriliter conservasse, et dispositionis laudem egregiam habet, et futurorum sine dubio pignus, et præteritorum apologia, quæ nullam aliam requirat exigentiam, sed cum omni venia, de inertia in judicium si vocetur, apud tribunal nullis muneribus corrumpendum recte et egregie factum in præsenti ipsum per se honorem et venerationem consequetur.

C Σὺ μὲν ὀλοφύρῃ καὶ θρηνεῖς ἐφ' οἷς πάλαι τῆς ἡμῶν ἐν Κυρίῳ ἀγάπης διέστασο· καὶ καλῶς ποιεῖς· οὐδὲ τοῦτο γὰρ ἔλαττον τῶν ἄλλων εἰς ἀρετῆς λόγων ἀγάπης ζημίαν ὀδύρεσθαι, καὶ μὴ μόνον ἐθέλειν ὀρθοῦσθαι, ἀλλὰ καὶ πικρῶς ἀλγεῖν, ὅτι τὴν ἀρχὴν ἡ πτῶσις ἐκράτησεν. Ἐγὼ δὲ τοσοῦτον ἀπέχω τοῦ μέμψασθαί τι τῆς πρὶν διχονοίας, διὰ τὴν καθαρότητα τῆς νῦν ὁμονοίας, ἣ πρὸς συγγνώμην βραδὺς εἶναι, ὥστε καὶ χάριτας τῇ πάντα σοφῶς περιαγούσῃ προσομολογῶ προνοίᾳ, καὶ σέ φημι δεῖν. Τῶν γὰρ τότε φίλων εὐαρίθμητοι μὲν διεσώσαντο τὸ τῆς ψυχῆς εὐγενές· τῶν δὲ λοιπῶν, τοὺς μὲν ὁ ἐπικρεμασθεὶς D φόβος ἀφεῖλε τὴν ἀρετήν· τοὺς δὲ κολακείας ὄντας πρόσωπον ἤλεγξεν ὁ καιρός· τοὺς δὲ, ὦ, μέχρι τοῦ γενέσθαι μηδ' ἐλπιζομένη τόλμα καὶ ἀπενταίας ἱσταμένους· καὶ συνέβαινεν, εἰ καὶ συνέβαινε, τὴν μετ' ἐκείνων ἔχοντι τάξιν, μηδὲ τῆς ἐκείνων καθαρεύειν ὑποψίας· τὸ δὲ ἐν καιρῷ τοιούτῳ καθαρὰν οὕτω καὶ ἀνδρείαν ἐπιδείξασθαι τὴν φιλίαν, καὶ τῆς παρούσης ἐστὶ διαθέσεως ἐγκώμιον μέγα· καὶ τῶν μελλόντων οὐκ ἔχουσα δισταγμὸν ἐγγύη· καὶ τῶν παρεληλυθότων ἀπολογία, μηδεμιᾶς μὲν ἄλλης δεομένη περιστάσεως, ἀλλὰ καὶ συγγνώμῃ πάσῃ δικαίζουσα, τὴν ἀργίαν, ἐξ ἀδωροφορήτου τοῦ βήματος τοῦ παρόντος κατορθώματος αὐτῇ καθ' ἑαυτὴν τὸ αἰδέσιμόν τε καὶ ἀξιόπιστον χρηματίζει.

VARIÆ LECTIONES.

ι κινησις] μέν.

Digitized by Google Распознавание текста ABK/FR

ΕΠΙΣΤ. ΝΒ'. A EPIST. LII.
Γῷ αὐτῷ. *Eidem.*

Montacut. (ep. 230, p. 345).

Τὸ μὲν δῶρον γνησίας ἀγάπης · τὸ δὲ ἐν καιρῷ τοιούτῳ διαπύρου πόθου · τὸ δὲ καὶ τηλικούτων ἐπικρεμαμένων κινδύνων μαρτυρικοῦ ζήλου · ἀνθ' ὧν Χριστὸς ὁ Θεὸς ἡμῶν, καὶ ἡμῶν σιγώντων, εἰς τὸν αὐτοῦ σε τῆς βασιλείας ἐναπογράφεται κλῆρον. Εἴη δ' ἡμῖν καὶ ἡ σὴ παρουσία μετὰ λαμπρᾶς καὶ μεγάλης τῆς σωτηρίας, καὶ τῶν ἱερῶν ἐλπίδων, αἷς ἡ σὴ πανιερὸς ψυχὴ προσανέχει · μηδὲν εἰς ἀναβολὰς ἔτι ὡρημένον [k] ἀλλ' ἐπ' αὐτοῖς ἔργοις τὸ βέβαιον λαμπρῶς καθορώμενον.

Munus ab amore est genuino ; at hoc tempore missum ardenti desiderio : sed tantis periculis impendentibus martyrii zelo. Pro quo Deus noster Christus, nobis tacentibus, in regni sui sortem te transmittat : tua autem præsentia futura est mihi cum illustri et notabili salute, et spe sacra, cui anima tua sancta affigitur, non per procrastinationem rejecta, sed reipsa conspicue firmata.

—

SERIES TERTIA. — AD DIVERSOS CLERICOS.

ΕΠΙΣΤ. ΝΓ'. B EPIST. LIII.
Γεωργίῳ διακόνῳ καὶ ξενοδόχῳ. *Georgio diacono et hospitalario.*

Montacut. (ep. 45, p. 100).

Ὁ τῶν ἀπορρήτων ἐπόπτης καὶ μυσταγωγός, τὴν μέθην πόρρω Θεοῦ βασιλείας ἐθεάσατο. Εἰ οὖν μέθυσοι βασιλείαν Θεοῦ οὐ κληρονομήσουσι, τί σοι τὸ ὄφελος, ὅτι τῶν ἄλλων ἁμαρτιῶν δοῦλος, ὡς λέγεις, οὐ γέγονας ; Καί τοι τῶν ἀδυνάτων ἐστὶ τυφλοῦ κειμένου τῇ μέθῃ τοῦ καθεδηγοῦντος λογισμοῦ καὶ ἀμύνοντος, μὴ παντὶ προσπταίειν λίθῳ τὸν ἄνθρωπον, καὶ μὴ παντὸς πάθους προκεῖσθαι ἀνδράποδον.

Rerum secretarum inspector et propalator, ebrietatem a regno Dei submovit longe. Quod si ebrii Dei regnum non hæreditabunt, quid tibi prodest, si (quod affers) aliorum peccatorum servus non exsistas ? Est enim impossibile, cum ratio (viæ dux quæ esse debuit et injurias propulsare) cæca exstiterit per ebrietatem, non ad omnem lapidem offendere, non cujuslibet servum se exhibere.

ΕΠΙΣΤ. ΝΑ'. EPIST. LIV.
Τῷ αὐτῷ. *Eidem.*

Hæc epistola nunc quæstio CCII *editionis nostræ.*

ΕΠΙΣΤ. ΝΕ'. C EPIST. L V.
Θεοφάνει διακόνῳ καὶ πρωτονοταρίῳ. *Theophani diacono et protonotario.*

Montacut. (ep. 83, p. 129).

Ἀλγεῖς ὅτι ἀκούων [l] εἰς ἡμᾶς ἡμαρτες · μᾶλλον δὲ ὅτι τυραννούμενος καὶ πληγαῖς εἰς πεῖραν προκείμενος, μέχρι γλώσσης μόνον τὴν ἰσχὺν αὐτῶν τῆς βίας ἐπέδειξας, ἀνάλωτον ταῖς βασάνοις συντηρήσας τὴν διάνοιαν. Καὶ τί ἂν ἄλλο ταύτης γένοιτο τῆς παραψυχίας παραμύθιον, ὅτι τοσούτῳ πλήθει φοβερῶν βασάνων τὴν τοῦ συνειδότος κρίσιν οὐκ ἐθόλωσας, οὐδὲ τῆς κακίας τῶν βιαζομένων ὄργανον ἐγένου, καί τοι πολυειδέσι καὶ πολυτρόποις αἰκίαις, ἀλλ' οὐ δακτύλοις, κρουόμενος. Πῶς δὲ ἡμεῖς οὐκ ἂν συγγνώμης καὶ εἴ τι ταύτης ὑψηλότερον, οὐχὶ καὶ σὺν προθυμίᾳ σε ἄξιον ψηφιούμεθα, ὅτι ῥήματι [m] καὶ βίᾳ παρασύρεις, ὡς εἰς τὸ πᾶν καὶ ἑκὼν ἐξημαρτηκώς, οὕτως ἑαυτὸν ἐταπείνωσας ; καὶ τῶν ἡμετέρων ῥημάτων οὐκ ἔχεις, οἶμαι, χρείαν μανθάνειν τὸ βέβαιον. Ἡμεῖς γὰρ τοσοῦτον ἀπέχομέν τι τῶν ἀηδῶν περὶ σοῦ διανοηθῆναι, ὅτι καὶ πολλοὺς ἄλλους ἀφορᾷν εἰς σὲ προτρεπόμεθα. Σὺ δὲ ἔρρωσο, καὶ ἀρετῆς ἐπιμελοῦ, δι' ἧς τελειούμεθα, καὶ δι' ἣν σὲ τῶν φίλων καὶ

Dolet tibi quod invitus in me deliquisti ; potius quod tyrannice compulsus, et plagis inflictis ad tentationem subditus, lingua tenus tantum, quam vim habuerit eorum violentia, docuisti ; tormentis interim animum non succumbentem custodiens. Et quodnam aliud solatium haberi poterat hujusce præsentis animi, quod ne per tantam terribilium terrorum multitudinem conscientiæ tuæ judicium fœdaveris, nec improbitatum vim inserentium instrumentum te præstitisti, utcunque tormentis multarum specierum et variarum, non leviter, aut digito tenus tortus fuisti. Nos autem quomodo non te venia dignum, aut si quid venia excellentius sit, et quidem libentissime decernemus, ut torrente ac violentia in transversum actus, in offensionis peccatum incideris, ubi te taliter humiliasti, ut non sit tibi, opinor, opus, a nobis constantiam edoceri ? Certe tantum abest ut nos aliquid acerbitatis in te statuamus, ut plerosque, te intueri, tanquam in

VARIÆ LECTIONES.

[k] ἴσ. ἀπηωρημένων. [l] ἄκων. [m] ῥύματι.

Digitized by Google Распознавание текста ABK/FR

exemplum jubeamus ; tu autem vale, et virtutem cura per quam consummamur, et propter quam te jam olim amicorum albo et genuino meorum familiarium choro ascripsimus.

τῶν γνησίων θεραπόντων πάλαι τῷ χορῷ συγκατελέξαμεν.

EPIST. LVI.

Georgio diacono, et hospitalario.

ΕΠΙΣΤ. ΝϚ'.

Γεωργίῳ διακόνῳ καὶ ξενοδόχῳ.

Montacut. (ep. 88, p. 132).

Melanthium ferunt, tragœdiæ auctorem, tam voracem fuisse, ut indoleret, quod cycni collum non haberet, ut quam diuturno tempore ciborum per guttur descendentium voluptate frueretur : si tuorum particeps conviviorum fieret, opinor eum indolentiæ suæ et mœstitiæ remedium illius habiturum, et deprecaturum ne guttur in antiqua sua subsistat longitudine, ne multum temporis insumeret a tua mensa et eduliis tuis abstinens. Quid ergo faciendum ? Certe semper et ubique *Ne quid nimis*, optimum existimare.

Μελάνθιόν φασι, τὸν τραγῳδίας ὑποκριτὴν, οὕτω τῆς ὀψοφαγίας ἤττω γενέσθαι, ὥστε καὶ ἀθυμεῖν, ἐπεὶ μὴ κύκνου τὸν τράχηλον εἶχεν · ἵνα ὡς πλεῖστον χρόνον τῶν διὰ τοῦ λαιμοῦ ῥεόντων, καὶ τῆς ἐκεῖθεν ἡδονῆς, ἀπόλαύῃ. Εἰ δὲ σοῦ τῶν δείπνων ἐγεγόνει κοινωνὸς, οἶμαι ἂν αὐτὸν καὶ τῆς ἀθυμίας μέγα φάρμακον ἐξευρεῖν, καὶ ἀπεύχεσθαι μηδὲ εἰς τὸ ἀρχαῖον μῆκος τὸν αὐχένα διαμένειν, ἵνα μὴ συχνὸν ἀναλίσκοι χρόνον τῆς σῆς τραπέζης καὶ τῶν σῶν ἐδεσμάτων ἀνεχόμενος. Τί οὖν δεῖ ποιεῖν ; Πανταχοῦ τὸ, Μηδὲν ἄγαν, ὑπολαμβάνειν κράτιστον.

EPIST. LVII.

Eidem.

ΕΠΙΣΤ. ΝΖ'.

Τῷ αὐτῷ.

Montacut. (ep. 89, p. 133).

Divitias amas, idcirco virtutem non amas. Nam impio amore, laudandus amor omnis bonorum exstinguitur. Sin avaritiæ flammam exstinxeris et spinas cupiditatis simul combures, tum facilius animæ tuæ tellus suum proprium fructum faciet pullulare, eleemosynam, et te alioqui cum hædis locandum inter ovium greges translatum dabit. Vale.

Ἐρᾷς χρημάτων · διὰ τοῦτο, ἀρετῆς οὐκ ἐρᾷς. Ἔρωτι γὰρ κακίας, ὁ τῶν καλῶν ἔρως ἐναποσβέννυται. Εἰ δέ γε τὴν φλόγα τῆς πλεονεξίας ἀποσβέσεις, καὶ τὰς ἀκάνθας τῆς φιλαργυρίας συμφλέξεις, ῥᾷον ἡ τῆς ψυχῆς ἄρουρα τὸν οἰκεῖον καρπὸν, τὴν ἐλεημοσύνην ἀναβλαστήσει · καὶ σὲ ἀντὶ τοῦ μετὰ τῶν ἐρίφων τετάχθαι, εἰς τὴν τῶν προβάτων ἀγέλην μεταστήσει. Ἔρρωσο.

EPIST. LVIII.

Georgio diacono et hospitalario.

ΕΠΙΣΤ ΝΗ'.

Γεωργίῳ διακόνῳ καὶ ξενοδόχῳ.

Montacut. (ep. 94, p. 135).

Qui apud Græcos videntur sapientes, materiam, sive *hylam*, impensis multis et longis sermonibus, vix tandem potuere (ut ipsimet aiunt) tardo hebeti et infirmæ rationi persuadere, quod aliud illa esset, et diversum ab omnibus, perpetuis alterationibus subdita, fluxa, fluida, omnium formarum receptiva. Si te tum temporis nasci contigerat, tu solummodo in illorum notitiam deveniens, a multis longis laboribus et defatigationibus ipsos facile liberasses. Nemo enim, opinor, te aliquando deprehendit, ne per momentum in eadem sententia manentem ; sed defluentem semper, immutatum, et præsentibus implicitum et ad omnia transfiguratum et fœditate tanquam propria pulchritudine exultum.

Τὴν ὕλην, οἱ παρ' Ἕλλησι δοκοῦντες εἶναι σοφοὶ πολλοὺς καὶ μεγάλους ἀναλώσαντες λόγους, μόλις ἴσχυσαν, (ὡς αὐτοί φασι) νόθῳ [n] καὶ ἀσθενεῖ παραστῆσαι λογισμῷ, ὡς ἄλλο τι οὖσα παρὰ πάντα τὰ ὄντα, καὶ ἀλλοιουμένη διηνεκῶς, καὶ ῥέουσα, πάντων ἐστὶ τῶν ὄντων δεκτική. Εἰ δὲ σὲ συνέβη κατ' ἐκείνους γενέσθαι τοὺς καιροὺς, μόνον αὐτοῖς ἐπιγνωσθεὶς, πάντων ἂν τῶν μακρῶν ἐκείνων, ἀπῆλλαξας αὐτοὺς πόνων καὶ καμάτων. Οὐδεὶς γὰρ, οἶμαι, οὐδέποτέ σε, οὐδ' ἐν ἀκαρεῖ, τὴν αὐτὴν ἔχοντα κατεῖληφε γνώμην · ἀλλὰ ῥεοντά τε ἀεὶ, καὶ ἀλλοιούμενον, καὶ τῶν παρατυγχανόντων γινόμενον, καὶ πρὸς ἅπαντα μορφούμενον, καὶ ὡς οἰκείᾳ μορφῇ τὴν ἀμορφίαν καλλωπιζόμενον.

EPIST. LIX.

Gregorio diacono et chartulario Amasiano.

ΕΠΙΣΤ. ΝΘ'.

Γρηγορίῳ διακόνῳ καὶ χαρτουλαρίῳ τῷ Ἀμασιάνῳ.

Montacut. (ep. 99, p. 141).

Audio quosdam ex adversariis pacem circumannuntiare, et simpliciores conari, ut hoc nomine inescatos capiant : verumtamen, si pacem illam

Ἀκούω τινας τῶν ἐναντίων εἰρήνην περιαγγέλλειν, καὶ τοὺς ἁπλουστέρους ἐπιχειρεῖν ταύτῃ δελεάζειν τῇ προσηγορίᾳ. Ἀλλ' εἰ μὲν ἦν ὁ Κύριος διδω-

VARIÆ LECTIONES.

[n] Ἰσ. νωθρῷ.

Digitized by Google Распознавание текста ABK/FR

σιν, οὐκ ἐκείνους δεῖ περιαγγέλλειν, ἀλλὰ παρ' ἡμῶν ταύτην ὀφείλουσιν ἐκμανθάνειν. Εἰ δὲ ἦν καθελεῖν αὐτὸς ἐλήλυθεν (Οὐ γὰρ ἦλθον, φησὶν, βαλεῖν εἰρήνην, ἀλλὰ μάχαιραν), ἴστωσαν ὅτι χριστομαχοῦσιν, ὑπὸ τῷ τῆς εἰρήνης ὀνόματι, τὴν κατ' αὐτοῦ πολιορκίαν ἀνιστῶντες.

quam dat Dominus denuntiant, congruum non est ut annuntient illi, sed a nobis hanc acceptam debent agnoscere. Sin, quam ut tolleret, ispe advenit (nam *Non veni*, dicebat, *qui pacem darem, sed ut gladium*[a]), sciant tum quod contra Christum bellum gerunt, et, sub prætextu pacis, obsidione instituunt illum cingere.

ΕΠΙΣΤ. Ξ'.
Τῷ αὐτῷ.

EPIST. LX.
Eidem.

Montacut. (ep. 100, p. 142).

Εἴ τις δοξολογία, εἴ τις εὐχαριστία, ταύτην ἐξ ὅλης ψυχῆς Θεῷ ἀνατίθημι, ὅτι με τοιαύταις ἡμέραις ἄρχειν ἀνθρώπων οὐ συνεχώρησεν, οὐδ' ὀφθαλμοῖς ἐπιδεῖν πάθος ἀπαράκλητον, ἐν αἷς τάφος μέν ἀντὶ πόλεως ἡ Κωνσταντίνου, θρῆνος δὲ ἀντὶ ψαλμῳδίας, οὐ τὰς οἰκίας μόνον, ἀλλὰ καὶ τὰς ἐκκλησίας ἔχει· τῶν μὲν ὁλοκλήρων εἰς ἔδαφος κειμένων θέαμα, φασὶν, ἐλεεινόν, καὶ διηγεῖσθαι μεῖζον πίστεως· τῶν δὲ τῷ μεγίστῳ μέρει κατενηνεγμένων, καὶ μηδενὸς τοῦ πάθους κρείττονος γενομένου· ἀλλὰ καὶ αὐτῆς τῆς γῆς, τῷ ἀφορήτῳ σάλῳ καὶ κλόνῳ, εἰς μέρη πολλὰ συγκαταῤῥαγείσης, καὶ τὰ ἐξ αἰῶνος τῆς πόλεως πάθη, τῷ μεγέθει τῶν κακῶν ἀποκρυψάσης· Νῦν μὲν γὰρ τὰ ἐμαυτοῦ μόνον σκοπῶ, καὶ εἰς ἐκεῖνά μοι τὰ τῆς φροντίδος καὶ τῆς ἀγωνίας ἀποτείνεται. Τότε δὲ ἀνάγκη τρέμειν ἦν, καὶ ὑπὲρ τῶν ἑτέροις ἁμαρτανομένων, καὶ τοῖς ἐκείνων παθήμασι πικρότερον ἀποδύρεσθαι καὶ μήποτε τῷ κοινῷ ο τῶν ἀδικημάτων [δεδιέναι] κοινὴν τῷ πλήθει τὴν τιμωρίαν, καὶ αὐτοὶ δοκοῦντες προεστάναι, συνδιενεγκεῖν καταδικασθῶμεν· ὧν ἁπάντων, ἀνθρώπινοι μὲν, ὡς ἐνόμισαν, ἐπιβουλαὶ, Θεὸς δὲ, τῇ οἰκείᾳ χάριτι καὶ φιλανθρωπίᾳ, ἐῤῥύσατο.

Si quæ doxologia, si eucharistia aliquid sit, illam ego toto animo in Deum refero, quod me non est passus hominibus præesse cum imperio per tales dies, nec oculis contueri inconsolabile malum, cum non civitas sed sepulcrum exsistat Constantini urbs, lamentatio cum pro psalmodiis, non domos tantum privatas, sed et ecclesias occupet : quarum nonnullæ e fundamentis subrutæ solo æquantur ; miserandum cuivis spectaculum,et quod narratum fidem non inveniat : aliæ autem maxima ex parte, licet nulla clades desolaverit, ruinam tamem spectent : nec vel una ecclesiarum extra calamitatem hanc posita subsistat, sed et ipsa tellus, concussione et tremore intolerabili, in multas partes dissiluit : unde illa quoque quibus olim hæc civitas malis conflictabatur pro nullis habenda sunt. In præsenti res meas tantum speculor, in eas cura et sollicitudo mea omnis fertur. Quod si autem cum imperio essem necessum haberem, et pro aliis timere peccantibus, et vehementius eorum afflictionibus condolere, et metuere ne per peccatorum societatem, et nos, qui videmur eisdem præesse, ad supplicium commune condemnemur : ab istis nos omnibus hominum, quæ videbantur conspirationes, Deus autem revera, e sua gratia et bonitate liberavit.

ΕΠΙΣΤ. ΞΑ.
Τῷ αὐτῷ.

EPIST. LXI.
Eidem.

Montacut. (ep. 101, p. 142).

Ἐγὼ μὲν οὐκ ἂν φαίην δίκας τίνουσα p τὴν πόλιν τῶν εἰς ἡμᾶς ἀδικημάτων, ἀντὶ πόλεως πολυάνδριον γενέσθαι· παραινῶ δὲ μηδὲ τὴν ὑμῶν ὁσιότητα ταῦτα ἐννοεῖν. Τίνες γὰρ ἡμεῖς, εἰ καὶ πεπόνθαμεν ἀδιήγητα, ἵνα τηλικαύτην ὀργὴν ἐκκαλεσώμεθα Θεοῦ; ἄλλως τε δὲ καὶ τότε, πλέον πάσχοντες [νῦν] ἐν οἷς ἐκεῖνοι πάσχουσι, τῷ κοινῷ νόμῳ τῆς συμπαθείας καὶ φύσεως, ἢ ἐν οἷς αὐτῶν δεδρακότων, ἐπάσχομεν. Εἰ δ', ὅτι τῶν ἀνὰ τὴν Ῥωμαϊκὴν ἀρχὴν Ἐκκλησιῶν τὴν δόξαν ἀπέκειρον, καὶ εἰς τὰ τῶν Χριστιανῶν μυστήρια ἐξωρχήσαντο, καὶ ἀρχιερεῖς καὶ ἱερεῖς Θεοῦ, θρόνων καὶ Ἐκκλησιῶν, πάσῃ μηχανῇ καὶ πάσῃ βίᾳ, ἐξήλασαν· καὶ ἐν καιρῷ Χριστιανισμοῦ, τὰς Ἑλλήνων πράξεις παῤῥησιάσασθαι παρεσκεύασαν, σιγῇ βαθείᾳ, μᾶλλον δὲ καταστροφῇ τελείᾳ, τὰς

Egu certe haud dixerim, urbem in sepulcretum redactam, in vindictam eorum qui in me injuste fecerunt ; aut hortor tuam sanctitatem ut eamdem foveas mecum opinionem. Quinam enim nos sumus licet passi inexplicabilia, ut tantam a Deo iracunpiam devocemus : certe quidem in iis quæ patitur civitas, et nos plane compatimur, secundum legem naturæ et compassionis naturalis, plus quam per illa patiebamur, quæ a civibus sumus passi. Sin autem facinorum eorum pœnas luant, per quæ gloriam Dei et Ecclesiarum in toto Romano imperio positarum attonderunt, et insultarunt petulanter Christianorum mysteriis, episcopos, et Dei sacerdotes, nil non molientes, nullam vim non intentantes, de thronis et Ecclesiis suis ejectos abegerunt:

[a] Matth. x, 34.

VARIÆ LECTIONES.

o Ἴσ καὶ δεδιέναι μήποτε τῷ κοινῷ... p Ἴσ. τίνουσαν.

Digitized by Google Распознавание текста ABK/FR

et ubi Christiana professio vigebat, paganas actiones licentiose patrari curaverunt : silentio profundo, potius subversioni plenariæ, sacrificia divina, et veneranda illa orgia tradidere : si ob hæc omnia pœnas luant audaciæ, nihil est quod pronuntiare ego possum, donec multa his majora eos perpetrasse judicium illud in cœlis repræsentet.

θείας τελετὰς καὶ τὰ φρικτὰ παραδεδωκότες ὄργια· ἂν οὖν διὰ ταῦτα δίκας εἰσπράττωνται τοῦ τολμήματος, πρὸς τοῦτο οὐκ ἂν δυναίμην ἄλλως ἔχειν διισχυρίσασθαι, μέχρις ἂν τὸ ἔσχατον δικαιωτήριον, ἄλλα τινὰ μείζονα τῆς τηλικαύτης τόλμης ἐξημαρτηκότας παραστήσειεν.

EPIST. LXII.

Georgio diacono et cubiclusio.

ΕΠΙΣΤ. ΞΒ'

Γεωργίῳ διακόνῳ καὶ κουβουκλεισίῳ.

Montacut. (ep. 104, p. 149).

Denuntio tibi, amicorum optime, ne deinceps amicus nobis nomineris. Nunc enim intelligo me præ cunctis mortalibus in veris amicis habendis infelicissimum. Bonus ille et fidelis œconomus communis amicus (hei mihi qui hoc dico et scribo, ipso interim tacente), me relicto, temporali amico, pro me, ut videtur, æternos amicos permutavit. Non enim pati potuit tantam virtutem tali temporum opportunitate obtinere, Timon ille apud antiquos, improbitate hominum fortassis intolerabili motus, prudenter egisse quidem visus est, cum pro *philanthropo misanthropus* haberi volebat. Ego multo quidem rectius videbor, pro affectu quo sum, *misophilus* nominandus : nam cum inter amicos mira quidem virtutis admiratione frui viderer, de fruitione gaudebam, et statim cum dolore acerbo, inde, quod me male habet, exturbor ; ita ut quicunque ille est qui telum hoc in me amentavit, sive ex invidia sive aliunde motus, id egit tantum ut cruciaret, et de voluptate extremis quasi labeculis degustaremus. Extra me rapior ab iis quæ patior, nec est quod dicam aliud, quam quod omnino mei non sis : misertus, nec cum in exsilium relegarer, nec cum in vincula conjicerer, nec in aliqua mearum quibus exhaurior miseriarum : in nullo ipsorum emollitus, magno impetu amicum arreptum a me avulsisti, qui abiit, stimulum acerbum et inflexibilem medio meo cordi infigens. Sed fortassis haud diuturnum erit tempus, et penitus hoc conficiet (istud enim solum, utpote in tantis malis, nos refrigerat) et ad desideratum nobis exturbabit. Tu autem, o vitæ meæ solamen solum, vale : me ama, exsequias mea vice perfice, prout dignum tua virtute et illius amicitia fuerit, et meo loco cognatis et affinibus et tibimetipsi curator et patronus constitutus, alleva magnam doloris partem. Neque enim, opinor, facultas est, defuncto amico aliunde opitulari. Certe plura me scribere volentem inhibuere lacrymæ profusiores.

Ἀπαγορεύω σοι, φίλων ἄριστε, μηκέτι φίλον ἡμέτερον ὀνομάζεσθαι. Νῦν γὰρ ἐγνων ἐμαυτὸν, περὶ τοὺς ἀληθεστάτους φίλους, πάντων ἀνθρώπων δυστυχέστατον. Ὁ καλὸς ἡμῖν καὶ πιστὸς οἰκονόμος, ὁ κοινὸς φίλος (οἴ μοι λέγω καὶ γράφω σιγῶντος ἐκείνου) λιπὼν ἡμᾶς τοὺς προσκαίρους, ἀνθ' ἡμων, ὡς ἔοικε, τοὺς αἰωνίους φίλους ἠλλάξατο· ὥσπερ οὐκ ἀνεχόμενος ἀρετὴν τοσαύτην καιροῖς τοιουτοῖς ἐμπολιτεύεσθαι. Ὁ μὲν οὖν παλαιὸς ἐκεῖνος Τίμων, μοχθηρίαις ἀτόποις ἀνθρώπων ἴσως περιτυχὼν, ἔδοξέτε σοφὸν ἐπιτελεῖν, ἀντὶ φιλανθρώπου, μισάνθρωπος, καὶ εἶναι καὶ ὀνομάζεσθαι. Ἐγὼ δὲ πολλῷ ἂν φανείην δικαιότερα, οἶμαι, διαπραττόμενος, ἀνθ' οὗπέρ εἰμι, μισόφιλος γενέσθαι διανοούμενος. Τῆς γὰρ ἐν φίλοις θαυμαστῆς ἡλίκης ἀρετῆς ἀπολαύειν ἀρχόμενος, ἅμα μὲν χαίρω τῆς ἀπολαύσεως, ἅμα δὲ λίαν πικρῶς ἀνιώμενος, ταύτης ἀθλίως ἐλαύνομαι· ὥσπερ ἵνα μόνον λυπήσῃ καὶ τὴν συναίσθησιν τῶν ἀλγεινῶν ἀφόρητον ἐπαφήσῃ, διὰ τοῦτο μόνον τῆς τοιαύτης ἡδονῆς ἡμᾶς γεύσαντος τοῦ, ὅστις ποτέ ἐστιν ἐκεῖνος ὁ τηλικοῦτον καθ' ἡμῶν ῥίψας τὸ βέλος, εἴτε φθόνος, εἴτε ψῆφος ἄλλη. Ἐξάγομαι γὰρ ὑπὸ τοῦ πάθους, καὶ οὐκ ἔχω τί εἴπω πλὴν ὅτι μὴ κατελέησας ἡμᾶς, μήτε τῆς ὑπερορίας, μήτε τῆς φυλακῆς, μήτε τῶν ἄλλων χαλεπῶν, οἷς τὸν βίον περιαντλούμεθα. Ὑπὸ μηδενὸς τούτων δυσωπηθεὶς, λαβὼν ἀθρόον καὶ διασπάσας ἀφ' ἡμῶν τὸν φίλον οἴχεται πικρὸν καὶ ἀπαραίτητον κατὰ μέσης αὐτῆς καρδίας τὸ κέντρον ἐμπήξας. Ἀλλ' ἴσως οὐ πολὺς χρόνος καὶ τελείως τοῦτον διεργασάμενος (τοῦτο γὰρ ὡς ἐν τηλικούτοις κακοῖς ἡμᾶς μόνον ἀναψύχει) πρὸς τὸν ποθούμενον ἀπελάσει. Σὺ δὲ, ὦ μοι λοιπὸν τοῦ βίου παραμύθιον, ἔρρωσο, καὶ με φίλει· καὶ τὴν ὁσίαν ἐκείνου, ἀνθ' ἡμῶν, ἀξίως τῆς σῆς ἀρετῆς καὶ τῆς ἐκείνου φιλίας, ἐπιτέλει, καὶ τῶν συγγενῶν καὶ οἰκείων ἀνθ' ἡμῶν καὶ σαυτοῦ προστάτης καὶ κηδεμὼν καθιστάμενος, κούφιζε τὸ πολὺ τοῦ πάθους· ἄλλο γὰρ οὐδὲν ἐστιν οἶμαι τῷ κειμένῳ συνεισενεγκεῖν. Εἰ δ' ἔτι καὶ πλέον ἤθελον γράφειν, ἀλλὰ σφοδρότερον ῥέον ἐπίσχυε τὸ δάκρυον τὴν γραφήν.

EPIST. LXIII.

Damiano xenodocho.

ΕΠΙΣΤ. ΞΓ'.

Δαμιανῷ ξενοδόχῳ.

Montacut. (ep. 112, p. 155).

Cum tacet qui injuriam patitur, multo magis afficientem convincit : patet enim quod nisi summam et inexplicabilem injuriam irrogantium crude-

Τὸ σιγᾷν ἀδικούμενον, μείζονα τῶν ἀδικούντων ποιεῖται τὸν ἔλεγχον· δῆλον γὰρ ὡς εἰ μὴ μεγάλην τινὰ καὶ ἀνυπέρβλητον τῶν ἀδικούντων ὠμότητα

VARIÆ LECTIONES.

q ἴσ. ἐκεῖ.

Digitized by Google Распознавание текста ABK/FR

κατεγίνωσκεν, οὐκ ἂν ἀφεὶς τὸ κινεῖν ἐπ' ἔλεον, ἀντὶ τούτου τε καὶ τῶν δικαίων λόγων, τὴν σιωπὴν ἔστεργεν· ἀλλ' ὁ μὲν δυστυχὴς ἐκεῖνος καὶ πένης ἄνθρωπος, περὶ οὗ καὶ πρὶν ἔγραψα, ἠδικηκέναι μὲν ὑμᾶς ὁμολογεῖ, καὶ τῶν ἀδικημάτων οὐκ ἄλλους, ἀλλ' ὑμᾶς ἐπάγεται μάρτυρας. Κύριοι γὰρ νῦν ἀξιοῦτε γενέσθαι ὧν τυραννίδι καὶ βίᾳ τὴν ἐξουσίαν προειλήφατε. Ἀνίατα δὲ νοσεῖν, καὶ κρείττους εἶναι διορθώσεως καὶ μεταμελείας, οὔπω κατέγνωκε· διὰ τοῦτο, καὶ φίλους περινοστεῖ, καὶ λόγους φθέγγεται ἐλεεινούς, καὶ πρὸ τούτων, ὥσπερ ἱκετηρίαν, αὐτὸ προτείνει τὸ δίκαιον· οὐκ ἐν τοῖς ἔξωθεν κριτηρίοις, ἀλλ' ἐν μέσοις φίλοις, καὶ ἐπὶ τοῦ βήματος τῆς ὑμῶν συνειδήσεως. Εἰ δ' ἔτι μηδὲν χρηστὸν μηδὲ δικαίων περὶ αὐτὸν ἐννοήσητε, μηδ' ἐκείνων αὐτῷ ἐκστῆτε ἃ τυραννίδος νόμος αὐτοῦ μὲν ἥρπασεν, ὑμῖν δὲ ἐνεχείρισεν, ἴστε, ὡς ὅπερ ἐκεῖνος ὁ ὑφ' ὑμῶν ἀδικούμενος εἰπεῖν καθ' ὑμῶν ἐφυλάξατο, αὐτοὶ καθ' ἑαυτῶν, διὰ τῶν ἔργων, τὸ χειρίστους ἀνθρώπων εἶναι πάντων ἠψηφίσασθε.

litatem sentiret, non ea omisisset, quæ movere ad misericordiam possent, nec silentium prætulisset justæ injuriarum deplorationi. Miser autem ille et pauper, in cujus jampridem causa ad te litteras dedi, fatetur te injuriam intulisse, injuriarum porro illatarum haud alios testes quam teipsum citat. Dominum earum rerum haberi te vis legitimum, quas per vim et tyrannidem prius abstulisti. Non tamen desperato morbo teneri te, vel incurabili, nec pœnitentia corrigendo, arbitratur. Idcirco passim amicos adit, sermones serit miserabiles, atque imprimis jus ipsum deprecatorem offert: nec rem apud forensia tribunalia tractat, sed amicis arbitris, et ad tribunal conscientiæ tuæ. Si adhuc nil humanius, nihil cum justitia conjunctum, statuas in hac ejus causa, nec cedere velis possessionem eorum quæ per tyrannidem, non legem, abstulisti, scias, quod utcunque ille quem tu pauperem affecisti injuria, id non contra te dixerit, temet tamen contra te sciscere, per ea quæ perpetras, esse te nimirum omnium hominum nequissimum.

ΕΠΙΣΤ. ΞΔ'.

Γρηγορίῳ διακόνῳ καὶ χαρτυλαρίῳ.

EPIST. LXIV.

Gregorio diacono et chartulario.

Montacut. (ep. 113, p. 155).

Ἀνεθεμάτισαν ἡμᾶς χρόνοις μακροῖς, πᾶσα σύνοδος αἱρετική, καὶ πᾶν Εἰκονομάχων συνέδριον· οὐχ ἡμᾶς δὲ μόνον, ἀλλὰ καὶ πατέρα καὶ θεῖον ἡμέτερον, ἄνδρας ὁμολογητὰς Χριστοῦ, καὶ ἀρχιερέων σεμνολόγημα· ἀλλ' ἀνεθεματίσαντες, εἰς τὸν ἀρχιερατικὸν θρόνον ἡμᾶς ἀνήγαγον καὶ μὴ θέλοντας· ἀναθεματιζέτωσαν τοιγαροῦν καὶ νῦν οἱ παραπλησίως ἐκείνοις τῶν Δεσποτικῶν ἐντολῶν ἀλογήσαντες, καὶ παρανομίας ἁπάσης πλατεῖαν τὴν πύλην καὶ εὐρύχωρον ἀναπετάσαντες, ἵνα καὶ αὐτοὶ ἀπὸ γῆς εἰς τὴν οὐράνιον ἡμᾶς βασιλείαν καὶ ὀκνοῦντας ἀναβιβάσωσιν.

Anathemate nos perculerunt jamdudum synodus hæretica, et universus Iconomachorum consessus; nec nos tantum, sed et patrem et patruum etiam nostrum, viros Christi confessores, et episcoporum gloriam, sed tamen anathematizatum in thronum archiepiscopalem intruserunt non volentem; anathemate, nunc etiam non minus feriant illi, Domini mandata facientes flocci, sed et transgressioni cuicunque spatiosum et amplum portum aperientes, in eum finem ut me de terra in cœleste regnum transmittant.

ΕΠΙΣΤ. ΞΕ'.

Γεωργίῳ διακόνῳ καὶ ὀρφανοτρόφῳ.

EPIST. LXV.

Georgio diacono et orphanotropho.

Montacut. (ep. 136, p. 189).

Εἰ μὲν ἀπὸ τῆς γνώμης κρίνεις τὰ πράγματα, καὶ σκοπεῖς τὴν προαίρεσιν (οὕτω δὲ προσῆκε, καὶ θείων χρησμῶν ἐστιν ἡ ψῆφος), ἔχεις ἡμᾶς, εἰ μὴ φορτικὸν εἰπεῖν, λαμπρῶς ἐπὶ σοὶ στεφανωθέντας. Εἰ δὲ τοῖς ἔργοις σείεις τὸν στέφανον, ἡμᾶς μὲν οὐδ' οὕτως οὐδὲν ζημιώσεις. Οὐδὲ γὰρ, οὐδὲ τοῦτο, καίτοι τῶν καιρῶν ἡμῖν ἀντιπνεόντων, ἐνελίπομεν. Ἐκεῖνο δέ σε συνιέναι χρὴ, ὅτι ταῦτα ψηφιζόμενος, οὐχ ἡμᾶς μᾶλλον θατέρου τῶν στεφάνων ἀποστερεῖς, ἀλλὰ σαυτοῦ ἑκάτερον ἀφαιρεῖς ὧν τε προξενεῖ τὰ ἔργα, καὶ ὧν πλέκει ἡ προαίρεσις.

Siquidem ab intentione de rebus actis judicas, et propositum consideres (quodpar est facere, quandoquidem ita divina præcipiant oracula), habes et nos, ne quid gravius dicam, splendide a te coronatos et honoratos: sin actis dederis coronam, nos nullo, nec sic quidem, damno afficies. Neque enim nos, licet tempore adverso, defecimus officio: et illud te oportet scire, quod ita decernendo, non tam nos alterutra coronarum privas, quam utramque a teipso tollis; nempe quam largiuntur opera, et quam voluntas plectit et propositum.

ΕΠΙΣΤ. ΞΣ'.

Ἀναστασίῳ πρεσβυτέρῳ καὶ βιβλιοθηκαρίῳ Ῥώμης.

EPIST. LXVI.

Anastasio presbytero et bibliothecario Romano.

Montacut. (ep. 170, p. 244).

Ἀφ' ἱερᾶς μέν σοι, τὸ παροιμιῶδες, ὁ ἀγών· ὀψὲ δὲ τῆς χρείας, καὶ τῆς γνώμης οὐ μέμφομαι. Τὸν καιρὸν δ' ὁρῶ παρελάσαντα, καὶ μοὶ δοκεῖ τοῦτον οὐκ ἀκόμψως ὁ αἰνιγματιστὴς ἀπεικάζων

A sacra linea, ut proverbium habet, tibi certamen sumitur. Nec reprehendo, quod post usum et cognitionem opportunitatem elapsam video. Nec inscite mihi videtur ænigmatica oratio hoc insinuare, quæ

Digitized by Google Распознавание текста ABK/FR

fronte capillatam occasionem, a postico calvam pingit. Nam cum præterlapso tempore advenit, licet omnibus machinis persequatur, haud comprehendet tamen. Sed bene sit compatienti proposito tuo, utcunque tarde advenerit. Amici enim debent gratiam non usu et necessitate metiri, sed affectu et voluntate.

λόγος, ἔμπροσθεν μὲν ἀκερσεκόμην, ὄπισθεν δὲ κουρίαν ἐν χρῷ, διαγράψασθαι. Ἐπειδὰν γάρ τις ὀπίσω τοῦ χρόνου γένηται, κἂν μυρίαις αὐτὸν ἐπιδιώκῃ τέχναις, οὐκ ἔστιν αὐτοῦ περιδράξασθαι. Ἀλλ' εὖγέ σοι καὶ τῆς διὰ βράδους ἐλθούσης συμπαθοῦς προαιρέσεως. Φίλων γὰρ, οὐχὶ τῇ χρείᾳ τὴν χάριν μετρεῖν, τῇ προθέσει δὲ κρίνειν τὴν εὔνοιαν.

EPIST. LXVII.

Damiano xenodocho.

ΕΠΙΣΤ. ΞΖ'.

Δαμιανῷ ξενοδόχῳ.

Montacut. (ep. 195, p. 293).

Si graviores quam delicta merentur pœnas irrogaveris, noli arbitrare te justitiæ fines non transilire : nam non tantum hoc rationi reddendæ te non subjiciet, licet legis prætextu fiat, sed duplicatæ injustitiæ reum facit, nimirum, quod injuriam intulit, et leges afficit contumelia : huc usque forsan æquum et legitimum est, ab injuria afficiente pœnam reposcere : at mensuram transgredi in inferendo supplicio, contra leges manifeste pugnat, et supplicio dignum facit eodem, quod irrogavit, si non graviore, certe non moderatiore : dat enim initium alteri injuriæ : si certe qui ab altero pœnas pro injuria reposcit, eo ipso debet ipse moderationem discere, ne juste ea pœna reposcatur ab ipso. Quod si debitorem decem millium talentorum animo recolas, et terribilem illam et horrore plenam comminationem, licet nihil extorquebat non debitum, tantum quod debitori non pepercit : scena illa et prætextus, te secundum leges facere, quid proderit ? quod auxilium tunc procurabit ?

Μὴ μείζους ἀπαιτῶν τὰς τῶν πταισμάτων εἰσπράξεις ἔξω νόμιζε δικαίας ποινῆς πράττειν · οὐ μόνον γὰρ οὐκ ἀνεύθυνον, κἂν ἐπ' ὀνόματι νόμου τοῦτο ποιῇ τις, ἀλλὰ καὶ διπλοῖς ἔνοχον ἀδικήμασιν · ὅτι καὶ ἀδικίας ἄρχει, καὶ νόμους ὑβρίζει · μέχρι μὲν γαρ τοῦτο, ἴσον παρὰ τοῦ ἠδικηκότος λαβεῖν νόμιμον ἴσως τοῖς πολλοῖς καὶ οὐ χαλεπόν · ὑπερβεβηκότα δὲ τὸ μέτρον, ἔτι ποινὰς ἐπιζητεῖν, παράνομον φανερῶς καὶ τιμωρίας ἔνοχον ἧς ἀπῄτησεν, ἵνα μὴ λέγω βαρυτέρας, τέως οὐ μετριωτέρας · ἀρχὴ γάρ ἐστιν ἀδικήματος ἄλλου · καίπερ ὁ δίκην ἕτερον ὑπὲρ ὧν ἠδίκησεν, ἀπαιτῶν, αὐτόθεν ὠφελεῖν ἔχειν τὸν σωφρονισμὸν, εἰς τὸ μὴ ἐπὶ τοῖς ἴσοις καὶ ὁμοίοις τὴν δίκην ὀφείλειν, ἀλλ', ὡς ἔοικεν, οὐκ ἔστιν ὀργῆς ἐμμανέστερον. Εἰ δὲ καὶ τὸν ὀφειλέτην τῶν μυρίων ταλάντων εἰς νοῦν ἀναλάβοις, καὶ τὴν φόβερὸν ἐκείνην, καί τοι οὐδὲν ἄλλο ἢ ὅπερ ἐχρεώστητο ἀπῄτει καὶ φρίκης γέμουσαν ἀπειλὴν, ὅτι μὴ συγγνώμων ἐγίνετο τῷ ὀφειλέτῃ, τίνα ἂν σοι ἡ σκηνὴ τοῦ · κατὰ νόμον οἴεσθαι [r] πράττειν, καὶ παρανομοῦντι βοήθειαν ἐμπορίσῃ ;

EPIST. LXVIII.

Paulo monacho lapso.

ΕΠΙΣΤ. ΞΗ'.

Παύλῳ μοναχῷ ἀποστατήσαντι.

Montacut. (ep. 7, p. 71).

Deum nostrum Christum abnegavit Petrus : diffidebat eidem Thomas ; Judas autem prodidit. Tu autem si resipueris ab iis quæ contra nos, aut tuam potius salutem, furore percitus patraveris, quæ te ad mentem sanam reducere debebant, desperare noli. Nos enim, utcunque tute ipse emansor fueris, ab affectu in te nostro non excidimus. Sint Thomas et Petrus antiqua tibi exempla ad conversionem : sed et alios etiam collapsos conservabis, cum a casu tuo resuscitatus fueris. Quod si nequaquam pœnitentiam egeris, te licet dolentes sic affamur, reliquum est ut Judæ laqueum respicias.

Τὸν Χριστὸν καὶ Θεὸν ἡμῶν, ὁ Πέτρος ἠρνήσατο, ὁ Θωμᾶς ἠπίστησεν, ὁ Ἰούδας προὔδωκε, σὺ οὖν, εἰ μὲν μετέγνως ἐφ' οἷς, ἐξ ὧν ἔδει σε σωφρονεῖν, καθ' ἡμῶν, μᾶλλον δὲ τῆς σῆς σωτηρίας, ἐμάνης, μηδὲν ἀπογνῷς. Οὔτε γὰρ τῆς ἡμῶν πρὸς σὲ, κἂν αὐτὸς ἐξέστης, ἀπίστημεν διαθέσεως, καὶ Θωμᾶς σοι τῆς ἐπιστροφῆς, καὶ Πέτρος, παλαιὰ παραδείγματα · σώσεις δ' ἴσως καὶ αὐτὸς ἄλλους σφαλέντας, δι' ὧν αὐτὸς ἀνέστης πεσών · εἰ δὲ μὴ μεταγνῷς, κἂν ἀνιώμενοι, λέγομεν, πρὸς τὸν Ἰούδα σε βρόχον ὑπόλοιπον ἀφορᾷν.

EPIST. LXIX.

Monacho E. collapso.

ΕΠΙΣΤ. ΞΘ'.

Μονάζοντι Ε. πεσόντι.

Montacut. (ep. 12, p. 74).

Peccasti : humanum est. Sed peccato admisso inhæres, nec reverteris : hei mihi ! hoc diabolicum est. Considera, quæso, an non professus cum monachis sortem, et stipulatus angelicam conversatio-

Ἥμαρτες · ἀνθρώπινον τοῦτο. Ἀλλ' ἐπιμένεις τῷ κακῷ, καὶ οὐκ ἐπιστρέφῃ · δαιμόνιον, οἵ μοι, τοῦτο. Σκόπει δὴ, μὴ ἀντὶ τοῦ παραγγεῖλαί σε εἰς τὴν τῶν μοναζόντων κληρουχίαν, καὶ ἐπαγγείλασθαί σε τὴν

VARIÆ LECTIONES.

[r] ἴσ. οἶμαι.

Digitized by Google Распознавание текста ABK/FR

τῶν ἀγγέλων πολιτείαν, εἰς τὴν τῶν δαιμόνων κατενεχθῆς μοχθηρίαν, καὶ πρὸς τὴν ἐκείνων ἀπενεχθῆς τιμωρίαν· ὅτε πᾶσα πρόφασις ἀργεῖ, καὶ εἰς κενὸν ἡ μετάνοια.

nem, in infaustum dæmoniorum statum recidens, ad illorum pœnas præcipitaris, ubi cessat propositum, et frustratur pœnitentia.

ΕΠΙΣΤ. Ο'.

Ἀθανασίῳ μοναχῷ ἡσυχάζοντι.

EPIST. LXX.

Athanasio monacho anachoretæ.

Montacut. (ep. 20, p. 81).

Ὁ μὲν τῆς Ἐριστὴς [a] ἐπίσκοπος, ταῖς ὑμετέραις εὐχαῖς ὀρθωθεὶς, ἀνέῤῥωσε τοῦ πάθους· καὶ τῆς σχισματικῆς σηπεδόνος ἀπαλλαγεὶς, τῇ ὁλότητι τοῦ ἐκκλησιαστικοῦ σώματος, μέλους καὶ μέρους τάξιν ἀνειληφὼς, συνηρμόσθη, πολλὰ μὲν τῆς προτέρας καταγνοὺς φρενοβλαβείας, πολλοῖς δὲ δάκρυσι τὸ ἔδαφος ῥαίνων, οἰμωγαῖς δὲ πολλαῖς, καὶ ἐλεεινολογίαις τὴν παροῦσαν σύνοδον, ἀπαραίτητον ἐπ' αὐτὸν ὁρῶσαν, εἰς οἰκτιρμοὺς διαλύσας· καὶ ὁ γε ἀνὴρ [t] οὐχὶ πολιᾶς συγγνώμην ᾔτησεν ἀ κακίας· ἀλλὰ νεανιευμένην ἔδειξε μισήσας πονηρίαν. Οὐ γὰρ ἁπλότητος ἦν ὁ γέρων, ἀλλ' ἀπάτης θήραμα· ὧν, τὸ μὲν, βοηθείας μόνης· τὸ δὲ δεῖται καὶ προκαθάρσεως· ἀλλὰ γὰρ τοῖς ὑμετέροις πόνοις καλῶς τοῦ γέροντος ἐξεργασθέντος, καὶ τῶν τῆς νουθεσίας σπερμάτων προκαταβληθέντων, ἡμεῖς ἀπόνως αὐτοῦ τὴν σωτηρίαν ἐκαρπωσάμεθα. Τῶν δὲ ἰατρικῶν εἰδῶν, πάντα μὲν οὐκ ἦν εὑρεῖν κατὰ χεῖρας· ὅσα δὲ παρῆν, ἀπεστάλη. Τῶν ὑπολοίπων ἡ φροντὶς, ἕως ἂν πορισθῶσιν, οὐκ ἐπιλείψει. Τοῖς δώροις δὲ τῆς ὑμετέρας ὁσιότητος, ἐπὶ μέγα ἠγαλλιασάμεθα· μάλιστά γε τῆς ἀληθινῆς ἀγάπης ταῦτα πληθυνούσης [u], καὶ εἰς μέγεθος καὶ κάλλος ἐξαπλούσης, καὶ δι' αὐτῶν διδούσης εἰκονίζειν τὸ τοῦ βίου ὑψηλόν τε καὶ μετάρσιον. Ἐῤῥωσο.

Eristæ episcopus, vestris precibus erectus, a morbo convaluit, et de putredine liberatus schismatica, partis jam et membri munus obiens, cum ecclesiastico toto cœtu compaginatus est, priorem mentis suæ sanæ amotionem multis condemnans, lacrymis pavimentum rigavit multis, et præsentem synodum, quam in se videbat inexorabilem, lamentis, flebilibus sermonibus, tandem ad compassionem convertit. Nec veniam quasi insons canitiei deprecabatur, sed odio se habere ostendit, insolentiorem juventæ improbitatem. Certe non per simplicitatem senex, sed dolo captus peccaverat; horum duorum alteri opus est nudo auxilio, alteri autem purgatione. Cum vero per vestrum exhibitum ei studium optime reformetur ille senex, seminibus consilii prius sparsis, nos fructum illius salutis sine ullo nostro labore retulimus. Omnes porro species medicinæ nobis ad manus non erant præsto; quod erant in procinctu, missæ sunt. Cura de residuis, donec ipsæ suppeditentur, nec non deficiet. Donis nobis a tua sanctitate profectis maximopere exsultabamus: sunt autem imprimis illa a veraci profecta dilectione, quæ in eximiam magnitudinem et pulchritudinem succrevit, quæ amorem, unde oriebantur, faciunt vitæ excelsitatem et sublimitatem repræsentare.

ΕΠΙΣΤ. ΟΑ'.

Ζωσιμᾷ μονάζοντι καὶ ἡσυχαστῇ

EPIST. LXXI.

Zosimæ monacho et anachoretæ.

Montacut. (ep. 25, p. 85).

Ὀρειά σοι τὰ δῶρα, κάστανα καὶ ἀμανίται· ἀλλὰ βασιλικῆς πολυτελείας τὸ πλῆθος· καὶ τῷ μὲν ὀρείῳ ἥδυνας, οὐχ ὁμοίως δὲ τῷ πολυτελεῖ διέθηκας· ὄρη τε ἀδικῶν, καὶ βασιλείαν κλέπτων ἐν ὄρεσιν. Ἔγραψα ταῦτα, ἵνα καὶ συστείλῃς τὸ πλῆθος καὶ τὴν εἰδίαν φυλάττῃς τῶν δώρων· ἐβουλόμην σοι παραγενέσθαι, ἀλλὰ τῆς ὁρμῆς ἐσχέθην· ὅμως οὐχ εἰς μακράν, ἀνθ' ἡμῶν, σταλήται, ὃς, οὐ λέγω ἀναπληρώσει (οὐδὲ γὰρ αὐτοὶ, οὐδ' ἄλλοτε ἡμεῖς), ἀλλὰ μετριώσει τὸ ὑστέρημα ἡμῶν. Τὰ δ' ἄλλα, ἐῤῥωσθαί σου τὴν πατρικὴν ὁσιότητα ἐπευχόμεθα, καὶ τῆς ἡμῶν μὴ ἐπιλελῆσθαι μετριότητος.

Montana tua munera sunt, castaneæ nempe et amanitæ; sed regiam adimplet munificentiam copia; montanismo delectasti, non perinde abundantia; montes lædis, et regnum tibi in montibus suffuraris. Hæc ideo scripsi, ut de copia demas, et in muneribus congruam retineas speciem. Vellem tibi præsens adesse, sed retardatur ille impetus; verumtamen non diu erit cum nostra vice ablegabitur qui non dicam adimplebit, (neque enim hoc aliquando vel ipsi præstare poterimus) sed admensurabit defectum nostrum. Cætera quod attinet. Deum veneror, paterna sua sanctitas valeat, nolito nostræ oblivisci mediocritatis.

ΕΠΙΣΤ. ΟΒ'.

Ἀθανασίῳ μοναχῷ καὶ ἡσυχάζοντι.

EPIST. LXXII.

Athanasio monacho et anachoretæ.

Montacut. (ep. 26, p. 85).

Εἰς τὴν τῆς ἡγεμονίας ἐπίστη ἀρχὴν, ὃν ἄρχειν τῆς πνευματικῆς ἀγέλης ἡ σὴ ὁσιότης διὰ δοκιμῆς

Ad principatum et magistratum promotus is est, quem tua sanctitas, experientia capta, præesse

VARIÆ LECTIONES.

[a] Ἴσ. Ἐριστῆς. [t] Ἴσ. διὰ. [u] γρ. πληθυούσης.

Digitized by Google Распознавание текста ABK/FR

gregi fecit spirituali. Precare ergo, Pater, ut nec A tuo judicio decipiaris (est enim hoc vel imprimis, si quid aliud, congruum cum tuæ sanctitati, tum etiam illi), nec manuum nostrarum impositio ad reddendam vocetur rationem, sed ut plane dignus ille demonstretur et vestro suffragio, et spe nobis concepta. Cætera quod spectat, valere exopto tuam sanctitatem, et nostræ mediocritatis jugiter meminisse.

ἐποιήσατο. Εὔχου οὖν, Πάτερ, μήτε τὴν σὴν σφαλῆναι κρίσιν (τοῦτο γὰρ τῇ τε σῇ ὁσιότητι, κἀκείνῳ, εἴπερ τι ἄλλο, λυσιτελέστατον), μήτε τὴν ἡμῶν χειροθεσίαν εὐθύναις ἐνορᾶσθαι· ἀλλ' ἄξιον τὸν ἄνδρα, τοῦ τε ὑμετέρου ψηφίσματος, καὶ τῶν ἡμετέρων ἐλπίδων ἀναδειχθῆναι· τὰ δ' ἄλλα ἐρρῶσθαί σου τὴν ὁσιότητα ἐπευχόμεθα, καὶ τῆς ἡμῶν μὴ ἐπιλελῆσθαι μετριότητος.

EPIST. LXXIII.
Eidem.

ΕΠΙΣΤ. ΟΓ'.
Τῷ αὐτῷ.

Montacut. (ep. 27, p. 86).

Ad ea quæ attendere debuit is, qui vestræ B sanctitatis litteras attulit, brevissimo et opportuno tempore instruebatur. Præstitit ille se morigerum vel maxime, et pollicitationibus declaravit fructum se laturum admonitionibus illis dignum, nimirum quoad cætera, complacente Deo, vitam instituere, nec vel digitum, quod dicitur, attollere absque vestra directione; Deum oro ut respondeant facta verbis, ne si forte in saxa seminantes, destituat nos tempus agri metendi.

Ὧν ἔδει κατήκοον γενέσθαι τὸν γραμματοφόρον τῆς ὑμῶν ὁσιότητος, ὡς ἐν βραχυτάτῳ καιρῷ, πάντα παρηνέθη, καὶ αὐτὸς αὐτὸν εὐπειθῆ, καὶ καρπὸν οἴσειν τῶν παραινέσεων ἄξιον, ταῖς ὑποσχέσεσιν ἔδειξε, τά τε ἄλλα Θεῷ εὐαρίστως βιοῦν, καὶ μηδὲ τὸν δάκτυλον, ὃ δή φασι, κινεῖν τῆς ὑμετέρας χωρὶς ἐπικρίσεως· εὐχόμεθα δὴ τοῖς ἔργοις συμβαίνοντας ἰδεῖν τοὺς λόγους, ἵνα μὴ σπείραντας εἰς πέτρας, ὁ τοῦ γεωργίου καιρὸς ἡμᾶς ἐξελέγξειεν.

Monachi symbolorum inordinate se gesserunt, qui censuram sibi arrogarunt et potestatem abbatis deponendi. Idem facinus ausi, ac si in aurigam insurgerent equi, greges in pastorem, nautæ in nauclerum: imo multo hoc magis absonum est, ut monachi audacia contra hegumenum insolescant, qui rationem aliis tenetur et non ipsis reddere. Si quid ab illo delictum fuerat, judicem adire majorem debebant, nec ad se arripere judicium episcopale, cum vix in numero consistant judicandorum. Nihilominus cum ad vestram confluxerint sanctitatem, remittitur illis audax illud anarchiæ facinus, et seditionis motæ, sed ita ut se recipiant promittendo de cætero futuros obedientiores; id autem ita demonstratum dederint, si in abbatem consenserint a tua sanctitate nominatum; neque enim illa versentur opinione, toleratum iri ut qui ad seditionem elati commovebantur, in illum denuo consentiant et conspirent eligendum, quem, calculis prius scriptis, sibi designarant. Sufficere delinquentibus debet si veniam de admissis impetraverint; nequaquam vero aspirabunt D ad non delinquentium prærogativam, ut ne res indifferentes, bonum, malum, recte agere, et delinquere habeantur, judicio de utroque indifferenter affecto. Cætera quod spectat, precor tuam valere sanctitatem, et nostræ mediocritatis non oblivisci.

Οἱ δὲ τῶν συμβόλων μοναχοὶ ἀτάκτως ἐχώρησαν ἑαυτοῖς τὴν περὶ τοῦ σφῶν ἡγουμένου ἐξουσίαν καὶ κρίσιν ἐπιτρέψαντες· ἴσον γάρ ἐστιν ἵππους ἡνιόχων κατεξανίστασθαι, καὶ πρόβατα τοῦ ποιμένος, καὶ ναύτας τοῦ κυβερνήτου· μᾶλλον δὲ πολλῷ ἀτοπώτερον, μοναχοὺς τῶν καθηγουμένων καταφρυάττεσθαι, οἱ λόγον ὑπέχειν αὐτῶν ἕτεροις, ἀλλ' οὐκ ἐκείνοις, ἐπιστεύθησαν· εἰ δέ τι πλημμελεῖ, μείζονα κριτὴν ἐπιζητεῖν ἔδει, ἀλλὰ μὴ ἁρπάζειν τὴν κρίσιν τῶν ἀρχιερέων, τοὺς ἐν τῇ τῶν κρινομένων χώρᾳ μόλις ἐξεταζομένους· ὅμως ἐπεὶ τῇ ὑμετέρᾳ προσερρύησαν ἁγιωσύνῃ, ἀφίσται αὐτοῖς τῆς ἀναρχίας τὸ τόλμημα, καὶ τῆς στάσεως, εἰ καὶ αὐτοὶ εὐπειθῶς τοῦ λοιποῦ πολιτεύεσθαι διαβεβαιώσαιντο· δείξουσι δέ, ἐὰν ἕνα τινὰ, ὃν ἂν βουληθῇ σου ἡ ὁσιότης, εἰς ἡγούμενον δέξονται· μὴ γὰρ αὐτοῖς ἐπὶ νοῦν ἦκοι, ὡς οἱ καταστασιάζειν ἐπαρθέντες, ἀνδρὸς, ὑπὲρ οὗ τὰς ψήφους ἐγγράφους ἔθεντο, αὖτοι πάλιν ψηφίζεσθαι καὶ μαρτυρεῖν ἀξιωθήσονται· Ἀρκεῖ γὰρ τοῖς πλημμελοῦσιν ἡ τῶν ἁμαρτηθέντων συγγνώμη· τὸ δὲ προνόμιον τῶν ἀνεξαμαρτήτων οὐχ ἕξουσιν, ἵνα μὴ ἀδιάφορον τῷ ἀγαθῷ τὸ κακὸν, καὶ τῷ κατορθοῦν τὸ ἁμαρτάνειν, ἐν ἀδιαφόρῳ τῇ ἐφ' ἑκατέρου κρίσει λογίζοιτο. Τὰ δ' ἄλλα, ἐρρῶσθαί σου τὴν ὁσιότητα ἐπευχόμεθα, καὶ τῆς ἡμῶν μὴ ἐπιλελῆσθαι μετριότητος.

EPIST. LXXIV.
Barnabæ monacho.

ΕΠΙΣΤ. ΟΔ'.
Βαρνάβᾳ μοναζοντι.

Montacut. (ep. 41, p. 98).

Quid paupertatem defles? Justus non deseritur. Imo (inquies) deserebatur Job. Sed eo fine, ut impium illum vincendo vinceret qui per summam impudentiam, purissimam ipsius pietatem vitæ prospero cursu et felicitate volebat cauponari, atque

Τί θρηνεῖς πενίαν; δίκαιος οὐκ ἐγκαταλιμπάνεται. Ἀλλ' Ἰὼβ ἐγκατελείφθη. Ἀλλ' ἵνα καὶ τὸν πονηρὸν εἰς κράτος νικήσῃ εὐπαθείᾳ καὶ βίου εὐροίᾳ, τὴν αὐτοῦ καθαρὰν εὐσέβειαν καπηλεύειν ἀναισχυντήσαντα· καὶ ἵνα πλέον ὢν ἐγυμνώθη, ὀφθεὶς περι-

Digitized by Google Распознавание текста ABK/FR

βαλλόμενος · ἀλλὰ καὶ Παῦλός φησιν · Ἐν λιμῷ καὶ δίψει διεβίω, καὶ ψύχει καὶ γυμνότητι · ἀλλ' ἑκών. Ἀλλ' ἀρκεῖ σοι Παῦλον ἔχειν ἀντὶ παντὸς πλούτου καὶ πάσης εὐδαιμονίας εἰς παράδειγμα.

A ut longe pluribus instructus, quam quibus privabatur, videretur. Sed et Paulus inquit: In fame atque siti vixi, in frigore et nuditate; sponte tamen. Sufficiat autem tibi Pauli exemplum pro quibuslibet opibus, et quacunque felicitate.

ΕΠΙΣΤ. ΟΕ'.

Σωφρονίῳ μονάζοντι.

EPIST. LXXV.

Sophronio monacho.

Montacut. (ep. 42, p. 98).

Ὥσπερ αἱ ἀπὸ τῶν τραυμάτων οὐλαὶ, τοὺς τόπους ἐκείνους, καθ' οὓς ἐνεσκιρρώθησαν, καὶ μετὰ ὑγείαν εὐπαθεῖς καὶ νοσώδεις παρασκευάζουσιν · οὕτω καὶ οἱ ἐν τῇ ψυχῇ τῶν ἁμαρτημάτων μώλωπες, καὶ μετὰ τὴν θεραπείαν εὐπαράδεκτον αὐτὴν καὶ ἑτοίμην πρὸς τὴν καταστίξασαν ἁμαρτίαν ἀπεργάζονται · φεῦγε τοίνυν ἐν νεότητι, κατὰ πᾶσαν σπουδὴν, τὰ ἁμαρτήματα · ὅτι συμβάν σε τούτοις περιπαρῆναι, κἂν τῆς πληγῆς σὺν πόνῳ πολλῷ ἀπαλλαγεὶς [v], ἀλλ' οὖν οἱ τύποι τῶν στιγμάτων καὶ οἱ χαρακτῆρες, οὐδὲ μέχρι γήρους σχολάσουσιν ἐρεθίζοντες, καὶ τῶν οἰκείων καὶ συγγενῶν παθῶν ἐπιδεικνύντες τὸ εἴδωλον, οὐ χαλεπῶς σε πρὸς τοῦτο διαμορφώσουσιν.

Quemadmodum obducta cicatricibus vulnera locos illos, in quibus callum superinductum habent, etiam post curationem morbis et impressionibus aptos reddunt: ita et animæ per peccatum inflicti livores, ipsam reddunt (post curationem) apte dispositam et paratiorem ad stigmata per peccatum inurenda. Declina igitur per adolescentiam peccatum omni studio: quoniam si te ab illis confodi contigerit, utcunque te a plaga cum multo labore extricaveris, stigmatum tamen impressa vestigia et characteres, usque ad senilem ætatem non omittent irritationem: et cum tibi familiarium malorum et congenitorum imagines repræsentaverint, non difficulter te ad illa conformatum reddent.

ΕΠΙΣΤ. ΟϚ'.

Μητροφάνῃ μοναχῷ ἀποστατήσαντι.

EPIST. LXXVI.

Metrophani monacho apostatæ.

Montacut. (ep. 65, p. 118).

Οὐδεὶς ἀνθρώπων, οὐδ' ὁ τέλειος, ἀπὸ ῥύπου καθαρὸς · καὶ οὐδεὶς ἀνθρώπων, οὐδ' ὁ κάκιστος, παντελῶς ἀμέτοχος ἀρετῆς · δόγμα παλαιὸν καὶ μέχρι νῦν ταῖς ἁπάντων καὶ ψήφοις καὶ πράξεσι φυλαττόμενον. Μὴ θελήσῃς λῦσαι, τῷ κατὰ σαυτὸν ὑποδείγματι, κενὸν ἁπάσης ἀρετῆς σαυτὸν ἐπιδεῖξαι φιλονεικῶν καὶ κενὸν ἀνθρώποις διήγημα.

Nemo mortalium, ne quidem perfectus, a maculis purus et sordibus. Nullus homo, ne quidem pessimus, quin alicujus virtutis particeps sit: antiquum dogma est, etiamnum singulorum calculis et actionibus custoditum. Noli tu id, non exemplo evacuatum reddere: dum te penitus inanem, et quantalibet virtutis portione vacuum contendis exhibere, et fabula apud cunctos inanis fias.

ΕΠΙΣΤ. ΟΖ'.

Τῷ αὐτῷ.

EPIST. LXXVII.

Eidem.

Montacut. (ep. 66, p. 118).

Ἔπεσε Δαβὶδ, ἀλλ' ἀνέστη · ἀνέστη δὲ προσευχῇ προφήτου, καὶ δάκρυσι [x], καὶ πικροῖς ἐλέγχοις προσαχθεῖσιν ὑπὸ δράματι · ναὶ δὴ καὶ πόνοις καὶ μεταμελείᾳ καὶ τῇ ἄλλῃ ἀρετῇ αὐτοῦ ἐκείνου, τοῦ κατενεχθέντος μὲν τῷ πτώματι, διατιθέντος δὲ φιλοσόφως πρὸς τὸν ἔλεγχον. Ἔπεσες καὶ αὐτός · καὶ προφήτην οὐχ ὁρῶ · ὅτι μηδὲ τοῦ Δαβὶδ ταπεινοφροσύνην καὶ μετάνοιαν · σὸν ἐστι λοιπὸν καθορᾷν καὶ φροντίζειν ὅπως ἀναστήσῃ τοῦ πτώματος, εἰ μή σοι τὸ δοῦναι δίκην καὶ τότε, τὴν ἐκεῖθεν τοῦ διαφυγεῖν, ἐστὶν αἱρετώτερον.

Cecidit David, sed surrexit: surrexit autem per prophetæ preces, acerbis lacrymis, et amaris reprehensionibus, ficta quidem persona, occulte intentatis. Sed et per labore insuper, pœnitentiam, et virtutes alias ipsius qui per lapsum sternebatur. Comparatur autem philosophice ad taxationem. Cecidisti et tu: prophetam nullum video; non Davidis humilitatem animi, non resipiscentiam. Ad te deinceps spectat videre et curare, ut a lapsu resusciteris, nisi tibi dare pœnas olim in votis magis hæreat proposito, quam a supplicio expediri.

ΕΠΙΣΤ. ΟΗ'.

Εὐθυμίῳ μονάζοντι παραπεσόντι.

EPIST. LXXVIII.

Euthymio monacho collapso.

Montacut. (ep. 68, p. 119).

Εἰ μήτε τῆς ἐκεῖθεν βασιλείας ὁ πόθος, μήτε τῆς ἀπαραιτήτου τιμωρίας ὁ φόβος, ἀλλὰ μηδὲ τῶν ὁμοίων σοι τὸν βίον ἐν τοσαύτῃ πονηρίᾳ καταδαπανησάν-

Si neque cœlestis regni desiderium, nec ineluctabilis supplicii metus, nec eorum, qui tui similes, vitam tam insigni improbitate fœdam transigerunt,

VARIÆ LECTIONES.

[v] γρ. ἀπαλλαγείης. [x] ισ. add οἰκείοις, non enim prophetæ Nathanis.

Digitized by Google Распознавание текста ABK/FR

dura, difficilia et intoleranda quæ statim passi sunt, A sed nec ab omnibus ingesta opprobria, ad conversionem et sobrietatem ab audacibus facinoribus adhuc excitarunt : vereor ego certe, ne dæmonum natura formam in te simulaverit humanam. Utinam nunquam me ad ista proferenda adegisses. Certe procœmia nobis venturi Antichristi in temetipso exhibes.

των, τὰ κατὰ πόδας χαλεπὰ καὶ δύσοιστα πάθη, μήτε τὰ κοινὰ παρὸ πάντων ὀνείδη, πρὸς ἐπιστροφήν σε καὶ νῆψιν τῶν τολμωμένων οὔπω διεγείρει· δέδοικα μὴ δαιμόνων φύσις ἀνθρώπου μορφὴν ὑποκρίνεται. Ἀλλ' εἴθε μὴ συνήλασας ἡμᾶς ταῦτα εἰπεῖν, καὶ τοῦ Ἀντιχρίστου διὰ σοῦ ἡ παρουσία προοιμιάζεται.

EPIST. LXXIX.

Marco Siculo monacho.

ΕΠΙΣΤ. ΟΘ'.

Μάρκῳ Σικελῷ μονάζοντι.

Montacut. (ep. 84, p. 130).

Multi historici docent, quod cum per terrarum B orbem totum impietas diffundebatur, Saturnum, Venerem, et Proserpinam, Occidentales solos pro diis habuisse : et quod neque malorum toleratissimum Herculem, nec Vulcanum laudandum artificem, nec rhetoricantem Mercurium, nec alium quemlibet eorum, quos fabulæ operum optimorum et ingenuorum præsides et curatores suggerunt, in deorum album retulisse, aut admittere voluisse : sed nec aram justitiæ, temperantiæ, aut alicui alteri virtuti ædificasse, quas multas mortales tum deificabant, et superstitione prævalente colebant. Quid erat autem cur apud istos Saturnus, Venus, Proserpina colebantur, solum eo quod homines solis addicti erant voluptatibus ventris, et rerum venerearum. Certe enim illos quos colebant deos miscentes invicem, et promiscuis complexibus inhærentes, alimenta, luxum, omne genus voluptatum, ab illis diis, ut verbis ferebant, fluentes, actionibus suis coacervabant. Non est ergo mirum, si tu, qui genus ab Occidentalibus derivas, nihil prudens aut temperatum dicere vel facere possis : certe paternæ consuetudines vix aut ne vix quidem corrigis et in ordinem redigi possunt maxima adhibita diligentia, cura, et laboribus.

Τοὺς πρὸς Ἑσπέραν ἀνθρώπους, ὅτε πανταχοῦ γῆς ἐξήπλωτο ἡ ἀσέβεια, Κρόνον, καὶ Ἀφροδίτην, καὶ Περσεφόνην μόνους νομίζειν θεοὺς τῆς ἱστορίας ἡ πεῖρα παρέδωκεν, καὶ οὔτε τληπαθῆ καὶ καρτερικὸν Ἡρακλέα, οὔτε Ἥφαιστον κλυτοτέχνην, ἀλλ' οὐδὲ λόγιον Ἑρμῆν, οὐδ' ἄλλον τινὰ ὧν ὁ μῦθος χρηστῶν καὶ σπουδαίων ἔργων προστάτας καὶ ἐφόρους ὑποτίθεται, οὐδένα τούτων οὔτε θειάσαι, οὔτε παραδέξασθαι, οὐδὲ βωμὸν ἱδρῦσαι δικαιοσύνης, οὐ μὴν οὐδὲ σωφροσύνης, οὐδ' ἄλλης τινὸς ἀρετῆς, ἣν τηνικαῦτα τὸ ἀνθρώπινον γένος ἐθεοποίει τε καὶ ἔσεβε δεισιδαιμονίᾳ κατεχόμενον· διὰ τί οὖν Ἀφροδίτη, καὶ Κρόνος, καὶ Περσεφόνη τούτοις ἐτιμήθησαν ; ὅτι μόνης ἡδονῆς καὶ γαστρὸς καὶ ἀφροδισίων ἀεὶ γεγόνασιν ἄνθρωποι. Καὶ γάρ καὶ τούτοις οὓς C ἔσεβον, μιγνύντες ἀλλήλοις καὶ διαπλέκοντες, τροφάς τε καὶ τρυφὰς καὶ ἡδονὰς παντοίας ἐκεῖθεν αὐτοῖς τῷ λόγῳ ῥεούσας διὰ τῶν πράξεων συνελέγοντο. Οὐδὲν οὖν θαυμαστὸν εἰ καὶ σὺ τὸ γένος ἕλκων ἐξ Ἑσπέρας, οὐδὲν, οὔτε σῶφρον λέγειν ἔχεις, οὔτε διαπράττεσθαι. Μεγίστῃ γὰρ σπουδῇ καὶ πόνοις καὶ μελέταις τὰ ἐξ ἔθους καὶ πατρίδος μόλις ποτὲ φιλεῖ μεταῤῥυθμίζεσθαι·

EPIST. LXXX.

Sabæ anachoretæ, cum apostatis immorato.

ΕΠΙΣΤ. Π'.

Σάβᾳ ἡσυχαστῇ, μετὰ τῶν ἀποστατῶν γεγονότι.

Montacut. (ep. 90, p. 133).

Unde factum, ut cum ad omnia tarde et onerose movearis, ad machinationes contra me celer et vehemens exstiteris ? Liquet hinc, opinor, quod in quibus secundum rationem procedit ratio, utcunque ingenita ipsi celeritas non sit ad ante vertenda D mala, tamen incitatius et continuo, nec suspenso motu, ad mala ferri non vult. At cum inde exciderit quod secundum naturam est, una etiam efferuntur, et motus omnes et actiones singulæ in statum turbulentum et furiosum, scito autem me valde pudore suffusum, et mœrore ultra modum arreptum, non quod omnes in præsentia aleæ jactæ sint in me, sed quod olim tu ex iis videbaris esse. qui me amabant.

Πόθεν ἡ πρὸς πάντα σου κίνησις βραδεῖα καὶ νωθὴς, εἰς τὴν καθ' ἡμῶν κατέστη συσκευὴν ὀξεῖα καὶ σφοδρά ; ἢ δῆλον, ὡς ἐν οἷς μὲν ἔπραττεν ὁ λογισμὸς κατὰ φύσιν, κἂν οὐκ ἦν αὐτῷ τάχος ἔμφυτον εἰς ἀντίληψιν τῶν κακῶν, ὅμως οὐδὲ ἀκρατῶς εἶα γ πρὸς τὰ φαῦλα φέρεσθαι, καὶ ἀνενδότως τὴν ὁρμήν. Ἐπεὶ δὲ καὶ αὐτῶν ἐξέπεσε τῶν κατὰ φύσιν, συνεξηνέχθησαν αὐτῷ καὶ αἱ κινήσεις πᾶσαι, καὶ αἱ πράξεις εἰς τὸ στασιῶδες ἦθος καὶ ἐμμανές· ἡμᾶς δὲ γίνωσκε λίαν αἰσχύνεσθαι καὶ ὑπεραλγεῖν, οὐχ ὅτι νῦν πάντας κύβους καθ' ἡμῶν ἀναῤῥίπτεις, ἀλλ' ὅτι καὶ αὐτὸς εἷς ἐδόκεις παλαι τῶν φιλούντων ἡμᾶς εἶναι.

VARIÆ LECTIONES.

γ Ἴσ. εἴη.

Digitized by Google Распознавание текста ABK/FR

ΕΠΙΣΤ. ΠΑ'.

Ἀθανασίῳ μονάζοντι καὶ ἡσυχαστῇ.

EPIST. LXXXI.

Athanasio monacho et anachoretæ

Montacut. (ep. 92, p. 134).

Τὸν φοίνικα φασὶ τὸ φυτὸν τῇ ἁλμυρᾷ θάλλειν γῇ, καὶ τὴν κόμην εἰς ὕψος ἐκτρέφειν, καὶ καρπὸν εἰς πλῆθος καὶ πολλὴν γλυκύτητα φέρειν· καὶ ὅλως φοίνικι καὶ ἐπιτήδειον ἁλμυρὰ γῆ· καίτοι τῶν ἄλλων σπερμάτων, ὅσα τὸ γλυκὺ φιλεῖν ἐθέλει καὶ λιπαρόν, ὑπάρχουσα φθαρτική. Καλῶς οὖν καὶ αὐτὸς, εἰ καὶ μὴ πολλοὺς ἔχεις τοὺς συνεραστὰς, ἀντὶ τῶν πολιτικῶν θορύβων, τὴν ἔρημον οἰκεῖν ἡρετήσω [a]. Ῥᾷον γὰρ ἐκ ταύτης ἐστὶ, σοί τε καὶ τοῖς ὑψικόμοις, τοῖς κατὰ σὲ, πρὸς οὐρανὸν ταῖς ἀρεταῖς ἀναφέρεσθαι.

Aiunt palmam arborem salsa gaudere tellure, et frondes in altum attollere, et fructum multiplicem proferre, et summa præditum dulcedine : ita omnino soli salsa tellus palmæ congrua, quæ cætera omnia semina et plantas quæ dulcedine capiuntur et pinguedine salsugine enecat. Quare recte tu quidem, licet multos non habeas rivales, pro civilibus turmis et tumultibus eremum incolere elegisti : ex illa enim solitudine facile tibi fuerit et similibus excelsa coma præditis, ad cœlum ascendere per virtutes.

ΕΠΙΣΤ. ΠΒ'

Μητροφάνει μονάζοντι ἀποστατήσαντι.

EPIST. LXXXII.

Metrophani monacho apostatæ.

Montacut. (ep. 103, p. 149).

Τῆς πονηρίας τὸ πάθος (πάθος γὰρ ἔγωγε μάλιστα καλῶ πᾶν ὅπερ λυμαίνεται τοῖς κατὰ φύσιν) τοῦτο δὴ ἐπειδὰν κρεῖττον γένηται τῆς ἀπὸ τῶν παραινούντων ἰατρείας· ἢ σφοδρότητι τιμωρίας, ἢ τῷ θανάτῳ, τὴν ἐπὶ τὰ χείρω νομὴν ἀνακόπτεται· παρῃνέσαμεν οὐχ ἅπαξ, ἀλλὰ καὶ πολλάκις· Κωφῶν δὲ ἄρα θύρας, τὴν παροιμίαν, ἀπέδειξας κόπτοντας. Ἀλλ' ἔδειξας μὲν νόσον ἀνθρωπίνης μείζονα θεραπείας, οὐ δείξεις δὲ, οἶμαι, καὶ τῆς ἀπὸ τῶν νόμων τιμωρίας. Εἰ δὲ καὶ ταύτην, ὑπερβολῇ θράσους ἐλέγξαι φιλονεικήσεις, ἀλλ' οὖν ἀλώσεταί γε πάντως τῷ θανάτῳ τὸ σὸν ἐπὶ τῇ σαυτοῦ καταστροφῇ πρὸς πάντα φιλόνεικον.

Improbitatis passio (passionem ego intelligo quidquid illud quod secundum naturam est demolitur) hæc cum superior evaserit omni admonitorum medecina, vel per supplicii gravitatem, vel per mortem intercipitur ne in deterius procedat : admonui non semel, sed sæpius ; at tu, quod habet vetus verbum, *Pulsantes foras surdus non audivisti*. Verum morbo te laborare qui humanam excedat curationem, doces ; sed, opinor, non præstabis ultra legibus pœnam irrogandam. Quod si, quæ tua est improba audacia, et illam volueris flocci facere, omnino evitare nequibis, quo minus tua illa importuna contentio in ipso fine male succumbat.

ΧΠΙΣΤ. ΠΓ'.

Θεοδοσίῳ μονάζοντι καὶ ἡσυχαστῇ.

EPIST. LXXXIII.

Theodosio monacho et anachoretæ.

Montacut. (ep. 117, p. 158).

Τί θαυμάζεις εἰ προκάθηται μὲν ἐξοφρυωμένον τὸ ἀνίερον, παρίστατο δὲ τῶν ἀρχιερέων Θεοῦ τὸ ἐπίσημον ; καὶ κρίνειν μὲν ἐλέγετο τὸ κατάκριτον, κατεδικάζετο δὲ ξίφεσι περιεστοιχισμένον, ὑπὲρ τοῦ μηδὲ φωνὴν ἀφεῖναι, τὸ ἀνεύθυνον ; ἔχεις γὰρ πολλὰ καὶ νέα καὶ παλαιὰ παραδείγματα· Ἄννας καὶ Καϊάφας καὶ Πιλάτος ἐδίκαζον, καὶ Ἰησοῦς, ὁ ἐμὸς Δεσπότης καὶ Θεὸς, καὶ κοινὸς ἁπάντων κριτὴς, παρίστατο ἐταζόμενος. Στέφανος ὁ καλλίνικος, καὶ πρῶτος τῶν Χριστοῦ μαρτύρων παρίστατο, καὶ τὸ τῆς μιαιφονίας συνέδριον, λίθοις θεολογοῦντα τὸν ἀθλητὴν κατεχώννυον. Ἰάκωβος ὁ πρῶτος ἀρχιερέων, καὶ Δεσποτικῇ χειρὶ τὸ ἱερὸν χρίσμα καὶ τὴν ἐφορίαν Ἱεροσολύμων λαχὼν, παρειστήκει. καὶ Ἄνανος ὁ ἐκ Σαδδουκαίων, ἐκρότει συνέδριον, καὶ θάνατος ἦν εὐθὺς τῷ δικαίῳ τῶν παρανομούντων τὸ ψήφισμα. Παῦλος πάλιν, ὁ μέγας καὶ λαμπρὸς τῆς οἰκουμένης κῆρυξ, παρίστατο, καὶ Ἀνανίας, ὁ καθάπερ τοῖς χρόνοις Ἀνάνου πρότερος, οὕτω καὶ τοῖς τρόποις οὐ δεύτερος, τὸ τῆς ἀληθείας στόμα προσέταττε τύπτεσθαι· ἀλλὰ Παύλου μνησθεὶς, πολλῶν

Quorsum miraris si profani cum supercilio præsident, gloriosi autem antistites Dei astent ? quid, quod judicium exercent judicio damnati, culpa vacui judicio sistantur, gladiis circumvallati, ita ut ne vocem emittere audeant ? sed hujuscemodi suppetunt multa, et vetera et novitia exempla. Annas, Caiphas, et Pilatus sedentes pro tribunali judicabant, astabat meus Dominus Deus, et communis olim omnium futurus judex, examini subjectus. Stephanus ille martyrii lemniscis et adorea gloriosus, pro tribunali stetit, et concilium homicidarum, athletam illum de Christi divinitate concionantem, lapidibus obruerunt. Jacobus ille princeps episcoporum, quique de manu Domini unctionem sacram, et Hierosolymitanum præsulatum accepit, pro tribunali stetit ; et Ananias Sadducæus consessum congregavit, a quo mors decernebatur continuo contra virum justum quasi legis transgressorem. Paulus ille magnus et illustris totius orbis præco astitit, et Ananias, qui tempore ut præcessit Anano, ita moribus illi secundus haud exstitit, veritatis os

VARIÆ LECTIONES.

[a] ἠρετίσω, Hœsch.

Digitized by Google Распознавание текста ABK/FR

illud pugnis cædi jubebat: Pauli autem ubi injecta est mentio, simul multa ejusmodi concilia in numerato repræsentabantur. Quid viritim singulos percensere opus? crudelitas et furor ille insanus persecutorum et tyrannorum quorumcunque, contra Christi martyres et confessores, illustrem tibi præclari istius concilii repræsentationem dabunt. Patet enim quod in illis homines, non una, aut simplici tantum morte digni, sed multiplici, cum superciliosa quadam gravitate pro tribunali consederint, legislatorum et judicum nomen induti; et illi, quibus mundus haud dignus fuit, astiterint capitali sententia damnati. Noli igitur rebus gestis nimis vehementer percuti, sed nec Dei patientiam et longanimitatem in iis tolerandis sic interpretare, quasi rerum humanarum esset derelictio: neque enim per hæc tempora divina providentia rebus præesse, aut eas procurare destitit; nam qui poterit illud fieri? Sed ita est, dispensatio divina res nostras sapienter et ineffabili modo, supra captum humanum, optimum et mirandum in modum dirigit.

A τοιούτων εὑρήσεις συνεδρίων ἀπαρίθμησιν. Τί δὲ δεῖ καὶ κατ' ἄνδρα λέγειν; πᾶσα τῶν δεινῶν καὶ τυράννων, ἡ κατὰ τῶν ὁμολογητῶν Χριστοῦ καὶ μαρτύρων, ὠμότης καὶ ἀπόνοια, ὑπάρξει σοι τοῦ λαμπροῦ τούτου συνεδρίου παραδείγματα. Ἐν ἅπασι γὰρ ἐκείνοις δῆλον, ὡς, οἱ μὲν οὐχ ἅπαξ, ἀλλὰ πολλάκις θανεῖν ἄξιοι μετὰ σοβαροῦ τοῦ φρονήματος προεκάθηντο, νομοθετῶν καὶ κριτῶν περιβεβλημένοι ὄνομα· ὧν δ' οὐκ ἦν ἄξιος οὐδ' αὐτὸς ὁ κόσμος, παριστῶτες τὴν ἐπὶ θανάτῳ κατεκρίνοντο. Μηκέτι οὖν ἐκπλήττου [a] τοῖς τετολμημένοις, μηδὲ τὴν ἐπ' αὐτοῖς ἀνοχὴν τοῦ Θεοῦ καὶ μακροθυμίαν ἐγκαταλείψιν αὐτοῦ νόμιζε τῶν ἀνθρωπίνων. Οὐ γὰρ εἰς ἀνεπιστάτητον καὶ ἀπρονόητον νῦν ποθεν τὰ τῆς προνοίας περιέστη. Ἀεὶ δὲ τὰ ἡμέτερα σοφῇ τινι καὶ ἀπορρήτῳ καὶ ὑπὲρ νοῦν, ἐπὶ τὸ ἄριστόν τε καὶ θαυμασιώτατον μεθοδεύεται οἰκονομίᾳ.

B

EPIST. LXXXIV.

Eidem.

ΕΠΙΣΤ. ΠΔ'.

Τῷ αὐτῷ.

Montacut. (ep. 118, p. 159).

Enimvero, licet hucusque non sit audacter tentatum, et sine exemplo sit, ut Ismaelitarum atheorum legati et administri in archiepiscopos refingantur, et ut patriarchalibus prærogativis exornentur, et admirandi ipsorum concilii præsides fiant; noli tamen ut hospes hac in re versari diutius; respondet enim cæteris ipsorum audaciis, sciebantque sacerdotii gratiam, et ipsis et illis ex æquo factam, competere: non erant facile profani illi inveniendi, qui alterius concilii consessum adimplerent; nec isti, cum essent apostoli eorum qui Christum oderant, fieri poterant principes et coryphæi aliorum ab ipsis quorumcunque. Ecqui enim alii ad eorum partes accederent, contra tot, tales, tantos Dei antistites et sacerdotes, et eorum furorem imitarentur, nisi barbarorum Christum et Deum oppugnantium ministri, alumni, soboles? Judicialem porro sive synodalem consessum eorum, barbaris immistum, insidiis occultandis locum appellare licet; cum non testes injuriæ illatæ nec accusatores producere possunt, utcunque res susque deque agebantur, sed necaliquid culpare quod certo constabat factum esse. Quid autem ulterius fiebat? certe gladiis armatus stabat exercitus, mortem intentans in circuitu vocatis in judicium, qui interea nec hiscere nec vocem efferre audebant; quo statu, ad sex aut novem etiam horas circumsepientes, nulla satietate tenebantur insolescendi lasciviendique, quin contumeliis perpetuo incesserent. Interea prodigiose multa ostendebantur, tanquam in scena peragebantur actus, barbaræ et blasphemæ legebantur epistolæ. His ita expeditis, tardius tandem theatrum dimiserunt, nihil humanitus, licet id prætendebant,

C

D

Ἀλλὰ γὰρ εἰ καὶ μέχρι νῦν οὐ τετόλμηται, οὐδ' ἐστὶν ἔχον [b] παράδειγμα, Ἰσμαηλιτῶν ἀθέων πρέσβεις καὶ ὑπηρέτας, εἰς ἀρχιερατικοὺς ἄνδρας μεταπλάσαι, καὶ πατριαρχικὰ τούτοις προνόμια περιθεῖναι, καὶ τοῦ θαυμασίου αὐτῶν συνεδρίου κορυφαίους ἀποφῆναι. Ἀλλ' οὖν μηδὲ τοῦτό σε ξενιζέτω· ἀκόλουθόν τε γὰρ ταῖς ἄλλαις αὐτῶν τόλμαις· καὶ ἠδέσαν τῆς ἱερωσύνης τὴν χάριν, αὐτοῖς τε κἀκείνοις ἐξ ἴσου ἀνήκειν. Οὔτε οὖν τούτους ἦν εὑρεῖν, ἀνιέρους γεγονότας, ἑτέρου συνεδρίου πλήρωμα γενέσθαι· οὔτε ἐκείνους μισοχρίστων ἀποστόλους ὄντας, ἄλλων τινῶν κορυφαίους καὶ ἐξάρχους, εἰ μὴ τούτων ἀναῤῥηθῆναι. Τίνες δ' ἂν αὐτοῖς καὶ συνῆλθον, κατὰ τοσούτων καὶ τηλικούτων ἀρχιερέων Θεοῦ καὶ ἱερέων συνεκμανῆναι, εἰ μὴ θεομάχων βαρβάρων καὶ ὑπηρέται, καὶ θρέμματα, καὶ γεννήματα; τὸ δὲ κριτήριον μὲν καὶ σύνοδον τὴν μιξοβάρβαρον αὐτῶν ἐνέδραν ἀποκαλέσαι. Εἶτα δὲ μήτε μάρτυρας ποθέν τινος ἀδικήματος, μήτε κατηγόρους [c] παραστῆσαι, ἀλλὰ μηδὲ κατηγορίαν τινὰ προενεγκεῖν ἐξισχῦσαι, καίτοι τῶν ἄνω κάτω γινομένων· μήτε μὴν ὅλως τι αἰτιάσασθαι· εἰ τόδε [d] τί γέγονεν, εἰ [e] μὴ τόδε; ξιφήρηται [f] στρατὸν περιστῆσαι, τὸν θάνατον τοῖς ἀθλητοῖς ἀνασείοντας, ὥστε μηδὲ φωνὴν ἀφεῖναι· καὶ τὴν στάσιν αὐτοῖς ἐφ' ὅλαις ἓξ καὶ ἐννέα ὥραις, οἷα κόρον οὐκ ἔχοντας ἐνασελγαίνειν καὶ τρυφᾷν αὐτῶν ταῖς ὕβρεσι, παρατεῖναι· μακρᾶς ἄλλης τερατείας ἐπισεικνυμένης, καὶ δραμάτων, ὥσπερ ἐπὶ σκηνῆς, ἄλλων ἐπ' ἄλλοις τῶν βαρβαρικῶν καὶ βλασφήμων γραμμάτων ἐπεισιόντων. Ἐπὶ δὲ τούτοις, τὸ θέατρον λύοντας ὀψὲ καὶ μόλις, τῶν ἀνθρωπίνων μὲν ὅλως οὐδέν, κἂν γοῦν ἐν σχήματι, μήτε πρᾶξαι μήτε φθέγξασθαι· ὥσπερ δὲ κορυ-

VARIÆ LECTIONES.

[a] ὑπερεκπλήττου. [b] ἔχειν. [c] κατήγορον [d] εἶτα. [e] ἢ. [f] ξιφήρη τε.

Digitized by Google Распознавание текста ABK/FR

βαντιῶντας καὶ βεβακχευμένους τορόν τι καὶ διωλύγιον ἀνακράξαι, ὡς Ἡμεῖς οὔτε κρίνειν συνήλθομεν, οὔτε κρίνομεν ὑμᾶς· ἤδη γὰρ κατεκρίναμεν· καὶ δέον στέργειν τὴν κατάκρισιν. Τοῦτο δὴ οὖν, τοῦτο τὸ ἄθεσμον, καὶ ἀναίσχυντον, καὶ ἀνιστόρητον τόλμημα, εἰ καὶ πάσας Ἰουδαίων τόλμας, ὅσας ἥλιος ἐπεῖδε καὶ σελήνη συνέκρυψεν, ἀπεκρύψατο· καὶ τῶν ἀθεότητα νενοσηκότων Ἑλλήνων τὸ ἀναιδὲς ὑπερίσχε καὶ παρένομον, καὶ βαρβάρων ὅποι γῆς εἰσι τὸ μανικὸν ὑπερεβάλετο καὶ ἐμβρόντητον. Ἀλλ' οὖν μηδὲν τούτῳ καταπεπληγμένος ἔσο, μηδὲ τῶν θείων καὶ σοφῶν κριμάτων ἀλόγιστός τις τοῖς λογισμοῖς συμπαρεισδυέτω μῶμος· ὡς ἔγωγε τοσούτῳ δέω τούτοις ἐκπεπλῆχθαι, καὶ σὺ μετ' ὀλίγον οἶδα συνήσεις. Ὥστε τοὐναντίον, εἰ καὶ παράδοξόν τισι δόξω λέγειν, ἐκ τούτων μᾶλιστα τῆς θείας καὶ ὑπερφυοῦς προνοίας ἀλάθητόν τε καὶ πανεπίσκοπον ἐνεργεστάταις ὁρῶ μαρτυρίαις. Πῶς δὴ καὶ τίνα τρόπον; Ὅτι τῆς κρατούσης, κατὰ τῶν πιστῶν, ὀργῆς, ἀνθ' ὧν αἱμάτων καθαρὰς καὶ γλώσσας καὶ γνώμας ἐφύλαξεν, οὕτω μέγα καὶ βαρὺ πνεύσης, καὶ τῆς μὲν ἀληθείας πᾶσι τρόποις ἐκπρεαζομένης, τοῦ ψεύδους δὲ λαμπρῶς παῤῥησιαζομένου· καὶ τῆς μὲν ἀνιέρου τόλμης πᾶσαν πρᾶξιν καὶ λόγον καὶ κίνημα πικρῶς πολυπραγμονούσης, τῶν εὐσεβῶν δὲ τοῖς ὁρωμένοις μόνον ἐπεστυγναζόντων, καὶ πρὸς τὸν τῆς δίκης ὀφθαλμὸν ὄμμα τε καὶ χεῖρας ἀνατεινόντων· καὶ τῶν μὲν συκοφάντας καὶ μάρτυρας περιεργαζομένων, πολλῶν δὲ ζητούντων τῇ δυναστείᾳ χαρίσασθαι καὶ καθ' ἡδονὴν ὑπηρετῆσαι, πλείονος δὲ φόβου καὶ θανάτου, κατὰ πάντων τῶν ὑπὲρ ἀληθείας λέγειν τι βουλομένων, ἐπικεχυμένου. Τὸ γοῦν τοσούτων αὐτοῖς, καὶ πολλῷ πλειόνων πλεονεκτημάτων συγκεχωρημένων, ἐξαπορῆσαι μὲν ὅλως γράψασθαί τινα γραφὴν, ἐξαπορῆσαι δὲ γραφόμενον παρασχεῖν· καὶ μήτε τινὸς ἐπικλήματος κατὰ μηδενὸς τῶν ἁγίων μάρτυρα παραστῆσαι, ἀλλὰ μηδὲ βαρβαρικοῦ κριτηρίου μηδὲ σχῆμα ἰσχῦσαι φυλάξαι, ἀλλ' οὕτως αἰσχρῶς τε καὶ καταγελάστως, καὶ πλήρη ἀσχημοσύνης καὶ αἰσχύνης ἀπαλλάξαι, πῶς οὐκ ἔστιν ἐναργεστάταις καὶ ἀναμφηρίστοις πίστεσι λαβεῖν τῆς πάντα σοφῶς περιεπούσης προνοίας τὰς ἀποδείξεις, καὶ ὅτι ἐστὶν ἀεὶ, καὶ ἃ τὸν ἀνθρώπινον νοῦν πολλάκις ὑπολανθάνῃ, συμπροιοῦσά τις αὐτῇ τιμωρὸς δίκη, κολάζουσα μὲν τοὺς ἀδικοῦντας, τιμωροῦσα δὲ καὶ ἐπίκουρος τοῖς ἀδικουμένοις οὖσα; Δι' ἃς καὶ νῦν τοὺς μὲν ὑβριστὰς, καίτοι δόξαντας, λαμπροὺς ἐν τῷ τυραννεῖν καὶ περιβλέπτους, αἰσχύνης καὶ ἀτιμίας ἐπλήρωσε· τοὺς δὲ ἀθλητὰς, καίπερ τὰ ἔσχατα πάσχειν νομισθέντας, χαρᾶς καὶ εὐφροσύνης ἐνέπλησε, καὶ γλώσσης ἁπάσης διηνεκέσιν εὐφημίαις, οἷα δὴ στεφάνοις ἀμαραντίνοις, ἐκόσμησε· τοὺς μὲν τῶν ἀνοσίως αὐτοῖς τετολμημένων ἐκ τούτων ἀπαρχομένη τὰς τιμωρίας εἰσπράττεσθαι, καὶ προοιμιαζομένη τὴν ἐκεῖθεν αὐτοῖς ἀπαραίτητον ἀθλιότητα· τοῖς δὲ τῶν ἄθλων ἀμειβομένη,

A nec actu nec voce facientes; nec corybantum more et bacchantium fortiter et inconsone eboabant, scilicet, Nos huc non accessimus, ut hanc causam cognosceremus: sed nec de vobis judicium fecimus; condemnavimus enim jampridem, et illa condemnatione sitis contenti. Hoc itaque, hoc, inquam, impium, impudens, nulla historia memoratum facinus, Judaicas omnes audacter perpetratas nequitias, quas sol vel vidit, vel abscondit luna, silentio involvit: sed et paganorum atheismos et impudentiam excessit, exlegum et barbarorum quotquot ubique gentium sunt furores et insanias post se reliquit. Noli tamen istis consternari, nec de sapientibus divinis judiciis animum tuum irrationabilis subeat cogitatio, vel obmurmuratio; longe ego absum B ut istis percutiar; et tu, non dubito, deinceps ita affectus eris. Ex adverso, ego potius, licet paradoxum videar quibusdam dicere, ab istis ita gestis, divinæ et naturam transcendentis providentiæ inexplicabilem et omnia permanentem curam, ex priscissimis testimoniis confirmatam video. Quomodo autem? Nimirum cum eorum qui cum imperio sunt, iracundia adeo graviter et in immensum inflammetur contra fideles, eo quod a sanguine puras linguas et mentes conservarint: cumque veritas tot modis injuria afficiatur: mendacium splendido cultu prostet: cumque impia audacia omnem actum, verbum, motum acerbius exagitet; homines pii his visis soli ingemiscant, et ad judicii oculum, lumina manusque extendant. Cumque alii sycophantas adeant ut accommodent testimonium; multi potestatibus gratificari cupiant et ad placitum obsecundari; timor C non unicus, nec mors singularis intentetur iis circumfusus, qui pro veritate proloqui cupiunt: cum tot ut illi audeant, et hæc plura, tolerantur; cum hi non habeant vel litteram scribendi facultatem concessam, aut si scripserint exhibendi; cum nemo testis cujuscunque criminis in sanctos producatur, cum nec barbarici judicii forma et processus observetur, sed tam pudendum in modum et ridicule, tam sine pudore et modestia dissolvatur. Quomodo non manifestissimas demonstrationes inde deducemus, et inexpressissimis et indubiis testimoniis arripiemus commendatam illam divinam providentiam, quæ universa amplectitur cum sapientia; quodque illi adsit semper, licet se latenter exserat, D et humanam mentem non afficiat, una tamen procedens ultrix justitia, quæ supplicium eroget in injustos, vindex adsit et auxiliatrix injuria affectis. Per hanc suam providentiam, Deus etiam contumeliosos illos, utcunque videantur splendidati exercere tyrannidem et ab omnibus observati, pudore supplevit et dedecore: certaminibus expositos, licet omnia extrema pati adjudicatos, gaudio replevit et exsultatione, et omnium linguarum applausionibus continuis, veluti coronis immarcescibilibus exornavit;

VARIÆ LECTIONES.

g ἴσ. κᾶν.

Digitized by Google Распознавание текста ABK/FR

et illis quidem propterea quæ impie perpetrarunt, ab istis primitias quasdam apparat supplicii inferendi, et miseriæ aliquando inconsolabiliter subeundæ in futuro sæculo, quasi præmia quædam struit. Istis autem certaminis parat præmia, et pignus quoddam depositumque disponit retributionum in cœlis indicendarum, et felicitatis æternæ ac multum desideratæ. Habes ita, opinor, perspicue, ita ut nihil varius omnino dubites, admirandæ et naturam excedentis providentiæ inobliviosum et omniscium; quæ ipsa, etiam in rebus, ab omni ratione quæ videntur alienissimæ, abscondita quadam vi, et potestate ineluctabili, sapienter justitiam et incommutabilitatem suam copulat, et libræ pondera justa statuminat, et divinam quamdam seriem, et concatinationem in rebus optimam, ordinem et pulcherrimum immittens, licet hominum ratiociniis propter judiciorum profunditatem impervestigabilem, et ob pelagus non adeundum, non semper ut obvia arripienda.

A καὶ ὥσπερ ἀῤῥαβῶνά τινα κατατιθεμένη τῶν ἐκεῖθεν ἀῤῥήτων ἐπάθλων, καὶ τῆς πολυεράστου καὶ ἀϊδίου μακαριότητος. Ἔχεις, οἶμαι, τρανῶς καὶ οὐδὲν ἐπιδιστάζων τῆς θαυμασίας καὶ ὑπερφυοῦς προνοίας τὸ ἀλάθητόν τε καὶ πανεπίσκοπον· καὶ ὅτι κἂν τοῖς δοκοῦσι παραλογωτάτοις, ἀπορῥήτῳ τινὶ καὶ ἀπειροδυνάμῳ κράτει καὶ σοφίᾳ τὰ δίκαια αὐτῆς καὶ ἀῤῥεπῆ συνεπιζευγνύσα φυλάττει ζυγά, εἰρμόν τινα θεῖον ἐν αὐτοῖς, καὶ τάξιν ἀρίστην καὶ καλλίστην ἐνιεῖσα, εἰ καὶ τοῖς ἀνθρωπίνοις λογισμοῖς διὰ βάθος χριμάτων ἀνεξιχνίαστον, καὶ σοφίας ἀδιεξίτητον πέλαγος, οὐκ ἀεὶ πέφυκε γίνεσθαι ἐφικτά.

B

EPIST. LXXXV.

Acacio monacho et medico.

ΕΠΙΣΤ. ΠΕ'.

Ἀκακίῳ μοναχῷ καὶ ἰατρῷ.

Montacut. (ep. 119, p. 162).

Si neutiquam aliquando ab impuris cogitationibus purus exstitisti, prorsus novum est quod ais, nec lacrymæ exprimendæ quæ adsequent. Quod si fueris aliquando mundus (et certe fuisti); neque enim cœlestibus convenit nunquam mundari), sed nec in præsenti ullo puritatis amore tenerere, si non illius aliquando experientiam haberes; et certe si non expeditus fuisses, saltem aliqua ex parte, ab illis sordibus, haud circumspexisses quomodo se purum quis conservaret; at cum mundus factus fueris, eo modo quo ita factus exsistis, eo te ut conserves mundum operam dato. Oratio hoc tibi subministrabit, modo illam ad tempus aliquod extenderis. Paulus ille divinus, me prior, tibi exhortationem suggerat, ubi ait: *Indesinenter orate*[9]. Sed et abstinentiæ donum cum summa custodito cura: naturaliter enim accedit vis et potentia irresistibilis ad ejusmodi passiones retundendas. Sed et ad misericordiam erga indigentes accedito, nec ab illa velis resilire: sacrum quippe oleum istud facem accendit luculentam, operationes suas dividendo; nam per quasdam incensas consumit passiones; per alias illuminat et dirigit in virtutis currus gressus. Erga illos, qui videntur in te deliquisse, si potes, noli commoveri: sin in iram prolabaris nihilominus ante solis occasum in te reversus, absolute concede veniam ut simpliciter dicam, unde tibi accidit, ut quam expedite mundatus fueris, inde omni modo decet indagare, nec absistere a vitæ puritate: alioquin non continget facile quietem a molestiis adipisci, sed aut per aliquid e supradictis, aut etiam aliqua, si non per omnia simul conjuncta.

C

D

Εἰ μὲν μηδέποτε γέγονας καθαρὸς λογισμῶν ἀκαθάρτων, καινόν τι λέγεις, καὶ οὐ μὴ ἔστιν εὑρεῖν δάκρυόν ἐξισῶσαι. Εἰ δὲ γέγονας (γέγονας δὲ πάντως· οὐ γὰρ οὐράνιον τὸ μηδέποτε καθαρεῦσαι), καὶ οὐκ ἂν οὐδ' εἰς ἔρωτα νῦν τῆς καθαρότητος, εἰ μὴ ταύτης πεῖραν ἔλαβες, ἦλθες· οὐδ' ἂν εἰ μὴ ἀπηλλάγης, κἂν ἐπὶ ποσὸν, ἐκείνου τοῦ ῥύπου, διέβλεψας ἂν ἐπιζητῆσαι [h] δι' ὅτου ἄν τις καθαρὸν ἑαυτὸν συντηρήσῃ. Ἐπεὶ δέ ποτε γέγονας, ᾧ τρόπῳ γεγένησαι, τῷ αὐτῷ τούτῳ καὶ διατηρεῖν σεαυτὸν ἐν τῇ καθαρότητι, διανάστηθι. Προσευχή σοι τούτου πρόξενος, κἂν ἐπ' ὀλίγον κατέστη παρατείνων ταύτην· Παῦλος ὁ θεῖος πρὸ ἡμῶν σοι τὴν παραίνεσιν εἰσηγεῖται, Ἀδιαλείπτως, λέγων, προσεύχεσθε. Ἀλλ' ἐγκρατείας τὸ δῶρον ἔχου [ταύτης] ἐπιμελέστερον· φύσει γὰρ αὐτῇ καὶ κράτος ἄμαχον πρόσεστι πρὸς τὰ τοιαῦτα τῶν παθημάτων. Ἀλλ' ἐπ' ἐλέῳ πενομένων ἀφ' ἱκέτο, μὴ ἀφίστατο τῆς ἐλεημοσύνης· μεγάλην γὰρ ἀνάπτει λαμπάδα τὸ ἱερὸν ἔλεον [i] τοῦτο, καὶ μερίζει τὰς ἐνεργείας, καὶ ταῖς μὲν φλέγει τὰ πάθη, ταῖς δὲ φωτίζει καὶ κατευθύνει πρὸς τὸν τῆς ἀρετῆς δρόμον τὰ διαβήματα. Ἀλλ' ὅτι ἀφῆκας τοῖς δοξασιν εἰς σὲ πεπλημμεληκέναι, εἰ μὲν δυνατὸν, μηδ' ὀργίζου. Εἰ δ' ἐξέπεσας, ἀλλ' οὖν ἀεὶ πρὸ δυσμῶν ἡλίου εἰς σεαυτὸν ἀνιὼν [j] ὅλως γίνου τῆς συγγνώμης, καὶ ἁπλῶς εἰπεῖν, δ' οὗ σοι ἐν βραχεῖ καθαρεῦσαι προσεγένετο, διὰ τούτου θηρεύειν ἀεὶ μὴ ἀποστῇς καὶ τὴν διὰ βίου καθαρότητα. Ἄλλως γὰρ, ἄλλως οὐκ ἔστιν ὅλως ἄνεσιν εὑρεῖν τῶν ἐνοχλούντων, ἀλλ' ἢ διὰ τινος τῶν εἰρημένων, ἤ τινων, ἢ καὶ διὰ πάντων ἅμα.

[9] I Thess. III, 17.

VARIÆ LECTIONES.

[h] add. μαθεῖν. [i] ἔλαιον. [j] ἐπανιών.

Digitized by Google Распознавание текста ABK/FR

ΕΠΙΣΤ. ΠϚ'.

Ἀκακίῳ μοναχῷ καὶ ἰατρῷ.

Μέγα κακὸν ἡ δόκησις · ἄφρονα τὸν ἄνθρωπον ποιεῖ, οὐδ' ἀπαλλαγῆναι τοῦ πάθους ἐᾷ, οὐδὲ μεταμαθεῖν τὸ συνοῖσον. Ἐχθροὺς ὁρᾷν ἀναπείθει τοὺς μεθέλκειν τῆς πλάνης καὶ βοηθεῖν ἐπιχειροῦντας · τοὺς δὲ φλεγμαίνοντας τὴν νόσον κολακείαις καὶ ἀνίατον ποιοῦντας πλέον εἰσοικίζει. Φεῦγε πάσῃ δυνάμει τὴν οἴησιν, κρημνός ἐστι βαθὺ πᾶσαν σωτηρίας ἄνοδον περιῤῥηγμένος.

A

EPIST. LXXXVI.

Acacio monacho et medico.

Montacut. (ep. 122, p. 163).

Magnum malum est opinio sui, stultum enim hominem reddit, nec morbo patitur liberari, aut sero addiscere quod in rem erit ; imo loco inimicorum habendos suggerit, qui operam impendunt ut ab errore retrahant et auxilientur : eos autem qui per adulationem morbum exulcerant et insanabilem reddunt, familiares magis reddit. Omni ope igitur operaque opinionem vita, inane præcipitium quippe est, omnemque obstruit salutis ascensum.

ΕΠΙΣΤ. ΠΖ'.

Ἰσακίῳ μοναχῷ.

Εἰ καὶ πρὸς θερισμὸν, ἐφ' ὃν ὁ Δεσπότης σπλαγχνιζόμενος ἐργάζεσθαι πέμπει τοὺς μαθητὰς, ἀωρότατος εἶ · ἀλλ' οὖν ἐφ' ὃν οἱ θερισταὶ παραγίνονται ἄγγελοι, καὶ λίαν ἐπιτήδειόν σε δείκνυσιν ὁ τῆς ἡλικίας καιρός. Πῶς οὖν, ἀντὶ μὲν τοῦ καρπὸν φέρειν, ἀκάνθας ἐκφέρεις ; ζιζάνια δὲ ἀντὶ σίτου ; Καὶ οὐδὲν ἐργῶδες ὂν καλὸν καὶ ἀγαθὸν, κἂν ὀψὲ τοῦ καιροῦ, διὰ μετανοίας γενέσθαι. Σὺ δὲ σαυτὸν εἴθε ἄχρηστον ἀλλὰ δέδοικα μὴ καὶ αὐτοσαπρίας ἀγγεῖον ἐργάζῃ. Ἀλλ' ἐπίγνωθι, κἂν νῦν ἤδῃ, τὸν ἀνθρώπινον καταδυόμενος βίον, ὅτι τὰ μὲν συνάγεταί καὶ ἀποθησαυρίζεται εἰς ἀκαταλύτους ἀποθήκας καὶ τῆς οὐρανῶν, ἀξιοῦται βασιλείας · τὰ δὲ ἐκκόπτεται, οἴ μοι, καὶ ἐκβάλλεται, καὶ κατακαίεται τῷ ἐξωτέρῳ καὶ ἀτελευτήτῳ πυρὶ διαπαντὸς δαπανώμενα.

B

Utcunque ad messem illam obeundam ad quam misericordiæ visceribus Dominus tactus emisit discipulos suos, sis maxime immaturus ; ad illam tamen, ad quam messores delegantur angeli, ætas te tua valde comparatum docet. Unde ergo, proferendo fructum cum sis, spinas producis ? zizania autem pro frumento ? Nec est operosum, virum bonum probum fieri, licet serius, per pœnitentiam. Tu te autem, utinam solum inutilem, ac non, quod vereor, vas depravatæ corruptionis te præbeas ! Sed tu recognosce, vel nunc tandem, qui penitus in mortali vita immerges, quod sunt quæ congregantur et reponuntur in apothecas haud unquam dissolvendas, et regno cœlorum digna habentur : sunt, qui exscinduntur, eheu, et ejiciuntur, et igne exteriori, qui nunquam exstinguetur, et flamma consumenda et comburenda destinantur.

C

ΕΠΙΣΤ. ΠΗ'.

Μητροφάνει μοναχῷ καὶ ἡσυχαστῇ τῷ ἐκ Σικελίας.

Μεγὰ μὲν τὸ ἄλγος ὑπὲρ τῶν Ἐκκλησιῶν τοῦ Θεοῦ · εἰς γὰρ τὴν οἰκουμένην ἐχύθη τὸ κακόν · μείζων δὲ ἡ χαρά. Ἐν γὰρ τῇ ὑφηλίῳ θαυμάζεται ὑμῶν τὰ ἆθλα, καὶ ἡ ἀρετή · καὶ παντὸς στόματός ἐστιν, ἀντὶ παντὸς ἄλλου [k] οἱ λαμπροὶ ὑμῶν ἀγῶνες, καὶ τὰ τρόπαια, καὶ ὁ πολὺς ἐκεῖνος καὶ ἄξιος τῶν ὑπὲρ Χριστοῦ παθημάτων, μακαρισμός.

EPIST. LXXXVIII.

Metrophani monacho et hesychastæ e Sicilia.

Montacut. (ep. 149, p. 205).

Magnus certe dolor est, qui pro Dei Ecclesia est ; nam in orbem universum effunditur malum : at majus tamen resultat gaudium. Sub sole quippe admirationi sunt certamina, et virtutes tuæ, omnibus linguis narrantur, nec aliud quidquam agones tui. Tropæa tua, multiplex illa felicitas prædicant, quam dignum te habitum, qui pro Christi causa patiaris.

ΕΠΙΣΤ. ΠΘ'.

Ἀρσενίῳ μοναχῷ, πρεσβυτέρῳ καὶ ἡσυχαστῇ.

Ἦν καιρὸς τοῦ γράφειν [k], ὥσπερ νῦν τοῦ σιγᾷν, ὅτε πᾶσα μὲν γαλήνη διὰ πάσης ἐκέχυτο πολιτείας · ἀρετῆς δὲ, τῆς νῦν γελωμένης, ἐθαυμάζετο τὸ χρῆμα · καὶ εὐσέβεια μὲν τὸ κράτος εἶχεν · ἀλήθεια δὲ (ποῦ νῦν ἀπῆρες ;) καὶ γλώσσῃ καὶ ἀκοαῖς ἐπαῤῥησιάζετο, ὅτε τὸ πολιτικὸν ἐν εὐθυμίαις ἐπανηγύριζε σωφρονούσαις · καὶ ὁ φιλόσοφος βίος, πρὸς τὴν τῶν ἁγίων ἀνδρῶν ἀνατεινόμενος μίμησιν, ἀξιοζή-

D

EPIST. LXXXIX.

Arsenio monacho, et presbytero anachoretæ.

Montacut. (ep. 182, p. 271).

Erat tempus scribendi, ut nunc est tacendi, cum pax et tranquillitas per totam rempublicam diffunderetur : virtus, quæ nunc ludibrio habetur, cum esset admirationi : et pietas vim suam obtineret. Veritas (oh ! quo nunc aufugisti) cum et oculis et linguis liberrima insideret : status civilis oblectationibus modestis se reficiebat : et vita philosophica ad imitationem sanctorum virorum conformata,

VARIÆ LECTIONES.

[k] διήγημα.

Digitized by Google Распознавание текста ABK/FR

digna et ipsa reputabatur imitatione: sacerdotalis ordo et episcopalis, non tam per sacra sua insignia, quam per virtutis actiones illustris esset, et sectatores agnoscendos exhiberet. At nunc quod scribo threni sunt, in quibus Jeremias nos prævenit. Sunt enim nostra in præsenti, quam illa erant, haudquaquam tolerabiliora: suspiria scribo? sed quæ illa et qualia tanto malorum torrenti sunt suffectura? lacrymarum rivos, unum post aliud malum incumbens, ita exhausit ut ipsi fontes exaruerint; sancta profanantur, sacra conculcantur, sanctus Spiritus (o labia impia, et animas magis improbas), ut quid e trivio, blasphemiis incessitur et ludibriis. Deserta, montes, speluncæ, extrema terrarum Dei sacerdotes et episcopos, qui prius vinculis acerbioribus, et exsiliis tenebantur, vix salvos præstant: nec ulterius ista persequor. Nam profecto impendens comminationum metus haud patietur illa omnia deplorare quibus constricti tenemur (et tamen ut in ejus modi malis solatium quærebatur), Hæc ego scribo, quæ tu nosti optime, cum visu percepta, tum auditu: sed ego doctus ab experientia et Christo compatiens, ista scribo: consiste autem per Deum placatum redditum figmento suo: attolle sanctas tuas ad illum manus, qui suas aliquando in cruce, tanquam deprecatorias extendebat: clavos, lanceam, sanguinem, mortem sepulturam per quæ salvamur. Habes unde impetres a misericorde persecutionum allevamentum, vexatorum pro pietate constantiam, dilaceratos greges, pastores partim ubi terrarum delitescant incognitos: Ecclesiam Dei in partes scissam et divulsam: dividit enim eam Dei timor, et humanus metus. Divinum oraculum mentiri nequit: ait autem: *Spiritus quidem paratus est, infirmatur autem caro*[10]. Hæc præ te ferto, quæ melius ipse nosti per quæ illa impetrabis. Nam per quæ cor purum (modo qui hominibus possibilis est) quo Deum, vident illi propius intuentes, ita rectius intelligunt placatior ille redditur. Mediatricem compella deprecationis Verbi Matrem Virginem, illam inclama, naturæ illi repræsentes imbecillitatem magnam et inexplicabilem: tragœdiam nostram intelligit; novit cognatæ naturæ misereri: assumas licet martyrum choros, libertatem plenam adeundi habent, ex intuitu illorum quæ pro Christo tulerunt, subvenire volunt et aliis qui pro illo patiuntur. Sed communio passionum cedit per se in consolationem, et est invitatio ad illis subveniendum, qui paria patiuntur: omnia expedient intercessionem: deprecatio conjungitur cum spe bona, solummodo deest constans et continuata tua oratio, atque in deprecando fervor.

λωτος ἐνομίζετο, τὸ ἱερατικὸν καὶ ἀρχιερατικὸν, οὐχ οὕτω διὰ τῶν τελεστικῶν συμβόλων, ὥσπερ ἀπὸ τῶν κατορθωμάτων, οἷς περιέλαμπον τοὺς μυουμένους, ἐγνωρίζοντο. Νῦν δὲ τί γράφω; θρήνους; ἀλλ' ὁ συμπαθέστατος Ἱερεμίας προλαβὼν ἡμᾶς, τοὺς θρήνους ἀπέδωκεν· οὐ γὰρ ἐκείνων τὰ νῦν ἀνεκτότερα. Ἀλλὰ στεναγμούς; καὶ τίνες ἢ ποῖοι τηλικαύτῃ φορᾷ δυσχερῶν ἐπαρκέσουσι; τῶν δακρύων ἄλλο ἐπ' ἄλλῳ πάθος προκαλούμενον τὸ ῥεῖθρον, τὰς πηγὰς ἀνεξήρανε, τὰ ἅγια βεβηλοῦται, τὰ ἱερὰ συμπεπάτηται· τὸ πανάγιον Πνεῦμα (ὦ χειλέων δυσσεβῶν, καὶ διανοίας δυσσεβεστέρας!) ὥσπερ τι τῶν ἐκ τριόδου, δυσφημεῖται καὶ διασύρεται' ἐρημία, καὶ ὄρη, καὶ σπήλαια, καὶ τῆς γῆς ἐσχατιαί, τοὺς ἱερεῖς Θεοῦ καὶ ἀρχιερεῖς, ὅσους μὴ προκατελάβοντο πικραὶ φυλακαὶ καὶ ὑπερορίαι φυγαδεῖαι, μόλις διασώζουσι· καὶ οὕπω λέγω τὰ ἄλλα· οὐδὲ γὰρ, οὐδ' ἀποδύρεσθαι τὰ συνέχοντα πάντα (ὃ μόνον ἦν, ὡς ἐν τηλικούτοις κακοῖς, τῶν συμφορῶν παραμύθιον) ὁ ἐπαρτώμενος τῶν ἀπειλῶν φόβος ἐνδίδωσι· ταῦτα γράφω· ἀλλ' ἔχεις τὴν τούτων γνῶσιν, ὥσπερ ὄψει καὶ ἀκοῇ, οὕτω δὲ συμπάσχων Χριστῷ, καὶ αὐτῇ τῇ πείρᾳ, ἔχω τί γράψω· στῆθι πρὸς Θεὸν, ἐξευμενίζων τὸν Πλάστην τῷ πλάσματι· ἔκτεινον ὁσίους σου χεῖρας, τὰς ἐκτεθείσας αὐτοῦ παλάμας ἐν τῷ σταυρῷ, ὡς ἱκετηρίαν προτείνων· τοὺς ἥλους, τὴν λόγχην, τὸ αἷμα, τὸν θάνατον, τὸν τάφον, δι' ὧν σεσώσμεθα· ἔχεις δι' ὧν δυσωπήσεις τὸν εὔλατον, τὴν βαρύτητα τῶν διωγμῶν· τῶν διωκομένων τὸ ὑπὲρ εὐσεβείας ἀνένδοτον· τὰ ποίμνια σπαρασσόμενα· τοὺς ποιμένας ἔστιν οὓς, οὐδ' ὅποι γῆς εἰσι γινωσκομένους τὴν Ἐκκλησίαν Θεοῦ κατατιμωμένην, οἴμοι, καὶ μεριζομένην· μερίζεται γὰρ αὐτὴν φόβος Θεοῦ, καὶ φόβος ἀνθρώπινος· οὐδὲ γὰρ, οὐδ' ἔστι τὸν θεῖον διαψεύδεσθαι χρησμόν. Τὸ μὲν πνεῦμα πρόθυμον, ἡ δὲ σὰρξ ἀσθενές. Ταῦτα προβαλοῦ, μᾶλλον δὲ αὐτὸς, δι' ὧν δυσωπήσεις, οἶδας· οἷς γὰρ ἡ καρδία καθαρὰ, ἅτε δὴ Θεὸν, ὡς ἔστιν ἀνθρώπῳ δυνατὸν ἰδεῖν, ἑωρῶσιν· οὗτοι μᾶλλον τῶν ἄλλων συνίσασι, καὶ οἷς ἐκμειλίσσεται· κίνησον μεσίτην τῆς πρεσβείας, τὴν τοῦ Λόγου Μητέρα καὶ Παρθένον· βόησον πρὸς αὐτὴν τῆς φύσεως τὴν ἀσθένειαν τὴν μακρὰν ἡμῶν καὶ ἀνιστόρητον πᾶσιν τραγῳδίαν· εἶδεν συμπαθῆσαι τῷ ὁμοφυεῖ· τῶν μαρτύρων τὸν χορὸν συμπαρέλαβε. ἔχουσιν παῤῥησίαν, οἷς ἔπαθόν ὑπὲρ Χριστοῦ ἐπαμῦναι τοῖς δι' αὐτὸν πάσχουσι· καὶ τῶν παθῶν ἡ κοινωνία παράκλησίς ἐστιν αὐτὴν καθ' αὑτὴν, πρὸς τὴν τῶν πασχόντων ἐπικουρίαν· πανταχόθεν ῥᾴδια τὰ τῆς πρεσβείας· εὐέλπις ἡ ἱκεσία· ἑνὸς μόνου δεῖται, τῆς σῆς ἐκτενοῦς προσευχῆς, καὶ ἐπιμόνου δεήσεως.

EPIST. XC.

Nicephoro philosopho monachum agenti.

Montacut. (ep. 204, p. 301).

Omnia se habebant optime, nec syntaxis omnino aliquid in grammaticalibus accuratis claudicabat:

ΕΠΙΣΤ. ϛ'.

Νικηφόρῳ φιλοσόφῳ μοναζοντι.

Ἅπαντα μὲν καλῶς εἶχε, καὶ οὐδὲν ταῖς συντάξεσιν, ἢ ταῖς ἄλλαις γραμματικαῖς ἀκριβείαις ὁ λόγος

[10] Matth. xxvi, 41.

Digitized by Google Распознавание текста ABK/FR

ἐχώλευεν · ἃ δὲ τῶν ῥητορικῶν ἐνέδει νόμων, καὶ τῆς ἐκεῖθεν περινοίας, οὐδ' ἐν τούτοις εἰς ἀναίσχυντον ἐκφερομένων τῶν γεγραμμένων ἁμάρτημα · καὶ ταῦτα δέ σοι, ὥσπερ ᾔτησας, διορθώσεως τυχόντα προσαναπεπλήρωται. Εἶης δὲ κἀν τούτοις, ὥσπερ κἀν τοῖς ἄλλοις, αὐτὸς διὰ σεαυτοῦ λαμπρὸν φέρων τὸ εὐδόκιμον. Ἔρρωσο.

A nullus legum rhetoricalium defectus erat, vel solertiæ quiddam solitæ adhiberi : sed nec ita hic peccabatur ut scripta se impudentius venditarent. Hæc prout rogaveris ut corrigerentur, ad te missa perfeci. Tu autem in istis, quemadmodum et in aliis illustris fias et prædicandus. Vale.

ΕΠΙΣΤ. ϛΑ'.

Νικηφόρῳ φιλοσόφῳ μονάζοντι.

EPIST. XCI.

Nicephoro philosopho monacho.

Montacut. (ep. 217, p. 323).

Τὸν μὲν τοῦ σώματος ἔρωτα, ἐπτερωμένον οἱ σωματικοὶ γράφουσι · γράφουσι δὲ καὶ τὸν θεῖον, ὅσοι τὸ νοερὸν αὐτοῦ κάλλος ψυχαῖς καθαραῖς ἐνεμορφώσαντο · ἀλλ' οἱ μὲν βαφαῖς καὶ χρωμάτων ἄνθεσιν · οἱ B δ' αὖ ἀρεταῖς καὶ λαμπροτέροις τοῖς κατορθώμασι. Ἑκάτεροι δ' οὖν ὅμως μαρτυροῦσι, δι' ὧν γράφουσιν, ὡς ἄφατον ἔχει τάχος, καὶ προθεσμίας ὑπάρχει τύραννος, καὶ ὑπερόπτης νόμων, οἷς ἀναβολὴ διεθύνεται. Ἴσθι τοιγαροῦν, ὦ τοῦ Θεοῦ ἱερὲ ἄνθρωπε, ὡς καὶ ἡμᾶς ἡ τυραννὶς αὕτη κατὰ κράτος εἵλκε, καὶ τὴν προθεσμίαν ἐβιάσατο, καὶ πρὸ τοῦ χρόνου τὴν σὴν παρουσίαν ἐπιζητεῖν κατηνάγκασεν. Ἔρρωσο.

Amorem corporalem corporales ipsi alatum pingunt: pingunt item divinum, quotquot pulchritudinem ejus intelligibilem animis puris effigiatam gestant: illi colorum tincturis et flore: isti virtutibus et illustribus factis. Testantur utrique, eo quod sic pingunt, quod celeritate mira præditus est amor propositi tyrannus, legum contemptor quibus retardatur. Cognoscas igitur, Deo sacrate vir, nos ab hoc tyranno vehementer oppressos, qui voluntatem cogit, et ante tempus tuam efflagitare præsentiam incitat. Vale.

ΕΠΙΣΤ. ϛΒ'.

Ἀθανασίῳ μονάζοντι καὶ ἡσυχαστῇ.

EPIST. XCII.

Athanasio monacho et anachoretæ.

Montacut. (ep. 212, p. 313).

Ἐπειδὴ, κατὰ μίμησιν Χριστοῦ, τοῦ ἀληθινοῦ Θεοῦ ἡμῶν, σαυτὸν ἐσταύρωσας τῷ κόσμῳ καὶ τῷ κοσμοκράτορι, πέπομφά σοι τὸν σταυρὸν φυλακτήριον τῆς σταυρώσεως.

Quandoquidem, ad exemplum Christi veri Dei nostri, *mundo te crucifixisti* et rectori mundano misi ad te crucem custodiam crucifixionis.

ΕΠΙΣΤ. ϛΓ'.

Ἀρσενίῳ μονάζοντι καὶ ἡσυχαστῇ.

EPIST. XCIII.

Arsenio monacho anachoretæ.

Montacut. (ep. 231, p. 345).

Τί γράφω ; οἴχεται μὲν εὐχὴ, οἴχεται δ' ἀνθρώπων ἀρετή · ἐκκέκοπται δὲ παῤῥησία πρὸς Θεόν, καὶ ἀνδρῶν ἔρημος ὁ βίος εἰκόντων τοῖς ἐπὶ γῆς τὴν ἄνωθεν πρόνοιαν · ἡ δίκη (πῶς εἴπω ; οὐ γὰρ ἐβουλόμην εἰπεῖν) ὅτι καθεύδει μέγα φυσᾶται τὸ παράνομον · καὶ θεσμῶν οὔτε θείων, οὔτε ἀνθρωπίνων αἰδὼς οὐδεμία · οἱ δὲ τῆς παλαιᾶς ἐκείνης ἀρετῆς ἄνθρωποι, ὅσους μὴ προκατελάβοντο δεσμὰ καὶ φυλακαὶ καὶ ὑπερόριοι καταδίκαι, τοῖς ὄρεσι καὶ ταῖς πέτραις ἐγκατακλείσαντες ἑαυτοὺς, καὶ, ὥσπερ ἐρμαίῳ, τῇ κοινῇ συμφορᾷ περιτυχόντες, αὐτοὶ μὲν ὡς ποῤῥωτάτω τῆς ἐν κόσμῳ ζάλης ἵστανται, οὐδεμίαν δὲ τῶν ἐν αὐτῷ κλυδωνιζομένων καὶ βαπτιζομένων ἔστιν ὧν φροντίδα βάλλονται. Οὐδὲ γὰρ ἱλαστηρίους χεῖρας ἁπλοῦσι πρὸς Θεὸν, οὐδὲ τὰ Μωσίως D φθέγγονται, Ἂν μὲν ἀφῇς, ἄφες· καὶ τὴν ὑπόλοιπον ἐκείνην φίλτρου γέμουαν καὶ θαυμαστῆς παῤῥησίας φωνήν · οὐδὲ λύσιν τῶν ἀμηχάνων κακῶν οἷς τὸ συγγενὲς συνέχεται δαπανώμενον. Εἰ δὲ ψεύδομαι, ὑμέτερον μέν ἐστι λοιπὸν ἐλέγχειν, ἐμὸν δὲ πεισθῆναι καὶ προσοφλεῖν αἰσχύνην, ὁμολογεῖν χαρᾶς ἀϊδίου πρόξενον.

Quorsum scribo ? abiit deprecatio, virtus hominum abiit, libertas apud Deum aufertur, virorum vita vacua est, qui de cœlo in terram providentiam devocant : justitia (quid dicam ? certe nollem dicere) quiescit : iniquitas ingentes spiritus sumit, nulla verecundia est legum divinarum aut humanarum : homines prisca illa virtute præditi, qui vinculis et custodiis non antevertuntur, qui in exsilio non agunt, montibus et speluncis se includentes, qui tanquam invento fortuito, in communem incidunt calamitatem, a turbulentis quidem mundi procellis removentur, nullam autem curam et sollicitudinem habent illorum, qui in salo immersi fluctuantesque agitantur : propitiantes manus ad Deum non attollunt : nec cum Mose aiunt, *Si dimittes, dimitte* : et quæ in illo sermone mirabilis amoris sequuntur : non liberationem a malis ineluctabilibus quibus eadem natura præditi continuo depascuntur. Si mentior, tuæ partes sunt convincere, meæ mutare sententiam et pudore suffundi et pudorem agnoscere lætitiæ æternæ conciliatorem.

Digitized by Google Распознавание текста ABK/FR

EPIST. XCIV.

Nicephoro philosopho, monasticam amplexo.

ΕΠΙΣΤ. ϛΔ'.

Νικηφόρῳ φιλοσόφῳ μονάζοντι.

Montacut. (ep. 235, p. 356).

De quibus accedat gravamen, ignoro: novi autem, tanquam per insomnium rogatus, rhetoricas exhibere tibi occasiones, vel præcepta, tum quæ lingua efferuntur, tum quæ libris repræsentantur. Novi etiam præterea similem assensum exhibere, et in communi positum, verbis simpliciter et indefinite prolatis, interrogatus. Cum vero te in causa nihil adjeceris, nec quidem quod in rem præsentem adesse me oporteat, ita ut lingua facultatem dicendi illa habeat, quæ dicenda sunt; neque aliquid protuleris, quod particulari congruat, definitæque interrogationi, ne quidem communi, et generaliori modo: nec perspicue edixeris, quorum tibi librorum usus est, quas desideres rhetorum scriptiones, cujus artificis artificiosas texturas. Quomodo putas posse me vocis repercussionem tuæ, cum tanto intervallo simus disterminati, ad tuas usque aures derivatam extendere, nisi fabulam de Stentorea voce deponere me posse putes? Deinde, et incusare debes, quod ingentem librorum acervum hinc inde conquisitum, non incassum ad te miserim. Ignorantia certe rei quæsitæ, hoc est, cum ipsius artis, tum librorum ad illam pertinentium, in necessitatem conjecisset conquirendi (omnes libros, de quacunque arte scriptos :). Si dolor hinc tuus sortiebatur originem, nihil ille quidem ad me spectat; sin quid sit aliud tu mihi ignoscas, virorum optime, qui temporis diuturnitate, et morbi insuper acerbitate, oblivionem obrepentem repellere nequivi. Sedvaleas animo atque corpore, et noli tam facile gravaminum umbras, quas ipse projicis, subire, nec ab alio quoquam allevamen requiras doloris tui, qui nullam alibi sortitur originem quam apud tuas suspiciones non illas, ego arbitror, legitime natas. Vale.

Ἐφ' οἷς μὲν ἡ ἀχθηδών, ἀγνοῶ· οἶδα δὲ κατ' ὄψιν ἀξιωθείς, ῥητορικὰς ἀφορμὰς παρασχεῖν, ὅσας τε γλῶττα χαρίζεται, καὶ εἴ τι βίβλοι προσεκδιδάσκουσι· καὶ ἁπλῶς μὲν προβαλλομένῳ καὶ ἀπροσδιορίστῳ ῥήματι τὴν ἀξίωσιν σύνοιδα καὶ αὐτὸς ὁμοίαν σοι καὶ κοινὴν πεποιημένος τὴν ἐπίνευσιν· σοῦ δὲ, τὸ λοιπὸν, μηδὲν προσθέντος, μήτε ὅτι παραγενέσθαι δέοι· ἵνα καὶ γλῶττα λέγειν ἔχοι, τα ἂν ἃ καὶ λέγοι, μήτε εἰς ἐπὶ μέρους καὶ ὡρισμένην ἀξίωσιν, τὴν κοινοτέραν καὶ ἀόριστον περιενεγκόντος, μηδὲ σαφῶς δεδηλωκότος, τίνων ἐστί σοι χρεία βιβλίων, καὶ ποίας τῶν ῥητορικῶν τεχνῶν πραγματείας καὶ τίνος τεχνογράφου. Πῶς ἂν δυναίμην ἐγὼ, ἡ τῆς φωνῆς τὴν ἀπήχησιν τοσούτῳ διεστηκότων διαστήματι, μέχρι τῶν σῶν ὤτων παρατείνειν; εἰ μή με καὶ Στεντορείους μύθους, ὅτι μὴ μακρῷ φθεγγόμενος, ἀποκρύπτω, πάλιν αἰτιάσῃ, ἢ βιβλίων πλῆθος ἀόριστον, ὧδε κἀκεῖσε διερευνᾶσθαι, εἶτα μάτην διαπέμπειν. Ἡ γὰρ ἄγνοια τοῦ ζητουμένου, τῆς τέχνης ἁπάσης καὶ τῶν περὶ αὐτὴν τὰς βίβλους, εἰς ἀνάγκην ἂν ἀπῆγε συναγείρειν. Ἀλλ' εἰ μὲν ἐν τούτοις ἔσχε τὰς γονὰς ἡ ἀχθηδὼν, οὐδὲν, ὦ βέλτιστε, πρὸς ἡμᾶς· εἰ δ' ἄλλο τί ἐστι, σὺ δέ μοι σύγγνωθι, καὶ χρόνῳ μακρῷ, καὶ νόσῳ πικρᾷ τὸ κρατεῖν λαβούσης λήθης ἠττηθέντι. Ἀλλά μοι ἔρρωσο τὴν ψυχὴν σὺν τῷ σώματι, καὶ μήτε ῥᾳδίως οὕτω σκιᾶς ἀχθηδόνων αὐτὸς διεκπέμπων, ταύτας ὑπότρεχε, μήτε ζήτει παρ' ἄλλου λύπης ἐξευρεῖν ἀπαλλαγήν, ἧς οὐκ ἔστι τὴν γένεσιν εὑρεῖν οὐδαμοῦ, ἀλλ' ἢ παρὰ τὰς σὰς τῆς ὑπονοίας οὐ γνησίους, οἶμαι, γονάς. Ἔρρωσο.

EPIST. XCV.

Arsenio monacho et anachoretæ, postquam dimissi ad illum fuerant, qui de, Bulgaria profecti, vitam monasticam ingredi cupiebant.

ΕΠΙΣΤ. ϛΕ'.

Ἀρσενίῳ μονάζοντι καὶ ἡσυχαστῇ, μετὰ τὸ ἀποσταλῆναι πρὸς αὐτὸν τοὺς ἐκ Βουλγαρίας ζητοῦντας μονάσαι.

Montacut. (ep. 236, p. 357).

Si tunc quoque oculis ego, quibus olim, videbam (hoc enim de me mihi tuæ litteræ occinuerunt, et illam gratiam prædicarunt, quam alioquin ego non libenter admitterem), non obscuræ meæ ignorantiæ convictionem affero. Verum si quovis modo ego videns eram, quare ducem me cæcum exhibebam iis, qui ad lucem veritatis festinabant? Non est hoc videntis, opinor, imo longe aliud, imo, quod gravius est, ad eum spectat qui excæcat videre cupientes: et longo tramite aberrare facit a veritate illos, qui rectis pedibus viam virtutis premere volebant. Si igitur hymnus non omnino insomnium sit, et scenicum videnti donum, ego illos contradicerim, qui manuductione indigebant; et si sententia processi ab incorrupto judicio, si animum dirigebat rectitudo, et non amor, cui ludibrio justitia habebatur, nec a visceribus per indulgentiam filialem in affectus

Εἰ βλέπων ἐγὼ καὶ τότε ὀφθαλμοῖς, τοῦ καλαὶ βλέποντος (τοῦτο γάρ με τὸ σὸν ἀνύμνησε γράμμα, καὶ χάριν ἔδωκεν ἐν καιρῷ, ὃ οὐκ ἂν ἄλλως ἡδέως οὐδ' ἁπλῶς ἐδεξάμην), μὴ λάθῳ διδοὺς ἔλεγχον τῆς ἐμαυτοῦ ἀγνοίας. Ἀλλ' εἰ μὲν βλέπων ὁπωσοῦν ἐγὼ, πῶς τυφλὸν ὁδηγὸν τοῖς πρὸς τὸ φῶς τῆς ἀληθείας ἐθέμην ἐπειγουμένοις; Οὐ γὰρ, οὐ βλέποντος τοῦτο μόνον, πολλοῦ γε καὶ δεῖ· ἀλλὰ καὶ τὸ χαλεπώτατον τυφλοῦντος, ἑτέρους βλέπειν ἑλομένους· καὶ διαπλανῶντος μακρᾷ τρίβῳ τῆς εὐθείας, τοὺς ὅλῳ ποδὶ μετιέναι ταύτην ἐκζητοῦντας. Εἰ τοίνυν μὴ παντελῶς ὁ ὕμνος ὄνειρος, καὶ θῶρον σκηνῆς βλέποντι παρεθέμην ἐγὼ τοὺς χειραγωγίας δεομένους· καὶ κρίσεως ἦν ἀδεκάστου ψῆφος, καὶ γνώμης εὐθύτης, ἀλλ' οὐ στοργῆς τὴν δίκην διαγελώσης, οὐδὲ σπλάγχνων, τῷ φίλτρῳ τῶν τέκνων, εἰς παράλογον προσπάθειαν διαχεομένων, τὸ τῇ σῇ τελειότητι τοὺς ἀν-

Digitized by Google Распознавание текста ABK/FR

ὄρας παραπέμψαι l. Οὐκοῦν ἐῤῥέτω τὸ παρ' ἀξίαν, καὶ τὸ θαῦμα φυγὸν τὸ θαῦμα· γινέσθω τῶν συνήθων τὴν ἐν πράξεσι πρέπουσαν μεθαρμοζομένων ἀκολουθίαν, καὶ ἡμεῖς οὐδὲν τῇ σῇ κεχαρίσμεθα μακαριότητι, τῶν εἰς ἔκπληξιν ἀγόντων· ἀλλ' οὐδὲ τῶν ἐπὶ τὸ μέτριον διαβαινόντων. Χάριν δὲ μᾶλλον τὴν ὅτι μάλιστα ἀπειλήφαμεν, ἐν οἷς ἔσχομεν ἀδελφοὺς, ἄρτι τῆς ἐν βίῳ ζάλης ὑποχωροῦντας, ἡσυχίας καὶ φιλοσόφου ζωῆς διὰ σοῦ λιμένι ἐγκαθορμίσαι· ἡμᾶς δὲ νόσος ἔσχεν (εἴγε χρὴ ταύτην νόσον καλεῖν, ἀλλὰ μὴ θανάτου πρόθυρα) ὀξεῖα καὶ ἀπροσδόκητος· ἀλλὰ ταῖς ὑμῶν εὐχαῖς τῆς σφοδρᾶς ἀνῆκεν ἐπιθέσεως, Θεοῦ πάλιν ἄνωθεν ἡμῖν τὴν ζωὴν, ἐπὶ μετανοίᾳ ἴσως, ὃ καὶ γένοιτο, κατανεύσαντος· καὶ λοιπὸν ἤδη ζῶμεν, εἰ καὶ τὰ λείψανα τοῦ πάθους ἔτι παραλυπεῖ τὸ σωμάτιον.

A irrationales diffusis, tuæ absolutæ perfectioni homines transmittere. Eat igitur quo velit id quod præter dignitatem accidit, et admiratio fugiens admirationem. Fiat aliquid solitum, quo imitetur actionum congrua consequentia, tuæ beatitati nos nihil condonamus, quod possit ad stuporem impellere, aut quod excedat moderationem. Potius gratissimum nobis est, quod ejusmodi affectos fratres habeamus, qui de fluctibus istius vitæ emerserunt, et per te cupiunt in portum tranquillitatis et vitæ philosophicæ deduci. Me morbus habuit (si morbum tamen, et non mortis potius vestibulum dicere debeam) acutus et inexspectatus. Sed per vestras preces, de acerbitate aliquid remisit; Deo demum de cœlo mihi vitam ad pœnitentiam, quod
B optaverim factum, annuente. Quocirca vivimus adhuc, licet mihi corpusculum reliquiæ illius mali male habeant affectum.

ΕΠΙΣΤ. ϛϚ'.

Νικηφόρῳ φιλοσόφῳ μοναχῷ.

EPIST. XCVI.

Nicephoro philosopho monacho.

Montacut. (ep. 237, p. 358).

Ἀμηχανοῦντί μοι καὶ ἀπορουμένῳ, καὶ ἀσχάλλοντι περὶ τὰ κατ' ἐμαυτὸν (ἐμὰ γὰρ τὰ τοῦ ἐμοῦ αἵματος, κἂν μὴ θέλω), καὶ ὅσα πάθη συνέχει τοὺς φίλους, παραμύθιον ἦκεν (εἶδες καινὰ) ἐκ συμφορῶν πολυτρόπων ἠρτημένον φίλου. Ἐλθὲ δὴ οὖν, ὥσπερ ᾔτησας· ἐλθὲ τὴν ταχίστην· ἐν μέρει μὲν ἴσως (σὺν Θεῷ δὲ φάναι) τὴν ἀπαλλαγὴν εὑρήσων τῶν παραλυπούντων· ἐν μέρει δὲ καὶ ἡμᾶς τῇ φίλῃ παρουσίᾳ τῆς πολυωδύνου κουφίζων ἀθυμίας.

Hærenti mihi dubio, et vacillanti de mearum rerum statu (mea enim sunt, velim nolim, quæ mei sanguinis sunt), et quot malis amici premerentur, venit solatium (vide rei novitatem) a multiplicibus illis malis quibus amicus urgebatur: veni autem
C juxta quod expetebas, et celerrime quidem veni ad partes inventurus, favente Deo, liberationem ab iis quæ mœrore te afficiunt: veni etiam in partes alleviandi per amicam tuam præsentiam multimodam tristitiam.

ΕΠΙΣΤ. ϛΖ'.

Τῷ αὐτῷ.

EPIST. XCVII.

Eidem.

Montacut. (ep. 238, p. 359).

Ὁ μὲν χειμὼν ἐγεγόνει, καὶ τὴν χειμέριον ὥραν, ὥσπερ ἐπιτηδὲς, τὰς σὰς προαναστέλλων τῆς βραδύτητος αἰτίας, ἀὴρ εὔδιος ὑπεδέχετο. Καὶ χειμὼν πάλιν καθ' ἡμῶν πολλὰς νιφάδας λογισμῶν ἀφιεὶς κατερῥήγνυτο. Τί δὲ γέγονε; μή τι τῶν ἀδοκήτων ἀπήντησε; μήτι συνέβη τῶν μολυσμάτων [m]; ἆρα δὲ θερμὴν οὕτω πρὸς τὴν ἄνοδον ὁρμὴν, ἄνευ μεγάλης ἀνάγκης, ἐνῆν ἡσυχάσαι. Τοιαύταις ἡμεῖς οἱ ὑπὸ τῆς εὐδίας ἐκκλυδωνιζόμεθα φροντίσιν. Ὁ γὰρ τρόπος, οὐκ οἶδ' ὅθεν, ὑμῖν παρακύψας [n], τάχα δὲ ἐκ τῆς ποιητικῆς ἐντρεχείας· συνεφεῖλκε γὰρ αὐτῷ καὶ στίχους τῆς ἐκεῖθεν πεποιημένους ἀδείας, ὥσπερ ἐπιγαυρούμενος τῷ γένει, καὶ ἐπιδεικνὺς ἡμῖν τὸ αὐτόνομον. Ἀλλ' οὖν οὗτος οὕπω τοῖς ἀγροικότερον ἴσως ἡμῖν, πρὸς τὰ τοιαῦτα βιοῦσιν, οὐδαμῶς παῤῥησίαν ἔσχεν ἐπεισιέναι· σχῆμα προφάσεως ὑποτρέχων μᾶλλον ἢ αἰτίαν ἔχων πόθεν ἐμφανίζειν. Καὶ οὕπω λέγω, ὡς εἰ μὲν ὁ χειμὼν ἀπεῖργε· περιττὸν ὁ τρόπος· εἰ δ' ὁ τῆς ἀνόδου τρόπος, οὐκ οἶδ' ὅπως ἀγνοούμενος, ἐπεῖχε, παρέλκουσα πρόφασις ἡ τοῦ χειμῶνος βία· οὐδ' ὅτι μετὰ πολλὰς ἡμέρας, καὶ περίοδον οὕτω μακρᾶς

Transiit hiems, et hibernam tempestatem illam admodum congrue tuæ tarditatis causas discutiens, sudum cœlum secutum est. Rursus tamen in nos hiems cogitationum nives et imbres immisit cum fragore. Quid autem factum? Num aliquid accidit insperatum? num impedimentum? num sine magna
D necessitate aliqua quiescere potuit tantus ille impetus atque ardor ad regressum? Talibus nos curis et cogitationum tempestatibus, etiam cum sudum erat, jactabamur. Modus enim, nescio unde, se vobis per crepidinem ostentavit, fortassis ab assiduitate poetica; una enim secum attrahebat versus quosdam licentiæ apud poetas usurpatæ, quasi generis elatione tumens, et nobis ostendere volens, quam sit juris sui et potestatis. Verumtamen iste modus nondum satis libertatis nactus est, ad nos ingrediendi (qui magis rustici moris sumus) speciem quamdam prætextus potius subiens, quam veram causam habens, unde manifestetur. Nondum addo, quod si prohibuit hiems, frustra est rei modus; sin ignoratus autem regrediendi modus inhibuit, hiemis

VARIÆ LECTIONES.

l ἴσ. παραπέμψαιμι. [m] ἴσ. κωλυμάτων. [n] ἴσ. παρέκυψε.

Digitized by Google Распознавание текста ABK/FR

illa vis prætextus est supervacuus : non quod post multos dies et periodum tam longi propositi modi cognitio jam tandem inquiritur. Sed hoc, uti dixeram omitto ; cum jam cessaverit hiems, et cœlum sudum diem ridendo serenaverit ; nusquam tamen comparet amicus, et ideo obnubilum et tetricum rursus ejus vultum facit. Et tamen si a scena prospexerit apologia, et præclarus ille mos se una cum tempestate choreuten prodat ; mihi jucundum est, si sic vel in scena agant. Cum enim esset procul dubio aliud, quod doleret, et adventum posset detinere, per amotionem a seipsis illius causæ, liberationem et exemptionem indicavit. Gaudium porro gaudere sincerum e litteris datum est iis, qui e litteris tuis resciscunt, te meliuscule de morbo habere, a quo optarim te perfecte liberari, sub conditione ne deinceps aliquid tale committas.

προθεσμίας, ἡ τοῦ τρόπου μάθησις νῦν ἐπιζητεῖται. Ἐῶ μὲν οὖν, ὥσπερ ἔφην, ταῦτα. Ἀλλὰ γὰρ ὁ μὲν χειμὼν ἠρέμει, καὶ γαληνὸν μειδίαμα τὴν ἡμέραν διεγέλα· παρὼν δ' ὁ φίλος οὐδαμοῦ σκυθρωπὸν αὐτῆς καὶ στυγνὸν τὸ πρόσωπον ὑπεδείκνυ· πλὴν εἰ καὶ σκηνῆς προείκυπτεν ἡ ἀπολογία, καὶ ὁ καλὸς τρόπος συγχορευτὴν ἑαυτὸν ὑπέβαλε τοῦ χειμῶνος· ἀλλ' ἡμῖν γε καὶ οὕτω χαρὰν ἐπίστησαν θεατρίσαι. Πάντως γὰρ ἄλλου παραλυπούντος, καὶ κωλύειν ὡς ἀληθῶς τὴν ἄφιξιν δυναμένου τῇ καθ' ἑαυτῶν μεταστάσει τῆς αἰτίας, ἀπαλλαγὴν ἐμήνυε καὶ ἐλευθερίαν· χαρὰν μέντοι γε καθαρὰν ἐδίδου χαίρειν, ἐκ τοῦ γράμματος μαθοῦσι τὸ ῥᾷον σε τῶν νοσημάτων ἔχειν, καὶ εἶναι ἡμῖν μετὰ τοῦ μηδὲν ἔτι τοιοῦτον διαμαρτάνειν εἰς τὸ τέλειον ἀπηλλαγμένος.

EPIST. XCVIII.

Nicephoro philosopho monachismum amplexo.

ΕΠΙΣΤ. ϛΠ'.

Νικηφόρῳ φιλοσόφῳ μονάζοντι.

Montacut. (ep. 242, p. 365).

Pavidus est ad amicitiam contrahendum ; timidior erga meam dispositionem. Tu autem vide in quantum ego tibi confido, cum nec pavescenti pepercerim, sed ulterius adhuc et alius timiditatis semina jaciam ; in quo timiditatem reprehendam et exagitem : sed tu viriliter age, vale, et me eum esse intellige, quem non existimas. Cum tamen præsens hoc tempus non tibi sufficiat, ut in opinione confirmeris, quam qui aderit, aperiet (ut cum bono Deo dicam), cum timiditatem tuam re et opere redarguet : sed diligentem operam a te impensam in sanctam martyrem laudando, cum pro tua dignitate percenseamus, seminis Asiatici germen genuinum apprehendimus (ut id ita usurpem, absque Musarum nominis ursurpatione, et ipse tecum Asiatico more agens). Errata nulla video, nisi forsan in syntaxi ; quod et ipsum rarissime indicavi. Quod si ad sermonis verborumque pulchritudinem hoc unum laude dignum videatur deesse, tamen et sic ad congenerem de cætero pulchritudinem universam operis pulchritudinem copulavit.

Δειλὸς μὲν εἰς τὴν φιλίαν, δειλότερος δὲ περὶ τὴν ἡμετέραν διάθεσιν. Ἀλλ' ὅρα ἡμᾶς εἰς ὅσον σοι τεθαρρήκαμεν, ὅτι καὶ δειλιῶντος οὐ φειδόμεθα, ἀλλ' ἑτέρας πάλιν δειλίας ἴσως καταβαλλόμεθα σπέρματα, τὸ δειλὸν ἐπιτιμῶντες καὶ ἐξονειδίζοντες. Ἀλλ' ἀνδρίζου καὶ ἔρρωσο καὶ γίνωσκε ἡμᾶς οὐχ οἵους νομίζεις· ἀλλ' ἐπεὶ ὁ παρὼν καιρὸς οὐκ ἀποχρῶν ἐστί σοι πρὸς βεβαίωσιν οἵους ὁ προσέχων (σὺν Θεῷ δὲ φάναι) δείξει τὴν σὴν δειλίαν ἔργοις ἐλέγχοντας· τὸ δὲ εἰς τὴν μάρτυρα τῆς ὑμῶν εὐφυίας φιλοπόνημα, κατὰ τὴν σὴν ἀξίωσιν ἐπελθόντες, τῆς μὲν Ἀσιανῆς σπορᾶς (ὡς ἄν τις εἴποι μηδὲ τῷ Μουσῶν ὀνόματι χρώμενος, ἅμα δὲ καὶ ἀσιανίζων) γνησίαν γονὴν κατειλήφαμεν . σφαλμάτων δὲ οὐδὲν, πλὴν εἴπου τι περὶ σύνταξιν· καὶ τοῦτο σπάνιον ἐπεσημηνάμεθα. Εἰ δέ τι πρὸς τὴν ἄλλην καλλονὴν τῶν ῥημάτων, καλὸν ὂν ὅμως ὑστερεῖν ἐδόκει, καὶ τοῦτο πρὸς τὴν συγγενῆ μορφὴν τὸν λόγου κάλλος μεθηρμόσατο.

EPIST. XCIX.

Eidem.

ΕΠΙΣΤ. ϛΘ'.

Τῷ αὐτῷ.

Montacut. (ep. 243, p. 365).

Quemadmodum pusillanimitatem tuam negare non potes, ita nequis inficiari me bene satis de te persuasum, antequam suavem hanc epistolam missitares : passio ipsa ita est manifesta, ut volentem animadvertere latere non possit. At quomodo fieri possit ut in amicitia colenda pusillanimitas, in utramque partem, nempe fortunæ adversæ, et sanctæ imitationis referri possit, conjecturis adhuc assequi nequeo. Miserum me fateor, quocirca timidior in amicitia ; sed eodem modo afficitur et sanctorum cohors : a pusillanimitate non distillant dulcedo, vel voluptas, nec aliquid, quod per suam naturam oblectat per inconsequentiam, minus gratiæ habet : si enim adversa cum fortuna confligis, sanctos non poteris imitari. At si in quibus timi-

Ὡς μὲν οὐκ ἔχεις ἐξαρνεῖσθαι τὴν δειλίαν, οὐδ' ἂν ἀρνηθείης καὶ πρὸ ταύτης σου τῆς γλυκείας ἐπιστολῆς σαφῶς ἐπεπείσμην. Τοῦ πάθους γὰρ τὸ περιφανὲς, οὐδὲ λαθεῖν δυνηθῆναι συγχωρεῖ βουληθέντι. Ὅπως δέ σε τὸ περὶ τὴν φιλίαν δειλὸν, ἅμα μὲν εἰς δυστυχημάτων κλῆρον, ἅμα δὲ εἰς ἁγίαν μίμησιν ἀναφέρει, τοῦτο συμβαλεῖν οὐκέτι δυνατὸς ἐγενόμην· Οἶμοι δυστυχὴς ἐγὼ, διὸ καὶ περὶ φιλίαν δειλὸς· ὁλλὰ καὶ τῶν ἁγίων σύμπας ὁ χορὸς, καὶ δειλία ἅρ' οὐ γλυκεῖα ταῦτα ἡδονῆς στάζει, καὶ οὐδενὸς, ὅσα πέφυκε τῷ ἀνακολούθῳ τέρπειν, εἰς χάριν ἐλάττω. Εἰ μὲν γὰρ δυστυχεῖς, πόθεν σοι τῶν ἁγίων ἡ μίμησις ; Εἰ δ' ἐφ' οἷς δειλιᾷς καὶ τρέμεις, ἁγίων σε χορὸς ἔχει, ποῦ σου τὰ ἐν ἕθει δυστυχήματα ; Καὶ εἰ τοῦτο δυστυχήματος, τί ἂν εἴη τὸ εὐτύχημα ; Παῦ-

Digitized by Google Распознавание текста ABK/FR

λος, φησὶν, ὁ πτηνὸς καὶ μετάρσιος ἄνθρωπος· Πέτρος ἐφ' ᾧ τὰ τῆς πίστεως κεῖται θεμέλια· τῶν ἄλλων ἁπάντων ἁγίων ἡ πληθὺς παράδειγμά μοι τῆς δειλίας καθεστήκασιν. Ἀλλὰ φεῦ τῶν ἐμῶν κακῶν, τοσούτους ἔχων εἰκονίζειν εἰς ὅσον δυστυχῶ. Διὰ τοῦτο γὰρ καὶ περὶ ὧν οὐκ ἴσασιν ἄλλοι τὴν δειλίαν ἐγὼ δειλιῶ. Ἆρ' εἴ τις γρίφους, ἢ τὰ Σφιγγὸς αἰνίγματα βίον εἶχεν ἐκμιμεῖσθαι, ἄμεινον ἂν, ἢ ὁ ταῦτα λέγων ἀπηλλάγη τῆς ἐπιδείξεως; Παῦλον, ὦ βέλτιστε, καὶ τοὺς κατ' αὐτὸν, ὁ ἱερὸς φόβος, ὃς ἀρετῆς ἁπασῆς, ὡς καὶ συγγράφεις, κρηπὶς ὑπεβέβλητο, εἰς τοὺς ἀμαραντίνους ἀπάγει στεφάνους· σὺ δὲ, οὐκ οἶδα δὲ ὅπως, ὡς μὲν Παῦλος φοβῇ, ὡς δ' Ὀδυσσεὺς, ἢ εἴ τις ἄλλος δυστυχέστερος, εἰς τὰ σύνηθη δυστυχήματα τὸν φόβον ἀνάπτεις. Καὶ δέον μὲν μὴ παράδειγμα νομίζειν τὸν θεῖον Παῦλον τῆς τοιαύτης διδασκαλίας νομίζεις· δέον δὲ, εἴπερ ἐκείνου μιμητὴς ἦσθα, χαίρειν, καὶ πρὸς τοὺς στεφάνους ἐπιστρέφεσθαι, θρηνεῖς καὶ ὀδύρῃ τὴν δυστυχίαν. Δειλία σε στροβεῖ προσλαβοῦσα. Τί σοι καὶ Παύλῳ κοινὸν; μέμφου σεαυτόν· ἔκστηθι τοῦ πάθους· ἀλλὰ Παῦλός σοι διδάσκαλος ταύτης. Χαῖρε τῇ μιμήσει, τῶν ἄθλων εὐφραίνου· ἀλλὰ μὴ ἀκκιζόμενος καὶ ὑποκορίζων τὴν δυστυχίαν, φύρῃς πάντα καὶ συγχέῃς· καὶ τῇ τῶν ῥημάτων κοινωνίᾳ, τὰ πλεῖστον ἀλλήλων διεστῶτα εἰς τὴν αὐτὴν φύσιν βιάζῃ συνάπτειν· ὡς ἂν καλλωπίζοιτό σου, καὶ εὐπρόσωπος ἡ δειλία δοξῇ. Τί γὰρ ἔχει κοινὸν φόβος ἔνθεος, καὶ δειλία ὑβρίζουσα εἰς φιλίαν; ἢ δυστυχημάτων ὄγκος, καὶ λόγος κατορθωμάτων; Ναὶ, φησίν· ἀλλὰ Παῦλος βοᾷ· Φοβοῦμαι μὴ πως ἄλλοις κηρύξας, αὐτὸς ἀδόκιμος γένωμαι. Καὶ τί τοῦτο; χωρὶς φασὶν, τὰ Μύσων καὶ Φρυγῶν ὁρίσματα· οὐδὲ γὰρ οὐδὲ περὶ τὰς Δεσποτικὰς ὑποσχέσεις, ὥσπερ ὁ ἡμέτερος Παῦλος, ἄπαγε, δειλιῶν ἐφοβεῖτο· οὐδ' ἀγωνιῶν τὴν φιλίαν, οὐδ' εὐλαβούμενος μή τις αὐτοῦ τὸν ὑπέρτιμον μάργαρον, ἐκ πειρατικῆς τριβῆς καὶ μελέτης ἁφαρπάσας, ἔρημον παντὸς ἁφῇσῃ. Τὰ σοφὰ ταῦτα καὶ σεμνὰ τῆς δειλίας προσχήματα· ἐν οὐδενὶ τούτων ἐκεῖνος ἐδεδίει· τοὐναντίον δὲ, πεποιθὼς μὲν ἦν καὶ θαῤῥῶν, εἴ τις πώποτε, περὶ τὰς θαυμασίους ἐκείνας ἐπαγγελίας. Βέβαιος δ' ἦν ὅλος καὶ ἀδόνητος τὴν Δεσποτικὴν φιλίαν· κοινὸν δ' ἐβούλετο τὸ ἀγαθὸν πᾶσιν προκεῖσθαι· Ἰουδαίους πρὸς κοινωνίαν τοῦ θησαυρίσματος συνεκάλει. Ἕλληνας ἐκάλει, βαρβάρους ἅπαντας, ἄρχοντας, ἀρχομένους· εἰ βούλει δὲ, καὶ λῃστὰς καὶ πειρατὰς, καὶ πᾶσαν ἁπλῶς τὴν ἀνθρωπίνην συνήγειρε φύσιν εἰς ἀπόλαυσιν τοῦ μαργαρίτου. Καὶ οὐχ ἁπλῶς οὕτως, ἀλλὰ καὶ σπεύδων καὶ τρέχων καὶ πάντα πάσχων, ἵνα πάντως τινὰ τοῦ ἐκεῖθεν κάλλους καὶ τῆς θέας ἀξιώσῃ. Διὸ καὶ σφόδρα θαῤῥῶν ἔλεγε· Τὸν ἀγῶνα τὸν καλὸν ἠγώνισμαι, τὸν δρόμον τετέλεκα, τὴν πίστιν τετήρηκα· λοιπὸν ἀπόκειταί μοι ὁ τῆς δικαιοσύνης στέφανος· Ἀλλ' ἐν μὲν τούτοις τοιοῦτος ἦν ἀπτόητος καὶ στερρός· ἐφοβεῖτο δὲ τὶ; Μήτι αὐτὸς ἐλλείπων ὀφθείη τοῦ δέοντος συνεισενεχθῆναι τοῖς ἐπαγγέλμασι. Διὰ

A dior trepidas, sanctorum accenseare choris, ubi infelicitas tuæ vitæ consistit? Sin hanc adnumeres infelicitatem, quid est, quod vocem felicitatem? Paulus, ais, ille volucer et in sublimi raptus; Petrus, in quo reposita sunt fidei fundamenta; cæterorum sanctorum universa multitudo meæ sunt argumenta timiditatis: eheu mea mala, qui tot mihi possum imagines repræsentare meæ infelicitatis. Enimvero timore timeo in rebus quas alii non capiunt. Quidni qui griphos, aut Sphingis ænigmata, vitam vitalem imitari statuat, satius et melius a declaratione eorum semoveretur, quam qui hæc pronuntiat? Sanctus timor, qui virtutis cujuslibet, ut tu pronuntias, fundus est, Paulum et consocios ejus ad immarcescibiles coronas hinc abduxit. Tu B autem, nescio quomodo, ut Paulus quispiam metuis; ut Ulysses aliquis, vel alius eo infelicior in consuetas infelicitates timorem refers. Arbitrari autem minime debes esse congruum, ut sanctus Paulus in exemplum talis timoris producatur doctor. Par autem fuit, si quidem tu illum volebas imitari, gaudio ut afficereris, converus ad coronarum intuitum, nequaquam plangeres infelicitatem; pusillanimitas te arreptum versat. Quid tu cum Paulo commune habes? Temetipsum corripe; a passione recede. Imo, inquis, hic Paulum præeuntem habeo. Lætare tum de imitatione; de certaminibus tuis exsulta; neutiquam vero muliebriter ludens infelicitatem tuam palpitare, ita ut permisceas omnia et confundas, aut per sermonis communionem, illa, C quæ ab invicem multis disparantur parasangis, per vim sub eadem natura compingas; ut te excolat et gloriosum reddat pulchra facie pusillanimitas. Quin inter se commune habent divinus timor, et pusillanimitas quæ offendit in amicitiam; vel infortuniorum gravamen, cum ratione recte factorum? Quid ita affirmas, verum voca Paulum, cujus sunt: *Vereor ne dum aliis prædico, ipse fiam reprobus* [11]. Quid hoc vult sibi? Separantur, aiunt, Mysorum termini atque Phrygum. Neque enim de promissionibus Dominicis, ut noster ille Paulus, expavescimus, quasi ille præ timore desponderet animum; non de amicitia angebatur, non metuebat ne quis inæstimabilem margaritam, piratica quadam arte et impostura abripiens exspoliatam omnibus derelinquat. Hæc sunt proschemata illa gravitatem præfe- D rentia timiditatis. De nullo istorum metuebat ille; e contrario confidens erat, et resolutus, si quis alius, de promissis illis mirandis; firmus erat plane, et totus inconcussus in Domini amicitiam recolendo: utilitatem volebat omnibus communem exhiberi. Judæos ad communionem thesauri vocabat; vocabat gentes, omnes barbaros, principes, subditos, imo, si lubet, latrones, piratas, et universam mortalium naturam ad participationem margaritæ convocabat. Nec hoc simpliciter, sed cum conatu, cursu, et omni tolerantia, ut sic omnes

[11] I Cor. IX, 27.

Digitized by Google Распознавание текста ABK/FR

vel aliquem saltem pulchritudinis inde resultantis faciat participes. Quapropter, cum multa confidentia ait : *Bonum certavi certamen ; absolvi meum cursum ; fidem conservavi ; de cætero, reposita est mihi justitiæ corona* [12]. Verum erat ille in istis tam imperterritus et obfirmatus, ut nihil metueret ; ne videretur in aliquo deficiens, aut præter congruum quidquam omisisse. Quam ob causam et cum anxietate dicebat : *Ita curro, ut non in obscuro positus ; ita concerto, ut non tanquam aerem verberem, sed subigo vibicibus corpus meum, et in servitutem redigo, ne forsan dum aliis prædico, ipse fiam reprobus* [13]. Quocirca, de proposito non erat dubius, desiderio non deliquium patiebatur, margaritam non metuit abripiendam ; sed ne quid ipse eo indignum pateretur, ne quem defectum, ne quid admittat quod mentem emoveat. Alius hic erat metuendi modus, alius qui respiceret retributiones, ille laudandus, vituperandus iste, ille fluctuantium confirmatorum iste, a brabio abducit ille, hic componit victoriæ præmia, ille erat Pauli, hic est noster. Atenim amo, inquies, ne quid nullus ego plus edicam. Metuo autem vel maxime (si quis alius) piratas in vita obeuntes, ne me spolient amicitiæ fructu, ne insidias struant margaritæ meæ. Quid, homo, tu balbutis ? amicosne malevolos facis ? nec in bonam partem, ut venustatem habeas admiratione, ut splendore coruscante ex amicitia illustratus afficiaris gaudio, et spe meliori luxuriere : sed uti proclive tibi sit, tanquam res inanimes prodere, latronum incursibus et rapinis cedens, partim ut ingestam contumeliam occultare queas perartificiose, et contemptus velo religiosæ verecundiæ famam veneris ; simul etiam ut amicos morsu graviore et profundiore corripias. Ita ut, non quomodo solent malevoli, ita et amici sint ob pusillanimitatem cavillandi ; sed ideo quod videre videor, omnem in eos potestatem, omnem voluntatis dominationem, ad mergendos fluctibus abiisse, quod insidiatores observem et naufragia. Enimvero, vir bone et laudande, artificiose procedens convicium, licet nihil tale intenderit, proderit tamen fortasse, dum foris illatum mentis tumorem compescat, frangendo illum quidem, sed et consilium adhibendo, et sedatiorem operando. At cum publice convicietur aliquis, multas superinducit absurditates, intolerandos mores, vituperium sub prætextu laudis, pudefactionem de iis quæ voluit, sed frustra, occultare. Plurima prætereo. Quod si conviciari propositum fuit, quid opus occultandi artificio ? sin clam esse et latere, certe præstitisset ab omni prorsus contumelia abstinuisse in initio. Qui vero contumeliam per margaritam occultat, nec celare novit artificiose, tamen, nescio quo pacto, a spe sua non excidit et desiderio. Neque enim latuit contumeliosius agens, et scenam illam, ne quid gravius dicam, frustra convincitur adornasse. Visne amicis

τοῦτο γὰρ ἀγωνιῶν ἔλεγεν· Οὕτως τρέχω, ὡς οὐκ ἀδηλῶς, οὕτως πυκτεύω, ὡς οὐκ ἀέρα δέρων ἀλλ' ὑποπιάζω μου τὸ σῶμα, καὶ δουλαγωγῶ, μή πως ἄλλοις κηρύξας, αὐτὸς ἀδόκιμος γένωμαι. Οὐ μὴν οὖν, οὐκ ἐδίσταζε τὴν ὑπόσχεσιν οὐκ ἠγωνία τὸν πόθον· οὐ τὴν ἁρπαγὴν ἐδειλία τοῦ μαργαρίτου· ἀλλὰ μή τι αὐτὸς ἀνάξιον τούτου διαπράξαται, μή τι ἐνδέον, μή τι σαλευομένης γνώμης ἀκολουθον. Ἄλλος οὗτος δειλίας τρόπος, καὶ ἄλλος ὁ περὶ τὰς ἀμοιβάς. Ἐκεῖνος ἐπαινετὸς, οὗτος ψεκτὸς· ἐκεῖνος σαλευομένων, οὗτος ἡδρασμένων· ἐκεῖνος ἀπάγει τῶν βραβείων, οὗτος συγκατασκευάζει τὰ ἔπαθλα· οὗτος Παύλου, ἐκεῖνος ἡμέτερος. Ἀλλὰ γὰρ φιλῶ, φησὶν, ἵνα μὴ ὡς οὐδεὶς εἶπω πλέον· ὡς εἴ τις ἄλλος δέδοικα δὲ τοὺς ἐν βίῳ πειρατὰς, μή με συλήσωσι τῆς φιλίας ἀπόνασθαι· μὴ τὸν ἐμὸν μαργαρίτην λοχήσωσι. Τί λαλεῖς, ἄνθρωπε ; μαργάρους τοὺς φίλους ποιεῖς, οὐκ ἐκ τοῦ βελτίονος, ἵνα τὸ κάλλος θαυμάζῃς, καὶ ταῖς μαρμαρυγαῖς τῆς ἐν τῇ φιλίᾳ λαμπρότητος περιαστραπτόμενος χαίρῃς, καὶ τρυφᾷς ταῖς ἀμείνοσιν ἐλπίσιν. Ἀλλ' ἵνα ἐξῇ σοι τοῦτο μὲν, ὡς περὶ ἀψύχων προδοσίαν πλάττειν, καὶ λῃστῶν ἐφόδους καὶ ἁρπαγήν. Τοῦτο δὲ, ὡς ἂν συνηθείης τὸν προπηλακισμὸν κρύπτειν τῷ τεχνάσματι· καὶ τῷ ἐσχηματισμένῳ ὕβρεως, ἅμα μὲν εὐλαβείας δοξαν θηρᾶσαι, ἅμα δὲ βαθύτερόν τε καὶ πικρότερον τῶν φίλων καθάπτεσθαι· ὅτι καθ' ὃν τρόπον, οὐχ οἱ μάργαροι, λέγω, οὕτως οὐδ' οἱ φίλοι τῆς δειλίας εἰσί μοι παραίτιοι· ἀλλ' ὅτι ὁρῶ τὴν περὶ αὐτοὺς ἐξουσίαν, καὶ τὸ κράτος τοῦ βουλήματος, ὅλον εἰς τοὺς καταποντιστὰς μεταχωρῆσαν, καὶ τοὺς λοχῶντας καὶ τὰ ναυάγια. Ἀλλ' ὕβρις, ὦ καλὲ καὶ ἀγαθὲ, σὺν τέχνῃ προϊοῦσα, λανθάνουσα μὲν, τάχα τι καὶ συνήσει, τῆς ψυχῆς τὸ οἰδαῖνον ἔξω ῥηγνῦσα, παρηγοροῦσά τε καὶ διαπραύνουσα· ἐπειδ' ἂν δὲ κατάφωρος γένηται, εἰς ταὐτὸν ἄτοπα πολλὰ συνάγει· ἦθος βαρὺ, ψογὸν ἐπαίνους ὑποκρινόμενον· αἰσχύνην, ἐφ' οἷς ὁ κρύπτων οὐκ ἔλαθεν. Καὶ παρατρέχω τὰ πλείονα. Καίτοι, εἰ μὲν ὑβρίζειν ἔδει, τίς ἡ μηχανὴ τοῦ κρύπτειν ; εἰ δὲ λαθεῖν ἐχρῆν, ἄμεινον ἦν μηδὲ τὴν ἀρχὴν εἰς ὕβριν ἐλθεῖν. Ὁ δὲ κρύπτων μὲν ἐν τῷ μαργάρῳ τὴν ὕβριν, λαθεῖν δὲ οὐκ ἔχων τὴν τέχνην, οὐκ οἶδ' ὅπως, ὧν βούλεται οὐ διαπεσεῖται. Οὔτε γὰρ ἔλαθεν ὑβρίσας, καὶ τὴν σκηνὴν (ἵνα μηδὲν εἶπω πλέον) ἐλέγχεται μάτην διαπλώσας. Βούλει μαργαρίδας τοὺς σοὺς ἐξονομάζειν φίλους ; μὴ σαυτὸν δισταγμῷ περιτρίποις, ὡς τὸ λευκὸν τῆς ἀγάπης καὶ λαμπρὸν, εἰς τὴν μέλαιναν διαχύσωσιν ἔχθραν· μηδὲ δειλιᾷς τὸ τῆς διαθέσεως ἔντορον, καὶ πανταχόθεν ἴσον καὶ καθαρὸν, ὡς εἰς ἀνίσους γωνίας πλαστῆς περιθραυσθήσεται γνώμης. Ἀλλὰ δειλιᾷς, μὴ ἁρπαγῇ σου τὸ τιμιώτατον. Οὐκ ἔστιν ἄψυχος οὐδὲ ἀκίνητος ὁ φίλος τὴν φύσιν· ἐκ τοῦ χείρονος ἡ τοιαύτη χρῆσις τοῦ παραδείγματος· καὶ ὁ τὴν ἁρπαγὴν λέγων δεδιέναι, τῆς εἰκόνος ἐπιβουλεύει τὸ χρήσιμον. Ἀλλὰ φοβῇ, μὴ ἅρπαγμα τοῖς λοχῶσι γένηται. Καὶ τί μὴ λέγεις ἁπλῶς ; ἀλλὰ φοβοῦμαι μὴ αὐτὸς ἀποστάς

[12] II Tim. IV, 8. [13] I Cor. IX, 26, 27.

Digitized by Google Распознавание текста ABK/FR

ἡμῶν μετὰ τῶν λοχώντων γένηται · μὴ ἐπιλήσηται φιλίας, πόνων, ἄθλων, οὓς διὰ Χριστὸν καὶ τὴν αὐτοῦ Ἐκκλησίαν ἠνέγκαμεν. Οὕτως ὁ λέγων καὶ ἀποκαλύπτων τῆς ἀγωνίας τὸ αἴτιον, καὶ τὰ ἑαυτοῦ χωρὶς μηχανῆς πράττει, καὶ τὸν αἴτιον ῥᾷστα διορθοῦται, καὶ δεικνύει θαῤῥεῖν ἑαυτόν, οἷς ἐπικαλεῖ. Ὁ δὲ σκηνὴν πηγνὺς, εἶτα δραματουργῶν ἐν αὐτῇ, μετὰ προσωπείου τὸ βλάσφημον, ἀντὶ τοῦ σκηνὴν ἑτέροις προβαλεῖν, λαβύρινθον ἑαυτῷ λανθάνει περιτιθείς · ὡς καὶ νῦν ὁρᾷς οὐκ ἔστιν ἐξελθεῖν. Ἀλλ' ὅθεν ἄν τις προκύψαι πειραθείη, ἀπαντῶσαν ἔχει πανταχόθεν τοῦ λαβυρίνθου τὴν κατασκευήν. Χωρὶς γὰρ τῶν εἰρημένων, εἰ μὲν νῦν δειλιᾷς τὴν φιλίαν, τί μὴ ῥίπτῃς[o], ἤ σε διὰ βίου σαλεύουσα παίζει; Εἰ δὲ ἐθάῤῥησας, πῶς ἐκ τοῦ παρόντος, καὶ περὶ τῶν μελλόντων οὐ λαμβάνεις τὴν ἀσφάλειαν ; ἀλλ' οἷς μὲν ἔχεις, οὐ χαίρεις · ἃ δ' ὑπονοεῖς, ὡς ὑπ' αὐτῶν κατειλημμένος, στένεις · μᾶλλον δ' ἄν τις ἕτερος αἰτιάσοιτο (οὐ γὰρ ἔγωγε ἂν φαίην) ὡς ἐξ ὧν περὶ τῶν μελλόντων τεθορύβησαι, ἔργῳ κἂν μὴ λόγῳ διομολογῇς, ὡς οὐδὲ τὰ παρόντα σοι πέπηγεν · ἀλλ' ἡμεῖς ὦ φίλος, οἷα λέγομεν, ἁπλᾶ καὶ σαφῆ συνεπισκόπει. Οὐκ ἐπιτρέπω μέν σοι προδοῦναι τὸν μαργαρίτην · ἀλλὰ μηδ' εὐπρόδοτον λογίζου· τοῦτο γὰρ πρὸ ἐκείνου πικροτέρα μᾶλλον καὶ βαθυτέρα προδοσία. Μὴ προδῷς τὸν σὸν μαργαρίτην, ἀλλὰ μηδ' ἀναίσθητον καὶ ἀκίνητον ὑπονόει, μηδὲ τοῖς ἐχθροῖς εἰς ἅλωσιν πρόχειρον · μὴ δειλία τὴν φιλίαν· ὕβρις ἐστὶ πάντως ἢ τοῦ δειλιῶντος, ἢ περὶ ὧν δειλαινόμεθα. Τὸν μὲν γὰρ μαργαρίτην ἐξαίρει τῆς αἰτίας τὸ ἄψυχον · τὸν ἄνθρωπον δὲ οὐδὲν ἕως ἂν ἄνθρωπος μένῃ, καὶ τῆς ἐπ : ἄμφω ῥοπῆς Κύριος. Τί ἄλλο ; Μὴ νόμιζε τοὺς ἁγίους ταύτην τὴν δειλίαν νοῆσαι · μὴ σύ γε, ὦ βέλτιστε, μηδ' ἐπὶ ταύτῃ καθαρὸς ἀπιέναι μώμων · μὴ ὅτι γε στεφάνων σὺν αὐτοῖς τεύξεσθαι. Οὕτως ἡμεῖς σοι προσφερόμεθα · οὕτω καί σε πρέπον ἡμῖν προσφέρεσθαι · ἐπιτιμηθῆναι δεῖ ; καθαρῶς ἐπιτίμησον Οὐδὲν ἀπαίτει, μηδὲ μετὰ τέχνης ἐπίβαλλε · ἀφορμὰς δεδώκαμεν δειλίας ; ταύτας ἐπίδειξον · οὐκ ἔχεις εἰπεῖν · μηδὲ ἐν ἐχθρῶν προσώπῳ, καθ' ἡμῶν ῥίπτῃ τὸν ὀνειδον · καὶ μυρία δ' ἂν κατόψαιτ' ἄν τις, ἀπὸ τῶν ὑμετέρων γραμμάτων προκύπτοντα ἀλλ' ἴσως καὶ ταῦτα πλέον, ἢ κατ' ἐπιστολῆς νόμους. Τὸ λοιπὸν ἀνδρίζου τὴν φιλίαν, καὶ ἔκτεινε, καὶ κατευοδοῦ · τοὺς πειρατὰς καὶ λοχῶντας, καὶ εἴ τι ἄλλο κακουργὸν γένος, εἰς τὴν τῆς αἰσχύνης ἀπωθῶν καὶ βυθίζων θάλασσαν · σαυτὸν δ' ἐκεῖθεν ἀνάγων, τὸν λαμπρότατόν σου λαμπρῶς περιφέρων μαργαρίτην · κἂν πᾶς ὀφθαλμὸς πρὸς αὐτὸν ἐπιστρέψηται, ἢ ἐποφθαλμιῶν, ἢ ἀπολαύων τοῦ κάλλους, ὅλον ἔχειν παρὰ σοὶ κείμενον νόμιζε. Ταῦτα παίζων ἅμα καὶ σπουδάζων ἔγραψα · παίζω μέν, ἵνα γνῷς, ὡς ἐστὶ καὶ ἡμῖν καταῤῥητορευομένοις ὑπὸ τῶν σφριγώντων τὴν ῥητορίαν ἀμύνης ἀκμὴ, καὶ λόγος λύων σοφίσματα · σπουδάζων δὲ, ἵνα μηκέτι δειλὸς ᾖς, περὶ ὧν προσ-

simos tuos palam nominare ? Noli temetipsum distractioni subjicere, ita ut candorem amoris et splendorem in nigredinem convertas inimicitiarum. Noli ita meticulosus esse, ut tui instituti soliditatem, et statum undequaque æqualem, atque labe omni immunem, in angulos inæquales confictæ opinionis collidere. Sed curam dejiceris, ne forte quod pretiosissimum est violenter a te rapiatur. Amicus non est sine anima, nec immobilis natura sua ; a parte deteriore deducitur hujus exempli usus. Is qui se dicit rapinam metuere, quod in ipsa imagine utile habetur, idem oppugnat ex insidiis. Metuis porro, ne insidiantibus præda fiat ; quidni autem disertim affirmas ? vereor ne desertor nostri ad partes se transferat insidiatorum ; vereor ne obliviscatur amicitiæ, laborum, certaminum, quæ pro Christo sustinemus et Ecclesia. Hæc qui pronuntiat, et metus sui causam sic revelat, rem suam agit sine machina, et eum facile reducit in viam rectam qui est in culpa, et se in iis spem suam ponere agnoscit, quos advocat in auxilium. At qui scenam statuit, et in illam introducit actores, qui personas maledictis incessant, pro scena quam aliis adornavit, sese induit in labyrinthum, unde, quod facile apparet, non licet extricari ; sed a qua parte quis prospicere tentaverit, occursat ei labyrinthi paratura ; ut ad ea, quæ allata sunt, non attendas, si adhuc nunc amicitiam reformides, quid non illam abjicis, quæ sic te per totam tuam vitam exagitando deludit ? Quod si aliquando confidebas, cur non te in præsenti, per statum eum qui est et de futuro tibi acquiris securitatem ? Sed de rebus præsentibus minime lætaris, quæ suspicaris futura, non aliter gemis, quam si iisdem constrictus tenereris. Adhuc magis te accuset aliquis (is enim egomet non profiteor esse) quod utcunque non verbo re tamen ipsa profiteris, ex iis quæ ventura sunt, quod et conturbant, te ne quidem præsentibus adhibere fidem. Tu autem, amice mi, quæ a me dicuntur, simpliciter et aperte velim consideres ; non permitto te tuam prodere margaritam, quæ tamen facile prodi non potest ; est hæc ante illam acerbior et pro funda magis proditio. Ne tuam prodas margaritam ; sed nec insensatam crede vel immobilem, nec hostili direptioni expositam : amicitiam ne metuito ; est enim plane illud injuria vel metuentis, vel de quibus metuimus. Margaritam culpa eximit, quod sit inanimatum quid ; hominem nihil eximet quandiu manet homo, et dominus est inclinationis suæ in utramque partem. Ecquid aliud restat ? Noli accedere sanctos hunc timorem intellexisse. Neque enim tu hoc modo a reprehensione immunis abiveris ; nec coronas cum illis communes consequeris : atque hoc modo ego te allocutus sum ; ita et te me alloqui par est ; si correptione opus sit, sincere

VARIÆ LECTIONES.

o ἴσ. ῥίπτεις.

Digitized by Google Распознавание текста ABK/FR

corripias velim ; noli aliquid efflagitare ; noli quidquam artificiose adjicere ; occasiones meticulositatis dedimus ? hasce revela, sed proferre nequis. Noli igitur personatus hostis in me exprobrationem projicere : quorum satis tantam supellectilem e tuis litteris proreptantium videre licet ; et hæc forte pluribus quam secundum leges epistolicas. Quod restat, fortiter tuere amicitiam ; eam extende, recta incede ; piratas, insidiatores, et cæteros maleficos in pudoris pelagus propelle, et demerge profundo. Expedi te inde, et splendidam illam margaritam tuam splendide circumferto, oculus quicunque in eam convertetur, vel lippitudine, vel sua pulchritudine fruiscens, tu tamen apud te depositam custodito : hæc partim serio, partim joco scripsi. Et ideo quidem jocor, ut intelligas apud me rhetoricantem esse et vigere ultionis aciem, et solvendi sophismata scientem orationis vim, ab iis edoctam qui valentissime rhetoricantur : serio autem scribo, ne deinceps sis meticulosus, ubi virum temet præstare oportet. Depositum vero apud me tuum, et servatur et, noli metuere, servabitur.

ἦκεν ἀνδρίζεσθαι. Ἡ δὲ παρακαταθήκη (σὺ δὲ πᾶν δειλία), καὶ σώζεται καὶ σωθήσεται.

EPIST. C.
Eidem.

ΕΠΙΣΤ. Γ'.
Τῷ αὐτῷ.

Montacut. (ep. 244, p. 371).

Nec scenam ego nec theatrum sub alis meis gestans prodigiose sum locutus ; sed quod æquum et justum fuit, libere pro veritate constiti ; ego non contra amicos, sed et nec contra hostes tela, arcus, belli ordines institui, nullos hostes, clypeos nullos somniavi ; ut solent illi, qui cum aere depugnant ; sed libere locutus sum pro amicis. Quod si tibi arridet, ut ab ulceribus suis Lazarus liberetur, quibus conflictatur, nec deinceps ab iis molestiam patiatur ; si omnem fluctuum ingruentium vim in caput piratarum convertas, tum demum mare vitæ istius sine metu licet navigare. Vide autem, quod ego minime tibi insidias struam per hoc exemplum ; nec indigentis voluntatem subverto, cum gemitibus divitem prosequor, et sitim inexstinguibilem, et chasma illud, et ignem, et tormenta. Non enim a parte deteriore (quanquam recte tu illud in manus sumpseris), sed in meliore sumitur ; arbitror me non frustra operam dedisse libertati linguæ ; quod si mihi virum amicissimum nancisci contigit (quod a te scriptum gaudio me replevit et lætitia), qui timiditatem qua male premebatur longe a se removit, ejus autem loco elegit sibi moribus suis et recte factis congruam et congenerem fortitudinem ; quique piratas illos cum suis artificiis et machinamentis profundo demersos obruit, ipse autem omnibus malorum ventorum flatibus et fluctibus super exstans, spe se fulcit et sublimat bona. Hæc porro exempla nequaquam mala mente a me proferuntur, et ne male multent, rationem inivi : illa autem quænam est ? Ne quis scilicet, fontem et fluvium a natura sincera in exemplum trahens (quo tuum te lapsum sustinere posse exemplo putas), deinde metuat, ne sibi veneratio dilabatur, aut deploret tanquam ab aliis per rivulos deducta, dispareat : nec metuit ne aliquando ansam illis det sibi applaudendi de furto, qui ut auferant insidiantur, aut negligat insidiatores, quibus id in votis est, ut amatores justa fruitione defraudent. Hæc nos senili consilio secundum veritatem diximus, non autem ostentandi nos gratia, aut ut juvenes solent, disseruimus. Quocirca, non hortati sumus ut abrenunties amicitiæ (absit, ut aliqua rhetoricæ gravitas

Οὔτε σκηνὴν καὶ θέατρον ὑπὸ μάλης φέροντες ἐτερατευσάμεθα· δικαίᾳ δὲ λόγων ἐλευθερίᾳ τῆς ἀληθείας προέστημεν· οὔτε κατὰ φίλων, ἀλλ' οὐδὲ κατ' ἐχθρῶν ὡπλισάμεθα βέλη καὶ τόξα καὶ παρατάξεις· καὶ πολεμίους καὶ ἀσπίδας ὀνειρώττοντες, ὥσπερ οἱ πρὸς ἀέρα πυκτεύοντες· ἀλλ' ὑπὲρ φίλων ἐπαῤῥησιασάμεθα. Εἰ βούλει δὲ, καὶ ἵνα ὁ Λάζαρος ἀπαλλαγῇ τοῦ παραλυποῦντος ἕλκους, καὶ ἀνώτερος τοῦ διοχλοῦντος γένηται, πᾶσαν κυμάτων ἐπιφορὰν εἰς τὰς τῶν πειρατῶν κεφαλὰς ἐπαναστρέφων, καὶ λοιπὸν ἀδεῶς διαπλέοι τοῦ βίου τὴν θάλασσαν. Καὶ ὅρα ὡς οὐχ ἐπιβουλεύω τῷ παραδείγματι, οὐδὲ περιτρέπω τοῦ κεχρημένου τὸ βούλημα, τὸν πλούσιον ἐπιστένων, καὶ τὴν ἄστηκτον δίψαν, καὶ τὸ χάσμα, καὶ τὸ πῦρ, καὶ τὴν βάσανον. Οὐ γὰρ ἐκ τοῦ χείρονος (ἀλλ' ἐγί σοι μεταχειριζομένῳ κατὰ τὸ βέλτιον εἴληπται), οἶμαι δ' ὡς οὐδὲ μάτην ἡ παῤῥησία, καὶ τὸ ἐλεύθερον τῆς γλώττης μοι διεσπούδασται. Εἴ γε τὸν φίλτατον ἔχομεν (ὡς καὶ σὺ γράφεις χαρᾶς ἡμᾶς καὶ εὐφροσύνης πληρῶν) παρωσάμενον μὲν τὴν οὐδαμόθεν αὐτῷ προσήκουσαν δειλίαν, ἀνθελόμενον δὲ τὴν συγγενῆ τῶν ἄλλων τρόπων καὶ κατορθωμάτων ἀνδρείαν· καὶ βυθῷ μὲν τοὺς πειρατὰς, αὐταῖς μηχαναῖς καὶ τέχναις τῆς σφῶν βδελυρίας, ἐπικλύσαντα· αὐτὸν δὲ πάσης τρικυμίας πονηρῶν ὑπερανασχόντα πνευμάτων, καὶ ταῖς καλαῖς ἐλπίσιν ἐπαιωρούμενον μετάρσιον. Τὰ μέν τοι παραδείγματα οὐ μὲν οὖν οὐ κεκακούργηται παρ' ἡμῶν, ἀλλ' ἵνα μὴ κακουργῆται, λόγον ἀπείληφεν. Τί γε λέγω ; ἵνα μή τις πηγὴν καὶ ποταμὸν, ἐπὶ τῆς ἀκηράτου φύσεως ὑπόδειγμα λαβὼν (ὃ καὶ τὸ σὸν ἀνέχειν ὑπείληφας παρολίσθημα), ἔπειτα τὸ μὴ διαῤῥυῆναι αὐτῷ τὸ σέβας δειλιᾷ· μηδ' ὡς ὑφ' ἑτέρων παροχετευόμενον κατοδύρηται· μηδ' ἔχοι φόβον, ὡς τοῖς ἐνεδρεύουσί ποτε δοίη κροτῆσαι τὴν ἅλωσιν· ἢ τοὺς λοχῶντας περιόψεται, ἀποστερεῖν ἐπιχειροῦντας τὰς ἐραστὰς αὐτοῦ τῆς δικαίας ἀπολαύσεως. Οὕτως ἡμεῖς πρεσβυτικῶς τε καὶ φιλαλήθως, ἀλλ' οὐκ ἐπιδεικτικῶς, οὐδὲ κατὰ νεανίσκους, περὶ ὧν ἐχρῆν, διεξήλθομεν. Διόπερ οὐδὲ τὴν φιλίαν ῥίψαι προὐτρέψαμεν (μὴ μοι γένοιτο μὴ οὕτω τῆς πολλῆς ἡμῶν ἁπλότητος τὸ δεινὸν τῆς ῥητορίας κατεντρυφάτω), ἀλλ' ἥτις ἐστὶ τοὺς φίλους παίζουσα, ἥτις σαλεύουσα, ἐκείνην ἀποσείσασθαι, ἐκείνην ῥίψαι· ἡ

Digitized by Google Распознавание текста ABK/FR

τό γε ἑαυτῆς μέρος προαπέστη, καὶ καταλέλοιπεν · ἐκείνην μὴ φέρειν ἄχθος μάταιον, τὴν λόγοις μόνον ἐπιμειδιῶσαν · ἔργῳ δὲ τὸ σκυθρωπὸν καὶ τὴν κατήφειαν μετὰ τῶν ἐχθρῶν συσκευάζουσαν. Τὰ δ' ἄλλα, ὥσπερ ἤτησας, πτέρυγες φιλίας ἥρπασαν, καὶ προνοίας περιέπουσι θάλαμοι, καὶ οἰκειοῦμαι τὰ ἐμά · καὶ οὐκέτι δέομαι φαρμάκων, οὐδὲ θεραπείας, μηδ' ἱλεοῦντος, αὐτός γε, μηδὲ πρεσβεύοντος. Ἔχω γὰρ τὸν ποθούμενον πάσης ἀῤῥωστίας ἀνώτερον · καὶ τὸ ἴχνος αὐτὸ τοῦ νοσήματος, τὴν μικρὰν δειλίαν, εὐγενῶς τε καὶ ὥσπερ ηὐχόμην, ἀπορῥίψαντα.

A sic simplicitati meæ insultet), sed illi nuntium remittendum, quæ illudit amicos, quæ fluctuat et vacillat ; illam rejiciendam esse, quæ quod ipsam spectat, jam recessit et reliquit sedem, cum non esset oneri sustinendo par, quæ verbis tenus arridet tantum, re autem ipsa per tetricitatem et dejectum vultum a partibus consistit hostium. Quod reliquum est, id quod volebas, alæ amicitiam abripuere, et providentiæ refocillant thalami : ego res meas mihi reddo familiares ; nec adhuc mihi medicina opus est, aut curatione ulla, vel a quoquam miseratione, nedum alicujus intercessione. Quem enim desidero, hunc possideo, omni morbo et valetudine superiorem, quique vestigium omnis ægritudinis metum vel minimum generose, ut optaverim, rejiciat.

ΕΠΙΣΤ. ΡΑ'.

Εὐσεβείᾳ μοναζούσῃ καὶ ἡγουμένῃ παραμυθητικὴ, ἐπὶ ἀδελφῇ τελευτησάσῃ.

EPIST. CI.

Eusebiæ monachæ, et hegumenæ de sororis obitu, consolatoria.

Montacut. (ep. 245, p. 372).

Εἰ μὲν ἀφ' ἡμῶν ὁ θάνατος ἤρχετο, καὶ πρῶτοι B διὰ τοῦ γένους εἰς πεῖραν αὐτοῦ καθιστάμεθα, εἰκότως ἂν ὡς ἀπροσδοκήτῳ καὶ καινῷ περιπεσόντες ἐθορυβούμεθα τῷ συμπτώματι · ἐπεὶ δὲ, ἀφ' οὗ γεγόνασιν ἄνθρωποι, ζωῇ καὶ θανάτῳ μεριζόμεθα, καὶ προγονικὸν ὑπάρχει τὸ ἐπιτίμιον · καὶ οὐκ ἔστιν ὃς ζήσεται, καὶ οὐκ ὄψεται θάνατον · τί τὸ κοινὸν χρεὸς ἰδίαν ζημίαν λογιζόμεθα ; καὶ, ὡς καινὴν ἀπαιτηθέντες εἴσπραξιν ἀπολοφυρόμεθα ; καὶ ὃ [οὐκ] ἐστὶν ἄλλως γενέσθαι, οὐδ' ἡ φύσις ἄλλον νόμον ἐπίσταται, ὡς τι τῶν παραδόξων ὑπερεκπληττόμεθα ; καὶ δεδόαμεν ἑαυτοὺς οὐκ εὐαγῶς, οὐδὲ κατὰ τοὺς νόμους τοῦ πνεύματος, ὅλους τῇ λύπῃ βαπτίζεσθαι : καὶ λανθάνομεν, θάνατον συγγενῶν ὀδυρόμενοι, ἑαυτοῖς τῷ θρήνῳ τὸν θάνατον συγκατασκευάζοντες ; Καίτοι, εἰ μὲν χαλεπὸν ὁ θάνατος, τί τοῦτον ἑαυτοῖς ἐπιταχύνο- C μεν ; καὶ τὸν ὅρον τοῦ Πλάστου φθάσαι διανιστάμεθα ; Εἰ δ' ἀγαθὸν καὶ σωτήριον, τί τοὺς ἀποικουμένους, καὶ τότε κρίσει τοῦ Δεσπότου, πέρα τοῦ μετρίου κοπτόμεθα ; Ἀδελφή με, φησὶν, ἐγκατέλιπεν, ἡ μόνη μετὰ Θεὸν παραψυχὴ, τῶν λυπηρῶν ἡ παράκλησις, τῶν ἀλγεινῶν ἡ διάλυσις, ἡ πρώτη τῶν εὐφραινόντων ὑπόθεσις. Καὶ τί τοῦτο ; καὶ πατήρ σε καὶ μήτηρ προλέλοιπεν, καὶ συγγενεῖς ἄλλοι, καὶ τὸ μέχρις Ἀδάμ γένος ἀναφερόμενον. Σὺ δὲ πάλιν ἄλλους καταλείψεις, καὶ οὐκ ἔστιν εὑρεῖν, ὃν οὐ πλεῖστοι καταλιμπάνουσιν. Ἀδελφὴ κατέλιπεν ἀδελφὴν · ἀλλ' εὗρεν τοὺς προλαβόντας γεννήτορας · κατέλιπεν ἀδελφὴν, ἀλλ' εἰς τὸν κοινὸν Δεσπότην καὶ Πατέρα ἀπεδήμησεν · ἀλλὰ πρὸς ἐκείνην τὴν πολιτείαν, πρὸς ἣν καὶ ἡμεῖς πορευόμεθα. Εἶτα ὅτι μέν σε κατέλειπεν, λο- D γίζῃ · οἵους δὲ κατέλαβεν οὐκ ἐννοεῖς ; Καὶ τὸ μὲν σῶμα στένεις ὅτι οὐχ ὁρᾷς · ἡ δὲ ψυχὴ ὅτι μᾶλλον ἀκώλυτον εὗρεν τὴν πρὸς σὲ συνάφειαν, οὐ χαίρεις συνορᾷν · καὶ ὅτι μὲν φθαρτῶν ἀπηλλάγη, δεινὰ ποιεῖς · ὅτι δὲ τῶν ἀφθάρτων ἀπολαύει, οὐ μέγα ἡγῇ. Πῶς δαὶ καὶ κατέλιπεν ; εἰ μὲν εἰς τὸ μὴ ὂν ὑπεχώρησεν, εἰ ὑπ' ἄλλην ἐξουσίαν καὶ κυριότητα γέγονεν, τότε ἂν ἡμᾶς ὡς ἀληθῶς ἐγκατέλειπεν· Εἰ δὲ τῇ αὐτῇ παλάμῃ φρουρεῖται τοῦ Πλάσαντος, καὶ τὸν αὐτὸν Κύριον δεσπόζοντά τε καὶ προνοούμενον ἐχο-

Si a nobis mors inciperet, et omnium in genere nostro primi nos illam experiremur, merito quidem, ut de re inexspectata et inusitato casu conturbaremur. At cum post homines primum natos inter vitam et mortem dividamur, cumque majoribus nostris inflictum sit supplicium, nec sit qui vivit, quin gustabit mortem : commune debitum quorsum nos ut peculiare damnum reputamus, et tanquam ad noviter superinductam solutionem adacti gemimus ? et cum aliter fieri non possit, nec legem admittat natura aliam, cur tanquam præter opinionem contingentem ad eam conturbamur, et tradimus nos mœrori immergendos, non sancto aliquo more, aut secundum leges spiritus ? Nosne latet dum mortem nobis affinium lugemus, nos mortem nobis ipsis per luctum adornare ? Quod si res adeo dura mors est, cur eam ita nobis acceleramus ? et contra legem Creatoris nostri insurgimus, ut eam præveniamus ? Sin e bonis sit et salutaribus, quorsum defunctos de Domini sententia ultra omnem modum deploramus ? Soror me reliquit, inquies, solum post Deum solamen meum, doloris lenimen, acerbitatis dissipatrix, principale lætitiæ meæ subjectum. Et quid tum postea ? Pater te et mater an non dereliquerunt, cognati quoque alii, et ab Adamo longum genus ? et tu post te relinques alios, nec invenies virum quem non plurimi deseruere. Soror deseruit sororem, sed parentes invenit præcedentes ; deseruit sororem, sed ad Dominum et parentem communem abiit ; in illam migravit rempublicam, ad quam nos quoque pergimus. Tu, quod te deseruit, commemoras ; at quos invenit, non recolis ; quod corpus non intuearis, gemis ; at quod anima non impediendam tecum conjunctionem invenit, hoc non commemoras, cum gaudio intueri non curas. Quod a corruptione expedita sit, gravatim fers ; quod fruatur incorruptione non magni facis. Verum te quomodo dereliquit ? Certe si in non ens reciderit, si in alienam jurisdictionem et potestatem abiit, tum fatebor eam nos dereliquisse. Quod si eadem Conditoris sui manibus custoditur ;

Digitized by Google Распознавание текста ABK/FR

si eumdem nos et illa Dominum imperantem et procurantem habemus; si eadem habitatio et conversatio utrisque apparatur, si illam habet vita tumultuum expers, nos autem fluctibus etiamnum jactati circumferimur : quare dicenda est illa nos dereliquisse ? Si non ad eumdem quietis portum cursu directi feramur : si non eadem insistamus via : si non et nos quoque finis idem exspectet; tum ratiocinandum fuit eam dereliquisse ; tum divortium factum deplorandum fuit. Sin vero quodcumque quis consilio agitet, et agendo perficiat, eo tantum contendat : quid frustra plangimus ? Quid legi naturæ obmurmuramus, eo quod, cum mortalis exsisteret, morti subservivit ; quod æqualibus spatiis cum patre, matre, universo genere vitam hanc transivit ? An erat æquum ut nostra causa subrueretur natura, et ut creationis termini confunderentur ? Nam quid unquam prodiit per generationem, quod non demum per dissolutionem et mortem remergitur ? Omitto herbas florentes, pulchras, quibus non modo oculi, sed et sensus cæteri oblectantur: plantarum transeo decorem, et universorum animalium greges, quæ omnia temporibus tanseunt, et sortiuntur generationem eam, quæ procemium pangit dissolutioni. Sed recole astrorum chorum bene dispositorum, quanta firmitate exornant firmamentum, illustrioribus aerem coloribus florum in morem illuminantes ; noctem qualiter funalibus exornant, dum horriditatem illius radiis emissis temperant, ita gratum hominibus spectaculum exhibentia : lunam deinceps intuere, quæ mutuata a sole lucem suam, sine dote gratis aerem illustrat, et donum acceptum impertit longe lateque, ita ut diem diei antecedaneum constituere nitatur. Sed terminum ista omnia respiciunt suum, debitum agnoscunt suum, et ad faciendam solutionem maturant. Sol ipse nonne mirabilis est aspectu, pulchritudine plane admirabilis ? de quo non aliud edixeris, quam quod *ut gigas exsultat conficere cursum suum, ab una cæli extremitate ad alteram*[14], cursu quodam ordinato, licet supernaturali, in orbis medio se explicans, tanquam in theatro manifestatur, et radiis omnia percutiens, partim vita dotata imbuit, partim fovet ; et compingit in se, quæcunque sublunaria secundum edictum conditionis suæ : neque interea, dum hoc peragit tantis et tam productis spatiis consenescit, neque decoris sui deliquium vel diminutionem patitur, non in cursu fatiscit, nihil agit, unde de dissolutione postuletur ; et tamen ille talis tantusque finem suum et consummationem non diffugit, sed decretis succumbit naturalibus. Omnia quippe immutantur, nec quidquam est, quod per generationem substantiatur, quin ante mortem aspiret immortalitatem. Quid ergo ? Hæc omnia refinguntur, et se immutant, nec de fine conditionis suæ murmurant, sed Opificis sui beneplacitum æquo animo ferunt : at nos, qui

μεν, καὶ ἡ αὐτὴ ἑκατέροις διατριβή τε καὶ κατασκήνωσις ἑτοιμάζεται· κἂν τὴν μὲν ἥδη θορύβων ἔχῃ βίος ἐλεύθερος, ἡμεῖς δὲ ἔτι τῷ κυμαίνοντι περιφερόμεθα· πῶς ἡμᾶς ἐγκατέλειπεν ; Εἰ μὴ πρὸς τὸν αὐτὸν καὶ ἡμεῖς κυβερνώμεθα τῆς καταπαύσεως λιμένα· εἰ μὴ τὴν αὐτὴν ὁδὸν διανύωμεν· εἰ μὴ τὸ αὐτὸ ἡμᾶς ἐκδέχεται τέλος· ἔδει τότε λογίζεσθαι τὴν ἐγκατάλειψιν, ἔδει τότε πενθεῖν τὴν διάστασιν. Εἰ δὲ ὅσα ἄν τις καὶ βουλεύσῃ τε καὶ πράξῃ, πάντα πρὸς ἐκείνην τὴν μονὴν ἀπάγει· τί μάτην κοπτόμεθα ; τί δὲ κατὰ τοῦ νόμου τῆς φύσεως χαλεπαίνομεν, ὅτι θνητὸς ὢν τὴν φύσιν ἄνθρωπος τῷ θανάτῳ ἐλειτούργησεν ; ὅτι τὰ ἴσα καὶ ὅμοια πατρὶ καὶ μητρὶ καὶ τῷ λοιπῷ γένει τὸν παρόντα βίον διεπέρασεν ; Τί δ' ἐχρῆν ἐφ' ἡμῶν μόνον ἀνατραπῆναι τὴν φύσιν, καὶ συγχυθῆναι τοὺς ὅρους τῆς κτίσεως ; τί γὰρ προκύψαν διὰ γενέσεως, οὐ διὰ λύσεως πάλιν καὶ θανάτου καταδύεται ; Παραλείπω βοτανῶν ἄνθη καὶ κάλλη, οὐ τὴν ὄψιν μόνον, ἀλλὰ καὶ τὰς ἄλλας αἰσθήσεις τέρποντα. Παρατρέχω φυτῶν ὡραιότητας, ἀγέλας τε παντοδαπῶν ζώων. Ἅπαντα τῷ χρόνῳ παρέρχεται, καὶ τὴν γένεσιν εὑρίσκει προοιμιάζουσαν τὴν διάλυσιν. Ἀλλ' ἐννόει μοι τὸν εὔτακτον χορὸν τῶν ἀστέρων, ὅπως τε ποικίλλουσι τὸ στερέωμα, βαφαῖς λαμπροτέραις περιανθίζοντες τὰ οὐράνια. Καὶ ὅπως δαδουχοῦσι τὴν νύκτα, τὸ στυγνὸν αὐτῆς ὑπαυγάζοντες, καὶ τὴν θέαν ἄλυπον τοῖς ὁρῶσι παρεχόμενοι· τὴν σελήνην πάλιν ἐπισκόπει, ὅπως ἐκ τοῦ ἡλίου δανειζομένη τὸ φῶς, προίκα τὸν ἀέρα πυρσεύει, καὶ φιλοτιμεῖται τὸ δῶρον, καὶ πρὸ ἡμέρας ἄλλην ἡμέραν φιλονεικεῖ ἀπεργάζεσθαι. Ἀλλὰ καὶ ταῦτα πάντα πρὸς τέλος ὁρᾷ, καὶ τὸ χρέος οἶδε, καὶ τρέχει πρὸς τὴν ἀπαίτησιν. Αὐτὸς ὁ ἥλιος οὐ λαμπρὸς μὲν ἰδεῖν, θαυμάσιος δὲ τὸ κάλλος ; καὶ τί γὰρ ἄλλο εἰπεῖν, ἢ ὅτι ὡς γίγας ἀγαλλιώμενος δραμεῖν ὁδὸν αὐτοῦ, ἀπ' ἄκρου τοῦ οὐρανοῦ, ἕως ἄκρου τοῦ οὐρανοῦ, ἐκεῖνον τὸν ὑπερφυῆ δρόμον καὶ εὔτακτον ἐν αὐτῷ μέσῳ τῷ κόσμῳ ἀνελίττων, θεατρίζει τε καὶ ἐπιδείκνυται· καὶ τὰ σύμπαντα ταῖς ἀκτῖσι βάλλων, καὶ τοῦτο μὲν ζωογονῶν, τοῦτο δὲ θάλπων, καὶ συνέχων τὰ περίγεια λόγῳ καὶ νόμῳ τοῦ Κτίσαντος, οὐχὶ τοσούτῳ μακροῖς ταῦτα πράττων οὐ γηράσκει χρόνοις, οὐδ' ἀλλοιοῦται τὸ κάλλος, οὐδὲ τὸν δρόμον ὀκλάζει, οὐδ' ἔχει πρᾶξιν, δι' οὗ τὴν λύσιν ἀπαιτηθήσεται. Ἀλλὰ καὶ οὗτος ὁ τοσοῦτος καὶ τηλικοῦτος οὐ διαφεύγει τὸ τέλος, ἀλλ' ὑποκύπτει τοῖς νόμοις τῆς φύσεως. Πάντα γὰρ μεταβάλλεται, καὶ οὐδὲν, ὃ διὰ γενέσεως οὐσιώθη, ἐπιζητεῖ πρὸ τοῦ θανάτου μαθεῖν τὸ ἀθάνατον. Τί οὖν ; ταῦτα πάντα μεταπλάττεται καὶ μεταβάλλει καὶ πρὸς τὸν ὅρον οὐκ ἀγανακτεῖ τῆς πλάσεως, ἀλλ' εὐπειθῶς φέρει τοῦ τεχνίτου τὸ βούλημα· ἡμεῖς δὲ δι' ὧν μάτην κοπτόμεθα ; καθ' ἡμῶν τὸ Θεῖον παροργίζειν οὐκ ὀκνήσομεν ; καὶ τοσαῦτα πρὸ ὀφθαλμῶν ἔχοντες παραδείγματα, ὑπὸ τούτων μὲν οὐδενὸς ἀνανήψομεν ; ὅσα δὲ τὸ πάθος καὶ ὁ πονηρὸς ὑπαγορεύει, τούτοις ἑαυτοὺς παραδώσομεν ; Ἔλαβεν ὁ Πλάστης πρὸς ἑαυτὸν τὸ πλαστούργημα· καὶ σὺ οὐκ ἀνέχῃ ἵνα λύσῃ πόνων

[14] Psal. xviii, 6.

Digitized by Google Распознавание текста ABK/FR

καὶ φροντίδων, ἃ τῷ βίῳ πάντως συνανακύπτουσιν· καὶ σὺ δυσχεραίνεις ἵνα ἀναστήσῃ· καὶ σὺ τὴν τοσαύτην χάριν ὀλοφύρῃ; Αὐτὸς ἀπαθανατίζει, καὶ σὺ, ὡς μηκέτι οὔσης, εἰς ὀδυρμοὺς καταπίπτεις· καὶ ποῦ ταῦτα τῆς σῆς ἀρετῆς ἄξια; ἀλλ' ἀναλάβωμεν ἑαυτούς, ἐπιγνῶμεν ἡμῶν τὴν φύσιν, ἐπιγνῶμεν τὸν Πλάστην, ἐννοήσωμεν τὴν ἄβυσσον τῆς Δεσποτικῆς φιλανθρωπίας. Ἔδωκεν εἰς ἐπιτιμίου λόγον τὸν θάνατον· ἀλλ' ἀθανασίας αὐτὸν πύλην δι' ἰδίου μετεσκεύασεν θανάτου. Ὀργῆς καὶ ἀγανακτήσεως ἀπόφασις ἦν· ἀλλὰ τὴν ἄκραν ἀγαθότητα τοῦ κριτοῦ μηνύει· ἀλλ' ὑπερβαίνει λογισμῶν μεθόδους τὸ ἐννόημα. Λύει μὲν γὰρ θανάτῳ τὴν φύσιν, ἥτις διὰ τοῦ προγονικοῦ συνετρίβη παραπτώματος· ἀλλ' ἡ λύσις προοίμιον τῆς ἀναπλάσεως γίνεται· Διαιρεῖ τοῦ σώματος τὴν ψυχήν· καὶ ἡ διαίρεσις ἀρχὴ συναφείας λαμπροτέρας τε καὶ θειοτέρας εὑρίσκεται. Σπείρεται γὰρ σῶμα ψυχικόν, ἐγείρεται σῶμα πνευματικόν· σπείρεται ἐν ἀτιμίᾳ, ἐγείρεται ἐν δόξῃ· Ἀναλαμβάνει τὸ φιλοτέχνημα τῶν οἰκείων χειρῶν ὁ Δημιουργός, ἕλκει πρὸς ἑαυτόν· χωρίζει μὲν τῶν ἀνθρωπίνων ὀφθαλμῶν, ἀλλ' ὑπὸ ταῖς ἀγγελικαῖς ἀστραπαῖς καὶ λαμπρότησιν ἐγκατοικίζει. Ποῦ ταῦτα θρήνων, ποῦ δὲ δακρύων; πόσον ἀπέχει τούτων τὸ πένθος; Ταῦτα διανοουμένη καὶ μελέτην ἔχουσα, καὶ πρό γε τούτων ἁπάντων ἐκεῖνο λαβοῦσα τῆς μνήμης, ὅτι ἐκ βρέφους Θεῷ ἐκολλήθης, καὶ τῷ ἀφθάρτῳ καὶ ἀθανάτῳ νυμφίῳ Χριστῷ συνηρμόσθης, γεννήτορας μὲν καὶ ἀδελφοὺς καὶ συγγένειαν πᾶσαν ἀρνησαμένη, αὐτῷ δὲ μόνῳ τὸν βίον ὅλον καὶ τὴν ζωὴν καθυποσχομένη· μὴ καθύβριζε τοῖς ὀδυρμοῖς τὴν ὁμολογίαν, μηδὲ τῷ πένθει τὴν χάριν ἐκείνην ἀμαυρώσῃς, μηδὲ τῇ νῦν σκυθρωπότητι τὴν τῶν ἀγγέλων τότε χαρὰν ἀνταλλάξῃ. Ἂν γὰρ οἷς ἐκεῖνοι νυνὶ χαίρουσιν παρθένον ψυχὴν καὶ τῶν παθῶν ἀνωτέραν, εἰς ἀναπλήρωσιν τῶν ἀπορρύντων δαιμονίων εἰσδεξάμενοι, σὺ ταῦτα πένθους κατασκευάζεις ὑπόθεσιν. Ὅρα ὅπως τοῖς δευτέροις πικρῶς ἐξυβρίζεις τὰ πρότερα. Οὐδεὶς ἀκμάζων τῷ πρὸς τὸν νυμφίον ἔρωτι, λείπει μὲν τὸν πόθον, γίνεται δὲ τοῦ πένθους. Καὶ ὅτι μὲν ἐκεῖνον ἔχει, ἐπιλανθάνεται· θανάτους δὲ περισκοπεῖ καὶ περιεργάζεται καὶ τούτοις περιοδυνεῖται· τῷ πάθει τὸν πόθον βαπτίζων, καὶ τὴν χαρὰν προδιδοὺς τῇ λύπῃ αἰχμάλωτον. Εἰ μὲν οὖν ὁ τελευτήσας, μᾶλλον δὲ ἡμᾶς ἡ προλαβοῦσα τῶν ἀμελῶς καὶ οὐκ εὐσεβῶς βεβιωκότων ἐτύγχανεν· τάχα ἂν συγγνώμην εἶχεν ὁ στεναγμὸς καὶ τὰ δάκρυα, καίτοι γε ὁ Κύριος ἡμῶν καὶ Σωτὴρ, ἡ τῆς φιλανθρωπίας πηγὴ, οὐδὲ πρὸς τούτους ἐπιστρέφεσθαι τοῖς ἀκολουθεῖν αὐτῷ προαιρουμένοις νόμον ἔθετο. Ἄφες γάρ, ἔφη, τοὺς νεκροὺς θάψαι τοὺς ἑαυτῶν νεκρούς· σὺ δὲ ἀκολούθει μοι. Ἐπεὶ δὲ τῶν ὁσίως καὶ θεοφιλῶς διαζησάντων, καὶ Θεῷ τὴν πίστιν καθαρὰν τετηρηκότων, τὸ παρθενικὸν ἐκεῖνο καὶ μακάριον σκεῦος ἐτύγχανεν· πῶς τὴν Δεσποτικὴν φωνὴν οὐ δυσωπούμεθα; πῶς οὐχ εὑρίσκομεν ἐν αὐτῇ πᾶσαν κατηφείας διάλυσιν; Ὁ πιστεύων εἰς ἐμὲ, κἂν ἀποθάνῃ, ζήσεται· διὰ θανά-

A frustra plangimur, per nostram illam querelam Numen irritare non gravamur: neque cum tot habeamus præ oculis exempla, ad eorum aliquod excitati velut de somnio sapimus, sed potius nos iis tradimus exagitandos, quæ diabolus suggerit et affectus nostri. Transtulit opificium suum ad seipsum artifex; tu autem ægre fers, ut a laboribus et curis, quæ passim per vitæ cursum occurrunt, se expediat. Pati non potes ut resurgat illa; sed talem et tantam gratiam collatam doles. Deus illam reddidit immortalem, et tu idcirco, quasi non adhuc exstaret alicubi, in lessus te dedis et lamenta. Hæccine tuam an non dedecent virtutem? Recolligamus nos ipsos autem, naturam nostram recolamus. Conditorem agnoscamus, abyssum divinæ B misericordiæ cogitemus. Mortem ille constituit tanquam pœnam, sed per propriam suam mortem januam immortalitatis mortem constituit: sententia fuit irati, et indignantis Dei, sed tamen eximiam judicis bonitatem indicat; rationis viam omnem exsuperat cogitatio. Per mortem natura solvitur ea, quæ conterebatur per primi parentis transgressionem; sed illa dissolutio fit procœmium nostræ recreationis. Corpus et animam separat mors; illa autem conjunctionis alterius et illustrioris et divinioris initium reperitur: *Seminatur enim corpus animale, surgit corpus spirituale; seminatur corpus in dedecore, surgit in gloria*[15]. Opus enim manuum suarum assumit Opifex, ad se transfert; seponit ab humanis oculis, sed habitare facit in coruscante C illuminatione angelorum. An lacrymæ hic jam congruunt? an lamenta? quam longe hinc removetur planctus? Hæc tu revolvens, et apud animum tuum cogitans, et præter hæc omnia illius imprimis reminiscens, quod Deo ab incunabulis addicta fueras, incorruptibili et immortali sponso Christo copulata, parentes, fratres, consanguineos abnegans, ipsi soli vitam universam et vivendi rationem stipulata. Noli igitur lamentando illam tuam professionem dedecorare; noli luctu illam gratiam offuscare, ne pro præsenti tetricitate gaudium commutes angelorum. Si enim, quibus illi nunc lætantur, animam virgineam passionibus superiorem humanis, ad supplendum locum et statum dæmoniorum, qui de illo exciderunt, suscipientes, tu in argumentum doloris D transtuleris, vide an non priora tua recte facta, per ista posteriora vilies. Nemo amore sui sponsi inflammatus amori nuntium remittet ut se dedat luctui: oblitus quod illum amplectatur, mortes circumspicit, et curiose inquirat, et ob illas vehementer se affliget, passionibus immergens desiderium suum, et gaudium in vinculis constrictum luctui dedens: si autem illa suo fato functa, vel ut verius dicam, quæ nos antecessit, in earum fuisset numero, quæ securæ sui, nec secundum Deum vixerant, tum certe gemitibus indulgendum tibi foret. Nam Dominus et Servator noster ille fons et origo

[15] I Cor xv, 44.

Digitized by Google Распознавание текста ABK/FR

humani amoris sequaces suos nequaquam permisit talibus affectionibus abduci : *Permitte*, inquiens, *mortuos suos mortuos sepelire : tu autem sequere me* [16]. Cum vero inter eos qui secundum Dei dilectionem vixerunt, et Deo fidem sinceram et illibatam servaverunt, virgineum illud et beatum vas fuerit, unde est, quod Dominicam vocem non vereamur ? Cur non in eo vase dissipationem obnubilationis requirimus potius ? *Qui credit in me, licet moriatur vivet* [17], per mortem nempe adeptus immortalitatem, per solutionem nactus indissolubile tabernaculum. Dixit iterum communis ille hominum Servator, et salvandorum sponsus : *Filii sponsalis thalami lugere non possunt, quandiu cum illis manet sponsus* [18]. Audin quid dicit ? Noli te tuamet sententia damnare, ad separationem talis Sponsi per lamenta ; nec illud in teipsum decretum sancias, quod si quis alius tulisset, injuriam non ferres irrogatam, sed in loco hostis et malum tibi machinantis habere velles, et omnimodo a te relegandum diceres. Noli tu lugendo gloriam illam, qua fruitur illa, te ipsam lacrymis dignam facere : *Lugere non possunt, qui assistunt sponso* [19]. Hoc effatum quid sibi vult ? Quid voce hac Dominica terribilius ? Deploras ? itaque disjungis a sponso ; lamentaris ? atque ita genialem thalamum contumelia afficis, id quod homines plerique et vilis multitudo facit, nempe e thalamo excidisti. Quocirca ne ut mortuam deploremus eam, quæ cum Domino vivit ; ne per ea illam de honestemus, quibus eam amore prosequi videri volumus : planctus convicium illis facit, qui cœlestes thalamos incolunt ; lacrymæ convitiantur beato illorum statui ; de fruitione dubitant, qui dubitant de resurrectione, ne dicam qui tollunt. Hoc tu ruminans, et sobrio atque jejunante velut animo perpendens, amove luctum, lætitiam exprime, passionem hanc abdica, lessus, lamenta, dolores, lacrymas. Hoc efficies, cum ad ea quæ diximus attendendo, et imprimis si te abducas penitus ab omnibus aliis, solummodo ad beatum illum et duraturum semper amorem Christi, purissimi illius et impoluti sponsi, integrum integre assumptum convertas, et nequaquam desinas sic conversa illum anhelare.

A του ζωὴν ἀθάνατον εὕρατο · διὰ λύσεως τὴν ἀδιάλυτον κατασκήνωσιν ἐκληρώσατο. Ἔφη πάλιν ὁ κοινὸς ἀνθρώπων Σωτὴρ, καὶ τῶν σωζομένων νυμφίος · Οὐ δύνανται πενθεῖν οἱ υἱοὶ τοῦ νυμφῶνος, ἐφ' ὅσον χρόνον μετ' αὐτῶν ἐστιν ὁ νυμφίος · ἀκούεις τί λέγω ; μὴ καταδικήσῃς σεαυτῆ, διὰ τοῦ πένθους, τοῦ τελικούτου νυμφίου τὴν διάστασιν, μηδὲ ψῆφον κατὰ σεαυτῆς ἐξενέγκῃς, ὃ καὶ ἄλλου τολμῶντος οὐκ ἂν αὐτὴ τὴν ἐπήρειαν ἤνεγκας · ἀλλ' ἐχθρὸν, ἀλλὰ πολέμιον, ἀλλὰ πάντα κακὸν ἀπεκήρυξας · μηδὲ τὴν δοξῆς ἀπολαύουσαν θρηνοῦσα σεαυτὴν ἔνοχον θρήνων ἀποδείξῃς · Οὐ δύνανται πενθεῖν οἱ συνόντες τῷ νυμφίῳ. Τί ταύτης τῆς φωνῆς, μᾶλλον δὲ τῆς Δεσποτικῆς διαμαρτυρίας, φοβερώτερον ; Πενθεῖς ; ἀπέστης τοῦ νυμφίου. Ὀδύρῃ ; τὸν θάλαμον ὑβρίζεις. Τὰ τῶν πολλῶν καὶ χυδαίων πράττεις, ἐκπίπτεις τῆς παστάδος · ἀλλὰ μηκέτι τὴν ἐν Θεῷ ζῶσαν ὡς νεκρὰν θρηνῶμεν · μηδὲ δι' ὧν στέργειν αὐτὴν νομίζομεν, καὶ αὐτὴν ἐκείνην ἀτιμάζωμεν. Ὕβρις ἐστὶ τοῖς τὸν οὐρανὸν θαλαμηπολοῦσιν ὁ ὀδυρμός · καὶ τὰ δάκρυα δυσφημούντων ἐστὶν αὐτῶν τὸ μακάριον, δισταζόντων τὴν ἀπόλαυσιν, ἀμφιβαλλόντων (ἵνα μὴ ἀπιστούντων λέγω) τὴν ἀνάστασιν · ἃ πάντα λογισαμένη, καὶ νεφούσῃ κρίσει ἐπισκοπήσασα, ῥίψον τὸ πένθος, ἀπόθου τὸ πάθος, τοὺς στεναγμοὺς, καὶ τὰ δάκρυα. Ἔσται δὲ τοῦτο τοῖς τε ἄλλοις, οἷς προείπομεν, καὶ ἐάνπερ ἑαυτὴν πάντων τῶν λοιπῶν ἀποσπάσασα, μόνον τοῦ καθαροῦ καὶ ἀχράντου νυμφίου Χριστοῦ τὸν μακάριον καὶ ἀνώλεθρον ἔρωτα, ὅλον καθ' ὅλην σεαυτὴν ἀναλαβοῦσα, πρὸς ἐκεῖνον οὐ λήξεις ἐπιστρεφομένη καὶ ἀτενίζουσα.

B

C

—

FRANCISCI SCORSI MONITUM

IN SEQUENTEM EPISTOLAM.

(Ex præfatione ad opera Theophanis Ceramei).

Habeo in meis monumentis a P. Octavio Caetano collectis epistolam Photii missam Theophani monacho Græce scriptam manu P. Jacobi Sirmondi et Latine ab eo redditam, depromptam, ut judico, ex Bibliotheca cardinalis Sirletti, nunc ducis Altemps.

D

EPIST. CII.
Theophani monacho.

ΕΠΙΣΤ. ΡΒ'
Θεοφάνῃ μονάζοντι.

Edita a Francisco Scorso in Præfatione ad Opera Theophanis Ceramei (in-fol. Paris, 1644).

Si te humilitatis nostræ litteræ delectant, rursum accipe, desideratissime, quæ nihil quidem elegantiæ, facundiæque habeant, ut tu blande dicis ; charitatis vero symbolum sunt procul dubio : quantæque fuerint litterarum vices, tanto et charitatis

Εἰ σοὶ φίλον τὸ πρὸς ἡμῶν τῶν εὐτελῶν γράμμα, δέχοιο καὶ αὖθις, ὦ τριπόθητε, οὐδὲν μὲν ἔχον εὐπρεπές τε καὶ εὔφραδὲς, ὡς χάριτι φής, τὸ δ' οὖν τῆς ἀγάπης σύμβολον ὁμολογουμένως. Καὶ γε ὅσον ἡ ἀντίδοσις τῶν γραμμάτων γένοιτο, τοσοῦτον ἡ τῆς

[16] Matth. VIII, 22. [17] Joan. VI, 47. [18] Marc. II, 19. [19] Matth. IX, 15.

Digitized by Google Распознавание текста ABK/FR

ἀγάπης διαθεσις αὔξοιτο. Οὔ τί ἂν εἴη σπουδαιότερον; ἀλλὰ τοῦτο νῦν κείσθω ἐνταῦθα. Πρὸς δὲ τὸ ἑξῆς βαδιστέον ὁ λόγος. Τί τὸ νύν καινοτομηθὲν ἐν τοῖς αὐτόθι; Καὶ τίνες οἱ νεοφανῶς δράκοντες χαρυβδηδὸν καταπίνοντες ψυχὰς μὴ ἐστηριγμένας τῷ λόγῳ τῆς ἀληθείας; Αὐτὸς μὲν οὖν οὐκ ἐξωνομάτισας, ἡμεῖς δὲ καὶ πρὸ τῆς δηλώσεως τῶν γραμμάτων κατεστενάξαμεν, ὅτι μάλιστα ἐφ' ἑνὶ ἀνδρὶ αἱρετικῷ, μᾶλλον δὲ βλασφήμῳ τῷ ὄντι εἰς Θεόν· λαχόντι ἐν τοῖς αὐτόθι παρὰ τοῦ κράτους χαρτουλαρεῦσιν, ἐκεῖνο εἰπόντες, ὅτι γε τῆς περιδοήτου Σικελίας, ἔφθασεν ὄλεθρος. Τόδε τὸ πῆμα, οὐκ ἐκ δογματικῆς πείρας τετεχνωμένον· ἄπειρον γὰρ τὸ ἀνδριαντάριον· ἀλλὰ ἐξ ἀσεβοῦς γνώμης πεπληρωμένον, καὶ ἵνα τἀληθέστερον ῥηθείη, πρόσθεν ἐπὶ τὸ ἀσεβοῦν ἠγμένον· καὶ γε συνδόσιν ἄλλοις ὁμαίμοσιν. Ἀλλὰ τούτοις μὲν ἡ Τριὰς ἐνθέους στόμασιν οἶδ' ὅτι ἀπορράπισει ὑμῶν τε καὶ τῶν ἐνταῦθα ὑπερμαχούντων τῆς ἀληθείας. Σὲ δὲ, καὶ τὸν οἷος σὺ, μηδὲν ξενιζέτω, ἢ ἔτι λυττοῦσα αἵρεσις. Οὔπω γὰρ ἐκτέτριπται τὸ κακὸν οὔτε δεδοικίμασται ἱκανῶς τῶν πιστῶν τὸ φιλόθεον· καὶ τρίτον, οὐχ οἷοί ἐσμεν ἐμβατεύειν εἰς ἄβυσσον κριμάτων Θεοῦ, καθ' οὓς τρόπους ἀνέχεται ἀκμὴν κλύδωνίζεσθαι τῷ σάλῳ τῆς ἀπιστίας τὸν λαὸν αὐτοῦ.

Πλὴν συμπερασμοῦ τοῦ λόγου, ἵνα οἱ δόκιμοι γίγνοιντο φανεροὶ, ὡς ὁ τῆς σοφίας ταμίας Παῦλος λέλεχεν. Διὸ παρακαλοῦμεν καὶ ἀντιβολοῦμεν, μὴ ἐκκακεῖν διακατελέγχειν σε τοῖς ὑπεναντίοις ἐκ τῶν ἀδύτων ταμείων τῆς καρδίας σου, προφέροντα τὰ θεῖα διδάγματα, καὶ ὑποδεικνύοντα ἐντεῦθεν ἀριδήλως, ὅτι Χριστὸς οὐ Χριστὸς, εἰ μὴ περιγράφοντο τῇ καθ' ἡμᾶς ἰδίᾳ· Εἴπερ γὰρ σάρξ ἐγεγόνει, πάντως καὶ ὡς σάρξ περιγράφοιτο. Ὃ δὲ μὴ περιγράφοιτο, τοῦτο οὐκ εἴσω ἀνθρωπότητος, ἀλλ' ἔξω δηλονότι καὶ τόπου καὶ χρόνου, Θεὸς γυμνὸς τῇ ἀπεριληψίᾳ τε καὶ ἀοριστίᾳ, καὶ λεγόμενος καὶ νοούμενος· καὶ τοῦτο ἀραρότως εἰς ἀναμφίλεκτον ἀπόδειξιν τῆς ἀληθείας φυσικῆς ἀκολουθίας ἀναγκαζόμενον περιγράφεσθαι Χριστὸν κἂν τῇ εἰκόνι προσκυνούμενον, ἐπείπερ ἐν αὐτῇ τὸ ἀρχέτυπον ἐκπέφανται, ὥσπερ φησὶ θεόφαντος Διονύσιος, καὶ ἀλλαχοῦ, ἑκάτερον ἐν ἑκατέρῳ παρὰ τὸ τῆς οὐσίας διάφορον. Ὥστε ὁ ἀπαναινόμενος ἐγγράφεσθαι Χριστὸν ἥρνηται ἄνθρωπον γεγονέναι. Καὶ ὁ μὴ προσκυνῶν αὐτοῦ τὴν εἰκόνα, οὐ τύπον προσκυνεῖ αὐτὸν τὸ καθόλου, κἂν νομίζῃ προσκυνεῖν, ἐπεί φησιν ὁ ἱερὸς λόγος, Οἱ ἄπιστοι ὁμολογοῦσι Θεὸν εἰδέναι, τοῖς δὲ ἔργοις ἀρνοῦνται. Ταῦτα οὐχ ὡς ἀγνοούσῃ τῇ τιμιότητί σου ὑπεδήλωσα, ἀλλ' ὡς συνομογνω μονούσῃ, καὶ ὥσπερ ῥανίδα ἐκ πελάγους δογμάτων ἀνελκύσας, πρὸς τὸ καὶ ἄπειρον ἐσμὸν εἶναι Πατρικῶν, μετὰ καὶ τῆς ἀρχαιολόγου ἱστορίας, ἀπ' αὐτῆς βαλβίδος τοῦ κηρύγματος εἰς σύστασιν τῆς ἀμωμήτου ἡμῶν τῶν Χριστιανῶν πίστεως.

A crescat affectus. Quo quidem optabilius esse quid possit? Verum hæc missa faciamus: ad sequentia pergat oratio. Quid hoc est, quod nunc apud vos innovatum audio? Et quinam hi novi dracones, charybdis instar animas absorbentes quæ veritatis verbo firmatæ non sunt? Tu quidem haud nominasti: nos vero etiam antequam litteræ tuæ significarent, vehementer planximus, unius hominis causa hæretici, sed potius revera blasphemi in Deum, qui chartularii munus istic ab imperatore adeptus est, hoc dicentes celeberrimæ Siciliæ exitium obtigisse. Pernicies autem hæc non ex dogmatica doctrina conflata est: doctrinæ enim expers ingens hæc statua: sed ab impia mente profecta, atque, ut quod verius est dicatur, ad impietatem prius B nata: et quidem cum duabus aliis consanguineis. Sed hos Trinitas divinis oribus profligabit, et vestro et aliorum, quæ veritatem ibi defendunt. Te vero et tui similes minime turbet adhuc furens hæresis. Nondum enim excussum et contusum est malum, nec satis adhuc probatus fidelium in Deum amor; ac tertio, non possumus ingredi in abyssum judiciorum Dei, quomodo populum suum infidelitatis procella usque adeo agitari sinat.

Cæterum sermonis conclusio est ut manifesti fiant electi, sicut sapientiæ dispensator Paulus ait. Quapropter hortamur et obsecramus, ne fatigeris, neque cesses adversarios coarguere ex intimo cordis tui penu divina promens documenta, atque hinc C perspicue demonstrans, Christum non esse Christum, nisi juxta figuram nostram circumscribatur. Nam si caro factus est, utique veluti caro circumscribetur. Quod vero non circumscribitur, id non intra humanitatem est, sed extra haud dubie et locum et tempus, Deus nudus, quem incomprehensibilis et indefinitæ naturæ dicimus et cogitamus. Atque hoc congruenter ad certam demonstrationem veritatis naturæ sequi necesse est, circumscribi Christum, et in imagine adorari, siquidem in ea archetypum repræsentatur, quemadmodum diviniloquus ait Dionysius, et alibi, alterum in altero, præter substantiæ differentiam. Quare qui negat depingi Christum, is natum hominem esse negavit; et qui ejus imaginem non adorat, ne ipsum D quidem prorsus adorat, licet adorare se putet: quando quidem, ut sermo sacer ait, infideles confitentur se Deum nosse, factis autem negant. Hæc ego non tanquam ignoranti reverentiæ tuæ exposui, sed tanquam una sentienti, ac veluti guttam ex dogmatum pelago hauriens, cum infinitæ præterea sint Patrum sententiæ, una cum vetere historia, ab exordio ipso evangelicæ prædicationis ad illibatæ fidei nostræ Christianæ confirmationem.

Digitized by Google Распознавание текста ABK/FR

PHOTII EPISTOLARUM LIBER TERTIUS.

EPISTOLÆ AD OFFICIALES LAICOS ET MAGISTRATUS SÆCULARES.

EPIST. I.

Joanni aspathario et Philoponesi duci.

ΕΠΙΣΤ. Α'.

Ἰωάννῃ ἀσπαθαρίῳ καὶ στρατηγῷ Φιλοπονήσου.

Montacut. (ep. 5, p. 69).

Adverso flumine, quod proverbio dicitur, in præsenti negotia ferri videntur: Joannes enim ille quondam laudatus bonusque subito non est is qui fuit ante (religio enim mihi est adhuc dicere aliter), non est qui fuerat, nec qualem manere eum in votis mihi erat, sed cum hac ætate sit, et ad vitæ occasum jamjam devergat, immutatur. Defluxere res præclaræ, mortua est virtus, oblivionis tumulo occultatur amicitia: amicus communi calculo censetur, non ille qui quod loquitur ex tota anima loquitur, et sine dolo diligit per totius vitæ cursum, sed is qui subdola et sublesta mente, coram et in faciem tranquilliter et jucunde conversatur, at cum extra fuerit oculorum conspectum, omnimodos fluctus malum intentando concitat.

Ἄνω ποταμῶν, ἡ παροιμία, ἐπὶ καιροῦ ἂν φαίη τὰ πράγματα· Ἰωάννης ὁ καλός τε καὶ ἀγαθός, ἐξαίφνης (ἔστι γὰρ εὐλαβοῦμαι αὐτὸ τοὐναντίον εἰπεῖν) οὐκ ἔστιν οἷόσπερ ἦν, οὐδ' οἷον αὐτὸν μένειν εὐχόμεθα· ἀλλ' ἐνταῦθα ἡλικίας ἐλθών, καὶ πρὸς δυσμὰς ἑλαύνων βίου, μεταβέβληται. Ἔρει ρ τὰ καλὰ : τέθνηκε δ' ἀρετὴ, καὶ λήθης τάφῳ φιλία καλύπτεται· καὶ φίλος ἐκεῖνος, οὐχ ὅστις ἐξ ὅλου λέγει τοῦ νοῦ, καὶ ἀδόλως διὰ βίου μένει φιλῶν, ἀλλ' ὅστις ὑφάλῳ γνώμῃ, κατὰ πρόσωπον μὲν ἡδέως γαληνιῶν ὁμιλεῖ, ἔξω δὲ γενόμενος ὀφθαλμῶν, τρικυμίας ἁπάσας ἐγείρει πονηριῶν.

EPIST. II.

Sergio magistro, et Dromi logothetæ.

ΕΠΙΣΤ. Β'.

Σεργίῳ μαγίστρῳ καὶ λογοθέτῃ τοῦ Δρόμου.

Montacut. (ep. 10, p. 73).

Non quidem contra nos, ut tute scribis, sed pro nobis dicta, quæ dicebantur a te, reputamus; atque ideo veniam dictis precari non erat opus. Si quidem quæ protulisti vera sunt, commodo, non incommodo me affecisti, dum culparum instituis reprehensionem, quæ solet procurare emendationem; sin falsa protuleris, magis quidem magisque profueris, eo quod falso culpaveris; res enim magis attendere, et in præcinctura stare nos fecisti; non tantum ut ab operibus iis abstineamus quæ retulisti, sed ut et a pravis cogitationibus quantocius quam longe recedamus; eo quod retributio a cœlis reposita est iis, qui cum proposito mentiendi verba impia protulere. Noli igitur de dictis erubescere; tantum abest ut te nos ob illa incusemus, ut etiam scripto consignatas habeamus gratias.

Οὐ καθ' ἡμῶν, ὥσπερ ἔγραψας, ἀλλὰ ὑπὲρ ἡμῶν, τὰ λαληθέντα σοι λογιζόμεθα· οὐκοῦν οὐδὲ συγγνώμην, οἷς ἐλάλησας, προσῆκεν αἰτεῖν. Εἰ μὲν γὰρ ἀληθῆ τὰ ῥηθέντα, ὠφέλησας, ἀλλ' οὐκ ἔβλαψας, ἔλεγχον τῶν ἡμαρτημένων ποιησάμενος, ἐξ ὧν εἴωθε διόρθωσις περιγίνεσθαι· εἰ δὲ ψευδῆ, πολὺ μᾶλλον ὠφέλησας, μάτην αἰτιασάμενος. Προσέχειν τε γὰρ οὕτω μᾶλλον, καὶ περιστέλλειν ἑαυτοὺς, οὐ τῶν ἔργων μόνον, ὅσα μὴ δεῖ, διανέστησας, ἀλλ' οὐδὲν ἧττον σπεύδειν ἀναχωρεῖν καὶ τῶν μὴ καλῶν ὑπολήψεων. Ἄλλως τε δὲ, ὅτι καὶ μισθαποδοσίαι τοῖς ἐπὶ ψεύδεσι ῥῆμα πονηρὸν ὑφισταμένοις, ἐκεῖθεν ἀπόκειται. Μηκέτι οὖν ἐπερυθριῶν τοῖς σοι λαληθεῖσιν ἐπιδείκνυσο· ἡμεῖς γὰρ τοσοῦτον ἀπέχομεν περὶ τούτων ἐπικαλεῖν, ὥστε σοι καὶ χάριν ὁμολογεῖν ἐγγράφως ἤδη συντιθείμεθα.

EPIST. III.

Basilio patricio urbis præfecto.

ΕΠΙΣΤ. Γ'.

Βασιλείῳ πατρικίῳ καὶ ἐπάρχῳ πόλεως.

Montacut. (ep. 13, p. 74).

Diffluxit virtus, abiit ejus gratia, obtinet impietas, et mendacium alis pullulantibus crescit, veritatis alæ floresque decidunt. Unde autem hæc invaluit malorum Ilias? Nimirum aiunt quod tu sis cum imperio, et qui multo digniores sunt ut tibi imperent, tuum tolerare et trahere jugum cogantur. Moderata certe videtur improbitas quæ vitam ipsis penitus non absciderit; hoc est quod fures passim et carnifices per urbem scatent. Hæc ego de te nullus prædico; is autem qui in præsenti patrat ea quæ per omnium ora et aures celebrantur, ipse est qui (licet ego conticescam) istiusmodi titulis dignus est. Tu porro, si quod referunt, illa agis, odio potius habeto actionem ipsam, de perpe-

Ἔῤῥει τὰ καλὰ, καὶ τῆς ἀρετῆς ἡ χάρις οἴχεται, κακία δὲ πολιτεύεται· καὶ τὸ μὲν ψεῦδος πτεροφυεῖ q, φυλλοβολεῖ δὲ τὰ πτέρα ἡ ἀλήθεια. Πόθεν οὖν ἡ τοσαύτη τῶν κακῶν Ἰλίας; Ὅτι σὺ μὲν; ὡς φασιν, ἄρχεις· οἱ δέ σου πολὺ κρείσσους ἄρχειν, τὸν σὸν βαρὺν ἕλκειν ζυγὸν ἀναγκάζονται· καὶ μετρία τούτοις κάκωσις, ἡ μὴ πᾶσαν αὐτῶν τὴν ζωὴν περικόπτουσα· τοῦτό ἐστιν ὁ ἐν πόλει λῃστὴς, καὶ ὁ πάνδημος δήμοις. Ἐγὼ μὲν οὐ λέγω ταῦτα περὶ σοῦ· ἀλλ' ὁ ποιῶν τὰ νυνὶ πάσῃ γλώσσῃ καὶ ἀκοῇ πάσῃ περιᾳδόμενα, ἐκεῖνός ἐστι (κἂν ἐγὼ σιωπήσωμαι) ὁ τούτων τῶν ὀνομάτων ἄξιος. Σὺ δὲ, εἰ μὲν πράττεις ἃ φασιν, μίσησον μᾶλλον τὴν πρᾶξιν, καὶ τοῖς πραττομένοις αἰσχύνθητι, ἢ τοῖς ὀνομάζουσι

VARIÆ LECTIONES.

p Ἴσ. ἔῤῥει. q Ἴσ. πτερορυεῖ.

Digitized by Google Распознавание текста ABK/FR

μνησικάκησον. Οὐ γὰρ ἔστιν ἄλλως τὰς πράξεις, ἀλλ' ἢ τοῖς οἰκείοις ἐξονομάζειν ὀνόμασιν. Καὶ τῷ δυσχεραίνοντι ταῖς κλήσεσιν, πολλῷ πρότερον ἡ φυγὴ διαπονεῖται τῶν πράξεων. Εἰ δὲ τὰ ψευδῆ σου καταχέουσι· σπεῦσον ὥσπερ ἔφυγες τὴν πρᾶξιν, οὕτω φυγεῖν σε καὶ τὸ ἐγγὺς τυγχάνειν τῆς πράξεως. Τὸ μὲν γὰρ κολάσεως, τὸ δὲ οὐκ ἐπαίνων ἄξιον· καὶ οὐχὶ τὸ πῦρ λυμαίνεται μόνον τοὺς ἁπτομένους, ἀλλὰ καὶ ὁ καπνὸς, τῶν μὴ πόρρω τοῦ πυρὸς ἀφεστηκότων δριμύσσων τὰς ὄψεις καὶ ἀμαυρούμενος.

A tratis pudefias, quam memineris ut punias eos qui sic loquuntur. Sunt enim actiones propriis suis nominibus designandæ. Qui quemcunque titulum in malam partem capit, is potius id agere debebat, ut actiones ipsas evitaret : sin autem te mendaciis onerant, id agas oportet, ut quemadmodum recesseris ab agendo male, ita et omnem devites ejus propinquitatem. Illud supplicium meretur, laudem istud non meretur. Non modo lædit ignis arripientes, sed et fumus eorum oculos perstringit et fuliginat qui non longe ab igne consistunt.

ΕΠΙΣΤ. Δ'.

Σεργίῳ μαγίστρῳ καὶ λογοθέτῃ.

EPIST. IV.

Sergio magistro et logothetæ.

Montacut. (ep. 14, p. 75).

Ἐχθρῶν εἰσιν αἱ ἐπιβουλαὶ καὶ αἱ λοιδορίαι, καὶ τὰ βάραθρα· φίλων δὲ, τὸ ὑπερασπίζειν, καὶ προκινδυνεύειν, καὶ κωλύειν τοὺς ἐπηρεάζοντας, ὅση δύναμις. Μέτριος οὖν τῶν ἐχθρῶν ἐκεῖνος, ὁ τῶν προειρημένων ἑαυτὸν καθυφείς· καὶ μήτε συκοφαντῶν, μήτε δόλους, μήτε ἐπιβουλὰς σκευαζόμενος. Καὶ ἄθλιος τῶν φίλων ἐκεῖνος (εἴγε φίλος ὅλως) ὁ μήτε ὑπερασπίζων, μήτε προκινδυνεύων, μήτε ἀνακόπτειν σπεύδων τοὺς προαιρουμένους ἐπιτίθεσθαι. Τοῦτο γὰρ καὶ τῶν ἐχθρῶν ἂν (ὥσπερ ἔφην) ποιήσῃ ὁ μέτριος. Σκόπει οὖν, οἷς ὑπὲρ σοῦ λέγεις, τίνι σεαυτὸν συντάττεις, Οὐχ ὕβρισα γὰρ, οὐδὲ τῶν διασυρόντων, φήσεις, γέγονα, οὐδὲ κατὰ σοῦ δόλους ἐῤῥαψάμην. Ἐγὼ δ' εἰ μὴ τὸ φορτικὸν ηὐλαβούμην, ἰσχυρισάμην ἂν, ὡς οὐδὲ τοῦτο τῆς σῆς ἕνεκα φιλοτιμίας καὶ γνώμης· ἀλλ' ὅτι μηδ' ἔχεις, ἐξ ὧν σοι ταῦτα, μὴ λίαν ἀσχημόνως καὶ ἐπιγελάστως, συμπλασθήσεται.

Ab hostibus insidiæ, convicia, barathra parantur, amicorum est, indignis modis multatos tueri velle, periculis se ob eos offerre, et vim illatam prohibere, quantum quidem in ipsis fuerit. Inter inimicos modestus est, qui ab ante memoratis se expeditum tenens, nec sycophanta, nec dolosus, nec insidiarum structor erit. Improbus autem amicus ille (si modo talis amicus dicendus) qui nec protegit, nec periclitatur pro amico, nec festinat eos repellere, qui in amicum ejus irruere secum statuerunt. Id enim vel qui inter inimicos modestus est (ut dixi) efficiet. Vide sis ergo cui ipsorum te annumeres, per ea quæ pro te allegas. Te non affeci contumeliis, inquies, nec iis annumerabar qui te irridebant ; nullos in te contexui dolos. Ego certe, nisi quod odiosum hoc fore verear, confirmare auderem hoc nullo modo ut æstimationi tuæ consuleres, aut sententiæ factum. Imo vero nullam habes occasionem tibi suppeditatam unde ista, nisi admodum absurde et ridicule, confingere possis.

ΕΠΙΣΤ. Ε'.

Ἡλίᾳ πρωτοσπαθαρίῳ.

EPIST. V.

Eliæ protospathario.

Montacut. (ep. 16, p. 77).

Ἠτήσω· συνεθέμεθα· γέγονεν· εὐχαρίστει οὖν Θεῷ τῷ χορηγῷ καὶ αἰτίῳ πάντων τῶν καλῶν, τῆς βαρυτάτης φορολογίας ἀπαλλαγείς.

Supplicasti : condescendi : factum est. Gratias age Deo igitur largitori et causæ bonorum omnium, quod liber sis a tributo gravissimo colligendo.

ΕΠΙΣΤ. ς'.

Θεοφυλάκτῳ πατρικίῳ, καὶ στρατηγῷ Ἀρμενιακῶν.

EPIST. VI.

Theophylacto patricio, et duci Armeniacorum.

Montacut. (ep. 21, p. 82).

Τρία μισεῖν οἶδα, καὶ τοὺς ἄλλους μισεῖν παραινῶ, ψεῦδος, καὶ δόλους, καὶ ἀγάπης διαφθοράν. Ἀλοίην ἂν τοῖς τρισὶν, εἴ τί μοι, παρ' ἃ διεπράχθη, καὶ κατὰ νοῦν ἔχω, ἄλλως ἐρεῖν μελετήσω. Ἐγώ σε φίλον ἐποιησάμην, φίλον μὲν ὄντα Θεοῦ, ὅσα γε εἰς εὐσεβεῖς ἦκε λογισμοὺς, φίλον δὲ πιστὸν τοῖς φιλοχρίστοις βασιλεῦσιν ἡμῶν· οὐδὲ τὰ πρὸς ἡμᾶς δὲ παρὰ ταῦτα (ὡς γε αὐτοὺς ἤγομεν εἰς πειθὼ), ἀλλὰ τὸν ὅμοιον τρόπον διακείμενον· ἀλλὰ τότε μὲν οὕτως εἴχομέν τε καὶ πεπείσμεθα, ἔχομεν δὲ ὡσαύτως καὶ νῦν. Πῶς οὖν ἡδύς εἰμι τοῖς σοῖς συκοφάνταις ; Αἰσχύνομαι γὰρ εἰπεῖν, πῶς ἦλθον ἐπὶ σὰς διαβολάς· οὐδὲ γὰρ τὸ ἀπολύειν ἐμαυτὸν ὑπολήψεως τοιαύτης, ἄνεκτον ἐμοί· ἀλλ' ἐκεῖνος ἐχθρὸς, ἐκεῖ-

Tria odio prosequi certum est, et alios hortor ut similiter exosa habeant, mendacium, dolos, interitum amoris. Si quid aliter efferre proposuerim quam quomodo gestum est, et apud animum meum cognitum, tribus istis ego culpabilis fiam. Ego te mihi amicum conciliavi, Dei amicum exsistentem (in quantum pia cogitatione assequi potuerim), amicum autem fidelem, regibus nostris a Christo dilectis : nec te reputabam, quod persuasum habebam, aliter in nos etiam animatum ; bene verum tunc quidem ita forte persuasum habebam, imo et etiamnum eodem modo affecti sumus. Quare igitur gratus sum et acceptus tuis sycophantis ? pudet enim dicere me ad te accusandum descendisse,

Digitized by Google Распознавание текста ABK/FR

nec mihi certe tolerandum videtur ab hujusmodi suspicione me expedire : verum ille hostis, ille sycophanta omnigena malitia repletus est, qui talem, tantam machinationem instruxit, ut te penitus spoliatum amicis redderet, et nos tum etiam in maleficorum extrema regione locare destinarat, nimirum ut principium non violenter manuum illatarum, sed improbi animi, a nobis procederet (unde multo majorum malorum origo quam a manibus procedunt violentis), ut pro dilectione odium potius exspectaremus, et dolos refugium nobis in omnibus statueremus. Omnia in nos per hoc ipsum ingerit; coincidunt etenim in se ista, cum malum nos amicis machinari statuit, et tamen hæc ipsa effutire non horruit apud eos quibus optime nostri mores noti erant, utcunque de ridiculo habebatur. Quis demumcunque fuerit, manifestum illum facito : sic certe te a mala bestia expediveris quæ clanculum cum teipsum tum etiam amicos deprædatur et admordet, et sub prætextu benevolentiæ multiplices instimulat inimicitias. Sin abscondes illum, ego tanquam in conspectu Dei, apologiam dedi, me credere quidem et profiteri amicum te nostrum Deo, et piissimis imperatoribus devotum, non minus in præsenti quam ab olim. Improbus autem ille homo haud quadam, mihi crede, malitia destituetur, qua res tuas pessimo loco statuat. Consulerem ego tibi certe, ne velis communem illum hostem occultare. Certe autem si diffidas iis quæ dicta sunt per me, scio te illum occultaturum, et in amici censu habiturum ; passus interim me longas ineptias agere et desipere frustra : sin propalam feceris, credidisti mihi ; quod in vobis est, utrique certe nostrum conducturum.

A νος συκοφάντης, ἐκεῖνος πάντα κακὸς, ὁ τηλικαύτην πλάσας συσκευὴν, καὶ σε φίλων καὶ τῶν ὅτι μάλιστα σπουδάσας ἔρημον ποιεῖν, καὶ ἡμᾶς εἰς τὸν ἔσχατον τῶν κακουργῶν χώραν τάττειν οἰηθεὶς, ἄρχειν ἀδίκων, οὐ χειρῶν, ἀλλὰ γνώμης (ὁ πλειόνων αἰτία κακῶν, ἢ χερσὶν ὑβρίζειν), μῖσος δὲ πρὸ τῆς ἀγάπης τιμᾷν, καὶ τὸν δόλον ἔχειν εἰς ἀποφυγήν· ἅμα πάντα φέρων καθ' ἡμῶν (συντρέχει γὰρ ταῦτα εἰς αὐτὸ τῷ κακόν τι τοῖς φίλοις ἐθέλειν ποιεῖν, ἃ λέγει ἐκεῖνος), καὶ τοι γέλωτα ὀφλισκάνων, τοῖς ἡμᾶς εἰδόσι, καὶ τὸν ἡμέτερον τρόπον, ὅμως οὐκ ἐνάρκησε τολμᾷν, Δήλου τοῦτον ὅστις ἂν ᾖ [r]. ἀπαλλαγείης γὰρ ἂν οὕτω θηρίου κακοῦ, καὶ σὲ καὶ τοὺς φίλους λάθρα λυμαινομένου καὶ δάκνοντος, καὶ ἐν προσποιήσει εὐνοίας πολλὴν ἐκκενοῦντος [s] τὴν δυσμένειαν. Εἰ δὲ κρύψεις τοῦτον, ἡμεῖς μὲν, ὡς ἐπὶ Κυρίου, ἀπολελογήμεθα, καὶ φίλον σε καὶ Θεοῦ ἡμῶν, καὶ τῶν εὐσεβεστάτων βασιλέων πάλαι τε καὶ νῦν, καὶ πιστεύομεν, καὶ κηρύσσομεν. Ὁ δὲ κακὸς ἐκεῖνος ἀνὴρ, εὖ ἴσθι, ὡς οὐκ ἀπορήσει κακίας, δι' ὧν τὰ σὰ χείρω διαθήσει. Ἐγὼ δέ σοι ἔτι συμβουλεύσαιμι ἂν μὴ κρύπτειν τὸν κοινὸν ἐχθρόν· καὶ εἰ μὲν ἀπιστεῖς, ὧν ἔγραψα, εὖ οἶδ' ὅτι κρύψεις· φίλον γὰρ νομίσεις· ἐμὲ δὲ μακρὰ ληρεῖν καὶ φλυαρεῖν μάτην. Εἰ δὲ θριαμβεύσεις, ἐπίστευσας ὅπερ εὔχομαί τε, καὶ ἀμφοῖν λυσιτελήσει.

EPIST. VII.

Pantoleonti protospathario.

ΕΠΙΣΤ. Ζ'

Παντολέοντι πρωτοσπαθαρίῳ.

Montacut. (ep. 22, p. 83).

Qui vergis ad occasum vitæ tuæ, propellis te in illorum insolentes audacias quibus sanguis bullit. Quin quod verius est ut proferam, latronum facinora ut leviora habeantur præstas. Totos enim dies, noctes integras, in cædendis hominibus transmittis ; nec vel tantillum temporis omittis improbe gloriari de illorum pœnis quos puniendos tenes. Phalaris forte aliquis, aut Dionysius, aut si qui ob crudelitatem barbaram celebrius nomen habent, in certamen prodire ambitiosius tentas. Nec tibi vita vitalis habetur, si te æqualem illis præstes, nisi multis excedas parasangis. Ast certe cum viris in certamen descendit puer. Nam sine illis quæ magnifice alioquin gerebantur ab illis tyrannis, tibi tyrannis haud videtur, licet omni opere in id innixus fueris, et tempus similia perpetrandi non longe absit. Leges profecto, quarum beneficio vivunt respublicæ, haud adhuc emortuæ sunt, nec diutius tolerabit hæc justitiæ oculus. Cum enim qui per montes latrocinantur fures, pro meritis dignum supplicium sufferant, haud æquum est, ut qui per civitates multo impudentius homicidiis dant operam, cum improbius deliquerint, tranquillius agant.

C Ἐπὶ βίου δυσμὰς ἥκων, εἰς τὰ τῶν σφριγώντων ἐλαύνεις νεανιεύματα· μᾶλλον δὲ ἀληθέστερον εἰπεῖν, ἧττον φοβερὰ τὰ τῶν λῃστῶν δεικνύεις τολμήματα· ὅλος νύκτας καὶ ὅλας ἡμέρας δαπανῶν εἰς τὰς τῶν ἀνθρώπων μάστιγας· καὶ μικροῦ μηδὲ λιπὼν, οὓς ἔτι κολάζων ἔχεις, κακὸς εἶναι σεμνύνεσθαι. Φάλαρις ἴσως σοι, καὶ Διονύσιος, καὶ οἷς ἐπὶ ὠμότητι μεῖζον ὄνομα, εἰς ἀγῶνα προκεῖσθαι πεφιλοτίμησαι· καὶ οὐχ ὅτι τούτοις σεαυτὸν ἐναμιλλον, ἀλλ' εἰ μὴ μακρῷ παραδράμοις τούτους, τὸν βίον σοι ἀβίωτον νομίζεις. Ἀλλὰ παῖς πρὸς ἄνδρα [t] ἀγωνίζεται· χωρὶς γὰρ τῶν, ἅπερ ἐκείνοις ἄλλως τε καὶ μεγαλείως διαπέπρακται, οὐδ' ἡ τυραννὶς, σοὶ τυραννὶς κἂν λίαν ἐκβιάζῃ, καὶ τοῦ παθεῖν ὁ χρόνος, ὧν πράττεις, τὰ ὅμοια οὐ μακράν· οὔτε γὰρ οἱ νόμοι, καθ' οὓς αἱ πολιτεῖαι ζῶσι, τεθνήκασι, καὶ ὁ τῆς δίκης οὐκ ἀνεῳγὼς ἂν ἔτι ὀφθαλμὸς, ὥστε τῶν ἐν τοῖς ὄρεσι λῃστῶν, τὴν ἀξίαν διδόντων ποινηλασίαν, τοὺς ἐν ταῖς πόλεσιν ἀναιδέστερον μιαιφονοῦντας, ὧν χείρω τελολμήκασιν, ἀδεέστερον βιώσεσθαι.

D

VARIÆ LECTIONES.

[r] ἴσ. εἴη. [s] γο ἐκκεντοῦντος. [t] ἢ ἄνδρας.

Digitized by Google Распознавание текста ABK/FR

ΕΠΙΣΤ. Η'.

Λέοντι σπαθαρίῳ τῷ ἐπιλεγομένῳ Δράκοντι

A

Πολλοὶ πρὸς ἡμᾶς λύκοι τὴν γνώμην παρεγένοντο, προβάτων ἐνδύματα φοροῦντες, καὶ τῷ ἔξωθεν σχηματισμῷ τὴν ἔσωθεν περιστέλλοντες κακίαν · ἀλλὰ τούτων οἱ πλείους οὐκ ἔλαθον ἐπιπολύ, τοῦ χρόνου φωράσαντος αὐτῶν τὴν τέχνην, καὶ τὴ περιβολὴν τῆς δορᾶς, οὐκ εἰς μάτην μόνον ἐπινοηθεῖσαν, ἀλλὰ καὶ διπλὴν ἐπιδεικνύντος, τοὐναντίον ἢπερ ἐβούλοντο, τὴν προσοῦσαν αὐτοῖς πονηρίαν τήν τε κρυπτομένην φημὶ καὶ τὴν κρύπτουσαν. Ἡ δὲ σὴ μεγαλειότης, ὡς ἔοικεν, ἐκ πολλοῦ τοῦτο καὶ μελετήσασα καὶ τεχνώσασα, σοφὴ τοῦ καλύπτειν ἐγένετο τὸ θηρίον, καὶ μέχρις ἂν ἀρνίῳ περιέτυχε, τὴν δορὰν οὐκ ἀπέθετο · ἐπιτυχοῦσα δὲ, καὶ ἀπεδύσατο, καὶ τὸν θῆρα B ἔδειξε · καὶ τοσοῦτον, τό γε αὐτῆς μέρος, τὰ προστυχόντα διέφθειρεν, ὅσον οὐδὲ τὰ προφανέστατα τῶν ἀγριωτάτων θηρῶν ἐλυμήνατο ἄν. Ἀλλὰ χαίρομεν κἀν τούτῳ, ὅτι λαθοῦσα προέλαβεν ἡμᾶς κρυπτομένη κακία, ἣ προκατελάβομεν ἡμεῖς κολάσαι ὑπονοουμένην μοχθηρίαν· τὸ μὲν γὰρ καὶ σφάλοι ἂν πολλάκις οὐκ ἐπ' ὀλίγον · τὸ δὲ καὶ λαθὸν, τὴν ὑστάτην οὐκ ἂν φύγοι δίκην · ἀλλὰ ταῦτα γράφομεν, οὐχ ἵνα ἐπιστραφῇς (ἐπιστραφήσῃ γὰρ καὶ μὴ θέλων), ἀλλ' ἵνα γνῷς ὡς οὐδὲ τὴν ἀρχὴν ἔλαθες ἂν ἡμᾶς, εἰ μὴ συνεργὸν εὗρες τὴν ἡμετέραν φιλανθρωπίαν. Τὰ δ' ἄλλα ἐρρῶσθαί σε τὴν ψυχὴν μᾶλλον ἢ τὸ σῶμα ἐπευχόμεθα · καὶ τῶν τετολμημένων διὰ μετανοίας τὰ στίγματα ἀπαλείψαντα, καὶ οὐ τὸ πρόβατον, ἀλλὰ τὸ θηρίον εἰς τὸν παντελὲς ἀπεκδυσάμενον, μήτε ἐν- C ταῦθα, μήτε ἐκεῖθεν εὐθύνας ὑφέξειν.

EPIST. VIII.

Leonti spathario, cognominato Draconi.

Montacut. (ep. 29, p. 87).

Multi ad nos animitus lupi accesserunt, ovium indumenta gestantes, quique per externum habitum internam vestierunt improbitatem. Sed horum plerique diu non celabantur : revelavit enim tempus artificium ipsorum, et amictum pelliculæ non tantum in vanum excogitatum monstravit, sed insuper, quod minime volebant factum, duplicem ipsis adesse iniquitatem, absconditam nimirum et abscondentem. Tua autem magnificentia, quod par est credere, cum a longo tempore meditata, et artificiose construens fueris istud, prudenter bestiam occultavit ; neque pellem deposuisti prius- B quam in agnum arreptum incidisti : illo potitus, et exuisti, et te bestiam professus es. In tantum vero oblata, quod tuas partes attinebat, discerpsisti, ut nec crudelissimæ bestiæ publica devorarent. Lætamur hoc ipso tamen, quod celata improbitas prius nos occupavit, quam ad coercendam suspectam tantum accingeremur ; illud enim licet sæpenumero aberret, non tamen in minimis ; hoc, si latuerit, postremo vindictam non elongabit. Et hæc quidem scribo, non ut convertaris (nam licet invitus olim converteris), sed ut plane intelligas, quod ne quidem ab initio nos latueris, sed cooperantem nostram expertus sis clementiam. Cæterum te animo magis quam corpore valere cupiam, et ut per pœnitentiam stigmata impressa eluas, nec velis ovem, sed bestiam penitus deponere, ita ut, nec in C hoc, nec futuro sæculo ad calculos voceris et reddendam rationem.

ΕΠΙΣΤ. Θ'.

Ἰωάννῃ σπαθαρίῳ τῷ χρυσοχέρῃ.

EPIST. IX.

Joanni spathario, chrysocheri.

Montacut. (ep. 39, p. 98).

Οὐκ ἐγράψαμεν ἵνα θαυμάζῃς, ἀλλ' ἵνα στηριχθῇς ἐν οἷς τὸν σάλον ὑπέμεινας. Εἰ δ' ἀῤῥαβῶνα τοῦ στηριχθῆναι τὸ θαῦμα παρέχεις, ἡδέως ἀποδεχόμεθα. Οὐδὲ γὰρ ἐξ ἑαυτῶν προφέρομεν ἅπερ λέγομεν, ἀλλ' ἐξ ὧν τῆς ζωηφόρου πηγῆς ἀπηντλήσαμεν · ἥτις μετὰ τῆς ἐν πίστει δίψης τοῖς προσιοῦσιν ἄφθονα προ- D χέειν τὰ τῆς σωτηρίας ἐπηγγείλατο νάματα.

Nequaquam eo fine scripsimus ut mirareris, sed ut stabilem te redderem in iis quibus fluctuabaris ; si in pignus confirmationis tuæ affers admirationem, lubenter admitto. Nam non a nobis proferimus quæ dicimus, sed ab iis unde de fonte in vitam salienti hausimus : qui præ se fert et profitetur, iis qui fidem sitiunt, atque ideo adeunt ut eam expleant, abundantissimos salutis latices subministrare.

ΕΠΙΣΤ. Ι'.

Λέοντι γεγονότι λογοθέτῃ τῷ Μαδιάμ.

EPIST. X.

Leonti logothetæ Madiam.

Montacut. (ep. 46, p. 101).

Εὐτύχημα μὲν καὶ τὸ φίλους ἔχειν ἐν καιρῷ πειρασμῶν, καὶ χρείας[u] τὸ τῆς φιλίας παρέχοντας χρησιμόν · οἱ δὲ μὴ τοιοῦτοι φανέντες, οὐδὲ οὗτοι τῷ ἀγαπήσαντι ἄχρηστοι, ἀλλ' ὅσον αὐτοὶ τῆς φιλίας ἀπελείφθησαν, τοσοῦτον τὴν ἀρετὴν τοῦ ἠγαπηκότος παριστῶσιν ὑπερθαύμαστον ὅτι καὶ τοι-

Felicitas est amicos possidere tentationis tempore usum atque debitum amicitiæ utile exhibentes : sed nec amanti plane sunt inutiles qui tales se non præstant. Nam in quantum amicitiæ deerint, in tantum diligentis virtutem valde præstant admirabilem : eo quod etiam tales nihilominus dilexerit,

VARIÆ LECTIONES.

[u] γρ. χρέος.

Digitized by Google Распознавание текста ABK/FR

quod non omnia ex intuitu retributionis præstiterit, sed gratis amare novit, et Patrem, qui in cœlis est, imitari in eo, quod nec vel inimicos aversetur. Quocirca nec amoris nostri legem solvere poteris, utcunque (quod rumor est) ingratus exstiteris, et ementiaris amicitiam. Etenim quantumvis ingratus exstiteris, nos tamen, ut videre potes, occasiones nobismetipsis ministravimus, ut ne vel sic quidem odio te habeamus. Tu quid de te homines opinentur considera : et ante alia, tuam ipsius conscientiam, et futurum olim judicium recolito.

A οὑτους ὄντας, ὅμως ἐφίλησε, καὶ οὐ πάντα χάριν ἀμοιβῆς ἔπραττεν, ἀλλ' ἥδει καὶ προῖκα φιλεῖν, καὶ τὸν ἐν οὐρανοῖς μιμεῖσθαι Πατέρα, οἳς [v] οὐδὲ τοὺς ἐχθροὺς ἀπεστρέφετο. Οὐκ ἂν οὖν λύσῃς αὐτὸς τὸν ἡμέτερον τῆς ἀγάπης νόμον, κἂν ἀγνώμων, ὡς φημίζουσι, φανῇς, καὶ τὴν φιλίαν ψευδόμενος. Καὶ γὰρ καὶ δι' ὧν ἀγνωμονήσεις, ἀφορμὰς, ὡς ὁρᾷς, ἡμῖν ἑαυτοῖς πεπορίσμεθα, δι' ἃς οὐδὲ οὕτω σε μισεῖν ὑπαχθησόμεθα. Σὺ δὲ τὴν περὶ σὲ τῶν ἀνθρώπων δόξαν ἐπισκόπει · μᾶλλον δὲ πρὸ ταύτης τὸ σὸν συνειδὸς καὶ τὸ ἐκεῖθεν κριτήριον.

EPIST. XI.

Alexandro comiti.

ΕΠΙΣΤ. ΙΑ'.

Ἀλεξάνδρῳ κόμητι.

Montacut. (ep. 46, p. 100).

Alexander Macedo, qui in summam sublimitatem evexit Macedoniæ regnum, eo die principatum abdicasse videbatur, quo neminem beneficio ornasse dicebatur. Rarissime hoc illi ita contingebat ; utpote qui in illud omni studio incumbebat, ut benefaceret hominibus. Quod si interdum ita contingebat ut nihil præstaret, dolens dicebat : *Hodie non regnavi.* Sed paganus ille fuit et inter paganos rex, et voluptati atque luxui deditus, et ob felicitatem ebrius, quique sibi consimiles deos suarum actionum inspectores fecerat. Tu autem Christianus cum Christianis vivens, et (ut secundum leges agas) cum imperio exsistens, sæpius in vitæ cursu fluctibus agitatus obrueris, in ipsis sacris, inter sacerdotes, idque cum temperantiam et virtutem honorare te non neges, sed et unum illum verum Deum actionum omnium inspectorem fallere non posse putes. Quid hinc sequatur, gravor ego dicere. Illud autem affirmo, neminem e tuo subditis regimini esse, quin loco alicujus beneficii aut benignitatis quam agnoscere vellet, non supplicia deplorat inaudita irrogata, aut damnum illatum inexspectatum. Alius aliud insigne facinus dextræ tuæ tragico cothurno dignum deplorans refert. Cum Alexander cum dolore professus fuerit : *Hodie quidem rex non fui* : tu, quod videtur, non prætereabi tibi diem patieris, in quo non verearis dicere : *Hodie tyrannus non fui.*

B Ἀλέξανδρος ὁ Μακεδὼν, καὶ Μακεδόνων ἄρας εἰς ὕψος τὴν βασιλείαν, κατ' ἐκείνην τὴν ἡμέραν ἐδόκει παύεσθαι τῆς ἀρχῆς, καθ' ἣν εὐεργετήσας οὐδένα ἐδείκνυτο. Σπάνιον δὲ αὐτῷ τὸ τοιοῦτο συνέπιπτεν, ἅτε μελέτην ἄγοντι ἀνθρώποις εὐποιεῖν. Εἰ δέ ποτε καὶ συμπέσειεν, ἀνιώμενος ἔλεγε · Σήμερον οὐκ ἐβασίλευσα. Ἀλλ' ὁ μὲν Ἕλλην, καὶ ἐν Ἕλλησι καὶ βασιλεύς · καὶ ἡδονῶν, καὶ τρυφῆς καὶ εὐτυχίαν μεθύων ἄνθρωπος, καὶ θεοὺς τοιούτους τῆς οἰκείας πολιτείας ἐφόρους ποιούμενος. Σὺ δὲ πιστὸς, καὶ ἐν πιστοῖς καὶ μετὰ τῶν νόμων ἄρχειν τεταγμένος, καὶ πολλὰ προσπταίων τοῦ βίου τοῖς κύμασι · καὶ ἐν μέσοις αὐτοῖς ἱεροῖς καὶ ἱερεῦσι, καὶ ἐγκράτειαν καὶ ἀρετὴν τιμᾷν οὐκ ἀρνούμενος · ναὶ δὴ καὶ τὸν μόνον ἀληθινὸν Θεὸν ἐπόπτην τῶν πραχτέων, οὐ μὴν οὖν οὐκ ἂν δυνάμενος παραγράψασθαι. Ἀλλὰ τί τὸ ἐντεῦθεν; Ἐγὼ μὲν εἰπεῖν ἀποκνῶ. Πλὴν οὐκ ἔστιν ἰδεῖν οὐδένα τῶν ὑπὸ σὲ, ὃς ἀντὶ τοῦ χάριν εὐεργεσίας ἤ τινος ἄλλης φιλανθρωπίας ὁμολογεῖν, οὐχὶ τιμωρίαν οὐκ ὀδύρεται ἄκριτον ἢ ζημίαν ἀπροφάσιστον. Καὶ ἄλλος ἄλλο τι ἔργον τῆν σῆς δεξιᾶς τραγικῆς σκηνῆς θέαμα κατολοφυρόμενος διεξέρχεται · ἀλλ' Ἀλέξανδρος μὲν ἀνιώμενος ἔλεγέ ποτε· Σήμερον οὐκ ἐβασίλευσα· σὺ δ', ὡς ἔοικεν· οὐ περιλείψεις ἡμέραν σαυτῷ ἐν ᾗ θαρρήσεις εἰπεῖν · Σήμερον οὐκ ἐτυράννησα.

EPIST. XII.

Basilio quæstori

ΕΠΙΣΤ. ΙΒ'.

Βασιλείῳ κοιαίστορι.

Montacut. (ep. 47, p. 101).

Si justa cum mensura contendentes invicem judicaveris, haud te auri pallor majore pudore suffunderet, temetipsum quam illos qui tibi offerunt.

D Εἰ τῷ δικαίῳ μέτρῳ χρώμενος τοὺς διαμφισβητοῦντας ἀλλήλοις ἐδίκαζες, οὐκ ἂν σε ἡ τοῦ χρυσοῦ ὠχρότης πλέον αἰσχύνεσθαι τοὺς πλέον αὐτὸν χορηγοῦντάς σοι, παρεσκεύαζεν.

EPIST. XIII.

Joanni patricio et sacellano.

ΕΠΙΣΤ. ΙΓ'.

Ἰωάννῃ πατρικίῳ καὶ σακελλαρίῳ.

Montacut. (ep. 48, p. 102).

Illustri laudum præconio ob ea quæ geris apud viros probos et honestos dignus es. Neque ignorare te

Λαμπρῶν ἐπαίνων, δι' ὧν πράττεις, παρὰ τοῖς σπουδαίοις τυγχάνων [x] δίκαιος ἂν εἴης · μηδὲ τοῦτον

VARIÆ LECTIONES.

[v] γρ. ὅς. [x] ἴσ. τυγχάνειν.

Digitized by Google Распознавание текста ABK/FR

ἐν ἀγνοίᾳ εἶναι, ὅτι ὅσον ὑψηλὸν καὶ θαυμάσιον τὸ ἐν τούτοις κλέος, τοσαύτης καὶ τῆς ἀσφαλείας καὶ ἐπιμελείας δεῖται. Πολλὰ μὲν γὰρ κατὰ τῶν εὐδοκιμούντων, ἀπὸ τῆς τῶν δαιμόνων ἐπιβουλῆς ἀφίεται [y] βέλη· οὐδὲν δὲ ἧττον, καὶ ὁ ἐξ ἀνθρώπων ἀνερεθιζόμενος φθόνος, τὸν ἰὸν ἐκχέει. Ἀλλὰ σύ γε τὸν τῆς ἀρετῆς οὐκ ἐνδιδοὺς τόνον, καὶ εἰς τὸν αὐτὸν δὲ τοῖς προτέροις ἀγῶνα σὺν μετρίῳ καὶ ταπεινῷ ἐναποδυόμενος τῷ φρονήματι, τῶν μὲν κωφὰ θᾶττον διελέγξας τὰ μέλη [z] εἰς ἐσχάτην αἰσχύνην καὶ ἀπορίαν μᾶλλον αὐτοὺς περιστήσεις· τὸν δὲ, εἰς τοὺς τεκόντας, μετὰ πλείονος πικρίας ἐπαναστρέψαι παρασκευάσεις· καὶ τὸν τῆς ἐχίδνης μῦθον ἐν αὐτοῖς ἐνεργούμενον ἐπιδείξεις· δείξας, οὐχ ἑτέρους, ἀλλ' αὐτούς γε τοὺς γεννησαμένους κατεσθιομένους μᾶλλον καὶ διαφθειρομένους, ὑπὸ τοῦ καλοῦ γεννήματος αὐτοῖς τοῦ φθόνου, δι' ὧν σεαυτὸν λαμπροτέρας εὐφημίας καὶ ἀναῤῥήσεως μάλιστα ἀξιώσεις.

A par et æquum est, quod quanto sublimior et admiratione dignior ab istis gloria comparatur, tanto majori illa cura et sedulitate custodienda, et sarta tectaque præstanda est. Plurima siquidem in eos qui prosperiore fama florent per insidiantes diabolos immittuntur tela ; neque multum deficiunt his homines, qui invidiæ suæ virus prurigine quadam excitatum effundunt. Tu autem nihil de virtutis cursu remittis, et ad eademmet ipsa, quæ jam olim adisti certamina, te apparas cum moderata et humili affectione animi ; tela irrita reddidisti, et insuper ipsos in extremam desperationem atque verecundiam adduxisti ; invidiam autem in auctores ipsos cum majori amaritudine retorquendam curasti. Certe fabulam quæ de vipera fertur, apud ipsos B vim obtinere suam declarabis ; dum ostenderis haudquaquam illam alios sed ipsos parentes exedere et disperdere, ita pulchra propago est invidia. Tu tamen hanc ob causam illustriori quadam deprædicatione publicationeque te dignum imprimis arbitraris.

ΕΠΙΣΤ. ΙΔ'.

Ἰωάννῃ πατρικίῳ καὶ σακελλαρίῳ κατὰ τοὺς Ἀγγουρίους.

EPIST. XIV.

Joanni patricio et sacellano per Angurios.

Montacut. (ep. 49, p. 102).

Τῷ Ἀττιδι μέν σε ἀναφέρουσι, Γάλλον καλοῦντες, οἱ παρ' Ἕλλησι σοφισταί· τῇ γυναικωνίτιδί σε κατακλείουσιν, ἀνδρόγυνον καὶ εἰδότες καὶ ὀνομάζοντες, οἱ ἡμέτεροι σοφοί. Πόθεν οὖν σὺ τοὺς ἑκατέρωθεν ὅρους ὑπερβὰς εἰς τὰ τῆς Ἐκκλησίας Θεοῦ μυστήρια παρεισέφρησας, ἄνω καὶ κάτω πάντα ποιῶν· καὶ τὸ ἐν τῇ σῇ παραφθόρῳ φύσει ἄκαρπόν τε καὶ ἄχρηστον ἐν τῇ τοῦ Χριστοῦ γονιμωτάτῃ καὶ πολυτέκνῳ Ἐκκλησίᾳ, φιλονεικεῖς καταπράξασθαι ; ἀλλ' ἴσθι σαφῶς, ὅτι ᾄδου μὲν καὶ τῶν αὐτοῦ πυλῶν, δι' ὧν πράττεις ἀναιδέστερον, σεαυτὸν [a] ἐστηλίτευσας· ὅτι δὲ καὶ ἀσθενέστερος ἦσθα, ἡμεῖς καὶ ὁ τοῦ Χριστοῦ σὺν ἡμῖν πολυάνθρωπος καὶ ἅγιος χορὸς, κἂν λυπήσωμεν, διελέγξομεν. Εἰ δ' ἐκεῖνον τὸν ἀρχιτέκτονα τῶν πονηρευμάτων, μετὰ τῶν αὐτοῦ πυλῶν (ὧν μία τάχα τυγχάνεις αὐτὸς, ὅλον ἐκείνῳ τὸ στόμα καὶ τὴν γλῶσσαν καὶ τὴν φωνὴν χαρισάμενος), ὅμως σύμπασαν αὐτοῦ τὴν παράταξιν ἀνισχύρους καὶ ἀπράκτους κατὰ [b] Ἐτῆς Ἐκκλησίας αὐτοῦ Χριστὸς ἡ ἀλήθεια ἀπεφήνατο· μέχρι τίνος οὐκ ἐνδίδως ἀναιδευόμενος, καὶ εἰς οὐρανοὺς τὰ τῆς ἀπονοίας βέλη μετὰ πολλῆς τῆς ἀναισθησίας ἀφιείς ; δι' ὧν, γέλωτα μὲν τοῖς συμπράττουσι δαίμοσι κινεῖς, λύπην δὲ ἐπὶ τῇ σῇ ἀπωλείᾳ τοῖς ἁγίοις προξενεῖς, μισητὸν δὲ τὸ σὸν γένος νῦν μᾶλλον ἢ πρότερον καὶ διαβόητον ἐπὶ κακίᾳ παριστᾷς.

Sunt qui te comparant Atti, Gallum nominantes : nimirum Græcanici sophistæ. Nostri nasutiores, qui et sciunt Androgynon, et ita nominant, Gynæcio includendum tradunt. Unde ergo factum ut utrinque terminos circumscriptos transiliens, in Ecclesiæ te sacraria injecisti ? omnia susque deque habes. C Naturæ autem tuæ corruptissimæ quidquid sine fructu et inutile adhærebat, in fecundissima Christi Ecclesia et liberis quamplurimis feta, summam per impudentiam inserere voluisti. Sed clarissime intelligas oportet, quod per ea quæ operaris impudentissime, te palam declarasti quod ad infernum et inferni portas spectes. Quod porro sis quam illæ fores infirmior, nos et nobiscum una numerosissimus Christi grex, licet nostro cum dolore, manifestum facimus. Cum vero malorum omnium architectum illum, una cum ipsius portis (quarum fortassis tu una es, cum in solidum ipsi os, linguam, vocem concesseris), et omnes ipsius exercitus invalidos, et nihil agentes contra Ecclesiam, Christus ipsa veritas nobis confirmaverit : quousque tu de impu- D dentia tua nil remittis ? quousque non omittes impudentiæ tuæ tela furioso more in cœlum ejaculari ? unde risum et ludibrium auxiliantibus diabolis ministras, dolorem vero de tua perditione sanctis suffundis. Genus porro tuum, ultra quam olim fuerat, odio haberi et detestationi facis, et ob improbitatem diffamatum.

ΕΠΙΣΤ. ΙΕ'.

Ἀναστασίῳ φορολόγῳ.

EPIST. XV.

Anastasio tributi collectori.

Montacut. (ep. 51, p. 106).

Οὐκ ἔστι σοι πάροδος εἰς τὴν τῆς βασιλείας πύλην, διότι σοι ταύτην ἀπεστείχισεν ὁ τῆς φιλαργυρίας ἔρως.

Haud tibi patet ingressus per ostium in regnum : pecuniarum quippe amor eum tibi occlusit. Quod

VARIÆ LECTIONES.

[y] ἐφιέται. [z] γρ. βέλη. [a] ἑαυτόν. [b] μετὰ Hœsch.

Digitized by Google Распознавание текста ABK/FR

si murum interjectum quo excluderis, per paupe- A rum amorem submoveris, quantocius te recipiet eleemosynæ destinata habitatio.

Εἰ δὲ τὸ μεσότοιχον διὰ φιλοπτωχείας λύσεις, θᾶττον ἡ τῆς ἐλεημοσύνης ὑποδέξεταί σε κατοικία.

EPIST. XVI.
Eidem.

ΕΠΙΣΤ. ΙϚ'
Τῷ αὐτῷ.

Montacut. (ep. 52, p. 106).

Nullum admittunt inter se commercium avaritia et humanitas. Longe abest enim vir misericors ab odio fraterno, quo laborant divites. Quocirca hiatus ingens constituir inter infernum et cœlorum regnum.

Οὐκ οἴδε συνοδον ἀλλήλων, πλεονεξία καὶ φιλανθρωπία. Μακρὰν ἀπέχει ἀνὴρ ἐλεήμων τῆς των πλουτούντων μισαδελφίας. Διὰ τοῦτο καὶ μέγα χάσμα ἐστήρικται μεταξὺ γεέννης καὶ βασιλείας.

EPIST. XVII.
Eidem.

ΕΠΙΣΤ. ΙΖ'·
Τῷ αὐτῷ.

B

Montacut. (ep. 53, p. 107).

Divitias evacuas, et vehementer gaudeo, quod tibi cœlorum regnum ædificatum videam : sed et una evacuentur affectus illi, qui divitias prius possederunt : ut non modo thalamus tibi regalis contingat, sed et sponsus etiam prodeat pulchre exornatus.

Κενοῖς τὸν πλοῦτον· καὶ μέγα χαίρω ὅτι σοι βασιλείαν οὐρανῶν ὁρῶ οἰκοδομουμένην. Ἀλλὰ κενούσθω σοι καὶ ἃ προκατεῖχε τὸν πλοῦτον πάθη· ἵνα μὴ μόνον ἡ παστὰς ὑπάρχῃ βασιλικὴ, ἀλλὰ καὶ ὁ νυμφίος ἐξωραϊσμένος.

EPIST. XVIII.
Galatoni, a secretis.

ΕΠΙΣΤ. ΙΗ'.
Γαλάτωνι ἀσηκρῆτις.

Montacut. (ep. 55, p. 110).

Archetypon (opinor) est, nec ad imitationem aliorum institutum, præclari amici tui mendacium. Neque enim persuaderi ipsi possit, ut cum poetis C vel amantissimis fictionum, ne dicam comicis aut tragicis, comparetur ; multo magis qui res heroum gestas metro paronymo (hoc est, heroico) persecuti sunt. Cum vero poetas omnes in extemporalibus figmentis transgreditur, idque cum supercilio, historicus quispiam aut prosa scriptor, hic opus est, ut in memoriam revocetur ei, et ex adverso componatur strenuus quispiam mendaciorum sartor, ut ita magnum et dubium subeant certamen. Quis autem ille tandem erit ? Certe nec inter Græcos, sed neque barbaros versari dignabitur ille. Sed opus autem est uti investiges terram hominibus incognitam, potius quæ nusquam habetur, et gentem aliquam innominatam ; inde huc peregrinus adveniat ; et cum terribili quodam super- D cilio, secretorum enarrator, fabulis præsideat enarrandis. Timoclem forte aliquem, cum vel puer vel adolesceus diciplinarum scholas adires, audivisti, aut Clonthaconthlon ophicianum (nam monstra nobis nominum formanda sunt) Ophicianorum, quos sibi confixit, nationis naturam, politiam, pugnas, victorias, vitæ sæcula, ætates, felicitates, neque hominum tantummodo, sed et plantarum animalium, maris, et terræ, aerisque, hyperbolice mentientem, et prodigiose prosequentem. Certe si præclarus ille tuus amicus, in certamen de mentiendo, cum isto homine descenderet, judices et præmiorum distributores, ad istiusmodi certamina

Ἀρχέτυπον, οἶμαι, καὶ οὐ πρὸς μίμησιν ἑτέρων μεμηχανημένον, τοῦ καλοῦ σου φίλου τυγχάνει τὸ ψεῦδος. Ποιηταῖς μὲν γὰρ, καίτοι φιλομυθοῦσιν (οὐ λέγω κωμικοῖς, ἀλλ' οὐδὲ τραγικοῖς), οὐκ ἂν πεισθείη συγκρίνεσθαι. Πολλῷ δὲ μᾶλλον, οὐδ' οἷς τὰ ἡρώων παρωνύμῳ μέτρῳ ἐξήρηται. Ὅπου δὲ, ποιητῶν ἁπάντων, ἐν τῷ σχεδιάζειν, ὑπερωφρύωται, τίς ἱστορικῶν ἢ συγγραφέων εἰς μνήμην χρεία καὶ παράθεσις ; πρὸς ἕνα τινὰ, λοιπὸν, γενναίων, οἶμαι, τὰ ψευδῆ, μέγας αὐτῷ καὶ ἀμφήριστος ὑπολείπεται ὁ ἀγών. Τίς οὖν ἐστιν οὗτος ; Οὐκ ἐν Ἕλλησιν, οὐδ' ἐν Βαρβάροις ἀξιοῖ πολιτεύεσθαι· γῆν δὲ ἄγνωστον ἀνθρώποις, μᾶλλον δ' ἀνύπαρκτον ὅλως, καὶ γένος ἀκατονόμαστον ἐπιζητήσας, κακεῖθεν ἐπιδημῶν, τοῖς μύθοις, τῶν ἀπορρήτων ὑφηγητὴς, μετὰ φοβερᾶς τῆς ὀφρύος προκάθηται. Τιμοκλέα ποτὲ, μᾶλλον δὲ Χλονθάκονθλον τὸν Ὀφιοκανὸν (δεῖ γὰρ, ὡς ἔοικε, καὶ τὰ ὀνόματα τερατεύεσθαι) κουρίζων ἴσως ἢ μειρακίζων τοῖς μαθήμασιν, ἤκουσας, Ὀφιοκανῶν ἐκείνων, οὓς αὐτὸς ὑπεστήσατο, γένος, καὶ φύσιν, καὶ πολιτείαν, καὶ μάχας, καὶ νίκας, καὶ βίων αἰῶνας [c], καὶ ἡλικίας, καὶ εὐδαιμονίας· οὐκ ἀνθρώπων μόνον, ἀλλὰ καὶ φυτῶν, καὶ ζώων, καὶ γῆς, καὶ θαλάσσης, καὶ ἀέρος, καὶ ὑπερβολὴν ψευσμάτων τερατευσάμενον. Ἀλλὰ καὶ πρὸς τοῦτον, εἰς τοὺς περὶ τοῦ ψεύδους ἀγῶνας, ὁ καλός σου φίλος εἰ ἀποδύσαιτο, εἰς μεγίστην ἂν ἀπορίαν τοὺς ἀθλοθέτας καὶ κριτὰς τῶν τοιούτων ἀγωνισμάτων περιστήσειεν, ὁποτέρῳ τῶν δύο τὴν νικῶσαν ἐπιψηφίσονται. Ἔα τοίνυν τὸν ἀνεῳγμένον τάφον τῶν ψευσμάτων (ἄμεινον γὰρ ἐκ τῆς ἀληθοῦς σοφίας ἐξεικονίσαι ἅμα καὶ στηλιτεῦσαι

VARIÆ LECTIONES.

[c] ἴσ. ἀγωγάς.

Digitized by Google Распознавание текста ABK/FR

τὸν ἄθλιον) καὶ τῆς ἐκεῖθεν δυσωδίας, σαυτὸν ἀπόστησον. Εἰ γὰρ οὐδὲ δεξιοῦ ὀφθαλμοῦ, οὐδὲ χειρὸς (ἅπερ δύναται φίλων δεξιότης, τῶν μὲν ὁρᾷν τὸ συμφέρον, τῶν δὲ μεταχειρίζεσθαι συνεργούντων καὶ συμπροθυμουμένων, καὶ ὑπλῶς πρὸς ἅπαντα μὲν τὰ τοῦ βίου χρησιμευόντων, ἄλλως δὲ πρὸς κακίαν ὑποσυρόντων), οὐδὲ τούτων φείδεσθαι παρακελευόμεθα, ἀλλὰ διασχίζεσθαι θᾶττον αὐτῶν καὶ διατέμνεσθαι προσταττόμεθα· τί χρὴ ποιεῖν περὶ τοῦ σεσηπότος, καὶ οὐ νῦν, ἀλλὰ διαπαντὸς καὶ ἀχρήστου καὶ πάλαι διαιρεθέντος, καὶ οὐ μέλους ποτὲ γεγονότος, ἀλλὰ πολλὰ τῶν μελῶν ἀπαρχῆς τραυματίσαντος.

A constitutos, in ambiguis sententiis distractos videremus, cui e duobus victoriæ calculum ascribere deberent. Omitte autem tu patens illud sepulcrum mendaciorum (satius fuerit a veraci sapientia mutuantes repræsentare, simul et propalare miserum illum), et ab exhalante inde fetore temet quam longissime submove. Si enim nec dextero oculo, aut etiam manui parcere jubemur [20], sed eruere et abscindere quantocius utrumque (quibus intelligi videtur amicorum dexteritas, qui partim quod conducit nobis cernere possint; partim libenter et prompto animo cooperari et adjutores esse possunt, in iis quæ accepimus, quique simpliciter ad omnes vitæ partes nobis utiliter inserviunt, etiam ubi periculum est, ne ad vitia abripiamur), quid putas faciendum in putrefacto, et non nunc primum, sed semper inutili, olim divulso, neque unius membri quod fuerat, sed multorum membrorum, et quidem ab initio, vulneribus infami.

ΕΠΙΣΤ. ΙΘ'.

Ἰωάννῃ σπαθαρίῳ.

B

EPIST. XIX.

Joanni spathario.

Montacut. (ep. 56, p. 112).

Ἄριστον μὲν, κρείττονα φαύλης ὑπονοίας νομίζεσθαι· εἰ δὲ μὴ, ὑπονοηθέντα καὶ κριθέντα μὴ ἁλίσκεσθαι. Ὁ δὲ καὶ κριθεὶς καὶ ἁλοὺς, κἂν δίκην οὔπω δίδωσιν ἑτέραν, ἀλλ' οὖν τὴν χαλεπωτάτην, τὸ, κακὸς ὀφθῆναι καὶ δίκην ὀφείλειν, δέδωκε. Πράττε τοίνυν αὐτὸς, ἐπεὶ μηκέτι σοι ῥᾷστον ἀποσκευάσασθαι τὴν ὑπόνοιαν, οὐχ ὅπως μὴ δίκην δῷς, ἀλλ' ὅπως μὴ τῶν δίκην ὀφειλόντων ἐλεγχθῇς.

Optimum quidem est ultra omnem mali suspicionem locari. Quod si non illud contigerit, at suspectum et examini subditum, non reum deprehendi. Qui autem sic judicium subierit, ut in culpa inventus fuerit, licet aliam pœnam non tulerit, at certe, quæ gravissima est, dedit; nempe quod improbus inventus, et dignus qui supplicio subjiciatur, habeatur. Age igitur, quandoquidem haud tibi in promptu est suspicionem amoliri, non ut ne pœnas des, sed ut ne pœnas juste meruisse convincaris.

ΕΠΙΣΤ. Κ'.

Μιχαὴλ πατρικίῳ καὶ σακελλαρίῳ.

C

EPIST. XX.

Michaeli patricio et sacellario.

Montacut. (ep. 57, p. 112).

Εἰ μὲν φιλεῖς, ἀδικεῖς· εἰ δὲ μὴ φιλεῖς, πλέον ἀδικεῖς· τὸ μὲν, ὅτι τῶν φιλουμένων ἐν ταῖς συμφοραῖς ὀλιγωρεῖς· τὸ δὲ, ὅτι οὐδὲ τοὺς φιλοῦντας φιλεῖς. Ταῦτά σοι ὁ πάλαι μὲν σὸς, νῦν δὲ καὶ κοινὸς φίλος, τοῦτο μὲν φιλικῶς ἐλέγχων, τοῦτο δὲ δυσωπῶν, δι' ἡμῶν χρηματίζει καὶ διαμαρύτρεται.

Si diligis, injuriosus es; si non diligis, magis injuriosus. Illud; quod amatos calamitatibus obsessos negligas. Hoc; quod amantes haudquaquam amas. Ita quidem ille olim tuus, in præsenti, noster communis amicus, partim amanter reprehendendo, partim me advocato, intercedendo, et profitetur, et testimonio protestatur dato.

ΕΠΙΣΤ. ΚΑ'.

Ἀρσενίῳ μοναχῷ.

EPIST. XXI.

Arsenio monacho.

Montacut. (ep. 59, p. 113).

Πολλοὶ καὶ τῶν παρ' Ἕλλησιν εὐδοκιμησάντων, καὶ τῶν παρ' ἡμῖν ἀριστευσάντων, ἐμαρτύρησαν δι' ὧν ἔδρασαν, ἄμαχον εἶναι καὶ χρησιμώτατον τὴν ἀρετήν. Εἰ δ' ὁ παρὼν καιρὸς μονονουχὶ βοᾷ, ὡς οὐδὲν ἀσθενέστερον καὶ ἐπικινδυνότερον αὐτῆς (ἐλαύνεται μὲν γὰρ καὶ προπηλακίζεται πᾶσα ἀρετὴ· θαυμάζεται δὲ καὶ περιπτύσσεται πᾶσα κακία), μηδὲν θαυμάσῃς. Ἀρετὴ γὰρ ὡς ἀληθῶς, καὶ ἀρετῆς τῆς πρώτης μάλιστα ἄνθος, τὸ μετὰ κινδύνων καὶ θλίψεων καὶ παρενδοκιμουμένην ὑπὸ τῆς κακίας ἀσπάζεσθαι τὴν ἀρετήν. Ὁ δὲ καιρὸς βοῶν τἀναντία, τῆς μὲν ἰδίας μοχθηρίας τὴν ὑπερβολὴν καὶ ἀπόνοιαν λαμπρῶς ἐλέγχει· τῶν δὲ σπουδαίων μᾶλλον τὸ ἀξιοθαύμαστον καὶ ἀήττητον, παντὸς λόγου ἐναργέστερον ἀνακηρύττει.

D Multi qui apud Græcos cum fama vixerunt, et etiam qui inter nos virtutis laude floruerunt, per res a se gestas, testimonium perhibuerunt, virtutem esse rem inexpugnabilem et utilissimam: utcunque præsentium rerum status, tantum non clara voce pronuntiat, nihil vel infirmius, vel periculosius esse, quam ipsa est. Impellitur enim et conviciis, quasi luto injecto, proscinditur omnis virtus. In admiratione et osculis est quælibet improbitas. Noli autem mirari. Est enim virtus certo certius, et quidem virtutis primæ flos....

[20] Matth. VII, 2.

Digitized by Google Распознавание текста ABK/FR

EPIST. XXII.

Joanni patricio, et Græciæ duci.

ΕΠΙΣΤ. ΚΒ'.

Ἰωάννῃ πατρικίῳ καὶ στρατηγῷ Ἑλλάδος.

Montacut. (ep. 60, p. 113).

Si amas, infirmus es: si non amas, injustus es. Sin amans, non infirmaris, certe amicos injuria affectos negligis. Ego quidem Deum oro, ne tu talibus calamitatibus et necessitatibus distinearis: et si in eas incideris, ut ne talem benevolentiam aut auxilium consequaris, qualem tu tuis amicis præstas. Tu autem utrumque in memoriam revoca Domini oraculum, quo declaratur: *Qua mensura aliis metiatis eadem et vobis metietur* [21].

Εἰ μὲν φιλεῖς, ἀσθενεῖς· εἰ δὲ μὴ φιλεῖς, ἀδικεῖς. Εἰ δὲ φίλων, καὶ μὴ ἀσθενῶν, οὕτως ἄδικα τῶν φίλων πασχόντων, ὀλιγωρεῖς· ἐγὼ μὲν εὔχομαί σε μήτε τοιαύταις ἀνάγκαις περιπεσεῖν, μήτε περιπεσόντα καὶ δεηθέντα, τοιαύτης εὐνοίας καὶ ἐπικουρίας, οἵαν σὺ τοῖς φίλοις παρέχεις, ἐπιτυχεῖν. Ἀλλὰ σύ γε τὸν Δεσποτικὸν ὅμως ἀναλογίζου χρησμόν, Ἐν ᾧ μέτρῳ μετρεῖτε, μετρηθήσεται ὑμῖν, σαφῶς διαγγέλλοντα.

EPIST. XXIII.

Bardæ patricio, et Macedoniæ duci.

ΕΠΙΣΤ. ΚΓ'.

Βάρδᾳ πατρικίῳ καὶ στρατηγῷ Μακεδονίας.

Montacut. (ep. 67, p. 119).

Impera potius cum aliorum desiderio et affectu, quam per timorem. Est enim impossibile ut non in odium timor hic mutetur. Illud autem subditorum benevolentiam omnibus vestigiis insequitur. Patet autem inter utrumque differentia, in omni actione et usu necessario. Quod si animum tuum subjecit opinio, futurum ut inde humile quid, abjectum, et contemptibile enascatur, unde tardius et invitus ad hoc consilium accedas: tu contra oppones mores constitutos et stabiles, sententiam obfirmatam, et quod assentationibus et scurris non attenditur, gravitatem in deliciis habitam opponendo. Notum porro tibi sit, quod tuo subditi imperio, pudorem suavem militari sagulo prælaturi sint, et te eo indutum magis illustrem iis appariturum. Hoc tu lenocinio, subditos tibi, quocunque volueris, perduces, multo efficacius et constantiori tenore, quam qui de fastu supercilioso, et morum asperitate, magnos sibi sumunt spiritus.

Ἄρχε ποθούμενος μᾶλλον ἢ σὺν φόβῳ· τὸ μὲν γὰρ οὐκ ἔστι μὴ οὐχὶ εἰς μῖσος ἀποκριθῆναι· τὸ δὲ τὴν τῶν ἀρχομένων εὔνοιαν εἴωθε θηρεύειν· δῆλον δὲ τὸ ἐν πάσῃ καὶ πράξει καὶ χρείᾳ διάφορον ἑκατέρου. Εἰ δέ τι ταπεινὸν καὶ εὐκαταφρόνητον, ὡς ἂν ἐκεῖθεν, ἐπιφύεσθαί σοι μέλλον ὑποτρέχει τοὺς λογισμούς, καὶ πρὸς τὴν συμβουλὴν ὀκνηρότερον παρασκευάζει· ἀλλὰ σύ γε τὸ βεβηκὸς τῶν τρόπων, καὶ τὸ ἐστηριγμένον τῆς γνώμης, καὶ τὸ μὴ προσανεῖσθαι κόλαξι καὶ βωμολόχοις τούτοις, ἀντιτάξας σεμνότητα φίλην· εὖ ἴσθι παρὰ τοῖς ἀρχομένοις, καὶ γλυκεῖαν αἰδὼ, τῆς στρατηγικῆς χλανίδος, λαμπρότερον ὀφθήσῃ περιβεβλημένος· καὶ τῶν ἐπὶ σοβαρότητι καὶ ἠθῶν τραχύτητι μέγα φρονούντων εὐσταθέστερον κατὰ πολὺ καὶ βεβαιότερον ἐπιδείξῃ τὸ ὑπήκοον περιάγων.

EPIST. XXIV.

Joanni patricio et sacellario apud Angurios.

ΕΠΙΣΤ. ΚΔ'.

Ἰωάννῃ πατρικίῳ καὶ σακελλαρίῳ κατὰ τοὺς Ἀγγουρίους.

Montacut. (ep. 73, p. 122).

Omnino mihi recte et sapienter olim dictum videtur, ascendisse quidem multos in arborem illam, quæ tyrannis nominatur: descendit autem nullus denuo, sed singuli ruina præcipitantur. Itaque quid adeo intumescis et exsultas tu? Tu nondum super ramos hujus arboris, gravis utcunque et tumidus conscendisti, sed insipienter in ipsis caulium foliis eveheris.

Λίαν ἔμοιγε δοκεῖ καλῶς καὶ συνετῶς ὁ παλαι λεγόμενος ἔχειν λόγος, ὡς ἀνέβησαν μὲν ἤδη πολλοὶ ἐπὶ τὸ δένδρον τοῦτο ὃ καλούμενόν ἐστι τυραννίς· κατέβη δὲ οὐδεὶς πάλιν, ἀλλὰ καταπίπτουσιν ἅπαντες. Εἰ δὲ τοῦτο, τί γαυριᾷς καὶ σκιρτᾷς αὐτὸς, οὐδ' ἐπὶ τοῖς τοῦτου κλάδοις, καὶ ταῦτα βαρὺς ὢν καὶ σοβαρὸς καὶ φλεγμαίνων, ἀλλ' ἐπὶ τοῖς τῶν φύλλων αὐτοῦ πετάλοις ἀνοήτως ὀχούμενος;

EPIST. XXV.

Tarasio fratri.

ΕΠΙΣΤ. ΚΕ'.

Ταρασίῳ ἀδελφῷ.

Montacut. (ep. 78, p. 126).

Ad summa perducitur passio, et intenditur malum. Ac præter Deum et a Deo spem, nulla superest consolatio; insidiæ, minæ, terrores, qui experientiam fecerunt faciliorem, undique apparent. Quis hæc sistet? Fortassis illa ipsa quam contra nos parturiunt mors, vel illos privabit potestate et supplicia ingerendi, vel nos liberatura est a tribulationibus.

Ἀκμάζει τὸ πάθος, καὶ τὸ κακὸν ἐπιτείνεται· καὶ πλὴν Θεοῦ καὶ τῶν ἐκεῖθεν ἐλπίδων, παραμύθιον οὐδὲν· ἐπιβουλαὶ δὲ, καὶ ἀπειλαὶ, καὶ φόβοι, τῶν προλαβόντων τὴν πεῖραν κουφοτέραν ἀποφαίνουσι· τίς στήσει ταῦτα; ἀλλ' ἴσως, ὃν αὐτοὶ καθ' ἡμῶν ὠδίνουσι θάνατον, ἢ τοῦ τιμωρεῖν καὶ κολάζειν ἐκείνους, ἢ ἡμᾶς ἀπάγων τῶν θλίψεων.

[21] Matth. vii, 2.

Digitized by Google Распознавание текста ABK/FR

ΕΠΙΣΤ. ΚΣ'.

Ἰωάννῃ σπαθαρίῳ.

EPIST. XXVI.

Joanni spathario.

Montacut. (ep. 79, p. 127).

Οὐκ ἐλυπησας ὅτι ἠπάτησας · καὶ συχνὸς ὁ χρόνος ἐξ οὗ τὸν ὄφιν ὑπ' ἀνθρώπου μορφῇ κατεῖχες κρυπτόμενον · ἀλλ' ὅτι κακὸς ἐφάνης, καὶ φίλων ἐχθρὸς, καιροῖς δουλεύων, καὶ ἀπάτῃ ἐπειρεισόμενος. Εἰ δέ σε μὴ κακὸν ἡ πρᾶξις ἐδείκνυ, καὶ εἰς ζῆλον εἶλκε τοῦ προδότου τὸ κακοῖς τὸν εὐεργέτην ἀμείβεσθαι, εὖ ἴσθι, ὡς καὶ εὔφρανας ἂν ἐκ τοῦ πάσχειν ἡμᾶς, οἷς καθαιρόμεθα, αὐτός τε τῶν ἀγαθῶν ἐκκαρπούμενος.

Non dolore affecisti, quod fraudasti, et tempus satis longum est, ex quo serpentem sub humana forma latentem occultas; improbus apparuisti, amicis inimicus, temporibus serviens, fraudibus innixus : si te iniquum ista actio non manifestavit, et ad imitationem attraxit proditoris Judæ, ut benemeritum malis pensatum habeas, illud habe cognitum, quod si lætitia affeceris ob ea quæ patimur, aliquid inde boni tu consequeris.

ΕΠΙΣΤ. ΚΖ'.

Κωνσταντίνῳ σπαθαρίῳ γένους ὄντος Τυῤῥηνῶν καὶ δυστροπευομένῳ.

EPIST. XXVII.

Constantino spathario Tyrrheni generis perversis moribus prædito.

Montacut. (ep. 80, p. 127).

Τὰ Τυῤῥηνῶν δημόσια ἔργα, καὶ ἐφ' οἷς σεμύνονται, ἀρχαῖς ὁ λόγος, οὐδὲ τοῖς ἀσελγεστάτοις τῶν ἄλλων ἀνθρώπων, οὐδὲ χωρὶς αἰσχύνης ὄργια γίνεται. Ὅρα οὖν ὅπως αὐτὸς νῦν πόλιν Κωνσταντίνου μετοικῶν ἄριστα βιώσεις. Ἂν γάρ τί σε καὶ μικρὸν τῆς ὀρθῆς παρατραπέντα συναίσθωνται πολιτείας, καπνὸν Τυῤῥηνικὸν ἰδόντες, καὶ τὸ πῦρ, κἂν οὐκ ἀνάπτῃς εἰς μέγα φλογὸς ὑποτοπήσουσιν αἴρεσθαι. Ἃ χρὴ διευλαβούμενον, ἀπρόσκοπον πᾶσιν, ὡς οἱ θεῖοι θεσμοὶ διακελεύοντσι, καὶ εἶναι καὶ φαίνεσθαι.

Publica Tyrrhenorum opera, de quibus gloriantur, vetus habet verbum, orgia fiunt, ne quidem ab impudicissimis hominum sine pudore. Cogita idcirco ut cum urbem inhabitas Constantini vitam optime instituas, si enim te intellexerint cives, vel tantillum a recte vivendi ratione declinasse, ubi fumum Tyrrhenorum animad verterint, suspicabuntur et ignem, licet haud succenderis, in magnam flammam attollendum. Quod dum sedulo præcaves, sine lapsu, quemadmodum divina jubent oracula, coram omnibus ut incedas nitendum est.

ΕΠΙΣΤ. ΚΗ'.

Λέοντι λογοθέτῃ γεγονότι, καὶ μονάσαντι, ὑπὸ δοκοῦντος φίλου παραλυπηθέντι.

EPIST. XXVIII.

Leonti, qui cum esset logotheta monachus fiebat, et ab amico mœrore affecto.

Montacut. (ep. 81, p. 128).

Ἀμβλὺς τὸ ἦθος, καὶ μαλακὸς τοὺς πόνους, γνώμην τε οὐ βέβαιος, καὶ λημμάτων ἥττων, καὶ τῆς ἡδονῆς ἀνδράποδον ἄνθρωπος. οὔτ' ἄν τι τῶν ἀγαθῶν γενναῖον ἐργάσαιτο, καὶ εἰς κακὸν οὐκ ἂν ἀποβαίη μέγα · ὅσοι δὲ φύσιν μὲν ὀξεῖς, καρτερεῖν δὲ πρὸς πάντα δεινοί, ὑπερόπται δὲ καὶ χρημάτων καὶ ἡδονῶν, καὶ γνώμην ἐξαγαγεῖν ἀμετάστρεπτοι. Τούτοις δὲ ἄρα καὶ ἰσχύος ποθὲν περιτεθείσης, καὶ εἰς ἀγαθὸν ἡ ῥοπὴ τὰ μέγιστα ἐξανύσειε, καὶ πρὸς τὸ φαῦλον ἐπειδὰν ἀποκλίνωσιν ἀφόρητοί τε καὶ ἀπαραίτητοι καὶ φίλοις καὶ οἰκείοις καὶ πᾶσι καθίστανται. Οὐ χρὴ τοίνυν δυσφορεῖν, ὅτι μὴ τὰ βέλτιστα παρὰ τοῦ ποτε γενναίου φίλου ἐκκαρπούμεθα · ἀλλ' εὐχαριστεῖν, ὅτι οὐχὶ μόνον μηδὲν λυπηρὸν, ἀλλ' ἐφ' οἷς μηδὲ τῶν εἰς ὑπερβολὴν ἡκόντων δυσχερῶν, ἐκεῖθεν πειρώμεθα. Εἰ δ' ἐπιστρέψει ποτὲ, καὶ πρὸς τὰς συγγενεῖς μετὰ τῆς φιλίας ἀναδράμοι ἀρετὰς, ἴσως ἀποκρύψει τοῖς εὐφραίνουσιν ἀγαθοῖς καὶ ὅσα τῶν λυπούντων ἡμᾶς προκατέλαβεν.

Moribus piger, ad labores mollis, mens inconstans, succumbens donis, voluptatem mancipium, nec aliquid boni generosive faciet ; sed nec in magnam nequitiam emanabit. Natura celeres, ad omnia sufferenda impigri, divitiarum voluptatumque contemptores, et qui facile e sententia dimoveri nolunt ; isti, accedente aliquanto potestate, vel ad virtutem magno futuri sunt momento, vel ad malum cum inclinent, intolerandi, implacabiles amicis familiaribus, singulis exsistunt : Quocirca non est ægre ferendum, quod optima quæque ab amico generoso non semper impetramus, sed gratiæ sunt agendæ, eo quod non tantum nihil triste reportamus, sed potius quod nihil ab eo proficiscatur quod inter summe tristia et molesta numeretur. At si revertatur aliquando, et ad cognatas cum amicis virtutes recurret, fieri potest ut bona quæ deinceps oblectant, omnia illa mala et tristia evanescere faciat, quibus pridem occupabamur.

ΕΠΙΣΤ. ΚΘ'.

Βασιλείῳ πράκτορι.

EPIST. XXIX.

Basilio practori.

Montacut. (ep. 82, p. 128).

Κείρουσιν οἱ παλαιοὶ λόγοι Προμηθεῖ τὸ ἧπαρ, ἀετὸν ἐφιστῶντες τὸν κείροντα · καὶ ἡ αἰτία, ὅτι θεόθεν τὸ πῦρ ἐκκλέψας, φησὶ, πόνων καὶ καμάτων ἀνθρώποις ἦνεγκεν αἴτιον · Εἰ δέ σε εἶλον οἱ ποιηταὶ

Veterum fabulæ depastum Prometheo hepar ferunt ab aquila detondente ; causam dant, quod de cœlo furatus ignem, laborum et defatigationum causas hominibus dedit. Quod si te ceperint poetæ

Digitized by Google Распознавание текста ABK/FR

tantum malorum pyram in patriam construentem, non illi aquilarum, milvorum, accipitrum species in te concitarent, quæ viscera depascerent tua; sed et pardos, leones, et cæteras bestias in tua intestina immittere non desisterent. Tu autem cogita, quod licet poetæ non exsistant, qui hæc talia confingant, veritatis tamen Christianæ exacta ratio non cesset supplicium magis formidolosum intentare, ignem indefectibilem, tenebras exteriores, stridorem dentium, multitudinen vermium peccatoribus dum substernit. Quod si te timor futurorum in præsenti non coerceat, nec a cursu inordinato et irrationabili avertit; attamen Sodomæ et Gomorrhæ quæ litteris traditur perpessio inconsolabilis, et commune illud omnium hominum naufragium, diluvium; et quotidiana providentiæ opera, animum, et cogitationes, ad sobriam et sapientem cogitationem reforment.

A τοσαύτην κακῶν πυρὰν τῇ πατρίδι ἀνάψαντα· οὐκ ἀετῶν γένη, καὶ ἰκτίνων, καὶ ἱεράκων τοῖς σπλάγχνοις ἂν διεδόσκησαν· ἀλλὰ καὶ παρδάλεις, καὶ λέοντας, καὶ θηρία πάντα οὐκ ἂν τοῖς ἐγκάτοις, ἐπαφιέντες ἀπέκαμον. Σὺ δὲ σκόπει ὡς εἰ καὶ τὸ ποιητῶν γένος ταῦτα σχηματίζειν ἐπιλέλοιπεν, ἀλλ' ἥ γε καθ' ἡμᾶς τῆς ἀληθείας ἀκρίβεια, οὐκ ἀπίστε, φοβερωτέραν τὴν τιμωρίαν ἐπανατείνουσα· πῦρ ἀτελεύτητον· καὶ σκότος ἐξώτερον· καὶ βρυγμὸν ὀδόντων· καὶ σκωλήκων πλῆθος ὑποστρωννῦσα τοῖς ἁμαρτάνουσιν. Εἰ δέ σε καὶ τῶν μελλόντων οὔπω συστέλλει ὁ φόβος, οὐδὲ τῆς ἀτάκτου καὶ ἀλόγου φορᾶς ἀνακόπτει· ἀλλὰ κἂν γοῦν τὸ Σοδόμων καὶ Γομόρρας ἀνάγραπτον καὶ ἀπαράκλητον πάθος· καὶ τὸ κοινὸν τῶν ἀνθρώπων ναυάγιον ὁ κατακλυσμός· καὶ B τὰ καθημερινὰ τῆς προνοίας ἔργα, εἰς σώφρονα τοὺς λογισμοὺς μεταρρυθμιζέτω μελέτην,

EPIST. XXX.

Michaeli protospathario.

Montacut. (ep. 85, p. 131).

Corpus morbis, patiendo anima, vita denique tota ab hominibus contumeliis afflicta despondet se: amicorum paucitas et absentia, servorum tortiones et vincula, cognati minarum acerbitate divulsi, rerum necessariarum ablatio, librorum direptio, sacrorum ædium expilatio, quas expiatoria nobis futura constitueramus, dum caneretur, legeretur, divinis in eisdem inserviretur; contra omnes sententiæ acerbæ sunt et decreta dura edita, ita ut nemo ad nos propius accedere audeat. Quid opus commemorare quotidianas excussiones, decisiones, condemnationes; in quibus nemo testis comparet, nemo pro tribunali judex, nemo accusator; non dixero contra memet, sed contra amicos, consanguineos, servos omnino omnes, quos aliqua suberat cogitatio, me omnino non negligere. Quod si tandem cessarunt, investigantes quæstiones, non fit id ex animi ipsorum sententia, aut propter aliquam virtutem meam; sed ab excelsa fit et profunda Dei misericordia, a qua sola pendemus, et sub qua in vita agitamur; his tot tantis talibusque exhausti fluctibus, pro cognatis autem, pro amicis, pro famulis, pro canentibus Psalmos, pro quocunque humano solatio; milites, custodia tribuni, vicarii, militares copiæ nos circumsistunt. Unde poterit anima tot malorum falcibus divisa, a corpore non abripi, et aufugere, certe et hoc mihi summam dubitationem movet.

ΕΠΙΣΤ. Α'.

Μιχαὴλ πρωτοσπαθαρίῳ.

Τὸ σῶμα ταῖς νόσοις· ἡ δὲ ψυχὴ τοῖς παθήμασιν· ὁ δὲ βίος ὅλος ταῖς ἐξ ἀνθρώπων ἐπηρείαις ἀπεῖπε ταλαιπωρούμενος. Φίλων ἠρεμία, θεραπόντων αἰκισμοὶ καὶ αἰχμαλωσίαι, συγγενεῖς τῇ τῶν ἀπειλῶν βαρύτητι [d]· στερήσεις καὶ αὐτῶν τῶν ἀναγκαίων· ἁρπαγαὶ βιβλίων, ἱερῶν ἐκπορθήσεις οἴκων, οὓς ἱλαστήριον ἡμεῖς ἐστησάμεθα, ψαλλόντων, ἀναγινωσκόντων, ἐν πᾶσι θείοις ὑπηρετούντων· κατὰ πάντων ἁπλῶς ἀποφάσεις πικραὶ, καὶ ψηφίσματα, ἵνα μηδεὶς μηδὲ τοῦ παραγενέσθαι πρὸς ἡμᾶς πλησίον γένηται. Τί δεῖ τὰς ἐφημερίους ἀνακρίσεις λέγειν, καὶ κρίσεις, καὶ κατακρίσεις· ὧν οὐδεὶς οὔτε μάρτυς, οὔτε κριτὴς, ἀλλ' οὐδὲ κατήγορος οὐ καθ' ἡμῶν μόνον, ἀλλὰ καὶ κατὰ φίλων, καὶ κατὰ συγγενῶν, καὶ θεραπόντων, καὶ κατὰ πάντων ἁπλῶς εἰς οὓς αὐτοὺς ἡ τοῦ μελετᾷν καθ' ἡμῶν ἐλαύνει ἐπίνοια. Εἰ δὲ καὶ ἐξέλιπον [e] ἐξερευνήσεις ἐξερευνῶντες, οὔτε τῆς ἐκείνων γνώμης οὔτε τῆς ἡμῶν ἀρετῆς, ἀλλὰ τῆς βαθείας καὶ ὑψηλῆς φιλανθρωπίας τοῦ Θεοῦ ἧς μόνης ἠρτήμεθα, καὶ ἐφ' ᾗ τὸν βίον σαλεύομεν· τοσούτοις καὶ τηλικούτοις περιαντλούμενοι κύμασιν, ἀντὶ δὲ συγγενῶν, ἀντὶ φίλων, ἀντὶ δὲ θεραπόντων, ἀντὶ ψαλλόντων, ἀντὶ δὲ πάσης ἀνθρωπίνης παραμυθίας, τί; στρατιῶται καὶ κουστωδία, καὶ τριβοῦνοι, καὶ βικάριοι, καὶ στρατιωτικοὶ λόχοι περικάθηνται. Πῶς οὖν ἡ ψυχὴ τοσούτοις κακῶν δρεπάνοις διαιρουμένη τοῦ σώματος οὐκ ἐρράγη καὶ ἐξέφυγε, τοῦτο καὶ ἡμᾶς εἰς ἀπορίαν περιίστησιν.

EPIST. XXXI.

Joanni patricio et sacellano apud Angurios.

Montacut. (ep. 86. p. 131).

Talem ego mihimet amicum conjungere optarem, per quem neque superbiens aliqua gratia et excelsa

ΕΠΙΣΤ. ΛΑ'.

Ἰωάννῃ πατρικίῳ, καὶ σακελλαρίῳ, κατὰ τοὺς Ἀγγουρίους.

Ἑλοίμην ἂν ἔγωγε φίλον ἐμαυτῷ συζεῦξαι, ἐξ οὗ, μήτε τῶν ὑπερηφάνων μοι χαρίτων καὶ ὑψηλῶν

VARIÆ LECTIONES.

[d] διαστώμενοι. [e] ἴσ add. ποτε.

Digitized by Google Распознавание текста ABK/FR

μηδὲν ἔσοιτο, μήτε δεδιὼς εἴην, μήποτε πνεύσας ἐκ τοῦ ἐναντίου συγκατασπάσῃ, καὶ ἃ μηδὲ ὄναρ ἐκεῖθεν ἤλπισα. Πόθεν οὖν εἰς ταύτην ἐξέπεσα τὴν βούλησιν ; αἱ σαὶ πράξεις, τοῦ ποτε φιλοῦντος ἡμᾶς, ἐπὶ ταύτην ἤγαγον.

A impertiatur, neque a quo timeam, ne ex adverso mihi aliquid affletur unde disjiciantur res meæ, et ea in me contrahantur, quæ ne per somnum quidem cogitaram. Ast unde mihi hoc consilii aboritur ? tuæ me actiones impulerunt in hanc sententiam, qui olim me diligebas.

ΕΠΙΣΤ. ΛΒ'.

Βαάνῃ πραιποσίτῳ καὶ πατρικίῳ.

EPIST. XXXII.

Baanæ præposito et patricio.

Montacut. (ep. 91, p. 133).

Ἦν ποτε κρύφιος φίλος ὁ Ἰωσὴφ, καὶ νυκτερινὸς μαθητὴς τοῦ ἐμοῦ Δεσπότου καὶ Θεοῦ · ἀλλ' ὕστερον τοὺς δεσμοὺς ἀπορρήξας τῆς δειλίας, τῶν εἰς τὸ φανερὸν φιλούντων θερμότερος καὶ θαῤῥαλεώτερος γέγονε · καὶ τὸ Δεσποτικὸν ἐφ' ὕβρει κρεμάμενον σῶμα τοῦ ξύλου καθελών, τῆς δυνατῆς θεραπείας οὐκ ἠμέλησε. Μέχρι τίνος τοίνυν καὶ αὐτὸς διὰ νυκτὸς ἡμᾶς ἀγαπήσας, ἀλλὰ μὴ φωτὸς καὶ ἡμέρας υἱὸς γεγονὼς, ῥήξεις ἀξίαν φωνὴν τῆς Ἰωσὴφ παῤῥησίας, καὶ καθελεῖς οὐκ ἀπὸ ξύλου τὸ σῶμα, ἀλλὰ μυρίων πειρασμῶν καὶ θλίψεων καὶ ταλαιπωρίας καὶ πικροῦ ῥυόμενος καὶ καθημερινοῦ θανάτου [f] ; Εἰ δέ σε ἡ τοῦ κόσμου φιλία, καὶ ἡ πρὸς αὐτὸν συμπάθεια οὐκ ἐᾷ, μάτην εἰς καταφυγὴν καὶ παράδειγμα ὁ Ἰωσὴφ ἐπενοήθη καὶ προκομίζεται.

B Erat aliquando Joseph, latenter amicus et nocturnus discipulus Dei et Domini mei ; sed ruptis postea vinculis meticulositatis, inflammatius et confidentius se gessit, quam illi, qui amabant palam : Dominicum corpus contumeliose suspensum, de ligno sustulit, et quo potuit modo curavit. Quousque tu et me per noctem dilecturus es, et non lucis atque diei factus filius, vocem dignam rumpes Josephi fortitudine, et non quidem corpus de ligno auferes, sed de mille modis tentationum, afflictionum, miseriarum, acerba et quotidiana morte expedies. Quod si te impediat amicitia mundi et affectus erga mundum, frustra tibi excogitasti Josephum, et in medium adducis tanquam receptaculum et exemplar.

ΕΠΙΣΤ. ΛΓ'.

Ἰωάννῃ πατρικίῳ καὶ στρατηγῷ Ἑλλάδος.

EPIST. XXXIII.

Joanni patricio, et Græciæ duci.

Montacut. (ep. 93, p. 134).

Εὔνομος ᾄδων ἐσεμνύτετο, φασὶ, ὁ Λοκρός. Καὶ ἦδε γὰρ θέλγων, καὶ κηλούμενος τοὺς ἀκροατάς. Μιᾶς δέ ποτε ῥαγείσης αὐτῷ χορδῶν, τέττιξ ἐπὶ τὸν πῆχυν καθίσας, τὸν φθόγγον ἀνεπλήρου τῆς ῥαγείσης χορδῆς, καὶ ἦν Εὐνόμῳ πάλιν ᾄδειν, ὡς τὸ πρότερον, ἐμμελῶς. Εἰ δέ γε ἡμῖν, ἀντὶ τέττιγος καὶ ξένης ᾠδῆς, τῆς σῆς φιλίας οὐκ οἶδ' ὅθεν περιῤῥαγείσης, ἀποκαταστήσας, πάλιν ἐντείνεις τὴν νευρὰν, ἴσως ἂν εἰς τὴν προτέραν ἡμῶν ὁλοκληρίαν ὁ βίος ἐπανελθὼν, καὶ συμφωνίαν ἀρίστην ἀναλαβὼν, ᾄσεταί τι μέλος εὐδαιμονίας, ἀντὶ τῆς νῦν τραγῳδίας, ἡδὺ καὶ τερπνόν · καὶ τοῖς ἔπειτα τῶν ἀνθρώπων, οὐχὶ Εὔνομος καὶ κιθαρῳδὸς, καὶ τέττιξ μουσουργὸς, μύθου πλάσμα παλαιοῦ, ἀλλ' ἀρχιερεὺς Θεοῦ [g] φίλος ἔνθεος, καὶ καλὸς, εἰς παράδειγμα καὶ παροιμίαν ἐξαρκέσει ἀληθινήν.

C Celebris habetur Eunomus Locrensis cantor. Cum caneret, oblectabat audientes, et deliniebat ; at cum aliquando una e fidibus rumperetur, cicada jugo citharæ insidens, chordæ diruptæ vices adimplebat, ita ut cum concentu Eumelus uti et prius caneret. Quod si tu loco cicadæ et cantus alieni tuæ amicitiæ chordam nescio quo pacto diruptam resarcias, et intendas, fieri potest, ut vita nostra, ad priorem integritatem reducta optimam conficiet harmoniam, et pro præsenti tragœdia, concinet cantilenam felicitatis alicujus, quæ suavis, et cum delectatione sit : et futuro sæculo non aliquis Eunomus citharedus aut cicada musices operatrix, vetustæ cujusdam fabulæ figmentum, sed Dei pontifex amicus divinus et bonus sufficiet, qui in proverbium abeat verum et exemplar.

ΕΠΙΣΤ. ΛΔ'.

Λέοντι καὶ Γαλάτωνι ἀδελφοῖς καὶ ἀσηκρήτις.

EPIST. XXXIV.

Leonti et Galatoni fratribus et a secretis.

Montacut. (ep. 105, p. 150).

Εἰ τὰς πρὸς ἔριν παρασκευὰς ἐξελύσατε, τὰς ἡμετέρας ἐντολὰς, κἂν νῦν γοῦν, ἐπεὶ μὴ πρότερον, ἐκπληρώσατε, καὶ τὸ βιβλίον διορθώσασθε · σφαλμάτων γὰρ αὐτὸ μᾶλλον ἢ γραμμάτων, ὁρᾶν ἔστι τοῖς ἐντυγχάνουσι [βιβλίον ·] οὕτω δὲ οἶμαι κατὰ σπουδὴν πράξασι, καὶ ἡ ἐπὶ τῇ προτέρᾳ παρακοῇ συγγνώμη, μὴ πλέον οὖσα συγγνώμης, ἀλλὰ τὸν ὀρθὸν φυλάττουσα λόγον, ἐπακολουθήσει.

Si apparatus vestros ad contentionem missos fecistis, at nunc, siquidem non prius, præcepta mea observate, et librum corrigite. Nam qui eum in manus sumpserint, magis erroribus scatere quam litteris videbunt. Quod si gnaviter in hoc incubueritis veniam consequimini de præterita insuper habitione et neglectu, nec ultra veniam quid consequimini, nam secundum rectam rationem indulgebitur vobis.

VARIÆ LECTIONES.

[f] ἴσ. add. τὴν ψυχήν. [g] καί.

Digitized by Google Распознавание текста ABK/FR

EPIST. XXXV.

Damiano hospiti.

Montacut. (ep. 108, p. 153).

Venit ad me hesterno die, cum jam luminaria accenderentur (urgentior ejus miseria ab intempestivo accessu videbatur), homo indigens, cum ejulatu, et voce calamitatem testante, ita ut mollefacere et exorare posset ferarum animos ; tunica illum lacera vitæ opertura tegebat ; vultus plagas impactas hominum pugno præ se ferebat, quæ imprimis contuentes in compassionem et luctum adigerent ; me imprimis ita male habuerunt, quod intelligerem, illum pauperem ista passum, a mihi notis ; at causam cum rescivi, propter quam perpessus hæc insufferenda fuit ; cum nimirum ideo hæc luisse in corpore, eo quod cum silentio et voluntarie nolebat, terram ipsis tradere, quæ licet fluctuantem, vitæ tamen spem ipsius fovebat ; hæc ubi velut cumulum cæteris adjecit, confusus ego omnino constiti, ne quidem minus, quam ipse ille pauper, ut ne dicam magis, et profecto qui meum dolorem de homine injuria affecto, et te considerabit, omnino dicturus est, duplicatum esse. Quare, mi homo, miseriam pauperi condona, redde quod injuste tenes, vulnera curato beneficentiæ oleo. Quod si pauperem despicatui habes, at meum dolorem et calamitatem dele, si non potius tuam ; certe, tua, et pauperis, et meam excedit, licet nondum, ut reor, communen illius sensum habeas.

A

ΕΠΙΣΤ. ΛΕ'.

Δαμιανῷ ξενοδόχῳ.

Ἦκε χθὲς, ὡς ἡμᾶς, περὶ λύχνων ἁφὰς (μεῖζον γὰρ αὐτῷ καὶ τῆς ὡρίας τὸ πάθος ἐτύγχανεν) ἄνθρωπος πένης κλαίων, καὶ φωνὰς ἠφίει πάσας [h] ἐπ' ἐλέῳ, αἱ μαλάττειν καὶ δυσωπεῖν ἴσχυον καὶ γνώμην θηρίων · χιτωνίσκος ἦν αὐτῷ περιερρηγμένος, κάλυμμα τοῦ βίου · καὶ πληγὰς τὰς ἐξ ἀνθρώπων ἔφερεν ἐπὶ τοῦ προσώπου · ἃ μᾶλλον τῶν ἄλλων εἰς οἶκτον καὶ θρῆνον τοὺς ὁρῶντας παρεκάλει · ἐμὲ δὲ πλέον, ὅτι καὶ γνωρίμων ἔργα τὰ [i] πάθη τοῦ πένητος ἐπυνθανόμην · ὡς δέ μοι καὶ ἡ αἰτία, δι' ἣν τὰ ἀνήκεστα πάθοι, δῆλη ἐγεγόνει, ὅτι ποινὰς ἔτισε ταῦτα, ἀνθ' ὧν μὴ σιγῇ μηδὲ ἀγαπῷτο γῆδιον αὐτὸ ἐφ' ᾧ ὁ τὰς τοῦ ζῆν ἐσάλευεν ἐλπίδας προηδικημένος · ὡς οὖν καὶ ταῦτα τοῖς ἄλλοις προσετέθη, ὅλος σφόδρα συνεχύθην, καὶ οὐδὲν ἔλαττον τοῦ πένητος (οὐ γὰρ ἔστιν εἰπεῖν, μεῖζον) τὴν ψυχὴν διετέθην · πλὴν εἰ μή τις τὴν ἐμὴν ἀλγηδόνα ἐπὶ σοί τε καὶ τῷ ἠδικημένῳ γινομένην βλέπων διπλῆν ἀποφαίνῃ. Λῦσον ἄνθρωπε τῷ πένητι τὴν συμφοράν, ἀποδιδοὺς τὸ ἀδίκημα, καὶ τὰ τραύματα θεραπεύων εὐεργεσίας ἐλέῳ [l] · Εἰ δὲ τοῦ πένητος ὑπερορᾷς · ἀλλ' οὖν τὴν ἐμὴν λῦσον συμφοράν · μᾶλλον δὲ τὴν σήν · ἡ σὴ γὰρ μείζων, καὶ τῆς τοῦ πένητος καὶ ἡμῶν, κἂν οὔπω ταύτης, οἶμαι, συναίσθησιν ἔχῃς.

B

EPIST. XXXVI.

Michaeli protospathario.

Montacut. (ep. 109, p. 153).

Institutionis possessio, ætate provectiori vitæ baculus firmissimus est, et ætate florentem juvenili, sine tristiia ad virtutis transmittit tempestatem. Quocirca tuos liberos prudentia imbuito et virtute ; ut adhuc adolescentes maturam exhibeant conversationem, et sic cum consenuerint, aliorum auxilio non indigebunt.

C

ΕΠΙΣΤ. ΛϚ'.

Μιχαὴλ πρωτοσπαθαρίῳ.

Τῆς παιδείας ἡ κτῆσις τῷ γεγηρακότι κρατίστη γίνεται βίου βακτηρία · καὶ τὸν ἀνθοῦντα τὴν νέαν ἡλικίαν, εἰς ἀρετῆς ὥραν ἀλύπως διαβιβάζει. Παίδευε τοίνυν σοφίαν καὶ ἀρετὴν τοὺς σοὺς παῖδας · ἵνα καὶ νεάζοντες, ὡραίαν ἔχωσι τὴν πολιτείαν, καὶ γεγηρακότες μὴ δεήσονται [k] τῆς ἑτέρων βοηθείας.

EPIST. XXXVII.

Nicetæ protospathario.

Montacut. (ep. 114, p. 154).

De nobilibus te natum parentibus gloriaris, at ego te potius juberem magnos tibi spritus sumere si virtute tua mereres, ut generis princeps exsistas ipse ; illud enim nequissimus allegabit, at hoc nisi optimus nemo dicet.

D

ΕΠΙΣΤ. ΛΖ'.

Νικήτᾳ πρωτοσπαθαρίῳ.

Αὐχεῖς, ὅτι γονέων ἔφυς εὖ γεγονότων · ἐγὼ δέ σε ἠξίουν μᾶλλον μέγα φρονεῖν εἰ τοῦ γένους ἡγεμόνα σαυτὸν δι' ἀρετῆς προετίθεις · τὸ μὲν γὰρ, ἔσθ' ὅτε, καὶ ὁ χείριστος ἕξει λέγειν · τὸ δὲ, μόνου καθέστηκε τοῦ ἀρίστου.

EPIST. XXXVIII.

Banæ præposito et patricio.

Montacut. (ep. 120, p. 156).

Erat olim apud Romanos, sed et Græcos (nam quid opus Christianos nominare?) etiam contra inimicissimos, nedum bene meritos malefaciendi terminus, et modus statutus. Quin et barbari solent

ΕΠΙΣΤ. ΛΗ'.

Βαάνῃ πραιποσίτῳ καὶ πατρικίῳ.

Ἦν ποτε Ῥωμαίοις, ἀλλὰ καὶ Ἕλλησι (τί γὰρ δεῖ λέγειν, Χριστιανοῖς ;), καὶ κατὰ τῶν ἐχθίστων, μὴ ὅτι γε κατὰ τῶν εὐεργετησάντων, ὅρος κακώσεως · οἷδε καὶ τὸ βάρβαρον μὴ ὑπερβαίνειν νόμους κολά-

VARIÆ LECTIONES.

[h] πικράς. [i] ἴσ, τις ἦν ἔνθα τά. [l] ἐλαίῳ. [k] δεήσωνται, Hœsch.

Digitized by Google Распознавание текста ABK/FR

σεων · καὶ πολλὰ δέ φασι τῶν θηρίων, ὥσπερ εὐλαβεῖσθαι καὶ ὑποστέλλεσθαι, πρὸς τοὺς ἐν συμφοραῖς ἐσχάταις κειμένους, καὶ τὸ θηριῶδες οὐκ ἐπιδείκνυσθαι. Ἡμεῖς δὲ νῦν, ὦ φιλανθρωπότατος, ἀπὸ τῶν ἄλλων ἔργων ὑμῶν, καὶ νόσῳ κείμεθα · καὶ ἰατρὸν ἡ νόσος ἐπιζητεῖ · καὶ ἡμέραι τῇ νόσῳ τριάκοντα παρετάθησαν, καὶ πολλοὶ πολλάκις ὑμῶν ἐδεήθησαν, ἰατροῦ συγχωρῆσαι παρουσίαν · ἀλλ' (ὦ φύσις ἀνθρώπων, καὶ Ῥωμαίων, ὅποι γῆς ἐστε νόμοι, καὶ κλῆσις Χριστιανῶν ;) οὐκ ἐδυσωπήθητε. Ἀλλ' ἡμεῖς μὲν, βαρβάρους ὑμᾶς ἡ θηρίσα νομίζειν, οὔπω πεισθόμεθα · ὑμέτερον δ' ἐστὶν ἐπισκοπεῖν, δι' ὧν εἰς ἡμᾶς τοὺς ταπεινοὺς, τὰς ὑπερορίους ταύτας καὶ καινὰς ὑπὸ τὸν ἥλιον τιμωρίας, ἐπενοήσατε, τίνα προσηγορίαν, ἀντὶ τοῦ Χριστιανοὶ, καὶ Ῥωμαῖοι, καὶ Ἕλληνες, καὶ βάρβαροι, καὶ θηρία, ὀνομάζεσθαι, ταῖς ὑμετέραις πράξεσιν ἁρμόζουσαν, ἐξευρήσετε · ἡμεῖς δὲ, κἂν τῇ νόσῳ νικηθῶμεν, λαμπρότερον, εὖ ἴστε, τὸ καθ' ἡμῶν [1] στήσομεν τρόπαιον · τὸν ἡμέτερον βίαιον θάνατον, τῷ παντὶ βίῳ, στήλην τῆς ὑμῶν μιαιφονίας ἐναπολείποντες ἀνεξάλειπτον.

A leges suppliciorum statas non excedere ; imo bestias non paucas narrant, revereri quodammodo et submittere se extremas inter angustias conclusis, nec feritatem in prostratos exercere. Ego in præsenti, o clementissime, per tuam operam ultra alia, et ex morbo decumbo ; medicum flagitat illa ægritudo quæ dies jam triginta me afflixit, multi interea multis apud te intercesserunt medici, ut præsentiam concedas mihi ; sed (o communem hominum naturam ! o leges Romanas ! o Christianorum titulos ! ubi estis ?) non impetrarunt : et tamen nondum mihi subiit sententia, te cum barbaris, aut bestiis annumerare ; cogitare autem te tua interest, quamobrem in me vilem et abjectum, peregrina hæc, nova, nec sub sole adhuc visa supplicia excogitaveris, quam tibi denominationem aliam pro Christiani titulo, Romani, Græci, barbari hominis, imo bestiæ, quæ tuis respondeat actionibus excogitare velis. Ego autem si morbo succumbam, exstinctus splendidiorem de te scias velim triumphum reportaturus sum : mortem enim mihi violenter illatam columnæ vicem obeuntem indelebilis, contra tuam sanguinariam crudelitatem statuam sum relicturus.

ΕΠΙΣΤ. ΛΘ'.
Θεοφίλῳ πραιποσίτῳ.

EPIST. XXXIX.
Theophilo præposito.

Montacut. (ep. 121, p. 163).

Τὸ μὲν, ἀγαπᾷν τους μισοῦντας, ἀρετῆς, καί θεῖον · τό δὲ, τοὺς ἀγαπῶντας, ἀνθρώπινον καὶ κοινόν · τὸ δὲ μισεῖν καὶ τοὺς ἀγαπῶντας οὐδὲ θηρίων οἶμαι. Ἡμεῖς μὲν οὖν ἀγαπᾷν σε δι' ἔργων δεικνύομεν, οὐ νῦν, ἀλλὰ καὶ πάλαι, τά τε ἄλλα (οὐ γὰρ ἐμὸν ὥσπερ οὐδ' ὀνειδίζειν, οὕτως οὐδ' ἀριθμειν χάριτας), ἀλλὰ καὶ γράφοντες, καὶ προσαγορεύοντες, καὶ παραινοῦντες τὰ δέοντα. Εἰ δ' αὐτὸς ἀγαπῶντας ἐμίσησας, ἡμᾶς μὲν εἰς μείζονα βαθμὸν, ὡς ὁρᾷς, φέρων ἔστησας. Εὑρήσεις δὲ καὶ σὺ τὸν σαυτοῦ ὡς εἴθε μὴ ὄφελες.

C Odio habentes diligere, virtutis opus, et divinum ; diligentes, humanum et vulgare ; sed diligentes odio prosequi haud est, opinor, belluarum. Ego re ipsa docui me te diligere ; nec nunc primum, sed jamdudum, cum in cæteris (sed non ego soleo vel exprobrare, vel enumerare gratias) tum vel maximis scribendo, alloquendo, adhortando, et quæ tibi conveniunt suggerendo. Sin tute diligentes odio habes, certe me, quod vides, in superiorem gradum extulisti ; invenies autem, quod nolueris, et qui te ita tractabit.

ΕΠΙΣΤ. Μ'
Ἠλίᾳ πρωτοσπαθαρίῳ.

EPIST. XL.
Heliæ protospathario.

Montacut. (ep. 122, p. 163).

Οἱ πειρασμοὶ πειραζομένων γινονται πειρασμοί · μὴ πειραζομένων δὲ, στεφάνων καὶ βραβείων παραίτιοι.

D Tentationes tentantibus tentationes fiunt ; non tentantibus causant coronas et brabia.

ΕΠΙΣΤ. ΜΑ'.
Θεοφίλῳ πρωτοσπαθαρίῳ.

EPIST. XLI.
Theophilo protospathario.

Montacut. (ep. 123, p. 164).

Ταχὺ μανθάνεις τοὺς φίλους · ταχύτερον δ' ἀπομανθάνεις · ἀλλ' ἔρρωσο · μήτε μανθάνων ῥᾷον, μήτ' ἀπομανθάνων. Τὸ μὲν γὰρ προπετοῦς καὶ κούφης διανοίας, τὸ δὲ γνώμης, ἵνα μηδὲν εἴπω φαυλότερον, ἀβεβαίου · κρίσει δὲ συνέσεως δεῖσὺς τὸ πρακτέον, ἵστασο μένων ἐν οἷς ἔδοξας μεμαθηκέναι.

Citissime amicos ediscis : dediscis autem multo citius : vale autem, et ne cito disce, nec citius eorum obliviscere ; est enim illud animi leviculi, nimium properantis ; et incerti, ut ne quid gravius dicam, judicii illud ; intelligentiæ tribunali ubi quod agendum stiteris, consiste firmus in iis quæ videris addidicisse.

VARIÆ LECTIONES.

[1] lege ὑμων.

Digitized by Google Распознавание текста ABK/FR

EPIST. XLII.

Theodoto spatharocandidato.

A

ΕΠΙΣΤ. ΜΒ'.

Θεοδότῳ σπαθαροκανδιδάτῳ.

Montacut. (ep. 124, p. 164).

Humana omnia simul diffluunt cum tempore et evanescunt; virtus autem, ut igne et ferro, et omnibus rebus inconsumptibilis est, quibus omnia succumbunt quæ generantur; ita quoque tempus, pathos, mortem ipsam superat. Sin intuearis perspicacius, a tempore et morte ipsa magis reviviscit, et egerminat; proprium splendorem gloriamque magis admirabili modo et illustriori immoriente iterum invidia reassumit. Quid tu igitur erga ea quæ statim nunquam erunt, ac si semper perdurarent, B sis affectus? æterna interim susque deque habes, non aliter quam defluxura. Nonne aurum pro ære, quod in poesi est, permutas? Certe breviusculum est peccatum, quod natura fluida et corruptibilis sit: sed mutatur incorruptibile pro corrumpendo, sapientia pro insania, gloria pro dedecore, gehenna pro cœlorum regno.

Ἅπαντα μὲν τὰ ἀνθρώπινα συγκαταῤῥεῖ τῷ χρόνῳ καὶ ἀφανίζεται· ἀρετὴ δὲ, ὥσπερ πυρὶ καὶ σιδήρῳ, καὶ πᾶσιν οἷς ὑπείκει τὰ ἐν γενέσει πάντα, ἀνάλωτος· οὕτω καὶ χρόνου καὶ παθῶν καὶ αὐτοῦ θανάτου περιγίνεται. Εἰ δ' ἀκριβέστερον ἴδοις, τῷ χρόνῳ, καὶ τῷ θανάτῳ μᾶλλον ἀναζῇ καὶ θάλλει, καὶ τὸ οἰκεῖον κλέος, καὶ τὴν εὐπρέπειαν, ἐναποσβεσθέντος αὐτοῖς τοῦ φθόνου, λαμπρότερόν τε καὶ θαυμασιώτερον ἀναδέχεται. Τί οὖν σὺ τῶν μὲν μετ' ὀλίγον οὐκέτι ὄντων, ὡς ἀεὶ μενόντων, ἀντιποιῇ; ὀλιγωρεῖς δὲ τῶν ἀϊδίων, ὡς ῥεόντων; οὐ χρυσῷ χαλκὸν, τὸ ποιητικὸν, ἀμείβων; Βραχὺ γὰρ τὸ ἁμάρτημα, ὅτι φθαρτῆς ἑκάτερον καὶ ῥευστῆς ὕλης, ἀλλὰ φθορὰν ἀφθαρσίας, καὶ φρονήσεως ἄνοιαν, καὶ δόξης αἰσχύνην, καὶ γέενναν οὐρανῶν βασιλείας ἀνταλλασσόμενος.

EPIST. XLIII.

Joanni patricio et sacellano apud Angurios.

ΕΠΙΣΤ. ΜΓ'.

Ἰωάννῃ πατρικίῳ καὶ σακελλαρίῳ κατ' Ἀγγουρίους.

Montacut (ep. 130, p. 171).

Molestias intueri, volentem me oportuit; nolentem autem tu docuisti: et quid tibi adhuc reliquum est, quam ut sub omnium oculis et testimonio convictus tenearis, multa adhuc duriora in me machinari, quia per quotidianum exercitium, ea omnia cum minore dolore subire edoctus sum. C

Πρὸς λύπας ὁρᾷν, καίτοι ἐκόντας ἐχοῆν, ὅμως καὶ ἄκοντας ἐδιδάξατε. Τί δὴ νῦν ὑμῖν ἔσται πλέον, πλὴν τοῦ κακοὺς κρίνεσθαι ὑπὸ μάρτυσι τοῖς πάντων ὀφθαλμοῖς, πλείονα ἐπινοοῦσι τὰ καθ' ἡμῶν λυπηρὰ, ὅτε διὰ τῆς καθημερινῆς γυμνασίας καὶ ἀλυπώτερον αὐτὰ φέρειν ἐπαιδεύθημεν;

EPIST. XLIV.

Tarasio patricio fratri.

ΕΠΙΣΤ. ΜΔ'.

Ταρασίῳ πατρικίῳ ἀδελφῷ.

Montacut. (ep. 131, p. 171).

Defunctus est nobis secundum corpus amicus, sed nec ipse tu inficias iveris quin reliquit columnam universæ suæ vitæ virtutem: quocirca beatum prædicabimus eum, et tunc quemnam pro illo lessum meditabimur.

Τέθνηκεν ὁ φίλος τῷ σώματι· ἀλλ' οὐδ' ἂν αὐτὸς ἀρνηθείης, ὡς οὐχὶ ἀθάνατον ἀφῆκε στήλην, παντὶ τῷ βίῳ, τὴν αὐτοῦ ἀρετήν. Ἆρα οὖν εὐδαιμονίσομεν ὅλως τινὰ, ἂν τοῦτον θρηνεῖν μελετήσωμεν;

EPIST. XLV.

Manueli patricio.

ΕΠΙΣΤ. ΜΕ'.

Μανουὴλ πατρικίῳ.

Montacut (ep. 146, p. 203).

Fortassis ob ea confidentior exsistis, quæ D a me, cum splendide in tuo theatro conspicarer, dicebantur: *Domine*, nimirum *ne imputes eis hoc peccatum, nesciunt enim quid faciunt* [22]. Atque adeo flatus tuos contra me non cessas. Ego autem, prout tunc temporis beatam illam precem proferre dignus habitus fui, ita et adusque idem votum emitto sine intermissione. Scias autem, o bone, quod quemadmodum, ut ego mihimet legem præscripsi, talibus remunerare conviciatores meos; ita et tu quoque teneris, cum homo sis (ne dicam Christianus), licet sero, tandem tamen a crudelitate recedere; sin minus feceris, ne sic quidem ego orare desinam, scilicet, ne cœlesti adoptione excidam (inde et nunc ad te admonendum pro-

Ἴσως θαῤῥεῖς, οἷς ἡμεῖς, ἐπὶ τοῦ λαμπροῦ ὑμῶν θεάτρου προπηλακιζόμενοι, ἐφθεγξάμεθα· Κύριε, μὴ στήσῃς αὐτοῖς τὴν ἁμαρτίαν ταύτην· οὐ γὰρ οἴδασι τί ποιοῦσι· καὶ διὰ τοῦτο πνέων καθ' ἡμῶν, οὐ λήγεις. Ἀλλ' ἡμεῖς μὲν, ὥσπερ τότε τὴν μακαρίαν ἐκείνην εὐχὴν ἠξιώθημεν εὔξασθαι, οὕτω καὶ μέχρι νῦν ἀδιαλείπως εὐχόμεθα. Ἴσθι δὲ, ὦ βέλτιστε, ὅτι καθάπερ ἡμῖν, τοιούτοις ἀμείβεσθαι τοὺς ὑβριστὰς νενομοθέτηται· οὕτω καὶ ὑμῖν, ἀποστῆναι τῆς μιαιφονίας (κἂν ὀψέ ποτε τοῦ καιροῦ), ἀνθρώποις οὖσιν (ἵνα μὴ λέγω Χριστιανοῖς), κεχρεώστηται. Εἰ δὲ μὴ, ἡμεῖς μὲν οὐδὲ οὕτω, τῆς ἡμετέρας εὐχῆς ἀποσταίημεν, ἵνα μὴ τῆς ἄνωθεν υἱοθεσίας ἐκπέσωμεν (τοῦτο γὰρ αὐτὸ καὶ νῦν ἡμᾶς πρὸς τὴν ὑμετέραν παραίνεσιν διανίστησιν). Ὑμῶν δέ ἐστι λοιπὸν

[22] Rom. v, 13.

Digitized by Google Распознавание текста ABK/FR

ὁρᾷν (οὐ γὰρ ἂν ἀλλοτριώτερόν τι τῆς ἐμῆς εὐχῆς εἴποιμι) ὅπως καὶ ὑμῖν τὰ ἐκεῖθεν πρὸς τὸ συμφέρον μεθοδευθήσεται.

cessi). Tuum est videre (ne longius ab oratione aberrem mea) ut exinde tute tibi omnia commodissime ordines.

ΕΠΙΣΤ. ΜϚ'.

Ἰωάννῃ πρωτοσπαθαρίῳ καὶ δρουγγαρίῳ τοῦ πλοίμου.

EPIST. XLVI.

Joanni protospathario, et dungario ploimi.

Montacut. (ep. 150, p. 206.

Οὐ τοσοῦτον χαλεπὸν, εἰ τυφλὸν[m] ὁ Πλοῦτος, κατὰ τὸν καλῶς αὐτὸν κωμικευσάμενον Ἀριστοφάνην· ἀλλ' ἐκεῖνο παγχάλεπον, εἰ καὶ αὐτὴ κάθηται τυφλὴ ἡ Δίκη, μὴ ἔχουσα δι' οὗ τοῖς ἀδικουμένοις ἐπιβλέψει. ἀλλὰ νῦν διὰ τῆς σῆς ἀρχῆς, εἰς τὸ ὁρᾷν ἐπανελθοῦσα, δειξάτω τὸν Πλοῦτον, μὴ τυφλὸν μόνον, ἀλλὰ καὶ ἄφωνον· ὑπερηχεῖ τῷδε[n] τὰ δίκαια, κἂν πένητος εἴη, τῶν, χρυσῷ παντὸς δικαίου φωνὴν ἐθισθέντων ἀπελαύνειν τοῦ σεμνοῦ ταύτης[o] καὶ περιβλέπτου βήματος.

Haud ita res dura est, si cæcus sit Plutus, ut comicus eum fingit scite Aristophanes : sed illud plane intolerandum arbitror, si astat illi Justitia cæca, nec oculos habeat, quibus injuria affectos intueatur. At nunc per te magistratu præditum, cum restituta sit oculis suis, ostendat illa Plutum non modo cæcum, sed et mutum : etiam majorem sonum reddat Justitia in causa pauperis, quam in illorum qui propter aurum assolebant omnimodæ justitiæ sonum ablegare ab hoc venerando et suspiciendo tribunali.

ΕΠΙΣΤ. ΜΖ'.

Ταρασίῳ ἀδελφῷ.

EPIST. XLVII.

Tarasio fratri.

Montacut. (ep. 153, p. 208).

Τί δεῖ πλέον γράφειν, ὑπὲρ οὗ γράφω; ἂν ἴδῃς τὸν ἄνδρα, καὶ τὴν ἐν αὐτῷ ἀρετὴν, οὐκ οἶδα πότερόν σοι δόξω ἐκείνῳ χαριεῖσθαι, ὅτι τῇ σῇ τοῦτον συνιστῶμεν δεξιότητι· ἢ σαυτῷ μᾶλλον, ὅτι σε τηλικούτου ἀνδρὸς καὶ τοσαύτης ἀξίου φιλανθρωπίας, εὐεργέτην ὀφθῆναι παρεσκευάσαμεν.

Quid opus est ut verba addam ulterius, rei de qua scribo ? si hominem vidisti, et virtutem hominis attendisti, nescio an tibi visus fuerim in ejus gratiam scripsisse, cum tuo recto judicio eum commendaverim ; et non potius tibi gratificatus fuisse quod, ut ejus benefactorem te præstes, induxerim, qui talis tantusque est, et tua tanta dignus humanitate.

ΕΠΙΣΤ. ΜΗ'.

Βασιλείῳ κυαίστωρι.

EPIST. XLVII.

Basilio quæstori.

Montacut. (ep. 154, p. 209).

Οἶδά ποτε τὸ δίκαιον, καὶ τὸν χρυσὸν, ἐν τῇ σῇ διαμαχεσθήσαντας ψυχῇ· ἀλλ' οὐκ οἶδα, εἴτε καταιδεσάμενος ἡμᾶς ὁ χρυσὸς, εἴτε σοῦ τὴν ἀρχὴν, ἐν ἀρχαῖς, τῷ ἀδωροδοκήτῳ[p] τιμῶντος. Πολλοὺς γὰρ ὁρῶ ταύτην τὴν μέθοδον, θηράματι κερδῶν μειζόνων, μετερχομένους· ὅμως ὁ χρυσὸς ἀπῆλθεν, ἔχων τὸ ἔλαττον· καὶ τὸ δίκαιον λαμπρὰν ἀνεδήσατο τὴν νίκην. Νῦν δὲ πάντα σὲ φασι χρυσῷ πράττειν· καὶ οὐ πείθομαι. Χρυσός σοι, φασὶν, αἱ χεῖρες, ἡ γλῶσσα, τὸ δίκαιον. Ἀλλ' ὥσπερ οὐ πείθομαι, οὕτως εἶναι καὶ ψευδῆ τὴν φήμην εὔχομαι. Δείξει δ' ὁ τὴν ἐπιστολὴν κομίζων πένης, ἢ ψευδῆ ταύτην, ἢ ὅπερ ἀπηυξάμην, ὑπάρχουσαν.

Intelligo justitiam et aurum apud animum tuum contendere ; sed ignoro num me in tantum reveritum aurum, aut imperium potius tuum, qui ab initio magistratus tui, locum tuum honoraveris per tuam a muneribus accipiendis aversionem. Multos enim novi hanc viam institisse, dum lucra majora venantur ; verum abiit hinc aurum cum præjudicio, et quod justum est splendidam reportavit victoriam. At nunc ob pecuniam te omnia facere aiunt : Ego illis haud credulus sum. Aiunt, aurum tibi sunt manus, est lingua et justitia aurum. Sed ut ipse non credo, ita falsam esse famam exoptarim quoque. Is qui reddet epistolam, pauper, docebit, falsane fuerit, an, quod nollem, vera fama.

ΕΠΙΣΤ. ΜΘ'.

Ἀλεξάνδρῳ κόμητι.

EPIST. XLIX.

Alexandro comiti.

Montacut. (ep. 158, p. 213).

Εἰ τὴν Ἀλεξάνδρου τοῦ βασιλέως γνώμην ἔστεργες, οὐκ ἂν εἰς τὴν τοῦ Ἀλεξάνδρου τοῦ χαλκέως ὕβριν ἐξέπιπτες. Ὁ μὲν γὰρ, οὐδὲ κατὰ τῶν ὑπηκόων, ὡς ἔτυχε, τὰς διαβολὰς προσεδέχετο· θάτερον

Si regis Alexandri sententiam amplexarere, haud excideres in contumeliam ferrarii Alexandri. Ille non admisit promiscuas quasvis accusationes ne contra subditos ; sed dum accusator diceret, alte-

VARIÆ LECTIONES.

m τυφλὸς n ὑπερηχείτω δέ. o τούτου. p ἀδωροδόκητον.

Digitized by Google Распознавание текста ABK/FR

ram auriculam obturabat: symbolice ostendens, quod qui accusabantur, et judicandi erant, tribunal invenirent purum a convicio solitario, nec linguæ detractionem admittens. Iste autem cum non egeret criminationibus, aut eas desperaret se reperire potuisse, seipsum, loco linguæ et manuum exhibuit contra eos, a quibus maximis beneficiis affectus fuerat. Quod nisi me præveniens divinus Paulus, venturum in te supplicium per eum, qui moribus tibi similis erat clarissime præsignasset, omnino idem et tibi iisdem ipsis verbis denuntiassem.

A δι' τῶν ὤτων, ἐν τῷ τοὺς κατηγόρους λέγειν, ἀνέφραττε· δεικνὺς ἐν τῷ συμβόλῳ, ὡς καθαρὸν μονομεροῦς λοιδορίας, καὶ διαβόλῳ γλώσσῃ ἀνεπίβατον, εὑρήσουσι οἱ κατηγορηθέντες, τὸ κριτήριον. Ὁ δὲ, μηδὲ διαβολῶν δεηθεὶς, ἢ μηδὲ εὑρεῖν ἐλπίσας, οἶμαι, αὐτὸς, κατὰ τῶν τὰ μέγιστα εὐεργετησάντων, καὶ γλῶσσαι καὶ χεῖρες, ἐγίνετο. Ἀλλ' εἰ μὴ προλαβὼν ἡμᾶς ὁ θεσπέσιος Παῦλος, τὴν μέλλουσάν σοι τιμωρίαν, διὰ τοῦ ὁμοτρόπου, τρανῶς προεμήνυσε, πάντως ἂν ἡμεῖς σοι ταύτην, διὰ τῶν αὐτῶν ῥημάτων, διεμαρτυράμεθα.

EPIST. L.
Tarasio patricio fratri.

ΕΠΙΣΤ. Ν'.
Ταρασίῳ πατρικίῳ ἀδελφῷ.

Montacut. (ep. 160, p. 214).

Si illum expertus cognosceres, pro quo scribo non me intercessorem pro illo haberes, sed illo uterere pro multis aliis advocato: adeo confido tuæ facilitati et bonati, ita ejus virtuti et dexteritati.

B Εἰ τοῦ ἀνδρὸς πεῖραν λάβοις, περὶ οὗ γράφω, οὐκέτι πρεσβευτὴν ὑπὲρ ἐκείνου ἐμὲ ἔξεις· ἀλλ' ἐκεῖνον ὑπὲρ ἄλλων πολλῶν. Οὕτω καὶ τῇ σῇ εὐμενείᾳ, καὶ χρηστότητι, καὶ τῇ ἐκείνου ἀρετῇ καὶ δεξιότητι, πεποιθὼς εἰμι.

EPIST. LI.
Pantoleonti aspathario.

ΕΠΙΣΤ. ΝΑ'.
Παντολέοντι ἀσπαθαρίῳ.

Montacut. (ep. 168, p. 243).

Ægyptiaca mulier fuit, quæ ab efflorescente Josephi pulchritudine flamma concepta incendebatur, Sed erat ille licet puer, Israelita, qui lasciviendis amoris omnes aditus et accessus declinabat. Nec cupidinem, jaculis suis tantum, faculis et igne, ac aliis quibus illum fabulæ exornant, spoliavit: sed manifestius declaravit nullam omnino illa exsistentiam possidere: si non ab affectibus malis inescati homines amplecterentur et foverent. Vereor autem ne te, qui es Israelita secundum gratiam, et ad vitæ tuæ terminum provectum, barbara cupiditas, et non illa amoris, acerbum vero et turbulentum amatorem possidens, clanculum et paulatim in extremam proruat perniciem, et exinde ne contra quam Josephi, vitæ tuæ exitus enarretur. Senex amat meretricem barbaram, illa decipitur aut excutitur, sed ille amorem suum in eo consistere fecit, usque dum illa effetum amatorem, satietate et importunitate aversior, profundo allisit.

Αἰγύπτιον ἦν τὸ ἀναφλεγόμενον γύναιον εἰς τὴν ἀνθοῦσαν ὥραν τοῦ Ἰωσήφ. Ἀλλ' Ἰσραηλίτης ἦν ἐκεῖνος, εἰ καὶ παῖς, ὁ πάσας τοῦ ἀκολάστου ἔρωτος στρεψάμενος τὰς προσβολάς. Καὶ οὐ μόνον τῶν βελῶν, οἷς αὐτὸν ὁπλίζουσιν οἱ μῦθοι, γυμνώσας, καὶ τῶν πτερῶν, καὶ τοῦ πυρὸς, ἀλλὰ μηδ' ἂν ὑπάρξαι C διελέγξας ὅλως, εἰ μὴ συνεῖχον αὐτὸν καὶ περιέθαλπον αἱ τῶν τοῖς αἰσχροῖς ἡδομένων ὁρμαί. Σὲ δὲ καίτοι τῆς χάριτος Ἰσραηλίτην ὄντα, καὶ πρὸς βίου βαθύνοντα πέρας, δέδοικα μὴ ἡ βάρβαρος πλεονεξία, οὐκ ἐρῶσα, πικρὸν δὲ καὶ ὀχληρὸν ἐραστὴν κτησαμένη, λάθῃ κατὰ μικρὸν εἰς ἔσχατον ἀπωλείας συνεφέλκουσα, καὶ καταλείψῃ τοῦ σώφρονος Ἰωσὴφ ἀντίστροφον τῷ βίῳ διήγημα. Γέρων ὥρας βαρβάρου μαχλάδος· ἢ δὲ διεκρούετο· ἀλλ' ἐκεῖνος μέχρις ἐκείνου τὸν ἔρωτα ἔστησε μέχρις ἐκείνη τὸν ἔξωρον ἐραστὴν τοῦ κόρου καὶ τῆς ὀχλήσεως μυσαχθεῖσα, βάθει τοῦ ὀλέθρου βαράθρῳ κατέῤῥαξε συνωθήσασα.

EPIST. LII.
Constantino notario.

D

ΕΠΙΣΤ. ΝΒ'.
Κωνσταντίνῳ νωταρίῳ.

Montacut. (ep. 172, p. 244).

Momus certe (nam ut video, quod dolendum est, frustra in præsenti de Divinis Oraculis adhibentur admonitiones) duplicem eamque discrepantem sortitur naturam. Nam si is qui calumniam impingit, cum veritate conjunctam infert, adversarium suum convictum mœrore afficit. Sin mendaciter vicinum impetit, ab illo oppugnato calumnia resiliit, et in illo consedet, qui imputavit; in ipsummet ea omnia convertit quæ nequiter in illum contexuerat, qui reprehensioni justæ non dedit aditum. Tu igitur, qui calumnias illi incessas,

Ὁ Μῶμος (περιττὸν γὰρ νῦν ὁρῶ τὰς διὰ τῶν Θείων Λογίων, οἶμοι, παραινέσεις) διπλῆν πως ἔχει καὶ ἀντικειμένην τὴν φύσιν. Ἂν μὲν γὰρ ὁ φέρων αὐτὸν, ἀληθεύοι καθ' οὗ τίθησιν, ἐλέγχει καὶ λυπεῖ τὸν ὑπαίτιον· ἂν δὲ ψευδόμενος αὐτὸν κατὰ τὸν πλησίον ἀποτίθοιτο, ἐκείνου μὲν ἀποπηδᾷ, ἐπικάθηται δὲ τῷ κομίσαντι, ἐπ' αὐτὸν ἅπαντα στρέφων, ὅσαπερ αὐτὸς κατὰ τοῦ μὴ δεδωκότος τῇ αἰτίᾳ τὴν πάροδον, ἐπονηρεύσατο. Ὅρα οὖν καὶ σὺ εἰς ἀνδρὸς ἐμβαίνων μώμους, ὃν οἱ τῆς εὐσεβείας ἀγωνισταὶ, γνήσιον τῆς ἀρετῆς ἐραστὴν ὁρῶσιν, τί μέλλεις πράττειν· ἐπειδὰν

Digitized by Google Распознавание текста ABK/FR

ὁ κατ' αὐτό γε τοῦτο δικαιότατος Μῶμος, οὐκ ἔχων ὅπως ἐναπερείδοιτο τῷ μάτην αἰτιαθέντι (οὐ γὰρ αἱ σκιαὶ τῶν κατηγοριῶν ἀλλ' αἱ πράξεις ἵδρυμα τῷ Μώμῳ) εἰς τὸν ἀδίκως αἰτιασάμενον, μετὰ πολλῆς τῆς πεποιθήσεως καὶ ἰσχύος ἐπαναστρέψας, ἀθάνατον αὐτῷ διαφυλάττοι τὸ δίκαιον ὄνειδος.

A quem, qui pro pietate certamen ineunt, germanum virtutis amorem agnoscunt, vide et considera sis, quid attentas. Cum enim Momus justissimus in hoc arbiter, non invenerit in eo, qui frustra accusatur ubi resideat (neque enim calumniarum umbræ, sed realiter actitata Momi sedes sunt) in eum qui injuste hominem accusavit magna cum confidentia et violentia resultans immortale ei dedecus justum comparat, nec injuria.

ΕΠΙΣΤ. ΝΓ'.

Ἰωάννῃ πατρικίῳ.

EPIST. LIII

Joanni patricio.

Montacut. (ep. 182, p. 273).

Τῷ μὲν φίλῳ, ὑπὲρ οὗ πρεσβεύω, ὡς καὶ πρόσθεν ἔγνως, περὶ ψυχήν ἐστιν ὁ ἀγών· σὺ δέ, ὡς ἐκεῖνον ὁρᾷν ἔστι, κἂν λέγει, Λεσβίαν αὐτῷ δεξιὰν προτείνεις. Ἂν μὲν οὖν αὐτὸς οὐδέποτε πάθει περιέπεσας τοιούτῳ, μέγα μὲν λέγεις· μᾶλλον δέ, διότι μὴ πέπονθας, χρεώστην σεαυτὸν τοῦ οἰκτείρειν ἀποφαίνεις· φοβερὸν γάρ πως ἐστιν ἐν τῇ φύσει ἐν ἄλλοις μάλιστα προορώμενα τὰ ἀλγεινά, ἄλλως τε εἰ κρεῖττον μέχρι νῦν τῶν ἐν ἀνθρώποις ἐτηρήθης δυσχερειῶν· οὐ γὰρ εὐπρόσοδον τῷ πρεσβευτῇ ἀθρόον ἐμβαίνειν εἰς τὴν ἀνάμνησιν τῶν λυπηρῶν, ἀλλ' οὖν ἀσφαλίσαι τὸ μέλλον διὰ τῆς συμπαθοῦς περὶ τὸ ὁμόφυλον σπουδῆς. Εἴωθε γάρ πως τὰ δεινὰ, τοὺς μέχρι πολλοῦ διαφυγόντας αὐτά, μᾶλλον τῶν ἄλλων ἐποφθαλμιᾷν καὶ σφοδρότερον, ἢ οὓς πολλάκις κατελάβοντο, διώκειν· καὶ οὐδὲν ὁρῶ τοιοῦτο πρὸς ἀποτροπὴν τῶν ἐν ἀνθρώποις περιστάσεων, ὡς τὸ τοῖς ἐμπεσοῦσιν ἵστασθαι βοηθόν. Εἰ δ' ἄνθρωπος ὢν καὶ αὐτὸς, ἐκοινώνησας τοῖς ἀνθρώποις q, ἐκεῖνα λογίζου, ἃ σε τότε διεστρόβει, καὶ συνίστρεφε τὰ σπλάγχνα, καὶ ὅλον πικρῶς ἐπεβόσκετο, θανάτου βαρυτέραν ἀποφαίνοντα τὴν ζωήν· μέμνησαι γάρ ποτε καὶ ἐγὼ, εἴ τι μὴ ὑπὸ τῆς συνεχείας τῶν κακῶν εἰς ὀνείρους ἀποφέρομαι, τοιοῦτόν τι (ὃ μὴ γένοιτο τοῦ λοιποῦ) καὶ περὶ τὴν σὴν εὐκληρίαν ἀπαντῆσαν· ὅτε τὸ ὄμμα ξηρὸν πρὸς πάντας ἀνέῳκτο, πάσης συμφυοῦς λιβάδος ἀπαναλωθείσης τοῖς δάκρυσι· καὶ χεῖρες πρὸ τῶν λόγων τὴν ἱκεσίαν προὐβάλλοντο τὸ πρόσωπον συντηκόμενον εἰς πολλὴν τοὺς ὁρῶντας, καὶ πρὸ τῶν χειρῶν, ἐκάλει συμπάθειαν· καὶ ὅλον εἶχε σύγχυσις καὶ κατήφεια καὶ γνόφος· καὶ κρείττων ἡ σιγὴ τοῦ τότε διηγήματος. Ταῦτα δὴ, ταῦτα (ὦ μηκέτι μηδαμῶς τοιαῦτα παθεῖον σε ἴδοιμι) σωφρόνως ἀναμνησθεὶς (πολλαχοῦ γὰρ εὔχρηστον ἡ μνήμη τῶν λυπηρῶν), γενοῦ σωτὴρ, οἷον ηὔχου σοι γενέσθαι τότε (οὐ γὰρ ἐμὸν εἰπεῖν, οἷον εὗρες), τῷ νῦν εἰς τὰς ὁμοίας συμφορὰς καταπεστόντι. Εὖ γὰρ ἴσθι, ὡς ἐμοί τε τὸ χρέος ἀποδεδώκως εἴης, καὶ τὸν βοηθούμενον, ἐν οἷς ἂν βούλῃ, χρεώστην ἀπροφάσιστον εὑρήσεις. Καλὸν δὲ ἐν βίῳ πολλοὺς χρεώστας, καὶ τότε εὐγνώμονας χαρίτων ἔχειν.

B Amicus ille, cujus ago causam, quod jamdudum recte intelligis de vita sua periclitatur : Tu porro, quod in illo licet intueri, Lesbiam, utcunque nihil dicat, manum porrigis : si ipse nihil tale aliquando perpessus es, magnum est quod dicis ; sed tamen in eo quod perpessus nihil tale fueris, debitor misericordiæ faciendæ multo magis obligaris : naturaliter formidolosum est futura mala prævidere, imprimis, si quæ hominibus adversa contingere solent, seque ad hunc diem observata notasti. Non est legatione fungenti congruum constipatim proruere in malorum commemorationem, sed futurum oportet præcavere, per affectum et studium erga eos, qui sunt ejusdem naturæ participes. Usu enim ita comparatur, ut adversa illos invido magis animo intueantur, qui prospera fortuna diu usi sunt : quam illos, quos frequentius ea incursavit : nihil eo intelligo magis conducere ad avertendas ab hominibus calamitates, quam fuisse afflictis auxilio. Si homo cum sis, communicaveris cum hominibus, illa recolito, quæ te et ipsum tunc vexatum habebant, et viscera quæ subverterunt, et vitam ipsam morte gravius depascebant. Memini aliquando (nisi forte malorum magnitudo me somniare fecerit) aliquid tale (utinam non et denuo ! tuam quoque felicitatem invasisse : cum sicci oculi in omnia aperirentur, humore congenito penitus per lacrymas desiccato ; cum manus verba præcederent, et preces manus tenderent, facies et vultus dejectus præ manibus in tuentes vocaret multis modis ad misericordiam : cum te totum possideret confusio, dejectio, tenebræ ; præstat cætera tacere, quam profari, quæ te tunc contingebant. Hæc ipsa, quæso (o utinam unquam te denuo eadem patientem intuear !), moderate recordare (conducit etenim quamplurimum multoties malorum commeminisci) : sis illius exhibitor, inquantum tunc desiderata expetebas, ei qui in similes incidit calamitates. Quid inde lucratus, non dicam scias velim, quod et mihi debitum persolveris, et eum cui auxilium attulisti in quibuscunque volueris, debitorem habebis. Bonum est autem et utile multos per vitam habere debitores præsertim gratiam redhibentes possidere.

VARIÆ LECTIONES.

q ἴσ. ἀνθρωπίναις.

Digitized by Google Распознавание текста ABK/FR

EPIST. LIV.

Mariano patricio et domestico scholarum.

Montacut. (ep. 189, p. 287).

Si quis unquam optaverit offerri sibi in vita occasionem talem : per quam et amicitiæ et justitiæ simul opera perficiat, non ille potiorem aliquando inveniet illa, quam in præsenti tibi offero. Injuria affectus, pro quo intervenio, non est adhuc tibi notus : causa ejus est eximie justa : si in quem intenditur actio, amicus est tibi et pauper : et non fortassis quia malus est, sed quia pauper, injustitiæ faciendæ pronus : Tu judex, bene moratus, et quod utroque non est minus, utramque virtutem illustrando dispositus: Deum habes, qui te divitiis circumfluentem custodit, nec custodiet tantum, sed, ut qui veritatem prodere non solet, propter misericordiæ actiones tuas, easdem tibi accumulabit redundantius. Quomodo quis periclitanti amico secundum leges dilectionis veræ adesse poterit ? et injuriam passo alter justitiæ oculus factus manum porrigat auxiliatricem, si ut tute fecisti et recte incedisti, quod speramus (spes enim me futurum tanquam præsens intueri facit), injuriam passo injuriam resarciet : amicum vero, domi debitum amicitiæ continens, a faciendo liberabis : Vide autem ut res illa, ad quam te hortamur, cum sit unica, et duo tibi ista repræsentans, testimonium reddat, et amori diviti, et justitiæ invictæ, cujusvis et pulchritudo in te relucens celeberrime per totam vitam prædicabitur : ita ut archetypum te et exemplum præstet virtutem amantibus imitatione dignum, et quod maximum est, inter bona quæ nominari queunt, atque caput : quod cœlestes portas hoc tibi adaperiet, ad ingrediendum immaculatum et felicem thalamum divinæ æternæ fruitionis, eo transmisso, cujus fruitione claritatis sim ego dignus.

A

ΕΠΙΣΤ. ΝΑ'.

Μαριανῷ πατρικίῳ καὶ δομεστίκῳ τῶν σχολῶν.

Εἴ τις ηὔχετο διὰ βίου τοιαύτῃ περιτυχεῖν ὑποθέσει, δι' ἧς ἅμα καὶ φιλίας καὶ δικαιοσύνης ἐργάτης δόκιμος ἀναφανείη, οὐκ ἂν ἀμείνω τῆς νῦν σοι παρ' ἡμῶν προτεινομένης ὀφθείη εὑράμενος. Ὁ μὲν ἀδικούμενος, ὑπὲρ οὗ πρεσβεύω, τῶν μήπω μὲν σοι ἐγνωσμένων ἐστί· λαμπρὸν δὲ τὸ δίκαιον ἔχει· ὁ δὲ πρὸς ὃν ἡ δίκη, φίλος τέ ἐστι καὶ πένης, καὶ οὐδ' ἀπὸ κακίας ἴσως, ἀλλ' ἐξ ἀπορίας ὁρᾷ πρὸς τὸν ἄδικον. Σὺ δὲ καὶ κριτὴς, καὶ τρόπους χρηστός, καὶ ὁ μηδ' ἑτέρου ἧττον, ἑκατέραν, τῶν ἀρετῶν λαμπρῶς ἐπιδείξασθαι· τὸν Θεὸν ἔχεις ἐν ἀφθονίᾳ πλούτου τὸν βίον συνέχοντα· οὐ συνέχοντα δὲ μόνον, ἀλλὰ καὶ οὐκ ἂν σφαλείην τῆς ἀληθείας, διὰ τὰς ἐπ' ἐλέῳ σου πράξεις ἴσῃ προσθήκῃ τοῦτον ἤδη πλεονάζοντα. Πῶς ἂν τις καὶ τῷ φίλῳ κινδυνεύοντι κατὰ τοὺς νόμους τῆς ὡς ἀληθοῦς ἀγάπης βοηθήσῃ ; καὶ τῷ μὲν ἀδικουμένῳ δίκης ἄλλος ὀφθαλμὸς γενόμενος χεῖρα ἐπίκουρον προτείνοι· εἰ ὥσπερ σὺ διαπραξάμενος καὶ κατορθώσας, ὅπερ ἀξιοῦμεν (ἐλπὶς γὰρ μὲ, τὸ μέλλον ὡς παρὸν ὁρῶσα), οὕτω λέγειν ἀναπείθει, τῷ μὲν ἀδικηθέντι τὸ ἀδίκημα ἀποκαταστήσει· τὸν δὲ φίλον, οἴκοθεν κατατιθεὶς τὸ ὀφείλημα τῆς εἰσπράξεως, ἐλευθερώσει· καὶ ὅρα ὡς ἡ πρᾶξις, ἐφ' ἣν σε παρακαλοῦμεν, μία οὖσα καὶ δύο ταῦτά σοι περιποιοῦσα, προσμαρτυρεῖ ἀγάπης πλοῦτον καὶ δικαιοσύνης ἅμαχον ἰσχὺν, καὶ καλὸν τῷ βίῳ διήγημα ἐγκαινίζουσα, ἀρχέτυπόν σε τοῖς φιλαρέτοις καὶ ἀξιοζήλωτον ἐπεισάγει παράδειγμα, καὶ τὸ μέγιστον καὶ τῶν ἄλλων ἁπάντων ὅσα τις ἀγαθὰ καὶ εἶποι καὶ ἐπινοήσοιτο κεφάλαιον, ὅτι τὰς οὐρανίους πύλας αὕτη ὑπανοίγει σοι, πρὸς τὸν καθαρὸν ἐκεῖνον καὶ μακάριον θάλαμον τῆς θείας καὶ ἀϊδίου ἀπολαύσεως, μετὰ πολλῆς προπέμπουσα (ἧς πῶς ἂν ἀξιωθείην ἔγωγε ;) φαιδρότητος.

B

C

EPIST. LV.

Eidem.

Montacut. (ep. 190, pag. 288.)

Declarasti, quantum et amicitiæ, et justitiæ tribuas, vir consummate, præsertim cum tot præterfluxerint generationes, in quibus nullum utriuslibet actum sincerum viderimus : ego certe cum ob celeritatem, tum ob magnitudinem istius rei optime gestæ gaudeo : nec gaudere cum exsultatione desistam, quia priusquam litteris explorarem an molestus tibi essem, tantum dignatus es mihi attribuere : in præsenti, adeo attollor et allatus incedo, ob promptitudinem optimæ tuæ voluntatis : et in tantum efferor ob actum plane admirabilem, sine ulla excusatione, quod verear, ne plures tibi tales ministrem occasiones, unde et meam gratiam multiplicabo, et tuam virtutem reddam illustriorem : et pro eo, quod videbor molestus, ne parcus nimium tibi, quod molestum erit mihi, te judice, censear. Sed vale in Domino, etiamsi apud ipsum, multas ejusmodi actiones inveniens, et gloriam tibi per vitæ cursum acquirens, me minime captante experimentum.

D

ΕΠΙΣΤ. ΝΕ'.

Τῷ αὐτῷ.

Ἔδειξας εἰς ὅσον ἥκει καὶ φιλίας καὶ δικαιοσύνης ἡ σὴ τελειότης καὶ τότε γενεαῖς τοιαύταις ἐν αἷς οὐδ' ἑτέρας αὐτῶν, οὐδὲ τὴν συνήθη πρᾶξιν καθαρὰν ὁρῶμεν. Καὶ ἔγωγε ἐπὶ τοσοῦτον, καὶ τῷ τάχει, καὶ τῷ μεγαλείῳ, χαίρω τοῦ κατορθώματος, καὶ χαίρων οὐ λήγω τῆς ἀγαλλιάσεως, ὅτι πρὶν μὲν γράφων ἐσκοπούμην, μή πως ἄρα ὀχληρός σοι δόξω, εἰς τοιαύτας εὐθὺς ἀναβαίνων ἀξιώσεις. Νῦν δ' οὕτως ἀνεπτέρωμαι καὶ μετέωρος ὅλος εἰμὶ τῷ προθύμῳ τῆς ἀρίστης γνώμης, καὶ ἀπροφασίστῳ τῆς θαυμασίου σου πράξεως ἐπαιρόμενος, ὅτι δέδοικα μὴ πολλὰς ἔχων σοι τοιαύτας προσάγειν ὑποθέσεις, δι' ὧν καὶ τὴν ἐμὴν χαρὰν πολυπλασιάσω, καὶ τὴν σὴν ἀρετὴν λαμπροτέραν ἐπιδείξω· ἀντὶ τοῦ δοκεῖν ὀχληρὸς εἶναι, μὴ ἀφιλόκαλος, καὶ τότε παρὰ σοὶ κριτῇ γε (τὸ βαρύτατον) νομισθείην. Ἀλλ' ἔρρωσό μοι ἐν Κυρίῳ, κἂν μὴ δοκιμάζωμεν ἡμεῖς, αὐτὸς δι' ἑαυτοῦ, πολλὰς τοιαύτας ἀνευρίσκων πράξεις καὶ ταύταις ἐλλαμπρυνόμενος διὰ βίου.

Digitized by Google Распознавание текста ABK/FR

ΕΠΙΣΤ. ΝϚ'.

Θεοφίλῳ ἀσπαθαρίῳ καὶ σακελλαρίῳ.

Τὸ μὲν δίκην ἀπαιτεῖν τὸν ἠδικηκότα, ἀνθρώπινον· τὸ δὲ μὴ ἀμύνεσθαι, φιλόσοφον· τὸ δὲ καὶ εὐεργεσίαις ἀμείβεσθαι, λοιπὸν ἤδη θεῖον· καὶ μιμητὰς τοῦ ἐν οὐρανοῖς πατρὸς τοὺς γηγενεῖς ἀποφαίνον. Τὸ μέντοι χειρῶν ἄρχειν ἀδίκων, ἐπεὶ χώραν ἐν τοῖς εἰρημένοις οὐδεμίαν ἔχει, ἢ θηρίων πάντως, ἢ δαιμόνων πρᾶξιν ἐμφανίζει, κἂν ἀνθρώπινον εἴη σχῆμα περιδεδυκὼς ὁ πράξας. Τεσσάρων οὖν χαρακτήρων ταῖς πράξεσιν ἐνθεωρουμένων, αὐτὸς κατὰ σεαυτὸν τὸν προσφυῆ τύπον τῇ νυνὶ σου πράξει περιαρμόσας· εἶτα κατιδὼν ὄψῃ, κἂν ἄλλος σοι μὴ ὑποδεικνύει (φεῦ τοῦ αἰσχίστου θεάματος!) τίνος σεαυτῷ τοῖς ἔργοις διεκόλαψας εἰόνα.

EPIST. LVI.

Theophilo aspathario et sacellario.

Montacut. (ep. 193, p. 292).

Actionem instituere contra injustitiam, humanum est: non ulcisci, philosophicum: at benefactis compensare, divinum: quo Patris, qui in cœlis est, terreni homines filii per imitationem fiunt. Violentas manus injicere non provocatum cum inter superius memorata locum non habeat, belluinam aut dæmoniacam actionem notat: licet actor sub humana figura fuerit. Quocirca cum quatuor sint rerum notæ: tute per temet formam actioni tuæ congenerem adapta, re perspecta intelliges, licet alius non subindicet, est enim visu res turpis, cujusnam imaginem tibi per opera tua insculpseris.

ΕΠΙΣΤ. ΝΖ'.

Ἡλίᾳ ἀσπαθαρίῳ καὶ δρουγγαρίῳ τοῦ πλοίμου.

Εἶπεν ἄν τις τῶν παρ' Ἕλλησι σοφῶν· Τὸ τάχος μόνης τύχης. Ἐγὼ δ' ἂν φαίην, ὡς εἰ μὴ θείας ἐστὶν ὁρμῆς, ἢ καιρῶν ἀνάγκης, μόνης ἀβουλίας. Σκέψασθαι δεῖ τοιγαροῦν περὶ ὧν ἐπείγῃ, καὶ μὴ τῷ προπετεῖ τὴν πρᾶξιν πιστεῦσαι. Καὶ γὰρ ἂν μὲν εἰς συμφέρον ἀποβαίη, ὥσπερ τὰς ἐκ τοῦ τέλους ὠφελείας, οὕτω δὴ καὶ τοῦ βουλεύσασθαι κερδανεῖς τοὺς ἐπαίνους· ἂν δὲ τούναντίον, τοῦ μὲν βεβουλεῦσθαι οὐδ' οὕτω τὴν κρίσιν ἐζημιώθης, τοῦ δέ γε μὴ ὠφελεῖσθαι, ὃ μέγιστόν ἐστιν ἐν πᾶσι τοῖς τοιούτοις παραμύθιον, οὐ σαυτὸν αἰτιάσῃ.

EPIST. LVII.

Heliæ aspathario, et drungario ploimi.

Montacut. (ep. 197, p. 294).

Dixit quispiam Græciæ sapientum: *Celeritas soli fortunæ convenit.* Ego dixerim, quod si non a divino motu procedat, aut temporis necessitate, celeritas inconsulta est. Considerandum ergo illud est, quod instat, nec præcipitationi res concredenda. Nam si satis commode inciderit, quod finalem attinet utilitatem, laudem eo consequeris, quasi rectum consilium ceperis. Sin contra evenerit, quam consilio capto opinabaris, judicii detrimentum non sic subibis, nec quod utilitatem non ceperis, te juste incusabis, quod in talibus solamen non exiguum erit.

ΕΠΙΣΤ. ΝΗ'

Σεργίῳ ἀσπαθαρίῳ ἀδελφῷ.

Ἔλεγχος ἄκρατος εἰς δύο περιίσταται ταῦτα· ὃ μὲν βούλεται ποιεῖν, οὐ περαίνει· καὶ οἷς μὴ βούλεται, περιπίπτει· βούλεται μὲν γὰρ εἰς μετάνοιαν τὸν ἐλεγχόμενον ἄγειν· ἀλλὰ τοῦτο μὲν οὐκ ἐξανύει· περιίσταται δὲ αὐτῷ τὰ τῆς σπουδῆς εἰς τούναντίον· ἐκτραχύνει γὰρ μᾶλλον, καὶ εἰς ἀπόνοιαν περιτρέπει· ἑαυτόν τε δίδωσι νομισθῆναι, ὡς οὐχὶ φιλανθρώπῳ γνώμῃ, καί συμπαθεῖ διαθέσει, ἐπιχαιρεκακοῦντα δὲ τῷ πταίσματι τοῦ πλησίον τοῖς ὀνείδεσιν ἐπεμβαίνειν. Διὸ συνετῶς ἄγαν καὶ σοφῶς, καὶ Νάθαν ὁ προφήτης τῷ Δαβίδ, καὶ Μιχαίας τῷ Ἀχαάβ, ὑπὸ προσωπείῳ τοὺς ἐλέγχους προσενηνόχασιν· ἅμα μὲν πραοτέροις ὑπολειαίνοντες λόγοις· ἅμα δὲ καὶ διὰ τοῦ ἀγνοεῖν, εἰς ὃ τείνει καὶ ἀφορᾷ τὸ τοῦ δράματος, αὐτοὺς ἐκείνους κριτὰς ἀδεκάστους τῶν παρὰ σφίσιν αὐτοῖς ἡμαρτημένων, λαμβάνοντες. Διὰ τοῦτο γὰρ καὶ ὁ μὲν ἤνυσε τὸ πᾶν (ἄνδρα γὰρ ἀρετῆς ἐραστὴν, εἰ καὶ παρωλισθηκότα, ἐν νουθεσίᾳ διήλεγξεν)· ὁ δέ, ὡς πρὸς τηλικοῦτον θηρίον, εἰ καὶ μὴ ὁμοίως, ἀλλ' οὖν μεγάλα ἐξήνυσεν· εἰς ἄλγος γὰρ καὶ δάκρυα παραυτίκα, εἰ καὶ πρὸς τὰ τῆς δυσσεβείας μετ' ὀλίγον ἐπαλινδρόμησε, συνέστειλεν αὐτοῦ τῆς γνώμης τὸ ἀπονενοημένον καὶ φυσώμενον. Καὶ σὺ τοίνυν, ἐν οἷς ἡ χρεία καλεῖ, ἐπιεικείᾳ κιρνῶν τοὺς ἐλέγχους, καὶ ὑπὸ προσφόρῳ παραπετάσματι τοῖς νουθετουμένοις προσφερόμενος, μᾶλλον ἐξανύσεις τὸ σπουδαζόμενον.

EPIST. LVIII.

Sergio aspathario fratri.

Immoderata redargutio in hæc duo incidit: quod intendit, haud perficit: quibus nollet, incidit. Intendit, ad resipiscentiam inducere redargutum: hoc non præstat; studium divertitur in contrarium, exacerbat potius et ad desperationem adigit: opinionem de se suscitat, quod opprobriis indulget, quasi malis vicini sui gavisus, non quod humano affectu aut compassione tangatur. Quocirca consulto et sapienter, cum Nathan Davidi, tum Michæas Achabo, personatam repræsentant redargutionem: molliori sermone delinientes; et quia nesciebant quo scena tenderet, ipsos judices habentes criminum ab ipsis patratorum. Ideo Nathan perfecit quod volebat. Virum enim virtutis amantem, licet ab ea exorbitaverat, admonendo redarguit: alter autem, licet similiter apud talem bestiam non profecit, multum tamen fecit; in mœrorem protinus et in luctum conjecit, utcunque statim ad pristinam impietatem revertebatur, tamen desperatum ejus animum et inflatum coercuit. Tu autem quoties necesse fuerit, reprehensionibus admisce comitatem et sub parato velamento, admonitis te applica, atque ita magis, quod conaris, perfectum dabis.

Digitized by Google Распознавание текста ABK/FR

EPIST. LIX.

Theophylacto aspathario.

Montacut. (ep. 224, p. 333).

Orarem, ut nunquam si fieri ita posset, morbo labores, nec medica arte indigeas : sin, quia homo es, necessario ægrotas, secundo, te cito convalescere, et talibus me donis remunerare, nempe Deo ingentes habentem gratias, pauperibus opitulantem, debitoribus condonantem debita. Talibus-modi ingentibus sane donis nequaquam exsaturari vel lætari desinam.

EPIST. LX.

Manueli patricio.

Montacut. (ep. 226, p. 334).

Non latebis, etiamsi lateas, Dei oculum non latibilem, qui ea agis, et apparas, quibus me per vim e vita extrahas. Qui præter ordinatam mortem, per aliam viam vita homines privat, licet manu ensem non teneat, nec tingat illum sanguine, est nihilominus homicida ; etiam cum carnificem non appellet. Si talia patrare, tribunalia cœlestia reddat implacabiliora, quousque tu te non expedies ab illis, qui tam acerbe olim ibi, quod ego nollem tibi contingere, ne quidem si adhuc magis in me feraris, frustra tamen et sine fructu, ad quæ homines undique gementes transmittuntur.

EPIST. LXI.

Leonti et Galatoni fratribus, a secretis.

Montacut. (ep. 232, p. 346).

Anatolio illo bono (nescio an ipse fictiones illas commentus est, an alterius fetum suppositium in suum adoptat ?) Pontus impletur ; tam vehementes, tam frequentes sunt mendaciorum venti ; ita undique perflant, ut nec Argoæ puppis Nautæ celebrentur, nec vellus aureum, nec spirantes ignem tauri, vel multiformes dracones, nec quæ sunt aliæ monstrosæ fabulæ deinceps fingantur. Novitia mendaciorem hyperbole efficiet, ut illa absoleta fere fidem mereantur, neque enim ante quinque dies, non ante duos, imo ne ante unam horam ad nos accessit aliquis inter eos numeratus, qui sunt cum imperio, nec qui imperio parent ; non tabellarius, non litteras annotans, non bonorum nuntius, non adversantium famulus ; imo quæ nunc in promissis dabantur, cum prioribus disperiere, aerem tantum verberantia ? Quid dico in promissis ? non enim promittebantur tantum, sed placituris isthisce clare ob oculos repræsentabantur, utcunque ne per insomnium cernebantur. Nam ab initio per imaginationes haud alicubi subsistentes conficta, circa easdem quoque diffluxere : verumtamen, quod nullus arbitror, mendacii continuatio cuivis de iis divinandi faciet potestatem exaccuratam. Quod si, contra opinionem, cum veritate coinciderint ; om-

ΕΠΙΣΤ. ΝΘ'

Θεοφυλάκτῳ ἀσπαθαριῳ.

Εὐξαίμην αν, ειπερ ἐνῆν, μηδέποτε σε περιπεσεῖν νόσῳ, μηδ' ἀκεστορίης ἐπιδεᾶ γενέσθαι τέχνης. Εἰ δ' ἄνθρωπον ὄντα, καὶ νοσεῖν ἀνάγκη · ἀλλ' οὕτω τε ῥᾳδίου τυγχάνειν τῆς θεραπείας, καὶ τοιούτοις ἡμᾶς ἀμείβεσθαι δώροις · Θεῷ μὲν μεγάλας ἀναφέροντα τὰς εὐχαριστίας, πένησι δὲ βοηθοῦντα, λύοντα δὲ καὶ τοῖς χρεωστοῦσι δίκας τὰς ὀφειλάς · ταῖς γὰρ τοιαύταις οὐδὲ κόρον ἴσμεν ἡδόμενοι μεγαλοδωρεαῖς.

ΕΠΙΣΤ. Ξ'.

Μανουὴλ πατρικίῳ.

Οὐκ ἂν λαθοις, οὐδ' ἂν λάθοις, τὸν ἀλάθητον ὀφθαλμὸν τοῦ Θεοῦ, ἐκεῖνα πράττων καὶ κατασκευαζόμενος, δι' ὧν ἡμᾶς ἐξάγοις βίᾳ τοῦ ζῆν. Ὁ γὰρ παρὰ τὸν ὁρισθέντα τῇ φύσει θάνατον, ἕτερον τρόπον ἐλαύνων ἀνθρώπους τοῦ βίου, εἰ καὶ μὴ τῇ χειρὶ τὸ ξίφος φέρων βάπτοι τῇ σφαγῇ, ἀλλ' οὖν ἀνδροφόνος ἐστί · κἂν μήπω τὸν δήμιον ὁρᾷ. Εἰ δὲ καὶ τὸ Γ ταῦτα διαφυγεῖν, χαλεπώτερα τὰ ἐκεῖθεν δικαιωτήρια ποιεῖ, μέχρι τίνος οὐκ ἀποστήσῃ σαυτὸν τῶν ἐκεῖσε, πικρῶς οὕτω, καὶ ὡς οὐκ ἂν ἤγωγε βυληθείην, οὐδ' ἂν πλέον ἐπιβουλευθείην, μακρὰ καὶ μάτην οἰμώζοντα, καὶ κατολοφυρόμενον, παραπεμπόντων.

ΕΠΙΣΤ. ΞΑ'.

Λέοντι καὶ Γαλάτωνι ἀδελφοις ἀσηκρῆτις.

Τῶν Ἀνατολίου τοῦ καλοῦ πλασμάτων (οὐκ οἶδα δὲ πότερον αὐτός ἐστι πατὴρ, ἢ ὑποβόλιμαίους ἑτέρων ποιεῖται γονὰς) πλήρης ὁ πόντος ἐγένετο · καὶ οὕτω μὲν σφοδραὶ, οὕτω δὲ συνεχεῖς αἱ τοῦ ψεύδους αὖραι καταπνέουσιν, ὡς μηδ' οἷς ἡ τῶν ἐν Ἀργῷ πλωτήρων πλάνη σεμνύνεται, τὸ χρυσόμαλλον δέρας, καὶ τοὺς πυριπνόους ταύρους, καὶ τοὺς πολυμόρφους δράκοντας, καὶ τὴν ἄλλην τερατείαν, μηδὲ ταῦτα λοιπὸν εἰς μύθους ἀναφέρεσθαι · τῇ γὰρ νεωτέρᾳ τοῦ ψεύδους ὑπερβολῇ, ἔσχεν ἀνελθεῖν ἐκεῖνα τὰ παλαιὰ εἰς εἰκόνα τοῦ πιστεύεσθαι. Οὐδὲ γὰρ, οὐδ' ἡμερῶν πρὸ πέντε, οὐδὲ πρὸ δύο, οὐ μὲν οὖν ἀλλ' οὐδὲ πρὸ μιᾶς ὥρας, οὐδεὶς ἀφίκετο πρὸς ἡμᾶς, οὐ τῶν ἄρχειν λαχόντων, οὐ τῶν ἑτέροις πειθαρχούντων · οὐ γραμματηφόρος · οὐκ ἐπισημότερος γραμμάτων · οὐκ ἀγαθῶν ἄγγελος · οὐχ ὑπηρετούμενος τοῖς ἐναντίοις · ἀλλὰ γὰρ καὶ τὰ νῦν ὑπεσχημένα τοῖς ἔμπροσθεν συναπώλετο, τὸν ἀέρα μόνον κτυπήσαντα. Τί δὲ δεῖ λέγειν ὑπεσχημένα ; οὐ γὰρ ὑπεσχημένα μόνον, ἀλλά γε τοῖς χαριεστάτοις τουτοισὶ καὶ πρὸ ὀφθαλμῶν λαμπρῶς κείμενα, εἰ καὶ μηδ' ὀνείροις ὡράθησαν · καὶ γὰρ τὴν ἀρχὴν, εἰς ἀνυπάρκτους διαπεπλασμένα φαντασίας, περὶ αὐταῖς καὶ κατερρύηκεσα · πλὴν ἀλλ', ὅπερ οὐχ ἡγοῦμαι, ἡ συνέχεια δὲ τοῦ ψεύδους, τὴν ἐπ' αὐτοῖς μαντικὴν παντὶ παρέχεται ἀκριβῶ-

VARIÆ LECTIONES.

ἶσ. καὶ μετὰ τό.

Digitized by Google Распознавание текста ABK/FR

σασθαι. Ἀλλ' οὖν εἰ καὶ παρὰ δόξαν, ὅμως εἴ ποτε πρὸς ἀλήθειαν περιτραπείησαν, ἔσοιτο πάντα παρ' ἡμῶν τῷ ἀνδρὶ, ὅσα γενέσθαι αὐτῷ δι' ὑμῶν παρητήσατο. Ἔρρωσθε.

nia ille apud me obtinebit, quæ per vos ut obtineret recusavit. Valete.

ΕΠΙΣΤ. ΞΒ'.

Ἀρσαβὴρ Ἀσπαθαρίῳ.

EPIST. LXII.

Arsaber aspathario.

Montacut (ep. 233, p. 347).

Τὸ μὲν δῶρον, μεγαλοπρεπὲς ὄν, καὶ χωρὶς τῆς ἄλλης διαθέσεως ὃ καὶ ἄλλους ἂν ἐπεπείκει, μεγαλοπρεπῶς ἡμᾶς παρεσκεύασε δέξασθαι. Ἡ δὲ διάθεσις καὶ χωρὶς τοῦ δώρου τὸ οἰκεῖν ποιεῖν διανοουμένη, ἅτε δὴ μείζων μὲν πάσης ἄλλης φιλοτιμίας, μείζων δὲ παντὸς εὐεργετήματος καὶ εἶναι καὶ ὀνομάζεσθαι μεγαλοφρονοῦσα οὐδενὶ ἑτέρῳ τῶν πρωτείων ὑπεξίσταται. Εἰ δὲ ταῦτα ἄν τε παρῇ τὰ δῶρα, κἂν μέγιστα ᾖ, οὐδὲν ἐκείνη δι' αὐτῶν περιβάλλεται μέγα, ἄν τε μὴ παρῇ, τῇ μονώσει πλέον ἀπαστράπτει. Ὥσπερ νέφος ἡλιος τὴν ὕλην διαφυγοῦσα καὶ καθαρὰς καὶ ἀύλους τὰς αὐγὰς τῆς φιλικῆς προ[σ]αγορεύσεως ἐκ τοῦ δεχομένου ἀντανακλῶ σοι τῷ πέμποντι. Διὸ μηκέτι σοι δώρων ἀπορίᾳ ἡ πρόσρησις βραδυνέτω, ἀλλ' ἐποχουμένη τῇ διαθέσει καὶ τὰς σὰς συνεπικομίζουσα ὑγείας θᾶττον ἀφικνείσθω. Οὐ γὰρ ἔστιν, οὐκ ἔστιν οὐδ' οὐ μὴ ἔσοιτο τῆς δι' αὐτῆς ἡμῖν ἐγγινομένης χαρᾶς καὶ θυμηδίας οὐδὲν τῶν περιγείων δῶρον [a] χαριέστερον.

Munus quidem cum sit magnificum, et quod sine dispositione alia quosvis allexisset, me, ut magnifice acciperem, invitavit. At dispositio, semoto quidem dono, cum quod suum erat peragere cogitaret, utpote aliam quamlibet honorandi causam excedens, omni beneficio majus, et cum pro tali censeri et nominari magnopere cuperet, in nulla re a primis deficit. Si ejusmodi munera afferantur, utcunque eximia sint, nihil per illa tamen voluntati accedet magnum, nisi et illa adsit; solitudine magis illustratur: ut sol a nube subductus, et materiam illam dispellens, illimes, et puros et defæcatos amicæ compellationis radios, ab accipiente refractos admittentem mittunt. Quare non ulterius propter munerum indigentiam affari te tardabo. Sed salutatio in animi affectu evecta, et una secum tuas apportans salutationes, citius advolet: non est, nec erit terrenorum donorum aliquod magis jucundum, aut quod oblectationem majorem et gaudium operetur.

ΕΠΙΣΤ. ΞΓ'.

Ταρασίῳ Πατρικίῳ ἀδελφῷ παραμυθητικὴ ἐπὶ θυγατρὶ τεθνηκυίᾳ.

EPIST. LXIII.

Tarasio patricio, fratri, de obitu filiæ suæ consolatoria.

Montacut (ep. 234, p. 347).

Ὦ ποῦ νῦν Ἠλίας; ποῦ δὲ Ἐλισσαῖος; ποῦ δὲ Πέτρος, ἢ Παῦλος, ἤ τινες τῶν κατ' ἐκείνους ἱερῶν καὶ ἁγίων ἀνδρῶν; οὐ γὰρ ἂν ἐπιστολῆς ἐδεήθην, αὐτῶν δέ τινος λαβόμενος τῶν ποδῶν, ἐπεὶ τὴν χάριν οὐκ ἔχω τῶν χειρῶν, οὐκ ἂν ἀπέστην ἅπαντα ποιῶν, ἕως ἂν ζῶσαν τοῖς γεννησαμένοις παρέθεντο τὴν παῖδα. Νῦν δὲ τί; οὐδὲ γὰρ, οὐδὲ ταῖς τηλικαύταις συμφοραῖς τοῦ γένους, ἡ καθ' ἡμῶν ὑπερόριος φυγὴ δυσωπεῖται. Ἐπιστολῆς δέομαι, ἐπιστολῆς, οἵ μοι! θρῆνον ἀδελφοῦ, ἐπὶ θυγατρὶ κειμένῃ διαπραῦνούσης· ὅτε τέκνων παρῆσαν ἐλπίδες, καὶ τὸν γάμον εἶχε δυσφημία· ὅτι μὴ θᾶττον τὴν παῖδα μητέρα ἐδείκνυ, μηδὲ παιδὸς παῖς χερσὶ προπατόρων ἐναθύρει τε καὶ ἐναλλεται, περιλαλῶν τοῖς ψελλίσμασιν. Ἀλλ' ὅτε τὰ μείζω ἠλπίζετο, τότε καὶ ἃ κατείχομεν ἀνηρπάζετο· οἵ μοι τῶν παλαιῶν προπατόρων ἀπάτη καὶ παράβασις καὶ δίκη! Πῶς εἰς τὸν παράδεισον εἴρπυσεν ὁ πονηρὸς ἐκεῖνος καὶ σκολιὸς ὄφις; πῶς ἔπεισεν [b]; ἢ πῶς ἐκεῖθεν μέχρι τοῦ νῦν τὸ πικρὸν τοῦ θανάτου παρατείνεται κέντρον; ἔφθασεν αὕτη καὶ καθ' ἡμῶν ἡ πληγὴ βέλους ὀξύτερον, σκηπτοῦ φοβερώτερον· καὶ κεῖται παῖς, ἄρτι τὴν ὥραν ἀνθοῦσα, δεινὸν καὶ σκυθρωπὸν ὀφθαλμοῖς τεκόντων θέαμα· ὅτε τὸ ἄνθος ἐφύστο τῆς παιδοποιίας, τότε αὐτὸ τὸ φυτὸν συν-

Ubi nunc Elias? ubi Elisæus? ubi Petrus, Paulus aut aliquis similis sanctus et sacer homo? Certe non esset epistolam scribere opus, si vel pedes illorum alicujus apprehenderem, neque enim res manibus agetur, sane omnia tentarem, nec absisterem, donec vitæ restitutam parentibus suis puellam traderent. At nunc quid? certe talibus consanguineorum ærumnis exsilium nostrum non alleviatur. Epistola opus est, hei mihi, qua luctum mei fratris ob filiæ excessum leniam. Cum liberorum spes esset, et accusarentur nuptiæ, quod citius filiam matrem non declararent; nec filii filius in avorum manibus ludit, et circumsaltat, crepundiis blandiens: sed cum majora sperabantur, tum quæ habebamus, eripiebantur. Hei vetustissimorum proavorum fraudem, transgressionem, pœnam: quomodo in paradisum se insinuavit ille malus et perversus serpens? quomodo persuasit? quomodo exinde adhunc usque diem acerbus ille mortis stimulus extenditur? Ad nos transivit ista plaga, telo velocior, fulgure terribilior; ita ut jaceat defuncta puella vix horæ spatio efflorescens, grave et aversandum parentum oculis spectaculum; quo primum momento puerperii flos exeruit se, eodem exaruit, etiam radicitus. Natura

VARIÆ LECTIONES.

[a] Ἴσ. δῶρων. [b] Πῶς εἶπεν.

Digitized by Google Распознавание текста ABK/FR

parata est ad germinationem, et falx mortifera visceribus altius immissa vitæ vitam demessuit. Quæ suffecturæ huic casui lacrymæ ? luctus, lamenta, gemitus qualis ? os longo illo et fugiendo silentio obturatur, clauduntur labia, non gravitatem demonstrantia, non mores compositos referentia, sed ad dissolutionem conclusa : at quid ? oculi, heu, passio hæc silentium superat, nec admittit consolationem, oculi (quomodo id exprimam ?) omnem vitalem liquorem evacuantes, reliquias immittunt in cilia ; malas pro rubicunda tinctura naturali tenebrosus et mortifer inungit color, formæ omnem exspolians venustatem. Vultus denique totus ut in tali casu, spectaculum intuentibus timendum exhibet et terribile. Quæ hæc invidia ? quæ injuria ejusmodi in nos contorquet tela ? ubi transiit luctus unus, insequitur alter vehementior ; ille lactantem infantem occupavit, hic matrem mox futuram, nisi prævenisset mala mors. Undenam tot et tantæ plagæ ? ab hominibus plagæ, ab occultis inimicis, undique circumsistunt mala, mittuntur in nos jacula, in liberos ; tragœdiis scena fimus, chorum in nos saltant luctus, dolor, tristitia, vultus dejectio, omnis plane malorum Erynnis : Clotho, nescio quæ, ut videtur, chorum in nos ducit, fusus et infelices illius glomi vitam nostram actibus innectunt, et argumenta ministrant tragicorum modorum acerbis choreutis. Sed quid mihi accidit ? quo ego feror ? qui instituera m consolationem scribere, nescio quo pacto, luctu una abreptus, cum non valeret ratio, contra cursum mali in contrarium obnixi, quo nollem delatus sum ; et solatii sermonem exorsurus, ad lacrymas plangentium abripiebar. Sed revertar ad meipsum ; nec mœroris profundo immergar : multos dolor pessumdedit, non modo corpus destruens, sed lethaliter ipsam animam vulnerans. Hostibus ne gratificemur ; oblectat hostes nostra dejectio injuriis affectorum ; ne committamus in paterna fortitudinis certamina : viderunt illi liberorum mortes, mortes non ejusmodi nostræ sunt, Deus avertat ! Horum proles ignis, aqua, lacus diviserunt ; exsilium acerbissimum et intolerandum incubuit ; omnibus amicis et affinibus destituti erant. Nihil denique non auferebatur, quod tantillum solatii afferre posset ; et tamen gratias agentes tulere, et tamen supernum numen venerabantur ; quod res humanas, ultra hominum cogitationes gubernaret. Cogitemus, qui sumus : unde orti, non e mortalibus mortales ? nonne e non exsistentibus, mox futuri ipsi quod non sumus ? ubi pater ? ubi mea mater ? annon postquam pauxillum in hac vitæ scena colluserant, nisi quod martyrum illos corona et patientiæ cohonestabat, quantocius theatro excesserunt ? Reges autem et tyranni, supercilio, et tumore immortales, annon cum suis potestatibus morte submersi sunt ? Natura omnis humana utcunque

A ἀπεμαραίνετο ταῖς ῥίζαις · ἡ φύσις πρὸς βλάστην εἱστήκει, καὶ τὸ τοῦ θανάτου δρέπανον ἐμβαθυνόμενον τοῖς σπλάγχνοις, καὶ αὐτὴν ζωὴν ἐξεθέριζε τοῦ βίου. Ποῖον δάκρυον ἀρκέσει τῷ πάθει ; τίς στεναγμός ; ὀδυρμὸς δὲ ποῖος ; σιγᾷ στόμα τὴν μακρὰν ἐκείνην καὶ φευκτὴν σιωπὴν, καὶ χείλη μέμυκεν, οὐ σεμνότητα διηγούμενα, οὐδὲ τὸ τοῦ ἤθους κόσμιον ἀπαγγέλλοντα, πρὸς δὲ λύσιν συστελλόμενα · ὀφθαλμοὶ δὲ τί ; φεῦ πάθους καὶ σιγὴν νικῶντος καὶ λόγων οὐκ ἀνεχομένου ! ὀφθαλμοὶ (πῶς εἶπω) ; πᾶσαν ζωτικὴν λιβάδα κενώσαντες, νεκραῖς ταῖς βλεφαρίσι τὰ λείψανα περιστέλλουσι · τὰς παρειὰς ἀντὶ ἐρυθήματος, καὶ βαφῆς ἐμφύτου σκοτεινὸν καὶ νεκρὸν ὑπαλείφει χρῶμα, μορφῆς ἁπάσης ἐξαφανίζον εὐ
B πρέπειαν · τὸ πρόσωπον ὅλον, ὡς ἐκ τοιούτων, φρικτὴν καὶ φοβερὰν τοῖς ὁρῶσι τὴν θέαν παρέχεται. Τίς βασκανία ; τίς ἐπήρεια τοιαῦτα καθ' ἡμῶν ἀκοντίζει τὰ βέλη ; οὔπω παρῆλθε τὸ πρότερον πένθος, καὶ πάλιν ἕτερον ἐπέπεσε μεῖζον. Τὸ μὲν εἶχεν ὑπομάζιον παῖδα · τοῦτο δὲ καὶ μητέρα ἐπὶ ἂν θᾶττον τὸ κακὸν ἐπέστη. Πόθεν αἱ τηλικαῦται καὶ τοσαῦται πληγαί ; πληγαὶ ἐξ ἀνθρώπων · πληγαὶ ἐξ ἀδήλων μηνιμάτων. Πανταχόθεν ἕστηκε τὰ δεινά · τὰ βέλη φέρεται εἰς ἡμᾶς αὐτοὺς, εἰς παῖδας. Γεγόναμεν σκηνὴ τραγῳδίας, καὶ χορεύουσιν ἐν ἡμῖν θρῆνος καὶ πένθος καὶ λύπη καὶ κατήφεια, καὶ πᾶσα κακῶν ἐριννύς · συνάγει δ' ἄρα, ὡς ἔοικε, τὸν καθ' ἡμῶν
C χορὸν Κλωθώ τις καὶ ἄτρακτοι [u], καὶ τὰ δυστυχῆ ταύτης νήματα, τόν τε ἡμέτερον βίον τοῖς δράμασι διαπλέκουσα, καὶ χορηγοῦσα τὰς ὑποθέσεις τῶν τραγικῶν ᾀσμάτων τοῖς πικροῖς χορευταῖς. Ἀλλὰ τί ἔπαθον ; ποῖ φέρομαι ; γράφειν ἀρξάμενος παραμύθιον, αὐτὸς, οὐκ οἶδ' ὅπως, τῷ πένθει συναρπασθείς, οὐκ ἀντισχόντων τῶν λογισμῶν πρὸς τὴν φορὰν τοῦ δεινοῦ, εἰς τοὐναντίον, ὧν ἐσκόπουν, παρεσύρην · καὶ παραψυχῆς εἰσηγούμενος λόγον, εἰς τὰ τῶν ὀδυρομένων ἀπηνέχθην δάκρυα. Ἀλλὰ γενώμεθα ἡμῶν αὐτῶν, μηδὲ τῷ βυθῷ τῆς λύπης βαπτιζώμεθα · πολλοὺς ἀπώλεσε λύπη, οὐ σῶμα μονον διαφθείρασα, ἀλλὰ καὶ ψυχῆς αὐτῆς λυμηναμένη τὰ
D καίρια. Μηδὲ τοῖς ἐχθροῖς χαριζώμεθα · μέγα γὰρ ἐχθροις εἰς θυμηδίαν, ἡ κατήφεια τῶν ἐπηρεαζομένων · μηδ' εἰς τοὺς πατρικοὺς τῆς καρτερίας ἐξυβρίζωμεν ἄθλους. Εἶδον ἐκεῖνοι θανάτους παίδων · θανάτους, οὐχ οἷοι παρ' ἡμῖν, μηδὲ γένοιτο τούτων τὰ ἔκγονα, πῦρ καὶ ὕδωρ καὶ λάκκος ἐμερίζετο, καὶ τότε πικρᾶς καὶ βαρείας τῆς ὑπεροριας ἐπικειμένης, καὶ πάσης ἐρημίας φίλων συγγενῶν περιεστηκυίας, καὶ πάντων ἁπλῶς ὅσα ψυχαγωγίαν τινὰ φέρει περιῃρημένων · ἀλλ' εὐχαρίστως ἤνεγκαν · ἀλλ' ἐδόξασαν τὸν κρεῖττονα [v] ἢ κατὰ λογισμοὺς ἀνθρώπων τὰ ἀνθρώπινα διακυβερνῶντα. Ἐννοήσωμεν τίνες ἐσμὲν, πόθεν γεγόναμεν· οὐκ ἐκ θνητῶν θνητοί ; οὐχὶ ἐξ οὐκ ὄντων μετ' ὀλίγον οὐκ ἐσόμενοι ; ποῦ μοι πατήρ ; ποῦ δέ μοι μήτηρ ; οὐχὶ μικρὰ τῷ βίῳ προσπαίξαντες, πλὴν ὅσα μαρτυρικὸς αὐτοὺς καὶ τῆς ὑπο-

VARIÆ LECTIONES.

[u] Ἀτροπός. [v] ἴσ. τὸν Θεὸν. κρεῖττον.

Digitized by Google Распознавание текста ABK/FR

μονῆς διακόσμει στέφανος, θᾶττον λιπόντες τὸ θέατρον ᾠχοντο ; Οἱ δὲ βασιλεῖς καὶ τύραννοι, οἱ τῷ φρυάγματι καὶ ταῖς ὀφρύσιν ἀθάνατοι, οὐχὶ τῷ θανάτῳ δυναστείαις αὐταῖς καταδύονται ; Πᾶσα φύσις ἀνθρώπων, κἂν ἐξουσιάζουσα ᾖ, κἂν ἰδιῶτις, κἂν γερόντων, κἂν νέων, κἂν ἀνδρῶν, κἂν γυναικῶν, θανάτῳ πάντως τέμνεται τοῦ βίου · καὶ οὐδὲν οὐ μὴ διαφύγῃ τὸ ἐκείνου δρέπανον · οὐδὲν καινόν, οὐδὲ παράδοξον, οὐδὲ τῆς φύσεως ὑπέστημεν ὑπερόριον. Θνητὴ προελήλυθεν ἐκ σπλάγχνων θνητῶν καὶ τῷ θνητῷ βίῳ νόμῳ φύσεως λειτουργήσασα, τῷ αὐτῷ τῆς φύσεως νόμῳ πρὸς τὴν ἀθάνατον πολιτείαν ἀπεδήμησεν. Οὐκ ἔλιπε παῖδας ὀδυρομένους ὀρφανίαν · οὐκ ἀπῆλθε τὸν περὶ τὰ ἔκγονα πόνον πικρότερον τοῦ θανάτου συνεπιφέρουσα κέντρον · οὐκ ἔλαβε πολλὴν πεῖραν τῶν ἀνιαρῶν · οὐκ ἐζήτησε θάνατον, οὗ πολλοὶ πολλάκις συμφοραῖς ἀφύκτοις περιστοιχηθέντες ˣ ἐπεθύμησαν. Γονεῦσι προσομιλοῦσα τῆς ζάλης ἐξῆλθε τῶν προσκαίρων · χερσὶ μητρικαῖς ἀπῆλθεν ὑπηρετουμένη · χερσὶ τεκόντων ἐναπέθετο τὸ πνεῦμα. Ἐκηδεύθη τὸ σῶμα · παρεδόθη τάφῳ, καλοῖς ἐνταφίοις εὐσεβείᾳ καὶ σωφροσύνῃ καὶ πολλῶν εὐχαῖς ἐλεημένων προπεμπομένη · ἀπῆλθεν εἰς χῶρον, ἐξ οὗ πᾶσα λύπη καὶ στεναγμὸς ἀπελήλαται. Τί πλέον ἔδει ; εἰς τοὐναντίον μοι τρέπει τὸ ἄλγος, τὰ περὶ τὸ μακάριον ἐκεῖνο θυγάτριον οἰκονομηθέντα · καὶ μακαρίζω ταύτην τῆς ἀποδημίας, καὶ τὸν θρῆνον εἰς δόξαν Θεοῦ μεταβάλλω, καὶ τὴν ἀμηχανίαν εἰς εὐχαριστίαν, οὕτως αἰσίως καὶ ὡς ἂν τις μόλις εὔξαιτο ἀπηλλαγμένην ὁρῶν τῶν παρόντων. Ἀλλ' οὐ πολὺν ἐπεδίω χρόνον · καὶ τί διαφέρει ἂν τε πλείους, ἂν τε ἐλάττονς τὴν ζωὴν ἡμῶν διαμερίσωσιν ἡμέραι, ὅτε καὶ τὸ πλεῖον καὶ τὸ ἔλαττον, εἰς τὰς αὐτὰς τοῦ θανάτου πύλας διαβιβάζει ; Οὐδεὶς ἥδεται τοῖς παρελθοῦσι, τὸ μέλλον οὐκ ἔστι, τὸ παρὸν ἐν ᾧ ἄν τις καὶ τὸ ἥδεσθαι θείη παντελῶς ἀκαριαῖον · ὥστε καὶ ὁ μακρὸς καὶ βραχὺς τοῦ βίου χρόνος, τῷ παρόντι μόνον τὴν αἴσθησιν τῶν ἡδέων περικλείων, εἰς ἴσην καὶ ὁμοίαν ἀπόλαυσιν, τόν τε εἰς γῆρας βαθύνοντα, καὶ τὸν ἐνακμάζοντα τῇ νεότητι συνάγει, ἑκατέρου μὲν τὴν αἴσθησιν τῇ παρούσῃ τέρψει διαπλανῶν, οὐδενὸς δὲ, οὔτε τῶν παρεληλυθότων, οὔτε τῶν μελλόντων, οὐδεμιᾶς ἡδονῆς, οὐδ' ἑτέρῳ μετέχειν ἐνδιδούς. Οὕτως ἀδιάφορον πολὺν ἢ ὀλίγον χρόνον ἐμβιῶναι · μᾶλλον δὲ οὐδ' ἀδιάφορον. Εἰ γὰρ οὐδεὶς ἀνθρωπος ἀπὸ ῥύπου καθαρὸς εἴρηταί τε, καὶ τοῖς ἔργοις ὁρᾶται πιστούμενον, οὐδ' ἂν εἰ μία ἡμέρα ὁ βίος αὐτῷ, ὁ ἐν ἐλάττονι χρόνῳ τὸ πήλινον τοῦτο σκήνωμα καταλιπὼν, ἔλαττον ἔχων ἀπῆλθε καὶ κηλίδων τῶν σωματικῶν. Οὐκ οὖν ὁ πενθῶν τὴν ἀπελθοῦσαν, ὅτι θᾶττον ἀπήλλαξε τῶν παρόντων, ὅτι ἔλαττον μετέσχε τῶν μολυνόντων, τοῦτο θάκρυον ποιεῖται, καὶ τὸ καθαρωτέραν αὐτὴν τῷ ἐκεῖθεν ὀφθῆναι Νυμφίῳ, νομίζει[ς] συμφοράν · ἀλλὰ πρὸ ὥρας μετέστη · μή μοι γένοιτο τοιαύτην φωνὴν ἀκοῦσαι · φωνὴν ῥηθῆναι μὲν τολμηράν · ἐννοηθῆναι δὲ τολμηροτέραν. Πρὸ

A potentia fruatur, licet privati, senes, juvenes, viri, mulieres, per mortem de vita tollitur, nec est quod ejus falcem evitare queat. Novum non est, aut paradoxum, quod naturæ exsilio subjiciamur, mortalis illa prodiit e visceribus mortalibus, et vitæ mortali ubi juxta legem naturalem inservisset, per eamdem legem ad immortalem statum peregrinatur: liberos haud reliquit orphaniam gementes suam ; non excessit una secum desiderium circa prolem asportans morte acerbiorem stimulum, experientiam miseriarum multiplicem non habuit, mortem non quæsivit, quam multi multoties malis inevitabilibus oppressi optarunt, cum parentibus versata et temporali procella exiit, exiit ministerio maternarum manuum, in manibus parentum emisit spiritum : B curabatur corpus, mandabatur sepulcro fasciis tumularibus egregiis involuto pietate et modestia, multorum miserantium precibus comitata in regionem abiit, unde exsulat luctus et gemitus universim. Et quid ultra desiderari potest ? In contrarium dolorem me adigunt, quæ circa beatam illam filiam tuam administrabantur ; excessum hunc illius felicem prædico ; luctum in Dei gloriam muto, infortunium in gratiarum actionem : cum tam feliciter, ita ut vix optares, videam præsentibus liberatam. Verum haud ita diu in vita fuit ; quid interest si plures, an pauciores dies vitam nostram dividant ; cum minus et magis in easdem mortis portas nos transmittant ? Præteritis nemo delectatur ; quod futurum est, nondum est ; præsens, in quo omnis C oblectatio, momentaneum est. Longum ergo vitæ, et breve tempus, cum delectamentum præsenti tantum circumscribat, una et eadem fruitione illum, qui longævam attigit senectutem, et qui juventa floret, constringit ; utriusque sensum oblectamento præsenti errabunde definiens ; nullius autem vele præteritis, aut futuris, voluptate gaudere cuivis permittens, adeo res indifferens est, longo vel brevi spatio superesse. Imo potius haud est indifferens ; si enim a maculis nemo prorsus est immunis, quod et dicto et facto confirmatum videmus, ne si vita ejus sit unius diei, certe qui et abbreviato magis tempore istius vitæ exuit tabernaculum luteum, cum paucioribus corporis sordibus hinc excedit. Quocirca qui luget illius obitum, eo quod a præD sentibus tam cito liberatur, eo quod minus macularum participavit, polluentium lacrymas fundit, et inter calamitates computat, quod splendidior sponso præsentetur. Sed excessit ante tempus. Quin hanc ego vocem nullus audiam, dictu audacem, cogitatu audaciorem. Ante tempus, ais ? Cum nasceretur, cur non dicitur ante tempus in lucem edita ? Nascebatur de divino nutu et tempestive. An nosmet nos statuemus arbitros de tempore, quod ad conditorem hinc abibit ? Annon ille opifex produxit in tempore, ad se assumet nesciens, opportunum tem-

VARIÆ LECTIONES.

ˣ περιτυχόντες.

Digitized by Google Распознавание текста ABK/FR

pus? de gutta in carnem solidavit, in utero formavit, in lucem produxit, ab infantia ad ætatem puerilem custodivit, ad thalamum, ad perfectam ætatem, ecquid horum intempestive? ut cum in æternum vitam permutat, tum solum agit intempestive? sit longe a lingua pietatem meditante hæc blasphemia, longe ab animo moderato; dignum id est longis lamentis, et multis lacrymis, obrutum hominem tali cogitationum nequitia; non autem mortalia immortalibus mutare: quocirca lugere non oportet illam quæ corpus mortale reliquit, sed illum qui mortificat mentem immortalem, non quam thalamus cœlestis complectitur; sed qui spe mortifera animam sepelivit: sed prævenit abiens parentes; et quid tum? operata forsitan patris et matris interitui, hinc tunc excedere debuit tot plagis cæsa. Hæc qui ait, non patris viscera, sed novercæ affectum refert, non patris aut matris certe amorem; magis illum, qui quod se oblectet quærat, quam quod filiæ exsistat gratum, quique sub desideriis filiæ sui ipsius curam meditatur. Quid tristitiæ est intueri mortem amatorum? excessit hinc filia, a morte libera, hoc triste non est: et quid nos tum consumimus tristitia? si rediviva tibi adesset nata, et astans manum manui misceret, si blando et exhilarante vultu oscula daret et alloqueretur. Quid te affligis, pater? quid lamentaris, quasi mala me excedentem ambirent? Habitare paradisum sortita sum, jucundum oculis spectaculum, jucundius fruitione, experientia omnem excedit fidem; paradisus ille sedes paterna et principalis nostri generis, in quo Dominicæ manus opificium naturale primi nostri parentes, antequam insibilaret serpens, hoc est, beatam vitam agebant: hunc campum ille nequam et incurvus serpens illabi nequit adhuc, nec insusurratos sermones insinuare fraudulenter. Inest ibi nobis mens omni machina superior, omni arte major, non est ibi oculus aperiendus aut majoris oblectationis fruendæ desiderium. Sumus omnes sapientia divina et cœlesti sapientes; vita omnis transigitur in inenarrabilibus nec invidendis bonis, inde tota nobis festivitas et panegyris: splendidi splendide in corporibus incorruptibilibus et purissimis versantes, Deum videmus, quomodo homini videre fas est Deum, illus inexplicabile et incomprehensibili pulchritudine, quasi luxuriantes continuo tripudiamus, nec satietas adest: luxuriæ abundantia illius summitas sit dilectionis, et illam comitata fruitio inenarrabile illud gaudium, et inexplciabilem exsultationem operatur: adeo ut amor me inmensus eo revehat, dum tecum hos sermones fero, nec possum illorum partem vel minimam referre. Accedes tu aliquando eo cum dilecta mea matre, et tum me pauca quædam de multis, et minutiora enarrasse censebis, teque ipsum de hac tristitia accusabis, qui me in talibus bonis versantem deploras: verum, dilectissime pater, de cætero me lætus præmitte isthinc, nec diutius detine, ne plus incommoderis, et idcirco vehementius affligaris. Si

ὥρας· καὶ πῶς ὅτε τὰς μητρικὰς ἔλυσεν ὠδῖνας, οὐκ ἐνομίζετο λύειν πρὸ ὥρας; ἀλλ' ἐτέχθη μὲν νεύσει Θεοῦ καὶ καθ' ὥραν. Ἀπελθεῖν δὲ πρὸς τὸν Πλάστην ἡμᾶς αὐτοὺς καθίζομεν ὁροθέτας; καὶ προάγει μὲν ὁ Δημιουργὸς καθ' ὥραν, λαμβάνει δὲ πρὸς ἑαυτὸν οὐκ εἰδὼς τὴν ὥραν; ἀπὸ σταγόνος ἔπηξεν εἰς σάρκα, διέπλασεν ἐν μήτρᾳ, προήνεγκεν εἰς φῶς, ἐκ βρέφους διετήρησε μέχρι παιδὸς, μέχρι παστάδος, μέχρι τελείας ἡλικίας· τούτων οὐδὲν οὐ καθ' ὥραν; Ὅτε δὲ πρὸς τὸν ἀθάνατον ἀμείβει βίον, τοτε μόνον οὐ καθ' ὥραν· πόρρω γλώσσης εὐσέβειαν μελετώσης ἡ τοιαύτη δυσφημία· πόρρω φρονήματος σωφρονοῦντος· τοῦτο θρήνων μακρῶν, τοῦτο δακρύων πολλῶν ἐγκαταχωσθῆναι τὸν ἄνθρωπον τηλικαύτῃ μοχθηρίᾳ λογισμῶν, ἀλλ' οὐχὶ τὸ διαμεῖψαι τὰ ἄφθαρτα τῶν φθαρτῶν. Οὐ μὴν οὖν οὐχὶ πενθεῖν τὴν διαφυγοῦσαν σῶμα θνητὸν δεῖ, ἀλλὰ τὸν νεκρώσαντα τὸν ἀθάνατον νοῦν· οὐδ' ἦν οὐράνιος παστὰς θαλαμεύει, ἀλλ' ὃς ἐνέθαψε τὴν ψυχὴν ἐλπίσι νεκραῖς. Ναὶ, φησὶν, ἀλλὰ τεκόντων προαπῆλθε· τί δαὶ ἄρα, ἐβούλετο δέ τις αὐτὴν μητρὸς καὶ πατρὸς θανάτῳ προκατεργασθεῖσαν πρότερον, οὕτως ἀπελθεῖν, τηλικαύταις πληγαῖς μεμαστιγωμένην; πατρὸς οὗ μοι σπλάγχνα, μητρυιᾶς διάθεσιν οὗτος, ἀλλ' οὐ πατρὸς οὐδὲ μητρὸς φίλτρον, ἀπαγγέλλει, καὶ ζητοῦντος τὸ οἰκεῖον ἡδὺ ἢ τὸ τῇ θυγατρὶ κεχαρισμένον, καὶ σοφιζομένου πόθῳ παιδὸς τὴν ἑαυτοῦ θεραπείαν. Τί γὰρ λυπηρὸν ἰδεῖν στεργομένων θάνατον; οὐκ οὖν ἀπῆλθεν ἡ παῖς ἐλευθέρα τούτου· ἀλλ' οὐ λυπηρόν. Καὶ τί δαπανῶμεν ἑαυτοὺς τῇ λύπῃ; Εἰ δ' αὖτη σοι παρῆν ἐκεῖθεν ἡ παῖς ἐπιστᾶσα, καὶ χειρὶ χεῖρα ἐμβαλοῦσα, ἱλαρῷ δὲ καὶ χαίροντι προσώπῳ κατεφίλει τε καὶ προσεφθέγγετο, Τί δὲ ἄρα κόπτεις σεαυτὸν, ὦ πάτερ; τί δὲ θρηνεῖς, ὡς ἐπὶ κακοῖς, ἀπελθοῦσαν; ἐμοὶ παράδεισος ἔλαχεν οἰκεῖν. Γλυκὺ μὲν τι θέαμα ὀφθαλμοῖς ἰδεῖν· γλυκύτερον δὲ ἐναπολαῦσαι· μείζω[ν] δὲ πίστεως ἀπάσης ἡ πεῖρα. Παράδεισος ἐκεῖνος ἡ πρώτη καὶ θαυμασία τοῦ γένους πατρὶς, ἐν ᾧ πάλαι τῆς Δεσποτικῆς παλάμης τὸ φιλοτέχνημα τῆς φύσεως οἱ προπάτορες, πρὶν ἢ τὸν ὄφιν ὑποψιθυρίσαι, τῆς εὐδαίμονος καὶ μακαρίας ἀπήλαυνον ζωῆς. Ἀλλὰ νῦν οὐδὲ ὁ σκολιὸς ἐκεῖνος καὶ πονηρὸς ὄφις, χώραν ἔχει ὑφερπῦσαι, οὐδέ τινας ψιθύρους λόγους ὑπομηχανᾶσθαι· ἀλλ' οὐδ' ἐν ἡμῖν ἐστί τις, οὗ μὴ ἐστιν ἡ γνώμη μηχανῆς ἀπάσης καὶ τέχνης ἀμείνων· οὐδ' ὀφθαλμοὺς δὲ τις ἀνοιχθῆναι δεῖται ἢ τινος μείζονος ἐπιθυμίας ἀπολαῦσαι. Ἐσμὲν γὰρ ἅπαντες σοφοὶ μὲν τὴν θείαν καὶ οὐράνιον σοφίαν· ἐν ἀφθόνοις δὲ καὶ ἀνεκλαλήτοις ἀγαθοῖς· ὁ δὲ πᾶς βίος ἡμῖν ἑορτὴ καὶ πανήγυρις. Λαμπροὶ δὲ λαμπρῶς ἐν ἀφθάρτοις καὶ καθαρωτάτοις πολιτευόμενοι σώμασι, Θεὸν ὁρῶμεν, ὡς ἔστιν ἀνθρώπῳ δυνατὸν ἰδεῖν, καὶ τούτου τῷ ἀφράστῳ καὶ ἀπερινοήτῳ κάλλει ἐντρυφῶντες, διαπαντὸς ἀγαλλόμεθα, καὶ κόρος τούτων οὐδεὶς, ἀλλὰ τὸ ἄφθονον τοῦ τρυφᾶν ἀκμὴ γίνεται τοῦ ἐρᾶν, καὶ τῷ ἔρωτι συμπροΐουσα ἡ ἐξουσία τῆς ἀπολαύσεως, ἄφατόν τινα καὶ ἀνεκδιήγητον, ὡς ἀληθῶς, τὴν χαρὰν ἐκείνην καὶ ἀγαλλίασιν ἐργάζεται· ὡς καὶ νῦν ἔμοιγε ταῦτά σοι προσομιλούσῃ,

Digitized by Google Распознавание текста ABK/FR

δεινὸς καὶ ἀμήχανος πρὸς ἐκεῖνα ἔρως ἐπιστρέφει, καὶ οὐδὲ τὸ βραχύτατον αὐτῶν παραχωρεῖ διηγήσασθαι. Ἐλεύσῃ δέ ποτε καὶ αὐτὸς ἐκεῖσε ἅμα φίλῃ μητρὶ, καὶ τότε πολλὰ μὲν ἐμὲ τοῦ μικρὰ περὶ τηλικούτων εἰπεῖν· πολλὰ δὲ σαυτὸν τοῦ πένθους αἰτιάσῃ· οἵων καλῶν κἀγαθῶν ἡμῖν κατωδύρου Ἀλλά με λοιπὸν, ὦ φίλτατε πάτερ, χαίρων ἔα καὶ πρόπεμπε· μηδὲ πλέον κατέχῃς, ἵνα μὴ πλέον ζημιώσῃς, καὶ διὰ τοῦτο πικρῶς ἀνιάσῃς. Εἰ ταῦτα δὲ καὶ τοιαῦτα ἕτερα τὸ μακάριον ἐκεῖνο θυγάτριον διεξῄει, ἆρ' οὐκ ἂν δυσωπηθεὶς καὶ τὸν ὀδυρμὸν ἀπέθου καὶ χαίρων χαίρουσαν ἀπιέναι προέπεμπες; Εἶτα ἂν μὲν ἡ παῖς ταῦτα λέγῃ, βελτίους ἐσόμεθα καὶ τοὺς θρήνους ἀπορρίψομεν; ἂν δ' ὁ κοινὸς Πλάστης καὶ Δεσπότης βοᾷ· Ὁ πιστεύων εἰς ἐμὲ, κἂν ἀποθάνῃ ζήσεται· καὶ ὅ τε ἡτοίμασεν τοῖς ἀγαπῶσιν αὐτὸν, ἃ ὀφθαλμὸς οὐκ εἶδε, καὶ οὖς οὐκ ἤκουσε, καὶ ἐπὶ καρδίαν ἀνθρώπου οὐκ ἀνέβη. ὡς ἀπιστοῦντες οὐδὲν ἄμεινον διακεισόμεθα, ἀλλ' ἐπὶ πλέον θρηνήσομεν; Καὶ ποῦ τοῦτο καλόν; ποῦ δὲ δίκαιον; ποῦ δὲ λογισμῶν ἐγγὺς ἑστηκότων τοῦ πρέποντος ἢ συμφέροντος; Εἶτα οὐδὲ τὴν ἐμὴν αἰσχύνῃ κοσμιωτάτην νύμφην, εἰς τὰ τῶν θηλέων δάκρυα τὸ ἀῤῥενωπὸν διαχέων καὶ καταφερόμενος· οὐδὲ φείδῃ τῆς γυναικείας ἀσθενείας, οὐδ' ἡ περὶ αὐτὴν εὔλογος συμπάθεια καὶ ὠφέλιμος τὴν παράλογον διαλύει καὶ ἀσύμφορον. Εἰ γὰρ ἄνδρες, παρ' ὧν ταῖς γυναιξὶν ἡ ἀνάκτησις, ἴσα γυναίοις κόψονται· τί τὸ περὶ αὐτὰς ἔσται; πόθεν τὸ παραμύθιον ἕξουσι; τίνας δὲ παραινέσομεν εἰς καρτερίαν μιμεῖσθαι, πρὸς τίνας ἀφορᾷν; ἀλλὰ μὴ σύ γε, μηδὲ σεαυτοῦ ἀνάξιον πάθοις, μηδὲ τοῦ γένους, ἵνα τι καὶ τοῦ καιροῦ φιλοτιμώτερον εἴπω, νόθον καὶ ἀλλότριον. Μὴ δὴ τοῦ καλοῦ πλέον εἰς οἰμωγὰς ἐκφερώμεθα, μηδὲ γυναικιζώμεθα τῷ πάθει ἄνδρες πολλαχοῦ ἐν πολλοῖς καὶ χαλεπωτάτοις πειρασμοῖς ἀναφανέντες. Ἔλαβε πρὸς ἑαυτὸν ὁ Πλάστης τὸ πλάσμα· ἀλλ' ἔδωκε πλείους ὧν ἀφεῖλε (καὶ εἴησάν γε ἐπὶ μακρότατον εὖ βιοῦντες, καὶ τοὺς τεκόντας εὐφραίνοντες) υἱοὺς καὶ θυγατέρας. Λυπεῖ τὸ παρελθόν· εὐφραινέτωσαν οἱ παρόντες· εὐχαριστήσωμεν ὑπὲρ ὧν ἀφεῖλεν, ἵνα οἷς ἐχαρίσατο χαίρειν καὶ ἀγαλλιᾶσθαι βεβαίαν ἔχωμεν τὴν ἀπόλαυσιν. Καλὸν ἔχειν τῷ βίῳ γένους διαδόχους· ἔχομεν· καλὸν παρέχειν ἀπαρχὰς τῷ κοινῷ Πλάστῃ, καὶ τῶν ἀγαθῶν ἁπάντων δοτῆρι προσηνέγκαμεν· πρὶν μὲν ἄδηλον ἦν τίνες τῶν παίδων εἰς ἀπαρχὰς Θεῷ, τίνες δὲ εἰς διαδοχὴν γένους λογισθήσονται. Νῦν δὲ ἂν μόνον εὐχαρίστως τὴν ἀπαρχὴν οἴσωμεν, οὐκέτι ἐν ἀδήλοις τὰς ἐλπίδας σαλεύσομεν, ἀλλ' ἐν τῷ βεβαίῳ πεπηγότες ἐσόμεθα. Οὐδέ ποτε λαβὼν οὐ παρέσχε φιλοτιμότερον· ἀεὶ δὲ μεγίστοις καὶ ἀνελπίστοις ἀγαθοῖς τὰ ἐλάχιστα διαμείβεται. Εἰ δὲ θρήνοις, ὡς ἀδικούμενοι, τὰς ἀπαρχὰς καθυβρίσωμεν, ἀλλ' ἐγὼ μὲν οὐδὲν ἐρῶ δυσχερὲς, ἐπεὶ μηδ' ὑμᾶς ἐλπίζω τοῦ λοιποῦ θρήνους καὶ λύπας καὶ τοιαῦτα πάθη, ἃ τοῦ δυσχεροῦς ἐστιν αἰτία, περιβάλλεσθαι. Εἴη δέ μοι καὶ τὸ Θεῖον

apud te hæc vel similia tecum beata tua filiola colloqueretur, annon permotus inde gemitus abigeres, et lætus lætam abire permitteres? Deinde si filia hæc diceret, an meliori statu erimus, et lamenta rejiciemus? sin communis Conditor, et Dominus clamet: *Qui credit in me, etiamsi morietur vivet*[21a]; *et qui præparavit diligentibus se, quæ oculus non vidit, nec auris audivit, nec in cor hominis ascendit*[22]; tanquam infideles nihilo erimus meliores, et plus dolebimus? ubi bonum, justum, ubi ratiocinationes conjunctæ cum decenti aut utili? Ulterius, nonne pudet ornatissimam meam sponsam virilem conditionem in muliebres lacrymas diffundendo et irruendo, femineæ imbecillitatis curam omittere, ne rationabilis et inducens compassio dissipet irrationalem et inutilem. Si viri, per quos feminæ firmantur, non minus quam feminæ plangunt, unde illæ solamen acquirent? quos laudandos proponemus ob strenuitatem imitandos? ad quos respiciemus? Verum noli tu quidquam te ipso vel genere tuo indignum perpeti, aut, ut magis tempori congruum dixero, adulterinum: in luctum ne ultra decorum efferamus, nec cum viri sumus, muliebriter passionem feramus, cum multoties multis in locis fortes nos præstiterimus: Opifex ad se transtulit opificium; sed plus dedit quam abstulit: et subsistant precor diu viventes, et parentes gaudio afficientes filii alii filiæque: dolet quod præteriit; lætitia afficiant præsentes, gratias de ablatis agamus, ut stabiliter fruamur iis quos habemus, deque iis gaudium et exsultationem habeamus: pulchrum est successuros possidere, possidemus: præclarum est primitias largitori consecrare et omnium datori, quod fecimus, offerre. Incertum prius erat, quos e liberis Deo primitias dare, quos generis destinare successioni oporteret. Nunc si gratanter primitias dederimus, non inter incerta vacillabit spes, sed immoto in statu defixi erimus: Deus nunquam accepit, quin amplius largiatur; semper vel minima maximis et insperatis bonis remunerat. Sin planctu, ut injuria affecti primitias dedecoremus: quanquam nihil ego proloqui infaustum velim, quippe qui sperem te de cætero nullam talem passionem, lamenta, mœrorem admissurum, unde infausti quidquam procuretur: mihi Numen et spe et suffragio faveat; favet autem, et libertatem loquendi concedit, te ab animi mœrore in gratiarum actionem converso, plurima cum antiqua tum recentia exempla, quæ solamen afferant, repræsentare possum. Quin ut quod res est dicam, tota hominum vita hujus est exemplum, quam cogitatione rememorans facile dejectionem omnem amolietur. Majus adhuc dixero, et tremendum illud; ad quos pertinet defunctos deplorare? hic ipse non dicam, sed orbis præconem compello, ut voce sua enuntiet cœleste decretum: *De dormientibus nolo vos ignorare, fratres: ut ne tristitia vos ita afficiemini, quemadmodum et cæteri,*

[21a] Joan. XI, 24. [22] I Cor. II, 9.

Digitized by Google Распознавание текста ABK/FR

qui spem non habent[22]. Paulus horum est buccinator, cœlesti institutus ludolitterario, qui totum mundum obivit prædicando : Christi os clamat, infideles decere, de defunctis tristitia affici, resurrectionis spem exstinguere, non credendo virtutem mysterii secundum Christum. Tristitiam igitur exuamus, ne reatum contrahamus tanti mali ; ne filiam tuam vero damno afficiamur ; nam nunc Abrahami sinu fovetur, ibidem non ita longo posthac tempore illam lætam et exsultantem intuebimur : sin contra Domini legem puellam defleo, ab illo pulchro spectaculo expellor. Visne ergo filiam intueri, repelle luctum, per actionem gratiarum declara te dignum lætitia illa? si luctibus adhuc indulgeamus, desiderato nos privamus. Lætitia inibi ploratus nescit. Exsultationis et gaudii nuptialis thalamus locum lugentibus non concedet ; nec admittet lacrymantes, quos hæredes gaudii inexplicabilis habet. Visum est factori figmentum refingere ad immortalitatem ; hanc felicem ego sortem puellæ non invideo, nec sententiam contra murmurabo eam, quam amplecti deberem : Dominicam largitatem in argumentum ingratitudinis non traxero. Morbo aliquando laborabat filiolus magni regis David, morbus sepulcrum monstrabat. Ille morbum calamitatis loco habens, pronus sternitur, lacrymas implorat numen, a cibo et omni corporis cultu abstinet. At ubi excessit puellus, statim deponebat luctum. Orabat prius ut viscerum stirps subsisteret ; postquam vidit Fictorem determinasse abitum, per luctum judicis sententiam violare non erat ausus : sed sublimiorem se omni dejectione præstans, voces emisit gratias agentes, et usitato more se refecit. Ita non affectos esse decet ; si infirmatur filius cognatus, amicus, si morbus mortem parturiat : Deum veneror, ut auferat morbum, det, donet desiderantibus desiderium suum : sed translationem ille utiliorem judicat ; decet deinceps de illa dispensatione gratias agere, contentos esse, nec luctu et gemitibus Creatoris judicium violare. Si quis nobis insidietur dæmon, et Jobum rursus deposcit, si malevolum cum servo suo committere Deus velit, si patientiam vult explorare ad convictionem adversarii, si stadium certamini aperit, ut pudefaciat antagonistam, athletam coronet : mœstitiæ argumentum virtutis deprecationem facere non oportet, nec tempus coronarum lamentorum tempus constituere, non certaminis diem, diem lacrymarum ; non per eos quos coronavit patientia ; non per coronas ipsas immarcescibiles et splendidas : hæc generosum tuum animum dedecent, judicium solidum, virtutes reliquas. Quocirca, stemus viriliter ; stemus confidenter, ut milites cœlestis regis cum hoste congrediamur. Agonothetæ testimonium ne pudefaciamus ; nec adversarii audaciæ in maleferendo applaudamus : nec si quid a principio viriliter gessimus, posterioribus mollefaciamus ; ne simus fortes ad movendam hostis

τῇ τε ψήφῳ, καὶ τῇ ἐλπίδι συνεφαπτόμενον · καὶ ἔστι γε · αὐτός μοι τὴ παῤῥησίαν χορηγεῖ ὑμῶν, ὅπερ ἔφην, ἀπὸ τῆς ἀθυμίας εἰς εὐχαριστίαν ἀνατεγκόντων, πολλὰ δὲ καὶ νέα καὶ παλαιὰ τοῦ συνενεχθέντος εἰς ψυχαγωγίαν ὑποδείγματα · μᾶλλον δ' ἀληθέστερον εἰπεῖν, ὅλος ὁ βίος τούτου παράδειγμα, ὃν τοῖς λογισμοῖς ἐπιδιελθόντα, πᾶσαν ἔστι ῥᾴδιον ἀποθέσθαι τὴν κατήφειαν. Εἶπω τὸ μεῖζον, μᾶλλον δὲ τὸ φρίκης γέμον · τίνων ἐστὶ τὸ λυπεῖσθαι τοὺς ἀποιχομένους ; μᾶλλον δὲ οὐδ' αὐτὸς ἐρῶ, τὸν κήρυκα δὲ τῆς οἰκουμένης καλῶ, διὰ τῆς οἰκείας φωνῆς ἀπαγγεῖλαι τὸ ἐπουράνιον ψήφισμα · Οὐ θέλω ὑμᾶς ἀγνοεῖν, ἀδελφοὶ, περὶ τῶν κεκοιμημένων, ἵνα μὴ λυπῆσθε καὶ ὑμεῖς, καθὼς καὶ οἱ λοιποὶ, οἱ μὴ ἔχοντες ἐλπίδα. Παῦλός ἐστιν ὁ σαλπίζων ταῦτα, ὁ τῷ οὐρανίῳ παιδευθεὶς διδασκαλείῳ, ὁ τὴν οἰκουμένην πᾶσαν περιλαβὼν τῷ κηρύγματι, τὸ τοῦ Χριστοῦ στόμα, ἀπίστων εἶναι βοᾷ τὴν ἐπὶ τοῖς τελευτῶσι λύπην, σβεννύντων τῆς ἀναστάσεως τὴν ἐλπίδα, ἀπιστούντων τοῦ κατὰ Χριστὸν μυστηρίου τὴν δύναμιν. Ἀλλ' ἀποθώμεθα τὴν λύπην, ἵνα μὴ τηλικούτοις κακοῖς ἔνοχοι φανῶμεν · ἵνα μὴ ὡς ἀληθῶς τότε τὴν παῖδα ζημιωθῶμεν. Νῦν μὲν γὰρ κόλποι θάλπουσιν αὐτὴν Ἀβραμιαῖοι · κἀκεῖ ταύτην, εὐφραινομένην καὶ χαίρουσαν, μετ' ὀλίγον θεασόμεθα. Ἐὰν δὲ παρὰ τοῦς Δεσποτικοὺς θεσμοὺς ἐγὼ τὴν παῖδα θρηνῶ, ἐλαύνομαι τοῦ καλοῦ θεάματος ἐκείνου. Ποθεῖς τὴν παῖδα θεάσασθαι ; ῥῖψον ἀπὸ σοῦ τὴν λύπην · δεῖξον σεαυτὸν, δι' ὧν εὐχαριστεῖς, ἄξιον τῆς ἐκεῖθεν εὐροσύνης · ἀλλ' εἰ ἔτι στέργομεν τοὺς θρήνους, ἑαυτοὺς στερίσκομεν τοῦ ποθουμένου · οὐκ οἶδε θρήνους ἡ ἐκεῖθεν εὐφροσύνη · οὐδ' ὁ τῆς ἀγαλλιάσεως καὶ χαρᾶς νυμφῶν ἀνέχεται γενέσθαι χωρίον πενθούντων · οὐδ' ἐθέλει παραδέχεσθαι τοὺς ὑπὸ δάκρυσι τιθέντας, οὓς αὐτὸς ἀνεκλαλήτου χαρᾶς ἔχει κληρονόμους. Ἔκρινεν ὁ Πλάστης τὸ πλάσμα πρὸς ἀθανασίαν μεταπλάσαι · μὴ βασκαίνωμεν τῆς εὐδαιμονίας τὴν παῖδα, μηδὲ τῆς κρίσεως ἣν ἔδει θαυμάζειν καταγογγύζωμεν · μηδὲ τὴν Δεσποτικὴν φιλοτιμίαν εἰς ὑπόθεσιν ἀγνωμοσύνης βιαζώμεθα. Ἐνόσει ποτὲ παιδίον τοῦ μεγάλου βασιλέως Δαβὶδ, καὶ ἡ νοσος τὸν τάφον ἐδείκνυ. Ὁ δὲ συμφοράν τὴν νόσον ποιούμενος, πρηνὴς ἔκειτο, καὶ δάκρυσιν ἐξεμειλίσσετο τὸ Θεῖον, τροφῆς τε αὐτῆς ἀπεχόμενος καὶ τῆς ἄλλης ἐπιμελείας τοῦ σώματος, ἀλλ' ὅτε τὸ παιδίον ἀπῆλθεν, αὐτίκα συναπέθετο καὶ τὴν λύπην · πρὶν μὲν γὰρ ἱκέτευε παραμένειν τὸ φυὲν τῶν σπλάγχνων · ἐπεὶ δὲ κρίναντα τὴν ἀναχώρησιν τὸν Πλάστην εἶδεν, οὐκ ἐτόλμησε τοῦ κριτοῦ τὴν ψῆφον ἐγκαθυβρίσαι τῷ πένθει · ἀλλ' ἀνώτερον ἑαυτὸν πάσης παρασκευασάμενος κατηφείας, εὐχαριστηρίους ἠφίει φωνὰς, καὶ τῆς συνήθους εἴχετο διαίτης · οὕτω χρὴ διατίθεσθαι καὶ ἡμᾶς · ἀσθενεῖ παιδίον, συγγενὴς ἄλλος, ἢ τῶν φίλων τις, καὶ ἡ νόσος θάνατον ὠδίνει · δέομαι Θεοῦ παρελθεῖν τὴν νόσον δοῦναι, παρεῖναι τὸ ποθούμενον τοῖς ποθοῦσιν · ἀλλ' ἄμεινον αὐτὸς τὴν μετάστασιν

[22] I Thess. vi, 12.

Digitized by Google Распознавание текста ABK/FR

ἠγεῖται· εὐχαριστεῖν λοιπὸν οἷς ᾠκονόμησε προσ- A invidiam, in fine autem vincere inepti, et desides
ήκει· στέργειν τὸ πραχθὲν καὶ μὴ τῷ θρήνῳ καὶ τοῖς convincamur : hostis proclivis ad lapsum, cum vi-
ὀδυρμοῖς ἐγκαθυβρίζειν τὴν κρίσιν τοῦ Κτίσαντος. deat ferre nos patienter tentationes, ocius absistit
Εἰ δέ τις καὶ ἡμᾶς ἐνεδρεύει δαίμων, καὶ τὸν Ἰὼβ a tentando, videns hominem firmiter a fortitudine
πάλιν ἐξαιτεῖ, καὶ Θεὸς ἀφίησι τῷ θεράποντι βάσα- fundatum. In proximo stat qui coronas donat, splen-
νον y συμπλακῆναι, καὶ δοκιμάζει τὴν ὑπομονὴν didis remunerat agonistam coronis ad se susceptum,
ἐπ' ἐλέγχῳ τοῦ ἀντικειμένου, καὶ ἀγώνων στάδιον nec ulterius permittit cum hoste impetendum; quin
ἀνοίγει, καταισχῦναι μὲν τὸν ἀνταγωνιστὴν, στεφα- illum longius amovet. Quod si impudentius instet,
νῶσαι δὲ τὸν ἀθλητήν· οὐδ' οὕτω χρὴ ἀνίας ὑπόθεσιν artes ejus et insidias difflat; patientis dolores remu-
τῆς ἀρετῆς τὴν ἀνακήρυξιν, οὐ μὲν οὖν οὐδαμῶς nerat felicitate et gaudio multiplicato. Horum om-
ποιεῖσθαι, οὐδὲ καιρὸν θρήνων ἀποφαίνειν τὸν καιρὸν nium exemplum præbet beatus rursus Job, cujus
τῶν τροπαίων· οὐδὲ ἡμέραν δακρύων, τῆς ἀθλήσεως participes velut et plagarum facti sumus, gaudii,
τὴν ἡμέραν· οὐ μὰ τοὺς δ' ὑπομονῆς στεφανωθέν- gloriæ, et resplendentiæ, vel fiemus saltem, vel in
τας, καὶ τοὺς ἀμαραντίνους αὐτοὺς καὶ λαμπροὺς præsenti, vel in sæculo interminabili, intercedente
στεφάνους· οὐκ ἔστιν ἄξια ταῦτα τῆς σῆς γενναίας gloriosissima Domina nostra, Deipara, semper Vir-
ψυχῆς, οὐδὲ τοῦ εὐσταθοῦς φρονήματος, οὐδὲ τῆς B gine Maria, cum omnibus sanctis. Amen.
ἄλλης ἀρετῆς. Τοιγαροῦν στῶμεν ἀνδρείως· στῶμεν εὐθαρσῶς, ὡς τοῦ οὐρανίου στρατιῶται βασιλέως τῷ ἐχθρῷ προσπλεκώμεθα· μηδὲ καταισχύνωμεν τὴν μαρτυρίαν τοῦ ἀγωνοθέτου· μηδὲ τοῦ ἀντιπάλου τὸ θράσος ἐν τῷ δυσφορεῖν συγκροτήσωμεν· μηδ' εἴτι πρότερον ἡμῖν ἀνδρείας z κατωρθώθη, τοῖς ὑστέροις ἐκθηλύνωμεν· μηδὲ κινῆσαι μὲν φθόνον ἐχθροῦ γενώμεθα ἀγαθοί· νικῆσαι δὲ δι' ὑπομονῆς εἰς τέλος ἐλεγχθῶμεν ὀκνηροί· ἕτοιμος εἰς πτῶσιν ὁ πολέμιος, ὅταν εἴδῃ μακροθύμως φέροντα τοὺς πειρασμοὺς, θᾶττον ἀφίσταται τῆς πείρας, ὁρῶν τὸν ἄνθρωπον ἐπὶ στερρᾶς τῆς καρτερίας ἑδραζόμενον· ἐγγὺς ὁ στεφοδύτης, λαμπροῖς τοῖς στεφάνοις ἀντὶ τῶν ἄθλων δεξιούμενος τὸν ἀγωνιστὴν· καὶ οὐκέτι συγχωρεῖ προσβαλεῖν τὸν ἐχθρόν· πόρρω δὲ τούτου ἐλαύνει· κἂν ἔτι δόξῃ ἀναισχυντεῖν, σὺν αὐταῖς ἁπάσαις τέχναις καὶ ἐπιβουλαῖς· ἀμείβει δὲ καὶ τὰ ἀλγεινὰ πολλαπλασίονι τῇ εὐδαιμονίᾳ καὶ χαρᾷ, καὶ τούτων ἁπάντων ἀπαράγραπτος μάρτυς, αὐτὸς πάλιν Ἰώβ, οὗ, σῶπερ ταῖς πληγαῖς ἐκοινωνήσαμεν, οὕτω καὶ τῆς εὐφροσύνης, καὶ τῆς δόξης, καὶ τῆς λαμπρότητος ἀπολαύσομεν, νῦν τε καὶ εἰς τοὺς ἀτελευτήτους αἰῶνας, πρεσβευούσης τῆς ὑπερενδόξου Δεσποίνης ἡμῶν Θεοτόκου καὶ ἀειπαρθένου Μαρίας, καὶ πάντων τῶν ἁγίων. Ἀμήν.

ΕΠΙΣΤ. ΞΔ'. C EPIST. LXIV.

Κωνσταντίνῳ νοταρίῳ. *Constantino notario.*

Montacut. (ep. 239, p. 360).

Βραδὺς μὲν ἦσθα πρὸς μνήμην τῶν ἐπεσταλμένων· βραδύτερος δὲ πρὸς πρᾶξιν τῶν ἐπηγγελμένων· τῇ μὲν οὖν περὶ τὰς ἐντολὰς λήθῃ, ἔστι τι καὶ συγγνώμης· τὸ δὲ μηδὲν σε τῶν ὑπεσχημένων ἐκτελέσαι, ἂν μὴ προπετείας ἦν ὑπόσχεσις δῶρον, μόνης ἐστὶν ἀμελείας.

Tardus fuisti in memoria missorum recolenda; tardior ad promissa exsequenda; de oblitis mandatis concedenda est tibi venia; at quod promissum non præstiteris, si fervoris cujusdam donum erat, ad negligentiam solam spectat.

ΕΠΙΣΤ. ΞΕ'.

Νικήτᾳ Ἀσπαθαρίῳ καὶ ἐπὶ τοῦ ἰδικοῦ ὑπὲρ τῶν μητροπολιτῶν τοῦ Κυζίκου καὶ τῆς Λαοδικείας.

EPIST. LXV.

Nicetæ aspatharii, et de rebus privatis pro metropolitis Cyzici et Laodiceæ agenti.

Montacut. (ep. 240, p. 360).

Οἶδα μὲν τὴν φιλόθεόν σου ψυχὴν αὐτοπαράκλητον D οὖσαν πρὸς τὸ ἀγαθὸν, καὶ συμπάσχουσαν ἐμφύτῳ διαθέσει τοῖς ὑπὲρ Χριστοῦ τὰ ἔσχατα πάσχουσι. Πλὴν ἐπεὶ καὶ ἡμεῖς ἐγκαυχᾶσθαί σου ταῖς ἀρεταῖς ποιούμεθα μέγα, καὶ συναλγεῖν τοῖς μέλεσιν ἡμῶν καὶ ἀδελφοῖς χρέος ἀπαραίτητον ὁρῶμεν· διὰ ταῦτα τὴν διάνοιαν πρὸ τῶν λόγων, καὶ πρὸ τῆς χειρὸς τοὺς λόγους, καὶ σὺν αὐτοῖς τὴν χεῖρα πρὸς ἱκεσίαν κινοῦμεν. Ἀρκεῖ ταῦτα πρὸς σὲ, οἶδα, καὶ δυσχεραίνεις ἴσως, ὅτι βραδύνω τὴν αἴτησιν, καὶ ἀγωνιᾷς τὴν παράκλησιν, καὶ μήπου ἄρα τῆς σῆς ἐπιλελήσμεθα τελειότητος, καὶ ὅτι πολλαχοῦ προφθάνων

Animam ego tuam Dei amantem novi sua sponte in bonum ferri, et ab ingenita dispositione illis compati, qui pro Christo patiuntur. Sed propterea quod magni faciam de tuis virtutibus gloriari, et debitum a me illud exigi videam, ut commembris et fratribus compatiar : idcirco, ante orationem cogitationes, ante manus orationem, et una cum iis manum supplicem prætendo. Hæc apud te sufficient, scio ; et fortassis fers ægerrime, quod petitionem non exponam, et laboras de admonitione meæ intercessionis, ne scilicet fortassis tuæ perfectionis me oblivio ceperit, cum tu multoties in-

VARIÆ LECTIONES.

y Ισ. βάσκανον. z Ισ. ἀνδρείως.

Digitized by Google Распознавание текста ABK/FR

tercessionem præveneris, non exspectata admonitione : et mihi quidem ista sunt persuasissima. Sed dolor mihi conceptus de coathletis et concaptivis meis ita me disponit, ut a longe exordiar intercessionem ; at nunc expediam, Dei veri sacerdotes, et nostri consacerdotes ab æstu et frigore consumuntur. Subeat tibi cogitatio, quanto jam tempore decurso de emendicata stipe, et pecunia gravissimis usuris mutuo accepta vix vitam sustinuerint, coacti non aliter quam volucres cœli nidos sibi construere, et aliquod vitæ solatium vel exiguum procurare. Ostende teipsum non dissimilem tui, et Dei desiderium tibi inhærens extra te diffunde ; dum illorum miserearis, leniorem nobis redde maxima ex parte dolorem, illorum solando indigentiam. Animæ procurat indulgentiæ veniam, si quis animabus pro Christo afflictis, auxilium ferat. Quid autem aliud ego scribo ? quam ut is qui supplicat rogando, concessa petitione gratias agat ; propterea quod in cæteris mei bene memor fueris, et præsentem petitionem fervide, et sine prætexta excusatione adimpleveris potiusquam adimplebis : Christus omnis misericordiæ et consolationis Dominus ad omne tui voti desiderium aurem apertam omnigentis bonis adaugeat ? usque dum regni illius, ubi nulla est successio, beati participem faciat.

A ὠφθης τὴν δέουσαν οὐκ ἀναμείνας παραίνεσιν. Πείθομαι ταῦτα· ἀλλὰ τὸ περὶ τοὺς συναθλητὰς καὶ συναιχμαλώτους ἄλγημα, οὕτω με ποιεῖ διατίθεσθαι, καὶ μακρότερον τῆς ἱκεσίας ἐφάπτεσθαι. Ἐρῶ δὴ ἤδη· οἱ τοῦ Θεοῦ τῷ ὄντι ἀρχιερεῖς, καὶ ἡμῶν τῶν ταπεινῶν συναρχιερεῖς χειμῶνι καὶ ἡλίῳ διατηκόμενοι· λογίζου μοι χρόνος ὅσος ἠναγκάσθησαν ἐξ ἐράνου καὶ χρεῶν βαρυτόκων, εἰ μή τι ἄλλο, ἀλλ' οὖν ὥσπερ τὰ πετεινὰ τοῦ οὐρανοῦ ἑαυτοῖς περινοήσασθαι κατασκηνώσεις, καὶ ζωῆς τινος μικρὰν παραμυθίαν, οὐκέτι λέγω πολλά. Δεῖξον σεαυτὸν ἀπαρέλλακτον σεαυτοῦ, καὶ τὸν ἔνδοθέν σου περὶ τὸ Θεῖον πόθον προχεόμενον ἔξω, διὰ τῆς εἰς αὐτοὺς συμπαθείας, πράΰνον ἡμῶν τὸ πολὺ τοῦ ἄλγους, τὴν αὐτῶν B παραμυθούμενος ἀπορίαν. Ψυχῆς ἐστιν ἄφεσις καὶ λύτρον, τὸ ψυχαῖς ἐπικουρῆσαι διὰ Χριστὸν τελιπωρουμέναις. Τί ἄλλο γράφω ; ἢ ὡς τὴν αἴτησιν ἔχων, λοιπὸν πληρουμένην εὐχὴν[a], καὶ εὐχαριστίαν ἀνθ' ὧν, τά τε ἄλλα μνήμην ἡμῶν ἀγαθὴν ἔχεις, καὶ πρὸς τὴν παροῦσαν αἴτησιν ἀπροφάσιστος καὶ θερμὸς (πῶς εἶπω ;) γέγονας πληρωτής, ἡ γένῃ. Εἴη σοι Χριστὸς, ὁ τοῦ ἐλέους καὶ πάσης παρακλήσεως Κύριος, ἐπὶ πάσῃ μὲν δεήσει τὸ οὖς εὐήκοον παρέχων, καὶ τὸν ἄλλον δὲ βίον παντοδαποῖς ἀγαθοῖς συναύξων τῆς ἀδιαδόχου καὶ μακαρίας ἐκείνης μέτοχον ἀναδεικνὺς βασιλείας.

EPIST. LXVI.

Stauratio spatharocandidato præfecto insulæ Cypri.

C

Coteler. (Monumenta Eccles. Græc., t. II, p. 104).

Piscis capito in paludibus plerumque vitam agit. Is, prout marina constat experientia, ventri strenue imperat, temperatumque victum in natatili servat natura. Unde in nullum animal insurgit, neque eorum quæ ad capturam promptissima sunt : sed ei natura est, erga omne marinum genus, instar caducei, et mos instar fœderis ac inviolabilis jurisjurandi. Adeo autem iis quæ diximus custodiendis operam dat, ut si quando ventorum vis et maris procellæ ipsum a consueto pastu abegerint, simulque ingruens fames e patria abduxerit, atque

ΕΠΙΣΤ. ΞϚ'.

Σταυρακίῳ σπαθακανδιδάτῳ (1) ἐπάρχοντι τῆς Κυπρίων νήσου.

Τῶν ἰχθύων ὁ κέφαλος (2) ἐπὶ τοῖς ἕλεσι τὰ πολλὰ τὸν βίον ἀνέχει. Οὗτος, ὡς ἡ θαλαττία πεῖρα βούλεται, γαστρός τε νεανικῶς κρατεῖ, καὶ τὴν σώφρονα δίαιταν νηχομένῃ φύσει πολιτεύεται. Διὸ ζώῳ μὲν οὐδενὶ οὐδὲ τῶν εἰς ἅλωσιν ἑτοιμοτάτων ἐπιτίθεται· ἀλλ' ἔστιν αὐτῷ ἅπαν τὸ ἐν θαλάσσῃ γένος ἡ φύσις κηρύκειον, καὶ σπονδαὶ (3) τὸ ἔθος καὶ τῶν ὁρκίων τὸ ἀπαράβατον. Τοσοῦτον δ' αὐτῷ τῶν εἰρημένων ἡ φυλακὴ διεσπούδασται, ὥστε κἂν πεισθὰν ἀνέμων βία καὶ θαλάττιοι τάραχοι τῆς ἐθίμου νομῆς ἐκελαύνωσι, τὸν δὲ λιμὸς συνεπιτιθέμενος ἀπάτῃ τῆς

VARIÆ LECTIONES.

[a] ἴσ. ἔχῃ.

NOTÆ.

(1) Σπαθακανδιδάτῳ. Rectius σπαθαροκανδιδάτῳ. Ita in jure Græco-Romano mentio habetur Βασιλείου σπαθαροκανδιδάτου, per Eustratium CP. p. 268, idque nomen explicant, aliisque testimoniis firmant optima Glossaria, Græcum Meursii, et Latinum Fresnii. Porro spatharii erant imperatorii satellites. Quocirca δορυφόροι Sozomeni lib. I. cap. 14, et Theodoriti lib. III, cap. 14, in Historia tripartita sunt *spatharii* σπαθαρικὸν ἀξίωμα in Orientalium synodica ad Theophilum imperatorem, quam edidit Combefisius, p. 121. Sicque vocati sunt a σπάθη, quæ est longior ensis, spatha, spata, spada. Unde factum est ut lancea Dominicæ passionis σπάθη appellata fuerit a Gelasio Cæsariensi apud Theodoritum Dialogo 3. Atque hæc pauca addidimus ad aliorum observationes.

(2) Κέφαλος. Capito, cephalus, labeo, mugilum genus piscis, notus, et pietate, justitia, innocentia conspicuus. De quo vide cum cæteris Rittershusium ad Oppianum.

(3) Σπονδαί. Superius σπονδὰς mutavimus in σπουδάς. Nunc vice versa σπουδὰς in σπονδάς, apud Philonem De confusione linguarum p. 326, C. Κατὰ τῶν σπονδὰς λύειν ἐπιχειρούντων, καὶ σύγχυσιν ὁρκίων αἰεὶ μελετώντων. *Adversus eos qui fœdera solvere conantur, et conturbationem pactorum jurejurando firmatorum semper meditantur.* Et σπουδὴν in σπονδὴν, in eodem magno Judæo lib. Quis rerum divinarum hæres, p. 506. C. προσηκόντως ὅλως εἰς ἱερὰν σπονδὴν ἀναστοιχειωθείς. *Decenter omnium ad sacrum fœdus reformatus*, p. 298. Georgii Syncelli non πονδίων, neque κονδύων sed σπονδείων, ex Josepho.

Digitized by Google Распознавание текста ABK/FR

πατρίδος, καὶ πλανᾶται κατὰ τροφῆς ζήτησιν ὁ κέφαλος, οὐδ' οὕτως αὐτῷ τὰ τῆς πατρίδος παραλύεται νόμιμα, ἀλλὰ καὶ μετανάστης γενόμενος, καὶ τῆς τροφῆς ἂν οὕτω τύχοι πρὸ τῶν ὀφθαλμῶν πολλάκις ἐγκειμένης, καὶ τοῦ λιμοῦ λῦσαι τοὺς νόμους ἐπαναγκάζοντος, οὔτε τῷ φαινομένῳ δελεάζεται, οὔθ' ὑπείκει τῷ βιαζομένῳ· ἀλλ' ὡς ἔφημεν καὶ πρὸ τῆς ὄψεως ἐγκειμένου τοῦ θηρεύματος, αὐτὸς σωφρονεῖ, καὶ λιμοῦ καὶ γαστρὸς καὶ τοῦ κινοῦντος τὴν ὄρεξιν ἔξωθεν, ἐπικρατεστέραν τὴν ἔμφυτον φιλοσοφίαν ἐπιδείκνυσι. Δι' ὃ ἂν μὲν ἔτι ζῇ τὸ προκείμενον, οὐ φθείρειν τὸ ὁμόφυλον ἀνεχόμενος, οὐδαμῶς τῆς θοίνης ἐφάπτεται. Ἂν δὲ τῆς ζωῆς ἠρημωμένον πρόκειται, τῷ μηκέτι ὄντι, μηδ' ἀλγηδόνα λαμβάνοντι, τούτῳ τοῦ λιμοῦ τὴν βίαν παραμυθεῖται καὶ διαλύεται. Ὁ μὲν οὖν κέφαλος ὁ ἰχθὺς οὐδὲ τῶν ἀναισθήτων σωμάτων, ἂν μὴ λίαν ὁ λιμὸς ἐπιτίθηται καὶ νικᾷ τὴν φύσιν, οὐμενοῦν οὐ προσάπτεται. Σὺ δὲ ζῶντας ἀνθρώπους ὅλους αὐταῖς περιουσίαις, καὶ τότε τρυφῶν. Τί γάρ με δεῖ λέγειν μηδεμιᾶς ἀνάγκης ἐπικειμένης ; ἀνέδην οὕτω καὶ πρὸς αὐτῆς τῆς πατρίδος ὀφθαλμοῖς, χανδὸν καταπίνων καὶ ἀκορέστως καταβοσκόμενος (4) τίνα λόγον ἐκεῖθεν ἕξεις, ὅτε παραβάλλεσθαι ;

A oberrat capito ad quærendum cibum ; neque tunc ab eo solvuntur patriæ jura ; verum etiam exsul, et sæpe alimento, si ita casus tulerit, ob oculos posito, ac fame compellente ad violationem legum ; neque per oblatum illicitur, neque vim inferenti cedit, sed prout diximus, etiam præda in conspectu posita, ipse abstinet, insitamque philosophiam ostendit tum fame tum ventre tum eo quod escæ desiderium extrinsecus movet fortiorem. Quocirca si adhuc vivit quod sese obtulit, non sustinens perdere sibi congener, nequaquam dapem attingit. Sin vero vitæ expers adsit, per id quod non amplius est nec dolorem sentit, violentiam famis solatur ac dissolvit. Capito itaque piscis, ne sensu quidem destituta tangit corpora, nisi valde urgeat fames naturamque vincat. Tu vero qui vivos homines cum facultatibus B suis integros, idque inter delicias (quid enim me oportet dicere, nulla compellente necessitate ?) adeo impudenter et coram ipsius patriæ oculis, deglutis inhianter atque insaturabiliter devoras, quam in alia vita excusationem habiturus es, cum ne in hac quidem locum invenias ut cum piscibus conferaris ?

ΕΠΙΣΤ. ΞΖ'.

Περὶ τοῦ μὴ δεῖν πρὸς τὰ ἐν τῷ βίῳ λυπηρὰ ἐπιστρέφεσθαι (5).

EPIST LXVII.

Quod non oporteat ad præsentes vitæ molestias attendere.

Coteler. (l. c. p. 106).

Ἀγαθὸν ἀνθρώπῳ βίος ἄλυπος, χαλεπὸν δὲ τυχεῖν, C μᾶλλον δὲ τοῖς γε τὴν κρίσιν μὴ ἔχουσιν ἀπ' ὀρθῆς διαίτης προϊοῦσαν, ἀδύνατον. Οἷς μὲν οὖν ἡδόμεθα, τῷ πλάσαντι καὶ χορηγοῦντι τὴν ἀνεύθυνον ἡδονὴν χάρις. Ἃ δὲ ἀνιώμεθα, ἐν ἑαυτοῖς ἔστιν εὑρεῖν, ὥσπερ τούτων τὸ αἴτιον, οὕτω καὶ τὸ φάρμακον τῆς ἰάσεως. Τὰ γὰρ πλεῖστα τῶν λυπηρῶν, οὐκ ἐξ ἑαυτῶν τὴν πληγὴν ἐπάγει, ἀπὸ δὲ τῆς ἡμετέρας κρίσεως λαμβάνει τὸ πλήττειν. Ἔστε ῥήθη τις πλούτου ; τί δύναται ἡ στέρησις λυπῆσαι ; ἀλλ' ἐγὼ τὴν στέρησιν βαρὺ νομίζω· δῆλον ὡς αὐτὸς ἐγὼ καὶ τὴν οὐδὲν κατ' ἐμοῦ κινοῦσαν ὁπλίζω πικρὸν ἀφεῖναί μοι βέλος. Ὁ μὲν γὰρ φθόνος, ἢ κοινόν τι πόλεως ἢ πατρίδος πάθος, ἢ ἄλλο τῶν ἔξωθεν, ἴσχυσέ με καὶ μὴ βουλόμενον πένητα ποιῆσαι· λυπῆσαι δὲ οὐδὲν τούτων D οὐδαμῶς οὐκ ἂν δυνηθείη, εἰ μὴ ἐγὼ βουλοίμην. Ἀλλὰ φίλτατοι παῖδες ἀπέστησάν μοι τῶν κόλπων, καὶ οὓς ὁρῶν ἡδόμην καὶ τὰς ἐλπίδας πάσας ἀνῆπτον τοῦ βίου, οὗτοι τὸ χρεὼν ἀθρόον ὑπῆλθον ; οὐδ' ἐκεῖνοι πλήττειν οἴδασιν ὅλως, μάλιστά γε φύσεως ὥσπερ ἐν τῇ γενέσει, οὕτω κἀν τῇ ἐξόδῳ λειτουργήσαντες νόμοις. Ἀλλ' ἐγὼ τοὺς τὰ ἴσχατα ἠρεμοῦντας ὡς ἐν

Grata res homini est, vita sine dolore tranquilla, sed obtentu difficilis, imo ex sententia eorum quorum judicium a recta ratione non aberrat, impossibilis. Ob ea ergo quibus delectamur, Creatori et voluptatis inculpatæ largitori gratiam habeamus ; circa molestias autem, in nobis invenire est, ut earum causam, ita et remedium ad curationem. Nam tristium pleraque, non ex seipsis plagam inferunt, sed a nostra opinione accipiunt quod feriant. Privatus est aliquis divitiis ? Quid potest privatio contristare ? At ego privationem rem gravem puto : patet quod ipse ego nihil adversus me moventem armo, ut in me acerbum emittat jaculum. Siquidem vel invidia, vel commune civitatis aut patriæ infortunium, vel ex externis aliud quidpiam, potuit me etiam nolentem ad paupertatem redigere ; at tristitiam inferre nihil horum ullatenus poterit, nisi ipse voluero. Verum charissimi liberi e sinu meo abscesserunt, et in quos intuens gaudebam, omnesque vitæ spes appendebam, ii subito fatale decretum subierunt ? Neque illi omnino ex se habent percellere, cum præsertim sicut in nativitate, ita et

NOTÆ

(4) Χανδὸν καταπίνων καὶ ἀκορέστως καταβοσκόμενος. Hæc verba nos admonent illorum Cyrilli in Habacuc n. 15, t. III, p. 530. A. Κατὰ τὸν ἴσον ἰχθύσι τρόπον τοὺς ἀσθενεστέρους κατανέμεσθαι, καὶ οἷον ἀλλήλους καταῤῥοφεῖν ἀθύρω τε καὶ ἁπλήστῳ στόματι, σκληρὰν δὲ οὕτω καὶ ἄμικτον ζωὴν ἐπιτηδεύειν, ὡς ἑρπετῶν τῶν ἐν ὄρεσι καὶ χεῖ ὀλίγα διενεγκεῖν, ut promamus nostram conjecturam, χειραμοῖς *Pari cum piscibus more, infirmiores absumere, et ore patulo ac insatiabili se mutuo velut de glutire ; adeo vero duram et a commercio alienam vitam persequi, ut a reptilibus quæ in montibus et cavernis versantur parva sit differentia.*

(5) Inter epistolas Photianas refertur in ms. cum alias characterem epistolæ non habeat.

Digitized by Google Распознавание текста ABK/FR

in exitu legibus naturæ paruerint. Ast ego in summa tran quillitate degentes, tanquam magna tempestate procellaque vexatos *reputans*, meisque ductus cogitationibus, et commiserationem conciens nihil illis conferentem, mihimet ipsi vulnus infligo inutile. At mihi concidit domus ? Quid ergo ? Si me quoque comprehendit, nihil ad me : neque enim sentio. Quod si multis cadentibus, ego casum evasi, quo modo qui ægre fero collapsa esse inanima, cum gratias agere deberem quod ereptus fuerim, non ipse mihi molestiam concilio ? Ita sane et in reliquis omnibus. Nam quæ velut in his exemplis prolata sunt, communia sunt cunctis, erga quæ humana vita quotidie, alia sursum alia deorsum agens, versatilem suum volutat circulum. Unum igitur est duntaxat inter hujusce vitæ cuncta, de quo oportet gravem dolorem suscipere, et a quo liberari satagendum est. Cætera vero fere omnia quæcunque contigerint, equidem si mala esse judicem, tanquam molesta mihi incumbent ; sin autem ad ea non attenderim, eorum nullum aliquam mihi valet affigere anxietatem. Quidnam ergo est de quo me oportet esse sollicitum, non autem de dolore curam gerere ? Animam conservare intactam et liberam a peccatorum spiculis : et si quod eorum ad illam pertigerit, plagamque protulerit ad cicatricem, excitari ad curandum vulnus, sanitatemque

μεγάλῳ κλύδωνι καὶ σάλῳ ταλαιπωρουμένους, τοὺς ἐμοὺς ποιῶν λογισμοὺς, καὶ τὴν μηδὲν αὐτοῖς συνεισάγουσαν συμπάθειαν ἀνακινῶν, ἑμαυτῷ τὴν πληγὴν μηδὲν ὠφελῶν ἐπιφέρω. Οἰκία δέ μοι συνέπεσε ; Τί οὖν ; εἰ μὲν καταλαβοῦσα κἀμέ, οὐδὲν πρὸς ἐμέ · οὐδὲ γὰρ αἰσθάνομαι. Εἰ δὲ πολλῶν πεσόντων, ἐγὼ τοῦ πτώματος κρείττων ἐγενόμην, πῶς ἀντὶ τοῦ χάριν ἔχειν οἷς ἐρρύσθην, ὑπὲρ ὧν ἄψυχα κεῖται δυσφορῶν, οὐκ ἐμαυτῷ προξενῶ τὴν λύπην ; οὕτω δὴ καὶ ἐπὶ τῶν ἄλλων ἁπάντων. Ἃ γὰρ ὡς ἐπὶ παραδειγμάτων τούτων εἴρηται, κοινὰ πάντων ἐστὶν ὅσα καθεκάστην ὁ βίος (6), τὰ μὲν ἄνω φέρω, τὰ δὲ κάτω (7) τὸν ἑαυτοῦ πολύστροφον (8) ἑλίσσεται κύκλον. Ἓν οὖν ἐστι μόνον τῶν ἐν τῷ βίῳ πάντων, περὶ οὗ χρὴ καὶ τὴν ἀλγηδόνα βαρεῖαν δέχεσθαι, καὶ σπουδὴν εἰσάγειν ταύτης ἀπαλλάττεσθαι. Τὰ δ' ἄλλα μικροῦ πάντα ὅσα συμβῇ, ἂν μὲν ἐγὼ κρίνω φαῦλα ταῦτα εἶναι, ὡς λυπηρά μοι ἐπιτίθεται · ἂν δ' οὐκ ἐπιστρέφωμαι πρὸς αὐτὰ, οὐδὲν αὐτῶν ἰσχύει προσάψασθαι οὐδεμίαν μοι θλῖψιν. Τί οὖν ἐστι περὶ οὗ με δεῖ φροντίζειν, καὶ οὐ πρὸς τὴν ἀλγηδόνα ἐπιστρέφεσθαι ; τὸ ταῖς ἀκίσι των ἁμαρτημάτων ἀπαθῆ τὴν ψυχὴν (9) καὶ ἀνάλωτον (10) συντηρεῖν · κἂν τι προσάψηται ταύτης, καὶ πρὸς μώλωπα τὴν πληγὴν ἐκτείνῃ, διανίστασθαι τὸ τραῦμα θεραπεύειν καὶ πρὸς ὑγίειαν ἀνακαλέσασθαι. Τὰ δ' ἄλλα πάντα, δοξα καὶ πλοῦτος, κάλλος καὶ ἰσχὺς, δυναστεία καὶ

NOTÆ.

(6) Ὁ βίος. Locus communis de instabilitate vitæ humanæ : in quo peculiari animadversione digna mihi visa sunt verba Clementis Alexandrini, quia mutila, ut hic ex verisimili per uncos complerentur. Sic inchoat summus vir librum. *Quis dives salutem consequatur* : Οἱ μὲν τοὺς ἐγκωμιαστικοὺς λόγους τοῖς πλουσίοις δωροφοροῦντες, οὐ μόνον κόλακες καὶ ἀνελεύθεροι δικαίως ἂν ἔμοιγε κρίνεσθαι δοκοῖεν, ὡς ἐπὶ πολλῷ προσποιούμενοι χαρίσασθαι τὰ ἀχάριστα · ἀλλὰ καὶ ἀσεβεῖς καὶ ἐπίβουλοι · ἀσεβεῖς μέν, ὅτι παρέντες αἰνεῖν καὶ δοξάζειν τὸν μόνον τέλειον καὶ ἀγαθὸν Θεὸν, ἐξ οὗ τὰ πάντα καὶ δι' οὗ τὰ πάντα καὶ εἰς ὃν τὰ πάντα, περιάπτουσι τὸ [θεῖον] γέρας ἀνθρώποις ἐν ἀστ[άτῳ] βίῳ κυλινδομένοις, [καὶ] τὸ κεφάλαιον, ὑποκειμένοις τῇ κρίσει τοῦ Θεοῦ. *Qui Encomiorum munera divitibus tribuunt, ii vero mihi non solum adulatores et illiberales merito esse videntur, qui magno se gratificari simulent quorum nulla gratia ; verum etiam impii et insidiosi : impii quidem, quod posthabitis Dei laudibus et gloria, qui unus perfectus ac bonus est ; ex quo omnia et per quem omnia et in quem omnia, divinum honorem attribuunt hominibus in vita instabili volutantibus, et quod caput est, judicio Dei obnoxiis.* Accedat huc Theophylacti epistola 12, ipsa quoque corrigenda, πᾶσαν τὴν ἀστατοῦσαν κτίσιν (male editum et versum κρίσιν) καὶ μόνον ἀκίνητον τὸ ἀεικίνητον ἔχουσαν. Et Parænesis Eucherii n. 10. Vita *hæc brevis, ita brevissima, ut ærumnosissima : quæ undique circumstantium dolorum urgetur incommodis, et deficientibus* (an *indeficientibus*) *fatigatur malis, dum accidentium jactatur injuriis*, etc.

(7) Ἄνω, κάτω. Affirmare nihil dubito, in homilia Leontii presbyteri CP. apud Gretserum *De Cruce* c. 1587. B. ubi de Filio Dei agitur, legendum esse, καὶ ἄνω καὶ κάτω μηδαμοῦ λειπόμενος. *Et in superioribus et in inferioribus nullatenus esse desinens.*

(8) Πολύστροφον ἑλίσσεται κύκλον. Apposite in theca reliquiarum Joannis Baptistæ Perpinianensi, Πραγμάτων ἑλίξεις (aut εἱλήσεις. Ita legendum, ut paulo ante τιμωρεῖν) τε καὶ στροφὰς βίου.

(9) Ἀπαθῆ τὴν ψυχήν. Quid novi ad ἀπάθειαν, rem innumeris innumerorum commentariis illustratam proferam ? Pro more criticas observationes Primo itaque lego Epist. 186, lib. 1 S. Nilli, ὅπως μὴ ἀπευδοκήσῃς τοῦ χαρίσματος τῆς ἀπτωσίας, καὶ τῆς τελειωτάτης ἀπαθείας. Et verto, *ut ne desperes de charismate intrepiditatis, et perfectissimæ imperturbabilitatis.* Deinde vero Eusebium Meursii corrigo *in Canticum canticorum* p. 10. Τοσοῦτον δεῖ καθαρεύειν τὸν λαλούμενον Θεῷ, ὡς τὰς ἐμπαθεῖς ἀφορμὰς ἀπαθείᾳ ὑποτίθεσθαι. Hoc est, *Adeo autem purus esse debet qui cum Deo loquitur, ut affectuum impetus vacuitate perturbationes subjiciat.*

(10) Ἀνάλωτον. Non me latet plerasque meas Notas magis esse observationes ad alios auctores, quam elucidationes ad meos. Id si quis vitio verterit, potest eas non legere. Contra ego censeo, in hoc genere operis atque in hac luce litterarum, pauca declaranda esse : nullam autem intermittere occasionem adjuvandi eos qui veteres libros versant, mendarum scrupulos removendo, hoc vere in laude pono. Igitur Nota præsens erit ad Joannem Calecam Sermone habito Dominica ante exaltationem S. Crucis, apud Gretserum c. 1371 Καὶ ἁπλῶς τοὺς Ἰουδαίους διήγειρε καὶ παρώτρυνε συκοφαντῆσαι τοῦτον καὶ καταδικάσαι ὡς κακοῦργον καὶ θανατῶσαι. Ἀλλὰ καὶ οὕτως εὗρεν αὐτὸν ἀάττητον καὶ ἀνάλλωτον. Nempe longe præstantiorem fore lectionem, ἀνάλωτον quam ἀναλοίωτον *immutabilem. Judæosque universim impulit* diabolus, *ut calumniis eum* Christum *incesserent, et tanquam maleficum condemnarent, mortique adjudicarent. Verum sic quoque invictum et inexpugnabilem reperit.*

Digitized by Google Распознавание текста ABK/FR

ῥώμη σώματος, καὶ κράτος λόγων τιμιώτερον, παῖδές εἰσιν ἐν βίῳ παίζοντες· μᾶλλον δὲ οὐδὲ παῖδες, σκηνὴ δὲ παίδων ὑποκρινομένη δρᾶμα, καὶ εἴ τι τούτων ἀπατηλότερον.

A revocandam. Reliqua vero omnia, gloria et divitiæ, potentia et robur corporis, quodque pretiosius est, dicendi facultas, pueri sunt in vita ludentes, imo potius ne pueri quidem, sed scena fabulam puerorum repræsentans, vel si quid his est fallacius.

ANG. MAI ANIMADVERSIONES

DE ERRORIBUS MONTACUTII IN EDENDIS PHOTII EPISTOLIS.

(*Spicileg. Rom.* t. X, p. XXIII.)

